eul_wid: qnq-au

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# On Universal Prosody

*Περι Καθολικης Προσῳδιας*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Λόγος* Oration

3,1 1 (1t) ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΚΑΘΟΛΙΚΗΣ ΠΡΟΣΩιΔΙΑΣ. ΠΙΝΑΞ ΤΟΥ ΟΛΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΠΕΡΙ ΤΟΝΩΝ.

3,1 3 (1t) Βιβλίον α′. Τὸ μὲν οὖν πρῶτον βιβλίον περιέχει τὰ εἰς ν λήγοντα ὀνόματα ὑπὲρ μίαν συλλαβὴν ἀρσενικὰ καὶ θηλυκά. Βιβλίον β′. Τὸ δεύτερον περιέχει τὰ εἰς ξ καὶ εἰς ρ καὶ τὰ εἰς ας . Βιβλίον γ′. Τὸ δὲ τρίτον τὴν εἰς ης κατάληξιν. Βιβλίον δ′. Τὸ δὲ τέταρτον τὴν εἰς ις . Βιβλίον ε′. Τὸ δὲ πέμπτον τὰ εἰς ος λήγοντα καθαρά. Βιβλίον ς′. Τὸ δὲ ἕκτον ἀρξάμενον ἀπὸ τῶν εἰς βος συμπληροῖ τὰ εἰς λος · κατὰ γὰρ τὴν τῶν στοιχείων τάξιν ἡ παράθεσις ὡς καὶ ἐπὶ τῶν εἰς ων ληγόντων. Βιβλίον ζ′. Τὸ δὲ ἕβδομον ἀπὸ τῶν εἰς μος μέχρι τῶν εἰς πος . Βιβλίον η′. Τὸ δὲ ὄγδοον ἀπὸ τῶν εἰς ρος μέχρι ψος καὶ ἔτι περὶ τῶν εἰς ος οὐδετέρων. Βιβλίον θ′. Τὸ ἔννατον περὶ τῶν εἰς ος συνθέτων. Βιβλίον ι′. Τὸ δὲ δέκατον περιέχει τὰ εἰς υς ἀρσενικὰ καὶ θηλυκὰ καὶ τὰ ἔχοντα διφθόγγους πρὸ τοῦς · ἔτι τὰ εἰς ως καὶ ψ . Βιβλίον ια′. Τὸ ἑνδέκατον περιέχει τὰ εἰς α λήγοντα θηλυκά. Βιβλίον ιβ′. Τὸ δωδέκατον τὴν εἰς η κατάληξιν τῶν θηλυκῶν κατὰ τὴν τῶν συμφώνων πάλιν τάξιν καὶ τὴν εἰς ω . Βιβλίον ιδ′. Τὸ τεσσαρεσκαιδέκατον περιέχει πᾶν ὄνομα μονοσύλλαβον. Βιβλίον ιε′. Τὸ δέκατον πέμπτον τὰς πλαγίας τῶν ὀνομάτων κανονίζει καὶ τοὺς κατὰ κλίσιν ἀριθμοὺς καὶ τοὺς κατὰ θέμα εἰρημένους. Βιβλίον ις′. Τὸ ἑκκαιδέκατον περιέχει τὰ εἰς ω καὶ τὰ εἰς μι ῥήματα κατὰ πᾶν πρόσωπον. Βιβλίον ιζ′. Τὸ δέκατον ἕβδομον περιέχει πᾶν σύνθετον ῥῆμα καὶ πᾶσαν μετοχήν. Βιβλίον ιη′. Τὸ δέκατον ὄγδοον ἀντωνυμίας ἄρθρα καὶ προθέσεις. Βιβλίον ιθ′. Τὸ δέκατον ἔννατον περιέχει ἐπιρρήματα καὶ συνδέσμους. Βιβλίον κ′. Τὸ εἰκοστὸν περὶ χρόνων τῶν ἐν φωνήεσι καὶ πνευμάτων. Ἐπὶ δὲ τοῖς εἴκοσι ἐν ἄλλῳ βιβλίῳ τὸ ἀναγνωστικὸν εἶδος κατὰ σύνταξιν τῶν λέξεων παραδέδοται, ἀκολούθως μετὰ τὴν δήλωσιν τῆς καθ’ ἑκάστην προσῳδίας γινομένης διδασκαλίας περὶ διαστολῆς καὶ συναλοιφῶν καὶ τῶν ἄλλων τῶν παρακολουθούντων τῇ ἀναγνώσει, οἷον ὅτε τὸ Ζεύς ὀξυνόμενον οὐκ ἔχει τὴν ὀξεῖαν ῥωννυμένην ἐν τῷ «Ζεὺς δ’ ἐπεὶ οὖν Τρῶας» (Il.

3,1 4 13, 1), ἀλλ’ ἐγκλινομένην διὰ τὴν ἐπιφορὰν τοῦ δέ συνδέσμου. ἐν γοῦν τῷ «Ζεύς τε καταχθόνιος» (Il. 9, 450) ῥώννυται διὰ τὴν ἐπιφορὰν τοῦ τέ. ἡ δὲ οἱ ἀντωνυμία ἐν τῷ «οἷ αὐτῷ θάνατον» οὐκ ἐφύλαξε τὴν περισπωμένην ἐν τῷ «καί οἱ ἐπευχόμενος» (Il. 16, 829) τῆς συντάξεως τοῦτ’ ἀπαιτούσης τοῦ σημαινομένου. οὕτως ἔχει καὶ τὸ «μάχῃ ἔνι κυδιανείρῃ» (Ζ 124). Προσῳδία ἐστὶ ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς, κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως

ἐκφερομένη μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν, ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένης, ἤτοι κατὰ τὸν ἀναλογικὸν ὅρον καὶ λόγον.

3,1 5 (τοῦτον δὲ τὸν ὅρον Ἡρωδιανὸς ἐν τῷ περὶ καθόλου προσῳδιῶν ὡρίσατο.) Τὸ ἑκάστῃ λέξει τὴν δέουσαν προσῳδίαν τιθέναι συμπέρασμα σχεδὸν πάσης τῆς γραμματικῆς τυγχάνει μεθόδου· καὶ γὰρ τὸν περὶ διχρόνων ὡς ὅτι μάλιστα διηκριβωκέναι ἀναγκαῖον τῷ τοῦτο ποιεῖν ἐθέλοντι· ἐπεὶ πόθεν τὸ μὲν Ἶρος καὶ μῖμος προπερισπάσει, τὸ δὲ κτίλος καὶ Χίος, τὴν νῆσον φημί, παροξυνεῖ μὴ γνοὺς ὡς τὰ μὲν πρῶτα ἐκτεταμένον ἔχει τὸ ι , τὰ δὲ δεύτερα συνεσταλμένον; ἔτι καὶ τὸν περὶ κλίσεως· ἐπεὶ πόθεν τὸ μὲν σωλῆνος προπερισπάσει, τὸ δὲ ποιμένος παροξυνεῖ, ἀγνοῶν ὡς ἐν τῇ κλίσει τὸ μὲν φυλάττει τὸ η , τὸ δὲ εἰς ε μεταβάλλει; καὶ προσέτι πόθεν τὸ μὲν προστακτικὸν ἵζε παροξυνεῖ, τὸ δὲ παρῳχημένον ἶζε προπερισπάσει, ἀγνοῶν ὡς τὸ μὲν ἵζω βραχὺ τὸ ι ἔχει, τὸ δὲ ἶζον μακρόν, ὅθεν καὶ προπερισπᾶται κατὰ τὸ κοινὸν ἔθος.

3,1 6 τά τε τῶν διαλέκτων ἰδιώματα δεήσει ἀκριβῶς εἰδέναι· ἐπεὶ πῶς γνώσεται ὅτι παρὰ Δωριεῦσι τὸ «ἐλέγον ἐκεῖνοι» παροξύνεται, τό τε Ἀφρόδιτα παρὰ μὲν Αἰολεῦσι πρὸ δύο ἔχει τὸν τόνον, παρὰ δὲ Δωριεῦσι πρὸ μιᾶς; Τί δ' ἂν εἴποι τις, τὴν περὶ ἐγκλιτικῶν μορίων καὶ περὶ πνευμάτων πραγματείαν μὴ γνοὺς ὡς χρειώδης τῇ προκειμένῃ μεθόδῳ, τίνα τέ ἐστι τὰ ἐγκλινόμενα καὶ πότε ἐγκλίνεται καὶ πότε οὔ, καὶ πότε μὲν τὸ δασὺ πνεῦμα ταῖς λέξεσιν ἐπιτίθεμεν, πότε δὲ τὸ ψιλόν; Ἀναγκαῖον καὶ τὴν περὶ στιγμῶν εἰδέναι πραγματείαν, εἴγε τὰς ὀξυνομένας τῶν λέξεων, εἰ μὴ στιγμὴ μετὰ ταῦτα ἐπιφέροιτο, βαρύνειν χρεών.

3,1 7 ἐν μὲν γὰρ τῷ τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· (Α 84) οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, ἐπειδὴ ἐπιφέρεται στιγμή. ἐν δὲ τῷ καὶ Ἀχιλλεὺς τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ (Η 113) βαρύνομεν τὴν τελευταίαν τοῦ Ἀχιλλεὺς διὰ τὴν σύμφρασιν. Ἀλλὰ καὶ ὁ περὶ συντάξεως λόγος χρειώδης τυγχάνει πρὸς τοῦτο· ἐπεὶ πόθεν εἰσόμεθα ἐν τῷ «Ξάνθῳ ἔπι δινήεντι» (Ε 479) πότερον ἀναστρεπτέον τὴν ἐπί πρόθεσιν ἢ ὀρθοτονητέον, εἰ μὴ ὁ περὶ συντάξεως λόγος διδάξει ἡμᾶς, εἴτε πρὸς τὸ ἐπιφερόμενον ὄνομα τὸ δινήεντι ἡ πρόθεσις φέροιτο εἴτε πρὸς τὸ προηγούμενον τὸ Ξάνθῳ; Ἀναγκαῖόν τε πρὸς τούτοις εἰδέναι ἑκάστην λέξιν ἐπὶ ποίας συλλαβῆς τὸν τόνον ἔχει· ὅπερ ἐν ἓξ μυριάσιν Ἡρωδιανῷ πεπραγμάτευται· τήν τε κατὰ τὴν ὀρθογραφίαν ἀκρίβειαν· ἐπεὶ πόθεν τὰ μὲν μηνί καὶ χηνί ὀξύνομεν, τὸ δὲ Ἀτρεῖ καὶ Πηλεῖ, δίφθογγον ἔχοντα ἐπὶ τέλους, περισπῶμεν; καὶ ἁπλῶς εἰπεῖν τὰ ἄλλα σχεδὸν ἅπαντα τούτοις τυγχάνει ὕλη. Ἀλλ' ὅμως νῦν διὰ τοὺς αἰτήσαντας τὰ κεφαλαιωδέστερα τῶν θεωρημάτων, δι' ὧν ἄν τις τὸν δέοντα τόνον ἐπιθείη ταῖς λέξεσι, πειράσομαι παραδοῦναι, προομολογουμένου δηλονότι τοῦ ἐπὶ ποίας ἑκάστη λέξις συλλαβῆς δέχεται τὸν τόνον, καὶ ἐπὶ τῆς τῶν χρόνων δυνάμεως πότε ἐκτείνονται καὶ πότε συστέλλονται, καὶ προσέτι πότε διὰ μόνου τοῦ ι καὶ πότε διὰ τῆς ει διφθόγγου γράφειν ἑκάστην δεήσει λέξιν· πλὴν ὅτι, ἐφ' ὧν ἂν δυνατὸν εἴη συντομώτερον ὡς πρὸς τὴν παροῦσαν ἐπαγγελίαν καὶ τὴν συλλαβὴν διδάξαι, ἐφ' ἧς δεήσει τὸν τόνον τιθέναι, καὶ τοῦτο παραδώσομεν ἐκ τῶν τοῦ πολυμαθεστάτου Ἡρωδιανοῦ ἐν ἐπιτομῇ ἐκλεξάμενοι τὰ χρησιμώτερα.

3,1 8 ἄρξομαι δὲ ἐντεῦθεν, παρήσω δὲ καὶ τὰ τῶν διαλέκτων ἰδιώματα. Ἡ ὀξεῖα ἢ ἐν τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο· πρὸ τριῶν δὲ οὐκ ἔτι. τὸ γὰρ Μήδεϊα παρὰ Σαπφοῖ πεπονθὸς παραιτούμεθα, ὅτι τὴν ει δίφθογγον διεῖλεν. Ἡ περισπωμένη ἢ ἐν τέλει τίθεται ὡς ἐπὶ τοῦ Ἑρμῆς, Ἡρακλῆς. ἢ πρὸ μιᾶς τοῦ τέλους ὡς ἐπὶ τοῦ κῆπος, μῶλος· πρὸ δύο δὲ οὐκέτι. οὐδέ ποτε ἐπὶ βραχείας τίθεται περισπωμένη οὔτε ἐπὶ θέσει μακρᾶς, ἀλλὰ μόνον ἐπὶ φύσει μακρῶν. Ἰστέον δὲ ὅτι πᾶσα βραχεῖα συλλαβὴ πρὸ βραχείας ἢ πρὸ μακρᾶς ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον ὀξύνεται· τοῦ μὲν προτέρου φίλος, τοῦ δὲ δευτέρου Ἕκτωρ, ἔρως. πᾶσα συλλαβὴ πρὸ δύο τοῦ τέλους ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον ὀξύνεται, Ὅμηρος, Μενέλαος. Οὐδέποτε, μακρᾶς οὔσης τῆς ἐπὶ τέλους, τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· ἔνθεν τῆς εὐθείας τοῦ Ὅμηρος καὶ αἰτιατικῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ κλητικῆς προπαροξυνομένων, Ὅμηρος Ὅμηρον Ὅμηρε, ἡ γενικὴ καὶ δοτική, τοῦ Ὁμήρου καὶ τῷ Ὁμήρῳ, διὰ τὴν ἐπὶ τέλους μακρὰν παροξύνονται, σεσημειωμένων τῶν Ἀττικῶν, πόλεως, μάντεως. τὸν γὰρ τῶν κοινῶν εὐθειῶν τόνον φυλάττουσι τὰ Ἀττικὰ ἐπὶ πάσης πτώσεως· ὁ ναός ὀξύνεται, διὰ τοῦτο καὶ ὁ νεώς, τοῦ νεώ καὶ αἱ λοιπαὶ πτώσεις ὀξύνονται ὁμοίως. καὶ ἔτι τοῦ Μενέλαος προπαροξυνομένου τὸ Μενέλεως καὶ αἱ λοιπαὶ πτώσεις καὶ οἱ ἀριθμοὶ προπαροξύνονται, κἂν κατὰ γενικὴν μόνην γένηται ἡ ἐπέκτασις ὡς ἐπὶ τοῦ πόλεως καὶ μάντεως. Πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, οἶκος, ἦθος, ὦμος· χωρὶς τῶν διὰ τοῦ ι ἢ θε ἐπεκτεταμένων· ταῦτα γὰρ φυλάττει τὸν τόνον, ἅτε δὴ περιττῆς οὔσης τῆς συλλαβῆς.

3,1 9 παροξύνεται γοῦν τὸ ναίχι καὶ εἴθε καὶ αἴθε. ἔνθεν σημειούμεθα τὸ οὐχί ὀξυνόμενον· τὸ δὲ ἦχι προπερισπᾶται «ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος» (Ε 774). Ἡ αι καὶ οι ἐν τέλει λέξεων κείμεναι, μὴ ἐπιφερομένου συμφώνου, ἐπὶ μὲν τῶν ἄλλων πάντων ἀντὶ βραχείας παραλαμβάνονται, ἐπὶ μέντοι τῶν εὐκτικῶν καὶ τῶν ἐπιῤῥημάτων ἀντὶ μακρᾶς· οἷον τοῦ μὲν πρώτου τὸ Μήδειαι καὶ ἄνθρωποι προπαροξύνονται· ἔτι δὲ καὶ τὸ μοῦσαι καὶ κοῦροι προπερισπᾶται, ὡς τῶν τελευταίων συλλαβῶν βραχειῶν οὐσῶν. εἰ δὲ σύμφωνον ἐπιφέρεται, μακραὶ γίνονται, ὅθεν τοῖς Ὁμήροις καὶ ταῖς Μηδείαις ὁ τόνος καταβιβάζεται καὶ πρὸ μιᾶς τοῦ τέλους ὀξὺς δίδοται· ὁμοίως καὶ ἐπὶ ταῖς μούσαις καὶ κούροις. τὸ μέντοι οἴκοι τοπικὸν ἐπίῤῥημα καὶ οἴμοι σχετλιαστικὸν παροξύνονται· καίτοι, ὅτε ἐστὶν ὄνομα τὸ οἶκοι, προπερισπᾶται. ἀλλὰ καὶ τὸ ποιῆσαι καὶ κεῖραι, εἰ μὲν ἀπαρέμφατον εἴη, προπερισπᾶται· εἰ δὲ εὐκτικόν, παροξύνεται· ὅτε δέ ἐστι τὸ ποίησαι προστακτικῆς μέσης ἀόριστος πρῶτος, προπαροξύνεται.

3,1 10 Πᾶσα ὀξεῖα ἐπὶ τέλους λέξεως οὖσα, εἰ μὴ ἐπιφέροιτο μετ' αὐτὴν στιγμή, πάντως ἐν τῇ συμφράσει κοιμίζεται εἰς βαρεῖαν οἷον «Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα» (Il. 13, 1) τό τε Ζεὺς καὶ ἐπὶ βαρύνεται, ὅτι στιγμὴ μετὰ ταῦτα οὐ τίθεται. Ἰστέον δὲ ὅτι καθ' ἑκάστην λέξιν ἐν μιᾷ συλλαβῇ τίθεμεν ἢ ὀξεῖαν ἢ περισπωμένην, ἐν δὲ ταῖς λοιπαῖς συλλαβαῖς βαρεῖαν· οἷον ἐν τῷ Μὲνέλὰὸς δευτέρα συλλαβὴ ὀξύνεται, αἱ δὲ λοιπαὶ βαρύνονται, καὶ ἐν τῷ ἂλλοῖὸς ἡ μέση περισπᾶται, ἡ δὲ πρώτη καὶ τρίτη βαρύνονται· διὸ καὶ βαρύτονα καλεῖται τὰ παροξύτονα καὶ προπαροξύτονα καὶ προπερισπώμενα, διὸ ἡ τελευταία τούτων βαρύνεται· ἀλλ' ὡς ὁμολογουμένας τὰς τοιαύτας βαρείας ἐῶμεν, διὰ τὸ μὴ καταστίζειν τὰ βιβλία. Ἡ ὀξεῖα οὖν καὶ ἡ βαρεῖα περισπωμένην ποιοῦσιν οἷον φάὸς φῶς, εὐγενέὸς εὐγενοῦς. ἀνάπαλιν δὲ ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα, οἷον ζὼός ζώς, Προὶ̈του Προίτου, κὸΐλου κοίλου· τὸ γὰρ κόϊλος κοῖλος διὰ τονικὸν παράγγελμα περιεσπάσθη. τὸ δὲ ἀδελφιδὲός ἀδελφιδοῦς καὶ τὰ ὅμοια δι' ἕτερον λόγον περιεσπάσθη· τὰ γὰρ εἰς ους ἁπλᾶ πάντα περισπᾶται οἷον βοῦς, χοῦς, πλοῦς. τὰ δὲ σύνθετα βαρύνεται οἷον Μελάμπους, Οἰδίπους, ὅθεν σημειούμεθα τὸ πούς καὶ ὀδούς παραλόγως ὀξυνθέντα.

3,1 11 αἱ δύο βαρεῖαι εἰς βαρεῖαν συναιροῦνται, ὡς τὸ Δημοσθένὲὸς Δημοσθένους. πάλιν τὸ χρύσὲὸς καὶ ἀργύρὲὸς μετὰ τὴν συναίρεσιν περιεσπάσθη διὰ τὸν εἰρημένον κανόνα, ὡς τὰ εἰς ους ἁπλᾶ περιεσπᾶσθαι θέλει. Ταῦτα μὲν οὖν ἱκανὰ τοῖς εἰδόσιν ἐπὶ ποίας συλλαβῆς ἔδει τὸν τόνον τιθέναι. Πολλῆς δὲ οὔσης τούτων διδασκαλίας, ἣν ἡμῖν Ἡρωδιανὸς ἐν τῇ καθόλου παρέδωκε πραγματείᾳ, ὀλίγα ἐξ αὐτῶν τὰ χρειωδέστερα συντόμως ἐκλεξάμενοι παραθήσομεν, ὡς εὐχερεστέραν εἶναι τοῖς στίζειν ἐθέλουσι τὴν τούτου μάθησιν. ΤΑ ΕΙΣ ν .

3,1 12 (1t) ΒΙΒΛΙΟΝ α'. Τὰ εἰς αν λήγοντα ἁπλᾶ ὀνόματα ὀξύνεσθαι θέλει, ἐπ' εὐθείας πτώσεως μὴ τροπὴν ἀναδεξάμενα ἀπὸ τῶν εἰς ην βαρυτόνων οἷον Παιά ν , Ἰά ν , Δωριά ν , Ἀλκμά ν , τιτά ν , πελεκά ν . Ἀθαμάν ἔθνος Ἰλλυρίας, οἱ δὲ Θετταλίας. Ἀζάν ὁ Ἀρκάδος καὶ ἔθνος τῆς Ἀρκαδίας· λέγεται δὲ καὶ Ἀζήν. Ἀγριάν ἔθνος Παιονίας, ὡς ἐν τῷ ἐπιγράμματι γραφέντι εἰς Νεοπτόλεμον Πισίδην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτως εἰμὶ Νεοπτόλεμος Κρεσσοῦ, τρισσῶν δ’ ἕν’ ἀδελφῶν ἔστασαν Τλωεῖς, κῦδος ἐμὸν δόρατος· οὕνεκεν ὢν Πισίδας καὶ Παίονας ἠδ’ Ἀργιᾶνας καὶ Γαλάτας τόσσους ἀντιάσας στόρεσα. Αἰνιάν ἔθνος Πεῤῥαιβῶν· λέγονται δὲ καὶ Αἰνιεῖς.

3,1 13 ἐκαλοῦντο δὲ καὶ Μηλιεῖς οἱ αὐτοί. Στράβων δὲ ἐν τῇ ἑνδεκάτῃ (p. 508) φησὶν ἐν τῷ Πόντῳ Αἰνιᾶνας ἄλλους εἶναι, οὓς καλεῖσθαι νῦν Παρσίους· καὶ εἰ μὲν ἀπὸ τοῦ κυρίου Αἰνιᾶνος γέγονεν, εὔλογος ἡ ὁμοφωνία αὐτοῦ ὡς τὸ Τρώς καὶ Ἀχαιός μὴ ὁμοφωνοῦντος τοῦ Τευκρός καὶ Γραικός· εἰ δὲ παρὰ τὴν πόλιν Αἰνίαν, εὑρεθήσεται πρότερον Αἴνιος ὡς τῆς Λυκίας Λύκιος, εἶτα διὰ τὴν ὁμοφωνίαν τοῦ ποταμοῦ πρὸς διάκρισιν Αἰνιάν γενέσθαι ὡς μέγιστος μεγιστάν καὶ ἄλκιμος Ἀλκιμάν ὅθεν ὁ Ἀλκμάν, καὶ νέος νεάν, ὅθεν ἡ νεᾶνις καὶ νεανίας. Ἀκαρνάν ὁ ἥρως καὶ ἔθνος πρὸς τῷ Ἀχελῴῳ. Ἀρκτάν ἔθνος Ἠπειρωτικόν. Ῥιανὸς ἐν τετάρτῃ Θεσσαλικῶν. Ἀτιντάν υἱὸς Μακεδόνος καὶ ἔθνος Μακεδονίας. Βραχμάν Ἰνδικὸν ἔθνος σοφώτατον, οὓς καὶ Βράχμας καλοῦσιν. Γινδάν ἔθνος Λιβυκὸν λωτοφάγον «οἳ τὸν καρπὸν μόνον τοῦ λωτοῦ ἐσθίοντες ζῶσι» (Herodot. IV, 177). Δυμάν ὁ υἱὸς Αἰγιμίου, ὡς Ἔφορος α′ «Αἰγίμιος γὰρ ἦν τῶν περὶ Οἴτην Δωριέων βασιλεύς. ἔσχε δὲ δύο παῖδας Πάμφυλον καὶ Δυμᾶνα καὶ τὸν τοῦ Ἡρακλέους Ὕλλον ἐποιήσατο τρίτον, χάριν ἀποδοὺς ἀνθ’ ὧν Ἡρακλῆς ἐκπεπτωκότα κατήγαγεν.» καὶ Δυμᾶνες φυλὴ Δωριέων. Ἐγχελᾶνες ἔθνος Ἰλλυρίας οἱ αὐτοὶ τοῖς Ἐγχελέαις, ὡς Μνασέας ἐν γ′ τῶν περιηγήσεων. λέγεται δὲ Ἐγχελέαι ἀπὸ τοῦ Ἐγχελέης ἢ Ἐγχελέας· λέγονται δὲ καὶ Ἐγχελεῖς ἢ ἀπὸ τοῦ Ἐγχελής ἢ ἀπὸ τοῦ Ἐγχελεύς. Εὐρυτάν ἔθνος Αἰτωλικόν. Λυκόφρων «μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεώς» (v. 799). Λυκάν ἐκ τοῦ Λυκάων κατὰ συγκοπὴν ὡς Ἰάν ἐκ τοῦ Ἰάων. Φαράν πόλις μεταξὺ Αἰγύπτου καὶ Ἀραβίας. Ἀρετάν ποταμὸς Κροτωνιάδος χώρας παρὰ τὴν Ἀρέταν τὴν γυναῖκα Ἀλκίμου, ἧς περιῤῥεῖ τὸ μνῆμα, ὡς μαρτυρεῖ Φιλοστέφανος. Τὰ εἰς αν σύνθετα ἀπὸ ἁπλῶν ῥητῶν πάντα βαρύνονται οἷον εὐπαία ν , Αἰγίπα ν , Ἑρμόπα ν , Ἀντίπα ν , Εὐήπα ν , Τιτανόπα ν , Αἰνοτίτα ν. τὸ δὲ καρβάν ὀξύνεται καὶ ὅσα μὴ ἀπὸ ἁπλῶν ῥητῶν. Τὰ εἰς αν λήγοντα ἢ καθαρεύειν ἐθέλει ὡς τὸ Παιάν Ἰάν ἢ ἓν ἔχειν σύμφωνον πρὸ τοῦ α ὡς τὸ Λυκάν Ἀζά ν, ἢ δύο καὶ ταῦτα ἢ κατὰ σύλληψιν ὡς τὸ ἰδμάν μεγιστάν ἢ κατὰ διάστασιν ὡς τὸ Πορθάν Πελλάν, οὐδέποτε δὲ τρία· σεσημείωται τὸ Ἀλκμάν ἔχον τρία σύμφωνα καὶ κατὰ σύλληψιν καὶ κατὰ διάστασιν· καὶ δηλονότι πλεονασμὸς ἐγένετο συμφώνου ἐν τῷ ὀνόματι· εἰ γὰρ παρὰ τὴν ἀκμήν ἐγένετο, πεπλεόνακε τὸ λ , εἰ δὲ παρὰ τὴν ἀλκήν, πεπλεόνακε τὸμ · εἰ δὲ παρὰ τὸ ἄλκιμος, ἐν συγκοπῇ γέγονεν· τῷ γὰρ κύριον εἶναι τὸ ὄνομα οὐκ εὐθύνεται ὑπὸ τοῦ σημαινομένου.

3,1 14 Τὰ εἰς αν οὐ παραλήγονται τῇ ει διφθόγγῳ οἷον Ἀλκμά ν , Παιά ν· τὸ γὰρ Ἀργειάν, ἔστι δὲ ὄνομα ὄρους Μεσσηνίας, ἀπὸ τοῦ Ἀργεῖος ἔχει τὴν δίφθογγον. Τὰ εἰς ην λήγοντα μὴ συντεθειμένα ἀπὸ τῶν εἰς ην ῥητῶν, εἰ ἔχοι πρὸ τοῦ ην δασὺ σύμφωνον ἢ ψιλόν, ὀξύνεσθαι θέλει οἷον ἀχή ν , λειχή ν , αὐχή ν , Κηφήν ἀπὸ Κηφέως τοῦ πατρὸς Ἀνδρομέδας ὁ Αἴθιοψ, Ὀρφή ν. in huiuscemodi tamen terminatione (sc. ευς ) quaedam inveniuntur mutatione eus diphthongi in es longam prolata ut Ἀχιλλεύς Achillēs, Περσεύς Persēs, Οὐλιξεύς Ulixēs, in quo Doris sequimur, qui pro Φυλεύς Φύλης, pro Ὀρφεύς Ὄρφης et Ὀρφήν dicunt, pro Τυδεύς Τύδης. Sic Antimachus in I Thebaidos: «Τύδης τ’ Οἰνείδης» et vocatinum in e productam: «τὸν καὶ φωνήσας προσέφης, Οἰνήϊε Τύδη» teste Herodiano, qui hoc ponit in I Catholicorum. similiter Ibycus ὀνομακλυτὸς Ὀρφήν dixit (Priscian. lib. VI c. 92 p. 276 Hertz.). Κωφήν πόλις οὐκ ἄπωθεν Μασσαγετῶν, ἣ καὶ Ἀραχωσία καλεῖται. Τὰ εἰς ην ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ α ἤτοι μόνον ἢ καὶ σὺν ἑτέρῳ φωνήεντι δισύλλαβα ὀξύνεται, εἰ μὴ ἔχοι οὐδετέρου παρασχηματισμὸν οἷον Ἀγή ν , αὐχή ν , ἀτμή ν , ἀπτή ν , ἀκτή ν , ἀδήν ἡ νόσος.

3,1 15 Τὰ εἰς ην λήγοντα ἔχοντα πρὸ τοῦ η τὸ ς ἢ διπλοῦν σύμφωνον μὴ παραληγόμενον τῇ ου διφθόγγῳ ὀξύνεσθαι θέλει, εἰ μὴ παρασχηματίζοιτο οὐδετέρῳ γένει οἷον ἐσσήν ὁ οἰκιστής

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«Μυρμιδόνων ἐσσῆνα» Καλλίμαχος. καμασήν ὁ ἰχθῦς, Δαμασή ν , ἐρσή ν , Αἰζήν, Ταντάλου παῖς, ἀφ' οὗ ἐν Φρυγίᾳ πόλις Αἰζανοί. Ἀζήν ἔθνος τῆς Ἀρκαδίας ὃ καὶ Ἀζάν, ἀζήν ὁ πώγων κατὰ Φρύγας, ἀψή ν . Τροιζήν καὶ ὁ κτιστὴς καὶ ἡ πόλις. εὑρίσκεται γὰρ καὶ πόλεσιν ὁμοφωνοῦντα τὰ τῶν κτιστῶν ὀνόματα· Καμικός Κολοφών Κόρινθος Κῶς Σικυών Κύρνος Λέσβος· οὕτως καὶ Τροιζήν· ἔστι δὲ πόλις Πελοποννήσου· ἔστι καὶ ἄλλη Τροιζήν ἐν Μασσαλίᾳ τῆς Ἰταλίας, ἣν Χάραξ Τροιζηνίδα χώραν φησίν. Τὰ εἰς λην λήγοντα ὀξύνεται βαλλήν οὕτως ὁ βασιλεύς, Τελλή ν , Ὠλή ν , σωλή ν , κωλή ν , στελή ν. σεσημείωται τὸ Ἕλλην βαρυνόμενον. Τὰ εἰς ην ἁπλᾶ ἔχοντα δεδιπλασιασμένον σύμφωνον ὀξύνεται ἐσσή ν , ὀσσή ν , Τελλή ν , βαλλήν πλὴν τοῦ Ἕλλην καὶ ὁ ἥρως καὶ τὸ ἔθνος. τὸ δὲ ἄρρην Ἀττικῶς ἀπὸ τοῦ ἄρσην γέγονε. Τὰ εἰς ην κατ' ἐπιπλοκὴν δύο συμφώνων ὀξύνεται, πυθμή ν , Κεβρήν ποταμός, ἀφ' οὗ Κεβρηνία χώρα τῆς Τρῳάδος. Δίδυμος δὲ Κεβρῆνα τὴν πόλιν φησίν—πλὴν τοῦ Ἕκτην, ὃ ἔχει τὴν πρὸ τέλους καὶ διὰ τριῶν συμφώνων Ἔγκτην.

3,1 16 Ἔγκτηνες δὲ ἐλέγοντο οἱ μετὰ τοὺς Ὕαντας τὴν Βοιωτίαν οἰκήσαντες. Τὰ εἰς ην ἔχοντά τι τῶν μέσων πρὸ τοῦ η ὀξύνεται, ὁπότε διχρόνῳ παραλήγοιτο ἢ φύσει μακρᾷ οἷον Ὠγή ν , ἁδή ν , ταγήν ὁ ἀτταγήν, τριβήν ὁ τρίπους. Τὰ εἰς ην ὑπὲρ δύο συλλαβὰς χαίρουσι τῇ ὀξείᾳ οἷον ἀτταγή ν , κορδυλή ν , μαριθή ν , δοθιή ν , ἠλακατήν ὄνομα ἰχθύος κητώδους καὶ κύριον. Ἀραδήν πόλις Κρήτης, Ἀραφήν εἷς τῶν ἑκατὸν ἡρώων καὶ δῆμος Αἰγηΐδος φυλῆς, Κεφαλλήν ἔθνος ἀπὸ Κεφάλου τοῦ Δηϊονέως κληθέν, κεῖται δὲ παρὰ Σοφοκλεῖ ἐν τῷ «ὦ ξεῖνε Κεφαλλήν». γίνεται δὲ παρὰ τὸ Κέφαλος Κεφαλήν ὡς παρὰ τὸ κῶλος κωλήν, μέγιστος μεγιστήν καὶ μεγιστάν. ἡ δὲ παλαιὰ χρῆσις ἅπασα ἔχει τοὺς Κεφαλλῆνας καὶ τὴν Κεφαλληνίαν ἐν δυσὶ λλ —πλὴν τοῦ περπέρη ν. Τὰ εἰς ην ἀπὸ ῥητῶν ἤτοι διαλεγομένων τῶν εἰς ην βαρύνεται οἷον Ἕλλην φιλέλλη ν , Πανέλληνες ὡς Παναχαιοί ἀπὸ μέρους τὸ πᾶν ὡς παρὰ τῷ ποιητῇ «Λέλεγας καὶ Τρῶας ἀναίρειν» (Il. 20, 96). Ἕλληνες γὰρ παρ' αὐτῷ οἱ τὴν Φθιῶτιν Ἑλλάδα κατοικοῦντες «Μυρμιδόνες δὲ καλεῦνται καὶ Ἕλληνες καὶ Ἀχαιοί» (Il. 2, 684), εἴρην μελλείρην, ποιμήν ἀρχιποίμην, αὐχήν ἐριαύχην, ῥήν πολύρρην παρὰ τῷ τὰ Ναυπακτικὰ ποιήσαντι· ἀλλ' ὃ μὲν οὖν ἀπάνευθε θαλάσσης εὐρυπόροιο οἰκία ναιετάασκε πολύρρην, πουλυβοώτης.

3,1 17 τούτου καὶ πληθυντικὸν παρὰ τῷ ποιητῇ (I 154) ἐν δ' ἄνδρες ναίουσι πολύῤῥηνες, πολυβοῦται. Τὰ εἰς μην ὀξύνεται, εἰ μὴ σύνθετα ἀπὸ ἁπλῶν εἴη τῶν εἰς μην , Δαμή ν· ἔστι δὲ Ἀργολικὸς συγγραφεύς. λιμή ν , ὑμή ν , ποιμή ν· ἔστι καὶ Ποιμήν ὄρος τῆς Ποντικῆς, ἀφ' οὗ καταῤῥεῖ ὁ Παρθένιος σχίζων τὴν Ἄμαστριν, πυθμή ν , ἀϋτμή ν. Τὰ εἰς ρην καθαρὸν μὴ ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς τὸ ε φωνῆεν καταλήγουσαν ὀξύνεται, Σειρή ν , Πειρήν καθ' Ἡσίοδον πατὴρ Ἰοῦς, πυρήν, πλὴν τοῦ ἄῤῥη ν. Τὰ εἰς ρην καθαρὸν τῷ ε παραλήγοντα παροξύνεται, Γέρην πόλις καὶ κώμη Λέσβου ἀπὸ Γέρηνος τοῦ Ποσειδῶνος. τὸ ἐθνικὸν ὁμοφώνως, τέρη ν , Θέρην ποταμός, περπέρη ν. Τὰ εἰς ιν δικατάληκτα ἁπλᾶ μὲν ὀξύνεται, δελφίν καὶ δελφίς, Τελχίν καὶ Τελχίς. Τελχῖνες δὲ ἐλέγοντο οἱ Κρῆτες. εἰσὶ δὲ καὶ φθονεροὶ δαίμονες οἰκήσαντες τὴν Ῥόδον· λέγονται δὲ καὶ Τελχῖνες θηλυκῶς αἱ ὑπὸ πληγῆς εἰς θάνατον καταφοραί· ἔστι δὲ καὶ Τελχίς πόλις Αἰθιοπίας πρὸς τῇ Λιβύῃ. Σαλαμίν καὶ Σαλαμίς, Ἐλευσίν καὶ Ἐλευσίς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ἀκτίν καὶ ἀκτίς. Τούτοις ὅμοιον καὶ τὸ Ἀβοριγῖνες ἔθνος Ἰταλικόν, ὡς Ἰόβας ἐν Ῥωμαϊκῆς ἱστορίας πρώτῳ· «μέχρι μὲν οὖν τοῦ Τρωϊκοῦ πολέμου τὴν ἀρχαίαν Ἀβοριγίνων ὀνομασίαν διέσωζον, Λατίνου δὲ βασιλεύσαντος οὕτως προσηγορεύθησαν». τὰ αὐτὰ καὶ Χάραξ. εἰκὸς οἴεσθαί τινας τούτου τὴν κλίσιν ἀπὸ τῆς Ἀβοριγῖνος εὐθείας ὡς Λεοντῖνος Ἀκραγαντῖνος.

3,1 18 ἀλλὰ Διονύσιος ὁ Ἁλικαρνασσεὺς Ἀβοριγῖνες καὶ Ἀβοριγῖσι φησὶν ὡς δελφῖσιν. ἔστι δὲ καὶ ἄλλη κλίσις ἐν χρησμῷ κειμένη, ὃν αὐτὸς παρατίθησιν (I 19). ὡς γὰρ ἀπὸ τοῦ ναῦται ναυτέων, οὕτως Ἀβοριγίναι Ἀβοριγινέων· ἔχει δ' ὁ χρησμὸς οὕτως· στείχετε μαιόμενοι Σικελῶν Σατουρνίαν αἶαν, ἠδ' Ἀβοριγινέων Κοτύλην, οὗ νᾶσος ὀχεῖται, οἷς ἀναμιχθέντες δεκάτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκπέμψατε Φοίβῳ, καὶ κεφαλὰς Κρονίδῃ καὶ τῷ πατρὶ πέμπετε φῶτα. ἀλλ' αὐτὸς τῷ χρησμῷ μὴ πειθόμενος ταῖς προειρημέναις ἐχρήσατο κλίσεσιν. σύνθετα δὲ βαρύνεται, εὐάκτι ν , χρυσάκτι ν , τριγλώχιν ὡς παρὰ Σιμωνίδῃ «τριγλώχιν ὀϊστός» καὶ παρὰ Καλλιμάχῳ «τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ». Τὰ εἰς υν λήγοντα βαρύνεται ἐξαιρέτως παρὰ τοῖς Αἰολεῦσιν, Φόρκυ ν , Πόλτυ ν , Γόρτυν ὄνομα ἥρωος καὶ πόλις Κρήτης, Κότυ ν , Κάπυ ν , μόσυ ν , τέκτυν ὁ τέκτων, κίνδυ ν· οὕτω δὲ ἔφη Σαπφὼ τὸν κίνδυνον· ὁ γοῦν Ἀλκαῖος τὴν δοτικὴν ἔφη τῷ κίνδυνι. Τὰ εἰς ων τοὺς τρεῖς ἐπιδέχεται τόνους, τὰ μὲν γὰρ ὀξύνεται ὡς αἰώ ν, τὰ δὲ βαρύνεται ὡς Πλάτων, τὰ δὲ περισπᾶται ὡς Ξενοφῶ ν. Τὰ εἰς ων ἀρσενικὰ δισύλλαβα παραληγόμενα α βραχεῖ ἢ ε βαρύνεται, μὴ ὄντα περιεκτικά, Φάω ν , Κάω ν , Κρέω ν , Θέω ν , Κλέω ν , λέω ν , Νέω ν , νεών δὲ ὡς περιεκτικόν· ὡσαύτως δὲ καὶ Νεών πόλις Φωκίδος. Ἡρόδοτος ὀγδόῃ (c. 32). Τὰ εἰς ων παραληγόμενα α μακρῷ βαρύνεται, Ἄων ἔθνος Βοιωτίας, Δάων ἔθνος τῆς Ἰνδικῆς ἀπὸ Δάονος, Χάων ἔθνος Ἠπείρου.

3,1 19 Ἑλλάνικος ἱερειῶν Ἥρας τρίτῳ «Ἀμβρακιῶται καὶ οἱ μετ' αὐτῶν Χάονες καὶ Ἠπειρῶται». καὶ ὁ Πρόξενος δὲ καταλέγων αὐτούς φησι· «Χάονες, Θεσπρωτοί, Τυμφαῖοι, Παραυαῖοι, Ἀμύμονες, Ἄβαντες, Κασσωποί». Ἰάω ν , Κατάων ἔθνος Καππαδοκίας, ὡς Στράβων (12 p. 533), Βαγαδάων ἔθνος Καππαδοκίας, Λυκάων ἔθνος Λυκίας τε καὶ Ἰσαυρίας ὁμοφώνως τῷ κτιστῇ, ὀπάω ν , Μαχάω ν , Ποσειδάω ν , Ἀρετάω ν , Ἱκετάω ν , Ἀμυθάων ὁ Κρηθέως. * Τὰ εἰς ων ἀρσενικὰ ὑπὲρ δύο συλλαβὰς παραληγόμενα ε βαρύνεται, ὁπότε μὴ εἴη περιεκτικὰ ἢ μέρος σώματος σημαίνοντα ἢ ὑποκοριστικά, Γελέω ν· Γελέοντες δέ εἰσι φυλὴ παλαιά, μία τῶν τεσσάρων τῶν ἀπὸ Ἴωνος παίδων, Ἀλκμέω ν , Τυφέω ν , Ποσειδέων, ἐξ οὗ Ποσειδῶν συνῃρέθη—τὸ δὲ Ποσειδεών ὄνομα μηνὸς ὀξύνεται— τὸ ἀνδρεώ ν , παρθενεών ἐστι περιεκτικά, τὸ δὲ ἀνθερεών καὶ κενεών μέρος σώματος σημαίνει, καὶ τὸ πορθεώ ν , λυμεώ ν , ἀπατεών ὑποκοριστικά, τὸ δὲ Ἐλεών πόλις τῆς Ταναγρικῆς θηλυκόν ἐστι, ὡς καὶ Μεδεών πόλις, ᾗ συμφωνεῖ τὸ κύριον Μεδεώ ν. τούτῳ δὲ συνηκολούθησε Ξυπετεών ὁ οἰκήτωρ δήμου Ξυπετῆς. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς τὸ η παραλήγοντα βαρύνεται, προπρήω ν , ξυνήω ν , παιήω ν , Ἰήω ν. Τὰ εἰς ιων πατρωνυμικὰ καὶ ἐθνικὰ καὶ ὑποκοριστικὰ βαρύνονται, Κρονίω ν , Πριαμίω ν , Μολίω ν , Αἰολίω ν· οἱ γὰρ τὴν Λέσβον κατοικοῦντες Αἰολεῖς καὶ Αἰολίωνες ὀνομάζονται. Βουπρασίων ὁ Βουπράσιον πόλιν τῆς Ἤλιδος κατοικῶν, λέγεται δὲ καὶ Βουπράσιος καὶ Βουπρασιεύς, Ὠστίων ἔθνος παρὰ τῷ δυτικῷ ὠκεανῷ, οὓς Κοσσίνους Ἀρτεμίδωρός φησι, Πυθέας δὲ Ὠστιαίους «τούτων δ' ἐξ εὐωνύμων οἱ Κόσσινοι λεγόμενοι Ὠστίωνες, οὓς Πυθέας Ὠστιαίους προσαγορεύει».

3,1 20 Ἡφαιστίω ν , Ξενίω ν , Μοσχίω ν , Μελανίω ν , Πορφυρίω ν , Τυραννίω ν. Τὰ διὰ τοῦ ιων ι βραχεῖ παραληγόμενα βαρύνεται, Δίω ν , Ἴων τὸ κύριον καὶ τὸ ἐθνικόν, Ἠμαθίω ν , Ἐνδυμίω ν , Ἠετίω ν , Εὐρυτίω ν , Εὐρυθαλίω ν , Ἀστερίω ν , Δευκαλίω ν , Ἰασίων ὁ πατὴρ Παρίου. Ὠρίω ν. ἔστι δὲ ἀναλογώτερον συστέλλον τὸ ι ὡς παρ' Εὐριπίδῃ «τά τ' ἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι» (Cycl. 213)· ὁ γὰρ ποιητὴς ἐξέτεινε αὐτὸ εἰπὼν «ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει» (Σ 488). σεσημείωται τὸ Κνακιών ὄνομα ποταμοῦ καὶ Ἀσιών, ἔστι δὲ ὄνομα ὄρους· καὶ κυρηβιών, σημαίνει δὲ τὸν καθαρματώδη καὶ τὸ δοθιών τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ἀντὶ τοῦ δοθιήν. Ἔτι καὶ τὰ ἔχοντα ι μακρὸν βαρύνεται, κίω ν , πίω ν , πρίων προσηγορικὸν καὶ ποταμός, Ἐχίων ὃς ἔκτισεν Ἐχῖνον, πόλιν Θεσσαλίας, ἣν Ῥιανὸς «Ἐχίονος ἄστυ» εἶπε, Δηΐω ν , Ἀμφίω ν , Πανδίω ν , Δολίω ν· Δολίονες οἱ τὴν Κύζικον οἰκοῦντες, οὓς Δολιέας εἶπεν Ἑκαταῖος, βραχίω ν. * Τὰ εἰς ιων θηλυκὰ ὀξύνονται, χιώ ν , ἠϊώ ν· ἔστι καὶ πόλις ἐν χεῤῥονήσῳ, ὡς Θουκυδίδης· ἔστι δὲ καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ. Ἑρμιών πόλις Ἀργολίδος· ἐλέγετο δὲ καὶ Ἑρμιόνη ἀπὸ τῆς Ἑρμιόνος γενικῆς ὡς ἀπὸ τοῦ κάλυκος ἡ Καλύκη καὶ τῆς χιτῶνος ἡ Χιτώνη καὶ ἡγεμόνος Ἡγεμόνη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 21 Ἑρμιών δὲ ἐλέγετο ἀπὸ τοῦ τὸν Δία καὶ τὴν Ἥραν ἐνταῦθα ἀπὸ Κρήτης ἀφικομένους ὁρμισθῆναι καὶ τροπῇ τοῦ ο εἰς ε , ὅθεν καὶ ἱερὸν Ἥρας παρθένου ἦν ἐν αὐτῇ· Μεδιών πόλις πρὸς τῇ Αἰτωλίᾳ· Πολύβιος ὀκτωκαιδεκάτῳ. Αὐενιών πόλις Μασσαλίας πρὸς τῷ Ῥοδανῷ, Καβελλιών πόλις Μασσαλίας. Ἀρτεμίδωρος ἐν πρώτῃ γεωγραφουμένων. Κορουιών πόλις Αἰκανῶν ἐν Ἰταλίᾳ. Διονύσιος ι' Ῥωμαϊκῆς ἀρχαιολογίας (c. 24). Ἰβιών πόλις ἐν Αἰγύπτῳ, μᾶλλον δὲ νῆσος. Τὰ εἰς ων πατρωνυμικὰ καὶ ἐθνικὰ τῇ ει διφθόγγῳ παραληγόμενα βαρύνεται, Ἀτρείω ν , Πηλείω ν , Ἀργείω ν , Καδμείω ν , Βακχείω ν , Ἡρακλείω ν , Χαρικλείω ν. * Τὰ εἰς αιων δισύλλαβα βαρύνεται, Μαίων τὸ ἐθνικὸν ὁμωνύμως τῷ κτιστῇ καὶ ποταμὸς περὶ τὴν Ἀσιάδα γῆν ῥέων· καὶ τροπῇ τῆς αι διφθόγγου εἰς η Μήων· Μήονες δὲ ἐκαλοῦντο οἱ Λυδοὶ τὸ παλαιόν, εἶτα Λυδοὶ ἀπὸ Λυδοῦ τοῦ Ἄτυος· τὸ δὲ αἰών ὄνομα χρόνου ὀξύνεται. Τὰ εἰς αιων ὑπερδισύλλαβα, εἰ μὴ εἴη ὀνόματα μηνῶν ἢ ποταμῶν ἢ περιεκτικά, βαρύνονται οἷον Εὐφραίω ν , Αἰγαίω ν , Ἀκταίω ν , Ἀλκμαίω ν , Ἀνταίων, ἀφ' οὗ Ἀνταιούπολις πόλις ἐν Αἰγύπτῳ, καὶ τὸ ἐθνικὸν ὁμοφώνως, Εὐγαίω ν , Καδμαίω ν , Ἀθηναίω ν , εὐαίω ν , δυσαίω ν , ἰσαίω ν.

3,1 22 τὸ δὲ Ἑκατομβαιών ὄνομα μηνός, τὸ δὲ ...... ὄνομα ποταμοῦ, τὸ δὲ ἐλαιών περιεκτικόν. * Τὰ εἰς αυων βαρύνεται, Χαύων χώρα τῆς Μηδίας· Κτησίας ἐν πρώτῳ Περσικῶν «ἡ δὲ Σεμίραμις ἐντεῦθεν ἐξελαύνει αὐτή τε καὶ ἡ στρατιὰ καὶ ἀφικνεῖται εἰς Χαύονα τῆς Μηδίας». καὶ τὸ ἐθνικὸν ὁμοφώνως. * Τὰ εἰς υων δισύλλαβα βαρύνεται, κύων τὸ ζῷον, Μύων πόλις Λοκρῶν ἐν τῇ ἠπείρῳ ἡ καὶ Μυονία· τὸ ἐθνικὸν ὁμοφώνως. Θουκυδίδης δὲ τρίτῃ (101) Μυονέας αὐτούς φησι. Τὰ εἰς υων ὑπὲρ δύο συλλαβὰς καὶ βαρύνεται καὶ ὀξύνεται. καὶ βαρύνεται μὲν ὅσα κλίνεται διὰ τοῦ ω , μὴ συμπίπτοντα πόλεσιν ὡς ἔχει Ἀμφιτρύω ν , Ἠλεκτρύω ν , Ἰχθύω ν , Ἡμικύων, Ἡμίκυνες ἔθνος οὐ πόρρω Μασσαγετῶν καὶ Ὑπερβορέων. Σιμμίας ἐν Ἀπόλλωνι Ἡμικύνων τ' ἐνόησα γένος περιώσιον ἀνδρῶν, τοῖς ὤμων καθύπερθεν ἐΰστρεφέων κύνεος κράς τέτραφε γαμφηλῇσι περικρατέεσσιν ἐρυμνός. τῶν μέν θ' ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τοίγε ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν. καὶ Ἡσίοδος· τὸ δὲ Σικυών ὀξύνεται· ἔστι δὲ πόλις Πελοποννήσου καὶ ὁ κτιστὴς ὁμοφώνως. ὡσαύτως δὲ καὶ Κρεμμυών κώμη Κορίνθου. Εὔδοξος ἐν ἕκτῳ γῆς περιόδου. καὶ Κρομμυών πόλις Λιβύης. Ἑκαταῖος. Τὰ μέντοι κατὰ γενικὴν τρέποντα τὸ ω εἰς ο ὀξύνεται, ἀλεκτρυώ ν , Γηρυώ ν , Κερκυώ ν , Ἀμφικτυώ ν , κελενδρυώ ν , κολοκτρυώ ν. Τὰ εἰς βων δισύλλαβα ἀρσενικὰ βαρύνεται, εἰ μὴ μέρος σώματος δηλοῖ οἷον στίλβω ν , Στίβω ν , τρίβω ν , Στράβω ν , ἄμβω ν , Νάρβων ἐμπόριον καὶ πόλις Κελτική. Στράβων τετάρτῃ (p. 181), Σίρβων λίμνη πλησίον τοῦ Κασίου.

3,1 23 τὸ δὲ βουβών, ὅπερ τινές φασι βομβών, μέρος σώματος δηλοῖ. Μένανδρος ἐν τῷ Γεωργῷ (Mein. fr. Com. p. 886 ed. min.) Βουβὼν ἐπήρθη τῷ γέροντι, θέρμα τε ἐπέλαβεν αὐτόν. ἔστι καὶ Βουβών πόλις Λυκίας. «Βουβών γὰρ καὶ Βάλβουρα πόλεις Λυκίας, ἀπὸ Βαλβούρου καὶ Βουβῶνος· οὗτοι δὲ λῃσταὶ πόλεις ἔκτισαν ὁμωνύμους». Τὰ εἰς βων ὑπερδισύλλαβα ὀξύνεται, Ἀλαβών πόλις Σικελίας καὶ ποταμὸς ὡς Δημήτριος ἐν συνωνύμοις. ἀῤῥαβώ ν. τὸ δὲ Χαρναβῶν περισπᾶται. Σοφοκλῆς Τριπτολέμῳ καὶ Χαρναβῶντος, ὃς Γετῶν ἄρχει τὰ νῦν. Τὰ εἰς γων δισύλλαβα ἀρσενικά, ὁπότε μὴ περιεκτικὴν ἔχοι δύναμιν ἢ διὰ τοῦ ο κλίνοιτο κατὰ τὴν πρὸ τέλους συλλαβήν, βαρύνεται οἷον πώγω ν , Αἴγω ν , Μέγω ν , Γίγων ὁ Αἰθιόπων βασιλεύς, τρίγω ν , Φλέγω ν· τὸ δὲ φηγών καὶ ἀγών ὀξύνονται ὡς περιεκτικά. τὸ δὲ Ὀργών νῆσος πλησίον Τυρρηνίας ὡς τοπικὸν ὀξύνεται. τὸ δὲ πυγών καὶ λαγών καὶ σταγών καὶ τρυγών καὶ γοργών διὰ τοῦ ο κλίνεται. Τὰ εἰς γων ὑπὲρ δύο συλλαβὰς ὀξύνεται καὶ βαρύνεται. καὶ βαρύνεται μὲν ὅσα φυλάττει τὸ ω κατὰ τὴν γενικὴν ἢ διὰ τοῦ ντ κλίνεται, Οὐκαλέγω ν , Πελάγω ν , Ἁρπάγω ν , προάγω ν , Σαλάγγων «μέσφα Σαλάγγωνος ποταμοῦ» (Apollon.

3,1 24 Rhod. IV 334), Ἐρίγω ν , ἀρίγων εἶδος δόρατος ὀξύνεται δὲ τὰ διὰ τοῦ ο κλινόμενα, εἰ μὴ ἀπὸ συνθέτου τοῦ εἰς ος παρώνυμα ὑπάρχοι οἷον Παφλαγών Λαιστρυγών «παλαιότατοι μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγονται ἐν μέρει τινὶ τῆς χώρας (ἤτοι Σικελίας) Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι». Θουκυδίδης ἕκτῃ (c. 2), Πηλαγών ὁ οἰκήτωρ τῆς Πηλαγονίας «Πηλαγόνων ἐλατῆρα» Καλλίμαχος (Hymn. in Iov. v. 3). ἔστι δὲ καὶ ὄνομα κύριον «ὃς τέκε Πηλεγόνα» (Il. Φ 159). ἔοικε δὲ γράφεσθαι τὸ ὄνομα ἐθνικὸν κατὰ τὴν δευτέραν συλλαβὴν διὰ τοῦ α , τὸ δὲ τοῦ ἥρωος διὰ τοῦ ε . ἀρηγών, λέγω δὲ ἐπὶ τοῦ συμμάχου ἀρσενικῶς «ἀρηγόνος ἡμετέροιο», πλὴν τοῦ καταπύγω ν· τὰ γὰρ ἀπὸ συνθέτων εἰς ος παραχθέντα κατὰ τοῦ αὐτοῦ σημαινομένου βαρύνεται, ἄπειρος ἀπείρων, ἄναιμος ἀναίμων, ἄκυμος ἀκύμων, ἔγκυμος ἐγκύμων, ἄσχημος ἀσχήμων. Τὰ εἰς δων δισύλλαβα ὀξύνεται καὶ βαρύνεται· βαρύνεται μέν, ὅσα ἐστὶν διὰ τοῦ ντ κλινόμενα καὶ φυλάττοντα τὸ ω κατὰ τὴν γενικήν, χωρὶς τῶν συνεμπιπτόντων πόλει οἷον κώδω ν , Φαίδω ν , Φείδω ν , Μείδω ν , κλύδω ν , κνώδω ν , Λάδων πατὴρ νύμφης Τελφούσης, ἔστι δὲ καὶ ὄνομα ποταμοῦ, Νέδων ποταμὸς καὶ τόπος τῆς Λακωνικῆς, Κύδων ὁ Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρός, ἀφ' οὗ Κυδωνία, καὶ ὁ πολίτης ὁμοφώνως. Μύνδων ἔθνος Λιβύης. Ἔφορος εἰκοστῷ ὀγδόῳ «Μύνδωνες, οἵπερ εὐγνωμότατοι δοκοῦσιν εἶναι πλουσιώτατοι τὸν βίον». Σάνδων κύριον καὶ πόλις Ἰλλυρίας. Δώδων ποταμὸς Ἠπείρου, Μέδω ν , σπάδω ν , Κόδω ν , χλίδων, οὕτως δὲ λέγεται κόσμος ὁ περὶ τοὺς βραχίονας, ψίδω ν , Κύνδων ὄνομα ποταμοῦ.

3,1 25 τὸ δὲ Σιδών πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίᾳ. ἀλλὰ καὶ Σιδών ἐθνικόν. Ὀξύνεται δὲ τὰ διὰ τοῦ ο μόνον κλινόμενα οἷον Μυγδώ ν , Σαρδών, ὃ τῇ Σαρδοῖ παράκειται ὡς τῇ Πυθώ Πυθών, σινδώ ν , Μαρδών Ἠπειρωτικὸν ἔθνος. Εὔπολις Πόλεσι «καὶ Χαόνων καὶ Παιόνων καὶ Μαρδόνων» (Mein. p. 199 ed. min.), φλεδώ ν , κληδώ ν. τὸ δὲ Ἠδῶνες μεταπέπλασται ἐκ τοῦ Ἠδωνοί· λέγονται δὲ καὶ Ἠδῶναι. Τὰ εἰς δων ὑπὲρ δύο συλλαβάς, εἰ παραλήγοιτο τῷ ο ἢ α ἢ υ , βαρύνεται οἷον ἀνόδω ν , χαυλιόδω ν , Κινάδω ν , Κελάδων, ἔστι δὲ ὄνομα ποταμοῦ, Παμπάδω ν , Κορύδω ν. Τὰ εἰς δων ὑπερδισύλλαβα ὀξύνεται παραλήγοντα τῷ ι ἢ ὀνόματα ὄντα πόλεων ἢ ἐθνικά, Ἀμυδών πόλις Παιονίας «τηλόθεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξίου εὐρὺ ῥέοντος» (Il. 2, 849) καὶ ἥρως, Καλυδών πόλις Αἰτωλίας ἀπὸ Καλυδῶνος Ἐνδυμίωνος ἢ Αἰτωλοῦ υἱοῦ. Ἀβυδών χωρίον Μακεδονίας ὡς Στράβων (7 p. 330). Ἀπιδών ὁ τὴν Ἀπίαν, ὡς οἱ νεώτεροι τὸ Ἄργος φασίν, κατοικῶν. Ἀπιδόνες δὲ καὶ οἱ Ἀρκάδες ἀπὸ Ἀπιδόνος ποταμοῦ ἢ τοῦ υἱοῦ Φορωνέως Ἄπιδος. χελιδών τὸ ὄρνεον καὶ Χελιδών ὁ βάρβαρος, Χελιδόνας γὰρ ἀρσενικῶς τοὺς βαρβάρους Ἴων ἐν Ὀμφάλῃ φησὶν ὡς καὶ Αἰσχύλος τὸ βαρβαρίζειν χελιδονίζειν φησίν. ἔστι δὲ καὶ Χελιδών περὶ τελετῶν γράψας. Μυρμιδώ ν. Τὰ εἰς δων θηλυκὰ ὀξύνεται, ληθεδώ ν , τηκεδώ ν , σηπεδώ ν , ἀηδώ ν , ἀκηχεδώ ν , ἀλθεδώ ν , τυφεδών, ὃ παρὰ τῷ Κυρηναίῳ τὰ δὲ νῦν πολλὴν τυφεδῶνα λεσχαίνεις— ἕνεκα μέτρου τὸ ω ἐφύλαξεν ὡς μελεδῶνο ς , ἀκηδώ ν , ἀλγηδώ ν , ἀχθηδώ ν.

3,1 26 * Τὰ διὰ τοῦ εδων ἀρσενικά τε καὶ θηλυκὰ ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ ὀξύνεται, Μακεδών τὸ ἐθνικὸν ὁμοφώνως τῷ κτιστῇ, σηπεδών τηκεδών καὶ τὰ λοιπά. τὰ δὲ σύνθετα βαρύνεται Λαομέδω ν , Αὐτομέδω ν , Εὐρυμέδων ποταμὸς Παμφυλίας καὶ τόπος πρὸς Ταρσόν. * Τὰ διὰ τοῦ ηδων ἀρσενικὰ καὶ θηλυκὰ ὑπερδισύλλαβα διὰ τοῦ ο κλινόμενα ὀξύνεται, Φαρκηδών πόλις Θεσσαλίας. Θεόπομπος δὲ δ′ Φιλιππικῶν Φαρκαδόνα διὰ τοῦ α φησίν. Τερηδών πόλις ἐπὶ τῇ Ἐρυθρᾷ. Καρχηδών μητρόπολις Λιβύης ἀπὸ Καρχηδόνος Φοίνικος. ἔστι καὶ ἄλλη Καρχηδών πόλις Ἰβηρίας. Χαλκηδών πόλις Βιθυνίας ἡ πρὸς τῷ στόματι τοῦ Πόντου καταντικρὺ τοῦ Βυζαντίου. Μένιππος ἐν περίπλῳ Βιθυνίας «ἀπὸ ἱεροῦ Διὸς οὐρίου καὶ τοῦ στόματος τοῦ Πόντου ἀριστερὰν ἔχοντι τὴν ἤπειρον καὶ ἐπιπλέοντι εἰς Χαλκηδόνα τὴν πόλιν εἰσὶ στάδια ρκ′, ἀπὸ δὲ ταύτης ἕως τοῦ Ἀκρίτου στάδια ξ′». γράφεται καὶ Καλχηδών. εὑρίσκομεν γὰρ διφορουμένην τὴν χρῆσιν. Ἀνθηδών πόλις Βοιωτίας. Ὅμηρος «Ἀνθηδόνα τ' ἐσχατόωσαν» (Il. 2, 508) ἀπὸ Ἀνθηδόνος τοῦ Δίου τοῦ Ἄνθου τοῦ Ποσειδῶνος καὶ Ἀλκυόνος τῆς Ἄτλαντος. συνῴκισαν δ' αὐτὴν Θρᾷκες, ὡς Λυκόφρων «ἀστῷ σύνοικος Θρῃκίας Ἀνθηδόνος» (v. 754) ἢ διὰ τὸ πασῶν ἀνθηροτάτην εἶναι. ἔστι καὶ ἑτέρα πόλις πλησίον Γάζης πρὸς τῷ παραλίῳ μέρει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀσπληδών, πόλις Φωκίδος. Παυσανίας ἐνάτῳ (c. 38, 9)· ἀπὸ Ἀσπληδόνος υἱοῦ νύμφης Μιδείας καὶ Ποσειδῶνος ἢ Πρέσβωνος ἢ Ὀρχομενοῦ. Ὀρχομενοῦ γὰρ υἱεῖς «Ἀσπληδών Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής» (Hesiod. fr. 47 Markscheffel). τὴν δὲ παρ' Ὁμήρῳ τῆς Βοιωτίας φασί. γράφεται καὶ χωρὶς τοῦ α , ἀλλ' οὐ παρ' Ὁμήρῳ. Ἰσσηδών ἔθνος Σκυθικόν. Ἑκαταῖος Ἀσίᾳ. Ἀλκμὰν δὲ μόνος Ἐσσηδόνας αὐτούς φησιν. εὑρίσκεται δὲ ἡ δευτέρα παρ' ἄλλοις διὰ τοῦ ε . λέγονται καὶ Ἴσσηδοι τρισυλλάβως.

3,1 27 ἔστι καὶ Ἰσσηδών πόλις. Τενθρηδών Πρόθου πατήρ. Σαρπηδών ἥρως καὶ πέτρα καὶ ἀκτὴ καὶ νῆσος ὡς παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτίσιν εἴρηται «Σαρπηδὼν ἀκτή». ἐν Τυμπανισταῖς «ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα». καὶ ἡ νῆσος ἰδίως ἐν Ὠκεανῷ Γοργόνων οἰκητήριον οὖσα ὡς ὁ τὰ Κύπρια φησί· τῷ δ' ὑποκυσαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα, αἳ Σαρπηδόνα ναῖον ἐν ὠκεανῷ βαθυδίνῃ, νῆσον πετρήεσσαν. ἀκηδώ ν. —τὸ δὲ Σαρπήδων καὶ Ἀκήδων ὄνομα ποταμοῦ διὰ τοῦ οντος κλινόμενα βαρύνονται «Σαρπήδοντος» (Il. Μ 379). * Τὰ διὰ τοῦ ωδων βαρύνεται, Θερμώδων, ἔστι δὲ ὄνομα ποταμοῦ, Χαλκώδω ν , ἀμφώδω ν , κρατερώδω ν. Τὰ εἰς ζων λήγοντα ἀρσενικὰ βαρύνεται, ὁπότε μὴ εἴη ὑπερδισύλλαβα καὶ πρὸ τέλους ἔχοι μακρὸν τὸ α ἢ πόλει ὁμωνυμεῖ οἷον μείζω ν , Ῥίζων ὁ τοῦ Κάδμου υἱὸς καὶ πόλις Ἰλλυρίας καὶ ποταμὸς ὁμώνυμος, Ὄζων ὄνομα ποταμοῦ, Ἄζων ποταμὸς Λυκίας καὶ παῖς Ἡρακλέους. Ὑψίζων ὄνομα ποταμοῦ, Ἁλίζων ἔθνος. Ὅμηρος «αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον» (Il. 2, 856). Ἔφορος οἰκῆσαί φησι τοὺς Ἁλίζωνας τὴν παραλίαν τὴν μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας κειμένην. εἴρηται δὲ οὕτως ὅτι ἡ γῆ αὐτῶν θαλάσσῃ διέζωσται καὶ οἱονεὶ χερρόνησός ἐστιν, ὑπὸ τοῦ Εὐξείνου τῆς Προποντίδος διεζωσμένη. Ἐπαφρόδιτος δὲ ἀλαζόνας τινὰς εἶναι αὐτοὺς ὑπὸ τῆς εὐδαιμονίας τῆς χώρας ἐπηρμένους τοῦ α εἰς τὸ ι τραπέντος.

3,1 28 ὀλίζω ν· τὸ δὲ Ὀλιζών πόλις Θετταλίας—Ἑκαταῖος Εὐρώπῃ «καὶ Πιτύειαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν» (Il. Β 717)—κλίνεται διὰ τοῦ ω καὶ ὀξύνεται πρὸς ἀντιδιαστολὴν τοῦ «λαοὶ δ' ὑπ' ὀλίζονες ἦσαν» (Σ 519). ὠνομάσθη δὲ ἀπὸ τοῦ μικρὰ εἶναι. Θεσσαλοὶ γάρ, ὡς ἱστορεῖ Δημοσθένης ἐν κτίσεσι, τὸ μικρὸν ὄλιζον καλοῦσι. τὸ δὲ Ἀμαζών ἔχει μακρὸν τὸα · ἔστι δὲ ἔθνος γυναικεῖον πρὸς τῷ Θερμώδοντι, ὡς Ἔφορος. τινὲς ἀπὸ τοῦ ἐστερῆσθαι μαζῶν· ἀπίθανος δὲ ἡ τοιαύτη ἐτυμολογία· Θεμισταγόρας δὲ καὶ ἐν τῇ χρυσῇ βίβλῳ φησίν «ὅτι κατὰ τὴν Ἀλόπην τὴν νῦν καλουμένην Λυκίαν τὴν πρὸς τῇ Ἐφέσῳ γυναῖκες μίᾳ συμβουλῇ τὰ συνήθη ταῖς γυναιξὶν ἔργα ἀπαρνησάμεναι καὶ ζώναις χρησάμεναι καὶ ὁπλισμοῖς τὰ τῶν ἀνδρῶν πάντα ἐπετήδευον· πρὸς δὲ τὰ ἄλλα καὶ ἤμων σὺν αὐταῖς ζώναις, ὅ ἐστιν ἐθέριζον. διὰ τοῦτο καὶ Ἀμαζόνας κεκλῆσθαι τὰς σὺν ταῖς ζώναις ἀμώσαις». ἢ ὅτι τὸν ἕνα τῶν μαζῶν ἔκαιον χάριν τοῦ τοξεύειν ἢ ὅτι μάζαις οὐκ ἐχρῶντο, ἀλλ' ὄφεσι καὶ σκορπίοις καὶ σαύραις καὶ χελώναις. οἱ δὲ ἀπὸ μητρὸς Ἀμαζοῦς. λέγεται δὲ καὶ Ἀμαζών ἀρσενικῶς ὡς παρὰ Καλλιμάχῳ «ἵν' Ἀμαζόνες ἄνδρες ἔωσιν». τὸ δὲ ἀλαζών ὁ ὑπερήφανος μακρὸν ἔχον τὸ α ὀξύνεται· τὸ δὲ ἐπὶ ἔθνους ὁμόρου τοῖς Σκύθαις φυλάττει τὸ ω ἐν ταῖς πλαγίαις πρὸς ἀντιδιαστολήν. Τὰ εἰς θων δισύλλαβα ἀρσενικὰ βαρύνεται, ὁπότε μὴ ἐθνικὰ εἴη ἢ περιεκτικά, μόθων, οὕτω γὰρ οἱ Λακεδαιμόνιοι τὸν οἰκογενῆ δοῦλον καλοῦσιν, οἱ δὲ Ἀθηναῖοι οἰκότριβά φασι, σημαίνει δὲ καὶ εἶδος αἰσχρᾶς καὶ ἀπρεποῦς ὀρχήσεως, Ὄθω ν , Μάθων ὁ Θηβαῖος, πίθων ὁ πίθηκος ὑποκοριστικῶς, Ῥίνθω ν , αἴθω ν , ῥώθω ν , κώθων εἶδος ποτηρίου καὶ τὸ ἐν τῇ συνηθείᾳ ἐφ' ὕβρει λεγόμενον καὶ νῆσος οὐ πόρρω Κυθήρων. Ἀρτεμίδωρος. μάλθων ὁ μαλθακός. Πύθων ὁ δράκων. τὸ δὲ Πυθών πόλις καὶ Σιθών ἐθνικὸν καὶ πιθών καὶ κιθών ὁ χιτών ὀξύνεται.

3,1 29 Τὰ εἰς θων ὑπὲρ δύο συλλαβὰς βαρύνεται, ὁπότε μὴ τόπου ἢ ὄρους ὄνομα ὑπάρχοι, ἢ διὰ τοῦ ντ κλίνοιτο καὶ φυλάττει τὸ ω τῆς εὐθείας, οἷον Φαέθων Φαέθοντος, Περιφλεγέθων Περιφλεγέθοντος, Κιναίθω ν , Ἀγάθω ν , ἐνοσίχθω ν. τὸ μέντοι Μαραθών δῆμος τῆς Λεοντίδος φυλῆς, Ἀργανθών ὄρος Μυσίας ἐπὶ τῇ Κίῳ ἀπὸ Ἀργανθώνης Ῥήσου γυναικός. λέγεται καὶ

Ἀργανθώνη τὸ ὄρος— ἀκανθών ὀξύνεται. τὸ δὲ Ἱπποθῶν περισπᾶται φυλάττον τὸ ω μέγα καὶ διὰ τοῦ ντ κλινόμενον. σημαίνει δὲ τὸν ἀδελφὸν τοῦ Ἀλκαίου. Τὰ εἰς κων δισύλλαβα ἀρσενικά, ὁπότε μὴ εἴη περιεκτικὰ ἢ μέρος σώματος σημαίνει, βαρύνεται, Χάλκω ν , δράκω ν , Κίκων, ἔθνος Θρᾳκικόν, οὐ μακρὰν οἰκῆσαν τῶν Μαρωνειτῶν, ὡς δηλοῖ ...... «Εὐάνθης δ' οἴκησεν ἐν Κικονίῃ, ἵνα Μαρώνεια καλέεται», Δίκω ν , Λάκων, ὃ κατὰ συγκοπὴν λέγεσθαι Ἀπολλόδωρός φησιν ὡς τοῦ Κυδωνιᾶται τὸ Κύδωνες, ἔοικε δὲ πρωτότυπον εἶναι καὶ οὐ συγκοπή. τινὲς δὲ τὸ Λάκων ὑποκοριστικόν φασιν. Καύκων βασιλεύς ἢ ποταμὸς καὶ ἔθνος. Τάρκων, ἀφ' οὗ Ταρκυνία, Σάκων ὄνομα κύριον, Γλαύκω ν , Δόρκω ν , κνάκω ν , ἄκων τὸ ἀκόντιον, ἐξ οὗ τὸ «ἐς δοῦπον ἀκόντων» παρὰ τῷ ποιητῇ (Υ 451), φάλκω ν , μήκω ν , Μίκω ν , Νίκω ν. τὸ δὲ κροκώ ν , πευκώ ν , χαλκών ὡς περιεκτικὰ ὀξύνεται, καὶ τὸ ἀγκών μέρος σώματος καὶ τὸ Ἀγκών πόλις Πικεντίνων ὡς θηλυκόν. ἴσως δὲ βαρύνεται κατὰ τοὺς ἐγχωρίους. καὶ τὸ εἰκώ ν. τὸ δὲ ἑκών μετοχή. Τὰ εἰς κων ὑπὲρ δύο συλλαβὰς ὀξύνεται καὶ βαρύνεται καὶ περισπᾶται. τὰ μὲν οὖν διὰ ντ κλινόμενα καὶ ο ἢ ι ἢ α παραληγόμενα περισπᾶται, Ἱπποκῶ ν , Λαοκῶ ν , Καλλικῶ ν , Δηϊκῶν ὁ Ἡρακλέους, Ἀθηνακῶν ὁ τὰ Σαμοθρᾴκια γράψας.

3,1 30 τὰ μέντοι μὴ οὕτως κλινόμενα καὶ παραληγόμενα τῷ α ὀξύνεται, εἴ ἐστι τοπικώτερα οἷον χαρακώ ν , ἀνθρακώ ν , φαρμακών τὸ βαφεῖον. τοιοῦτο καὶ τὸ γυναικώ ν , Ἑλικών, ὡς τοπικόν. τὸ μέντοι Τριάκω ν , σαλάκων καὶ Αἰολοσίκων ὑγιῶς βαρύνεται. οὐ γάρ εἰσι τοπικά. Τὰ εἰς λων δισύλλαβα βαρύνονται μὴ ὄντα τοπικὰ οἷον δόλων καὶ Δόλω ν , Φίλω ν , Γέλων ὁ Αἴτνης καὶ Ἱμέρου, ἀφ' οὗ Γέλα πόλις Σικελίας, ὡς Πρόξενος ἐν πρώτῃ τῶν περὶ πόρων Σικελικῶν καὶ Ἑλλάνικος. Μόλω ν , Πέλλω ν , Χέλλων Καλλίμαχος «δημεχθέα Χέλλωνα», Τρέλλων, παρὰ Σώφρονι τὸ ὄνομα, Θάλλων ὄνομα κύριον κυνὸς παρὰ Ξενοφῶντι, Σίλλων Ἐπίχαρμος Χορευταῖς, Κάλλων ὁ ἀθλητὴς κατὰ ὑποκορισμόν. Βούλων, ἀφ' οὗ Βοῦλις πόλις Φωκίδος, Ὕβλων, ὃς καὶ Ὕβλος, οἰκιστὴς Ὕβλης πόλεως, Μίλω ν , Χίλω ν , Σόλω ν , Μέλω ν , Μήλων ὁ Ἡρακλῆς, κήλω ν , Κύλω ν , Πύλων τὸ κύριον, τίλω ν , βρίλων ὁ βαλανεύς. τὸ δὲ πυλών καὶ αὐλών καὶ μυλών ὡς τοπικὰ ὀξύνονται. ὁμοίως καὶ Αὐλών πόλις Λακωνικῆς, μία τῶν ἑκατόν. δευτέρα πόλις Ἀρκαδίας. τρίτη πόλις Κρήτης ἢ τόπος. ἔστι καὶ τόπος Ἀραβίας. ἔστι καὶ Αὐλών ὃν ἐπόλισαν Κροτωνιᾶται, ἥτις ὠνομάσθη Καυλωνία—καὶ Βελών πόλις καὶ ποταμὸς ἐν τῇ Βαιτίκῃ τῆς Ἱσπανίας. Τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύνονται μὴ ὄντα περιεκτικά, Ἀσκάλων πόλις Συρίας πρὸς τῇ Ἰουδαίᾳ Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν φησιν ὅτι Τάνταλος καὶ Ἄσκαλος παῖδες Ὑμεναίου. τὸν δὲ Ἄσκαλον ὑπὸ Ἀκιαμοῦ τοῦ Λυδῶν βασιλέως αἱρεθέντα στρατηγὸν εἰς Συρίαν στρατεῦσαι κἀκεῖ παρθένου ἐρασθέντα πόλιν κτίσαι, ἣν ἀφ' ἑαυτοῦ οὕτως ὠνόμασε.

3,1 31 τὰ αὐτὰ καὶ Νικόλαος ἐν τετάρτῃ ἱστοριῶν. Καστάλων μεγίστη πόλις Ὠρητανίας, ὡς Ἀρτεμίδωρος τρίτῳ γεωγραφουμένων. Ἀπόλλω ν , Κεφάλω ν , Ἀτιτάλλω ν. τὸ δὲ ἀμπελών καὶ καμηλών ὡς περιεκτικὰ ὀξύνεται· τὸ Βαβυλών ἀρσενικῶς, ἀφ' οὗ καὶ ἡ πόλις. ἔστι γὰρ κτίσμα Βαβυλῶνος παιδὸς Βήλου παλαίτατον, οὐχ ὡς Ἡρόδοτος ὑπὸ Σεμιράμιδος· ταύτης γὰρ ἦν ἀρχαιοτέρα ἔτεσι χιλίοις δύο, ὡς Ἑρέννιος. ἔστι καὶ ἐν Αἰγύπτῳ πόλις. ὁμοίως καὶ τὸ μιμαλλών θηλυκόν, ἤτοι μαινάς. οὕτω Καλλίμαχος. Τὰ εἰς μων μὴ ὄντα τοπικὰ ἢ ὁπότε μὴ ἐπὶ καιροῦ λαμβάνοιτο ἢ ἔχοι πρὸ τέλους τὸ υ ἐκτεταμένον, βαρύνεται, Ἕρμω ν , Ἄλμων ἢ Σάλμων, πόλις Βοιωτίας, ἣν Ἑλλάνικος Ἄλμον φησὶ καὶ Σάλμον ἐν δευτέρῳ Δευκαλιωνείας, Τίμω ν , Σίμω ν , Ἄμμων, ἀφ' οὗ πᾶσα ἡ Λιβύη Ἀμμωνία ἐκαλεῖτο, ἄκμων καὶ Ἄκμων ὁ Μάνεω, ἀφ' οὗ Ἀκμονία πόλις Φρυγίας ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τρίτῳ περὶ Φρυγίας, καὶ Ἀκμόνιον ἄλσος περὶ Θερμώδοντα, ὡς Φερεκύδης, ἐφ' οὗ μιγεὶς Ἄρης τῇ Ἁρμονίᾳ τὰς Ἀμαζόνας ἔσχεν, ὡς Ἀπολλώνιος ἐν δευτέρῳ (v.

3,1 32

Eulogikon public reading copy · View original HTML at eulogikon.org

994). Λάκμων ἄκρα τοῦ Πίνδου ὄρους, ἐξ ἧς ὁ Ἴναχος καὶ Αἴας ῥεῖ ποταμός, ὡς Ἑκαταῖος ἐν πρώτῳ· ἔστι δὲ παρώνυμον ὡς ἀπὸ τοῦ Λάκμος. Ὄλμωνες κώμη Βοιωτίας. Τέκμων πόλις Θεσπρωτῶν. Ῥήμω ν , Πάμμω ν , Θέμω ν , Βρέμω ν , τέρμω ν , σίρμω ν , Χάρμω ν , τλήμω ν , μνήμω ν , κτήμω ν , στήμω ν , γνώμω ν , ἴδμω ν , φράδμω ν. τὰ μέντοι ὀξυνόμενα τοπικά ἐστιν ὡς λειμώ ν , κευθμώ ν , θημών, ἢ ἐπὶ καιροῦ λαμβάνεται ὡς χειμών, ἢ ἔχει τὸ υ ἐκτεταμένον ὡς Στρυμών ποταμὸς Ἀμφιπόλεως, ἀφ’ οὗ ὁ βορρᾶς «Στρυμονίου βορέαο» (Callim. Del. 26). καὶ δρυμώ ν. καὶ τὸ κρεμών ὀξύνεται. λέγεται γὰρ καὶ δισυλλάβως ἐπὶ τῆς αὐτῆς σημασίας τῷ τρισυλλάβῳ ἀκρεμών. Τὰ εἰς μων ὑπὲρ δύο συλλαβάς, εἰ παραλήγοιτο φύσει ἢ θέσει μακρᾷ βαρύνεται, ἀμύμω ν , ἐγκύμω ν , οἰκτίρμω ν , Ἡγήμω ν , Φιλήμω ν , νοήμω ν , ἀσχήμω ν , εὐσχήμω ν , χαιρήμω ν , ἐλεήμω ν , μελανείμω ν , λευχείμω ν , βαθυλείμω ν. Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς παραληγόμενα α βραχεῖ καὶ μὴ κλινόμενα διὰ τοῦ ο ὀξύνεται· εἰ δέ τι ἐβαρύνθη, ὡς κύριον. καὶ ὀξύτονα μὲν Τελαμών καὶ τὸ κύριον—ἔστι δὲ καὶ πόλις Τυρρηνίας— καὶ τὸ προσηγορικόν, καλαμώ ν , πλαταμώ ν , κεραμών περιεκτικόν. Κεράμων δὲ τὸ κύριον ὡς τὸ Ποτάμω ν , Ἀσάμων καὶ Νασάμων βασιλεύς τις, ἀφ’ οὗ οἱ Νασαμῶνες τὸ Λιβυκὸν ἔθνος, ὡς Καλλίμαχος, ὀξυτόνως πρὸς ἀντιδιαστολὴν ἴσως τοῦ κυρίου ὀνόματος. Ἀβράμων ἀφ’ οὗ Ἰουδαῖοι Ἑβραῖοι, ὥς φησι Χάραξ. τὸ δὲ τεράμων βαρύνεται ὡς διὰ τοῦ ο κλινόμενον. Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν βραχεῖαν, ὑπεσταλμένης τῆς εἰς τὸ α παραλήξεως, εἰ μὲν κλίνοιτο διὰ τοῦ νος , τῆς πρὸ τέλους οὔσης διὰ τοῦ ο , ὀξύνεται· εἰ δὲ διὰ τοῦ ω , βαρύνεται, οἷον ἐπὶ τῶν βαρυτόνων Ἀρτέμω ν , Πολέμω ν , Διδύμω ν· τῶν δὲ ὀξυτόνων τὸ δαιτυμώ ν , Ἰτυμώ ν , κηδεμώ ν , ἀκρεμώ ν , ἡγεμώ ν , ἐθνυμών τὸ ἔθνος.

3,1 33 Τὰ διὰ τοῦ αιμων βαρύνεται, δαίμω ν , αἵμων καὶ Αἵμων υἱὸς μὲν Χλώρου τοῦ Πελασγοῦ, πατὴρ δὲ Θεσσαλοῦ, ὡς Ῥιανὸς καὶ ἄλλοι, καὶ τὸ ἐθνικὸν ὁμοφώνως. ἀναίμω ν . Εὐαίμων πόλις Ὀρχομενίων. Θεόπομπος ἐν ἕκτῳ. κακοδαίμω ν , εὐδαίμω ν , Λακεδαίμων πόλις ἐνδοξοτάτη τῶν ἐν Πελοποννήσῳ. Λακεδαίμονα δὲ οἱ μὲν ἀπὸ Λακεδαίμονος ἢ ὅτι μετὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον συνθεμένων κλήρῳ διανείμασθαι τὴν χώραν καὶ τὸν λαχόντα πρῶτον ταύτην λαβεῖν καὶ Λαχεδαίμονα κληθῆναι ἢ Λαβεδαίμονα, διότι ἀγαθῷ δαίμονι ταύτην ἔλαβεν ὁ λαβὼν ἢ ἔλαχεν ὁ λαχὼν καὶ τροπῇ τοῦ β ἢ τοῦ χ εἰς κ Λακεδαίμονα. ἔστι δὲ καὶ ἑτέρα Λακεδαίμων Κύπρου μεσόγειος. ὀλβιοδαίμω ν , Παλαίμω ν. Τὰ εἰς νων ἔχοντα σύμφωνον ἐν ἐπιπλοκῇ ἢ κατὰ διάστασιν, εἰ μὴ ἐπὶ πόλεως εἴη ἢ περιεκτικά, βαρύνεται, Μέμνων, ἔστι καὶ ἔθνος Αἰθιοπικόν, ὃ ἑρμηνεύεται, ὡς ὁ πολυΐστωρ φησίν, ἀγρίους τινὰς ἢ μαχίμους καὶ χαλεπούς. Δάφνω ν , Ἅγνω ν . Σέννων ἔθνος Γαλατικόν. τὸ Κραννών ὡς ἐπὶ πόλεως ὀξύνεται· ἔστι δὲ πόλις τῆς Θεσσαλίας τῆς Πελασγιώτιδος ἐν τοῖς Τέμπεσιν, ὡς Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄλλη πόλις Ἀθαμανίας ἀπὸ Κραννῶνος τοῦ Πελασγοῦ. καὶ τὸ δαφνών ὡς περιεκτικόν. Τὰ εἰς νων ἔχοντα τὴν πρὸ τέλους εἰς φωνῆεν ἢ φωνήεντα λήγοντα, εἰ μὴ τοπικὰ εἴη, βαρύνεται καὶ τὰ διὰ τοῦ ονος ὡς ἀμείνων ἀμείνονος ἢ διὰ τοῦ οντος κλινόμενα ὡς Ὑγιαίνων ὄνομα ἰατροῦ, Αὐξάνων κύριον ἰσοδυναμεῖ τοῖς διὰ τοῦ ωνος οἷον Κόνω ν , Σίνω ν , Ζήνω ν , Φαίνω ν , Μόνων ὃς ἔκτισε Μακτώριον πόλιν Σικελίας, Σήνων ὁ κατοικῶν Σήνην πόλιν Κελτικήν, Φλάνων πόλις καὶ λιμὴν πρὸς τὴν Ἄψυρτον νῆσον.

3,1 34 Ἀρτεμίδωρος. τὸ δὲ κανών ὀξύνεται, προσέτι πλατανών καὶ ξενών καὶ παρθενώ ν. Τὰ εἰς ξων ὁπότε μὴ εἴη ἐπίθετα, δυνάμενα καὶ ἐπὶ θηλυκοῦ τάττεσθαι, βαρύνονται, ἄξω ν , Πράξω ν , Δέξω ν , Αἴξω ν , Σάξων ἔθνος οἰκοῦν ἐν τῇ Κιμβρικῇ χερρονήσῳ. τὸ μέντοι δραξών ὀξύνεται ὡς ἐπιθετικόν. ἔστι δὲ λέξις Σικελική. σημαίνει δὲ τοὺς κατ’ ἀγορὰν τῶν ἀλφίτων ἢ τοὺς ἄλλων τινῶν δραττομένους καὶ ἁρπάζοντας, οὓς Ἐρατοσθένης καπηδάλους καλεῖ. ὡσαύτως καὶ πραξώ ν. οὕτως δὲ τοὺς ἀγοραίους καλοῦσι Σικελοί. Τὰ εἰς πων μὴ ὄντα περιεκτικὰ βαρύνεται, Λάμπω ν , δράπων ὁ δραπέτης ὑποκοριστικῶς, Δούπων εἷς τῶν Κενταύρων, Κάπω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν , Σάπω ν , Ἕρπω ν , Λύπω ν , σκήπω ν , θεράπω ν , Ἵππων τὸ κύριον, ἱππών περιεκτικὸν καὶ Λιβύης πόλις. Πολύβιος δωδεκάτῳ. πέπων τὸ πεπαινόμενον, πεπών περιεκτικόν. τὸ δὲ Εὐρυπῶν ὡς διὰ τοῦ ωντος κλινόμενον περισπᾶται. Τὰ εἰς ρων μετ’ ἐπιπλοκῆς συμφώνου, εἰ μὴ εἴη περιεκτικὰ ἢ ἐπὶ πόλεων ἢ διὰ τοῦ ντ κλινόμενα, βαρύνεται, Ἄβρω ν , ἄφρω ν , πρόφρω ν , σώφρω ν , Σώφρω ν , Λυκόφρω ν , περίφρω ν , δαΐφρω ν , ἐχέφρω ν , μεγαλόφρω ν , μάκρων καὶ Μάκρωνες οἱ κατοικοῦντες τὴν Εὔβοιαν, ἣ καὶ Μάκρις, οἱ νῦν Σάννοι. Στράβων δωδεκάτῃ (p. 548) καὶ Ἑκαταῖος Ἀσίᾳ καὶ Ἀπολλόδωρος δευτέρῳ. τὸ μέντοι ἀντρώ ν , λουτρώ ν , ἀνδρών ὡς περιεκτικὰ ὀξύνεται.

3,1 35 ὡς δὲ ἐπὶ πόλεων ὀξύνονται Ἀντρών «ἀγχίαλον τ’ Ἀντρῶνα» (B 697). Ζηνόδοτος δὲ γράφει «ἀγχιάλην Ἀντρῶνα». καὶ εἰ θηλυκῶς δὲ λέγεται ἡ Ἀντρών, κοινόν ἐστι τὸ ὄνομα, ὁ ἀγχίαλος καὶ ἡ ἀγχίαλος. λέγεται δὲ διὰ τὸ τοὺς τόπους ἀντρώδεις εἶναι. Ἑβρών πόλις ἐν Χαναναίᾳ τῆς Ἰουδαίας. Ἰστρών, ὡς Ἀρτεμίδωρός φησιν Ἴστρον, πόλιν Κρήτης. τὸ δὲ Δεξικρῶν καὶ Ἑρμοκρῶν παιδοτρίβης τις ἱστορεῖται ὡς διὰ τοῦ ντ κλινόμενα περισπᾶται. Τὰ εἰς ρων μὴ παραληγόμενα τῇ οι ἢ αι διφθόγγῳ, εἰ μὴ τοπικὰ εἴη ἢ πόλει ὁμωνυμεῖ, βαρύνονται, Θήρω ν , Νέρω ν , γέρω ν , Τρήρω ν , Χάρω ν , Χείρων Χείρωνος ἐπὶ τοῦ Κενταύρου καὶ χείρων χείρονος τὸ συγκριτικόν. Μάρω ν , Νάρων ποταμός, Σάρων τόπος Τροιζῆνος, πτέρω ν , Πέρω ν , Φέρω ν , Ἱέρω ν , Ἀχέρω ν , εἴρω ν , ἀπείρω ν , Ὑπείρω ν , Σκίρω ν , Μύρω ν , Πύρω ν. τὸ δὲ οἰρών, οὕτως δὲ ἡ χάραξις τοῦ ἀρότρου, καὶ σφαιρών καὶ Χαιρών ὄνομα κύριον. τοῦτον δὲ μυθολογοῦσιν Ἀπόλλωνος καὶ Θηροῦς, ὡς Ἑλλάνικος δευτέρῳ ἱερειῶν Ἥρας—διὰ τὰς διφθόγγους. καὶ τὸ προθυρώ ν , θυρώ ν , ἀχυρώ ν , Πλευρών ἥρως καὶ πόλις Αἰτωλίας, Βραυρών ἥρως καὶ δῆμος τῆς Ἀττικῆς, Τιταρών, ἥρως καὶ πόλις Θετταλίας, ἣν Τίταρον Λυκόφρων (v. 904) φησί, Κιθαιρών ὡς τοπικὰ ἢ πόλει ὁμώνυμα. Τὰ εἰς σων ἀρσενικὰ καὶ θηλυκά, εἰ μὴ ἐθνικὰ εἴη ἢ ἐπὶ πόλεων ἢ περιεκτικά, βαρύνεται, Παύσω ν , Θράσω ν , Γράσων, καὶ γράσω ν , καύσω ν , μάσσων καὶ Μάσσων ποταμὸς ἐν Πελοποννήσῳ, κρείσσω ν , πάσσω ν , Πράσων εἷς τῶν Αἰγύπτου παίδων, Κτήσω ν , Μύρσω ν , Λεύσων ὄνομα κυνός, Γλίσω ν , Ἰάσω ν , Τελέσω ν , Ὀνάσω ν , Τυλίσω ν .

3,1 36 Αὔσων ὃς ἐκ Καλυψοῦς ἐγεννήθη τῷ Ἄτλαντι. τὸ δὲ Αὐσών ὁ Ἰταλός, Λυκόφρων «κτείνουσιν αὐτὸν Αὐσόνες Πελλήνιοι» (v. 922) ὡς ἐθνικὸν ὀξύνεται. Αἴσων ὁ Ἰάσονος πατήρ. τὸ δὲ Αἰσών πόλις Θεσσαλίας, ἣν Φερεκύδης Αἰσωνίαν φησί, καὶ τὸ Ὀλοοσσών πόλις Μαγνησίας. Ὅμηρος «πόλιν Ὀλοοσσόνα λευκήν» (B 739) ὀξύνεται ὡς ἐπὶ πόλεων. καὶ τὸ κισσών ὡς περιεκτικόν. τὸ δὲ Συλοσῶν ὡς διὰ τοῦ ντ κλινόμενον περισπᾶται. Τὰ εἰς των μὴ περιεκτικὰ ἢ ἐθνικὰ διὰ τοῦ ο κλινόμενα βαρύνεται· εἰ δέ τι ὀξυνθῇ, τοῦτο διαστολὴν ἀνεδέξατο βαρυνομένου, Πλούτω ν , Πλάτω ν , Κράτω ν , Κρίτω ν , Γίτω ν , Βίτω ν , Τρίτων ποταμὸς μέγας ἐν Αἰγύπτῳ· ἔστι δὲ ἕτερος Βοιωτίας, Μύτων ὁ Ποσειδῶνος καὶ Μυτιλήνης καὶ ὁ Μυτιληναῖος, Μέτω ν , γείτω ν , τέκτω ν , Σπάρτων ὁ Φορωνέως, Βάτων ὁ Ἀμφιαράου ἡνίοχος. τὸ δὲ Κρότων, ὅτε τὸν κτιστὴν ἢ τὴν πόλιν—ἔστι δὲ Ἰταλίας εὔσημος παρὰ τὸ Ῥήγιον καὶ ἑτέρα Τυρρηνίας μητρόπολις—ἢ τὸ ὄρος σημαίνει, ὅθεν ὁ Αἴσαρος ῥεῖ ποταμός, βαρύνεται, τὸ μέντοι ἐπὶ τοῦ φθαρτικοῦ τῶν κυνῶν (B 738) ὀξύνεται. καὶ τὸ χιτών τὸ ἱμάτιον ὀξύνεται πρὸς ἀντιδιαστολὴν τοῦ κυρίου καὶ ποταμοῦ. τὸ Ἀρίστω ν , Ἑκάτω ν , Χαρίτω ν , Μελίτω ν , ἀχίτω ν , χαλκοχίτω ν , ἀρχιτέκτων βαρύνονται. τὸ δὲ κοιτών καὶ προκοιτώ ν , ἱστώ ν , προβατών ὡς περιεκτικὰ ὀξύνεται, οἷς ἠκολούθησε καὶ τὸ Πλατανιστών ὄνομα ποταμοῦ.

3,1 37 τὸ δὲ Βιστών ὡς διὰ τοῦ ο κλινόμενον ἐθνικὸν ὀξύνεται. ὁμοφωνεῖ δὲ τῷ κτιστῇ Βιστόνι τῷ Ἄρεος καὶ Καλλιρρόης τῆς Νέστου. ἀδελφὸς δὲ ἦν Ὀδομάντου ἢ Ἠδωνοῦ. ἔνιοι δὲ Παίονος τοῦ Ἄρεος παιδός. Τὰ εἰς φων ἀρσενικὰ σύνθετα διὰ τοῦ ντ κλινόμενα περισπᾶται, Ἀγλαοφῶ ν , Ξενοφῶ ν , Ἀντιφῶ ν , Δημοφῶ ν , Εὐρυφῶν Ὁμήρου υἱός, Νικοφῶν ὁ κωμικός, Ἀριστοφῶν, ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βελλεροφόντης κατά τινας Βελλεροφῶ ν , Κτησιφῶν κύριον καὶ πόλις Ἀσσυρίας. Τὰ εἰς φων ἀρσενικὰ μὴ διὰ τοῦ ντ κλινόμενα βαρύνεται, Τρύφω ν , Σόφω ν , σίφω ν , Ξίφων ὄνομα κυνός, κύφω ν. τὸ δὲ Κολοφών πόλις, ᾗ ὁμοφωνεῖ τὸ τοῦ κτιστοῦ ὄνομα, καὶ Τολοφών, πόλις Λοκρῶν τῶν Ὀζολῶν, καὶ κατηφών ὀξύνεται ὡς θηλυκά. τὸ δὲ Τυφῶν περισπώμενόν ἐστι δικατάληκτον. λέγεται γὰρ καὶ Τυφῶς. Τὰ εἰς χων δισύλλαβα ἀρσενικὰ βαρύνονται μὴ ὄντα μηνῶν ὀνόματα, Βρύχων ὄνομα ποταμοῦ, Τύχων ὁ Ἑρμῆς καὶ δαίμων περὶ τὴν Ἀφροδίτην καὶ κύριον, Σπέρχων ὄνομα κυνός, Τάρχων πατὴρ Τηλέφου. τὸ δὲ γλήχων ὤφειλε βαρύνεσθαι· εἰ δὲ θηλυκὸν καὶ διὰ τοῦ β , ὀξύνεται. τὸ δὲ παχών ὀξύνεται, ὄνομα μηνὸς παρ’ Αἰγυπτίοις ὄν. τὸ δὲ Πολυσπερχῶν διὰ τοῦ ντ κλινόμενον περισπᾶται. Τὰ εἰς ων ἀρσενικὰ ἐν τέλει ἔχοντα τὸν τόνον καὶ διὰ τοῦ ντ κλινόμενα περισπᾶται, Ξενοφῶ ν , Ἱπποκῶ ν , Δημοφῶ ν , Ἀντιφῶ ν , ἀμνοκῶ ν.

3,1 38 σεσημείωται τὸ Ποσειδῶν καὶ ταῶν καὶ Τυφῶν περισπώμενα μέν, οὐ μέντοι διὰ τοῦ ντ κλινόμενα. καὶ τὸ μὲν Ποσειδῶν ἔχει τοιαύτην ἀπολογίαν. οὐδὲν περισπώμενον εἰς δων λήγει. τὸ δὲ Ποσειδῶν ἔχει τὸ δ πρὸ τοῦ ω . τῶν μὲν εἰς ων περισπωμένων γίνεται διαίρεσις διὰ τοῦ ο , τοῦ δὲ Ποσειδῶν οὐ διὰ τοῦ ο , ἀλλ’ ἢ διὰ τοῦ ε ἢ διὰ τοῦ α οἷον Ποσειδέων καὶ Ποσειδάων· οὐκ ἄρα περισπᾶται. τὰ εἰς ων περισπώμενα οὐ παραλήγεται φύσει μακρᾷ οἷον Κτησιφῶν Δεξικρῶν. τὸ δὲ Ποσειδῶν φύσει μακρᾷ παραλήγεται, ὥστε οὐ περισπώμενον. οὐδὲν περισπώμενον ἀποκόπτεται κατὰ γενικὴν πτῶσιν, τὸ δὲ Ποσειδῶν ἐξεκόπη παρ’ Ἀριστίᾳ Ποσειδῶ. Πάλιν τῶν εἰς ων περισπωμένων ὁμόχρονος ἡ κλητικὴ τῇ εὐθείᾳ· ὁ Ξενοφῶν ὦ Ξενοφῶν ὁ Κτησιφῶν ὦ Κτησιφῶν. τοῦ Ποσειδῶνος δὲ οὐχ ἡ αὐτὴ κλητική, ὁ Ποσειδῶν γὰρ καὶ ὦ Πόσειδον διὰ τοῦ ο μικροῦ, ὥστε οὐ περισπώμενον. οὐδὲν περισπώμενον ὑπὲρ δύο συλλαβὰς τρέπει τὸ ω εἰς α παρ’ Αἰολεῦσιν. τὸ δὲ Ποσειδῶν ἐγένετο Ποσίδαν. οὐκ ἄρα περισπώμενον. ἰδοὺ οὖν κατὰ ἑπτὰ τρόπους καὶ κανόνας δείκνυται τὸ Ποσειδῶν μὴ περισπώμενον, λέγω δὲ ἀπὸ ληγούσης, ἀπὸ διαιρέσεως, ἀπὸ κλίσεως, ἀπὸ παραληγούσης, ἀπὸ ἀποκοπῆς, ἀπὸ κλητικῆς καὶ ἀπὸ διαλέκτου. εἰ δὲ περισπώμενον οὐκ ἔστι, δηλονότι ὀξύνεται. καὶ γὰρ εἰς δων πολλὰ ὀξύτονα Χελιδών Μυρμιδών. τὰ δ’ εἰς δων λήγοντα διὰ ο κλίνεται, χωρὶς εἰ μὴ παραλήγοιτο τῷ υ οἷον Καλυδών Ἀμυδών. εἴπερ οὖν ὀξύτονον τὸ Ποσειδῶν, ἔδει διὰ τοῦ ο κλίνεσθαι. οὐ κλίνεται δέ. οὐκ ἄρα ὀξύτονον. Δῆλον οὖν, ὅτι κατὰ ταῦτα πάντα μονῆρές ἐστι τὸ ὄνομα οὔτε τοῖς ὀξυνομένοις τὴν αὐτὴν ἀκολουθίαν σῶζον οὔτε τοῖς περισπωμένοις. Ἀλλ’ ἔστιν εἰπεῖν, ὅτι Ποσειδέων παροξυτόνως παρ’ Ἴωσι λέγεται ὁ θεός. ἐκ δὲ τούτου τοῦ Ποσειδέων συνῃρέθη Ποσειδῶν. ἐκ ταύτης οὖν συναλοιφῆς δείκνυται περισπώμενον. ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰς περισπωμένην συνέρχονται. —τὸ δὲ Τυφῶν καὶ ταῶν οὐκ ἐκλίθη διὰ τοῦ ντ , ἐπεὶ καὶ ἑτέραν ἔσχε κατάληξιν· Τυφῶς γὰρ καὶ ταῶς διὰ τοῦ ς . Τὰ εἰς ων θηλυκὰ μὴ ἐπὶ πόλεων κατηγορούμενα ὀξύνεται, ὁπότε μὴ διὰ τοῦ ω κλίνεται, χιώ ν , λαγώ ν , τρυγώ ν , σταγώ ν , γοργώ ν. τὸ δὲ τρήρω ν , μήκω ν , γλήχων βαρύνονται φυλάττοντα τὸ ω ἐπὶ τῆς γενικῆς.

3,1 39 Τὰ εἰς ων δισύλλαβα ἐπὶ πόλεων ὀξύνονται· εἰ δέ τι βαρυνθῇ, ἑτέρῳ χαρακτῆρι ἢ διαστολῇ σημαινομένου, Ἠϊώ ν , Πλευρώ ν , Πυθώ ν , Σιδώ ν , Γυρτών πόλις Θεσσαλίας καὶ Περραιβίας, ἣν Ὅμηρος Γυρτώνην καλεῖ ὡς Ἰτώνην καὶ Ἴτωνα, ἀπὸ Γύρτωνος τοῦ Φλεγύου ἀδελφοῦ, ὅστις αὐτὴν ἔκτισεν. Αἰσώ ν . Δερτών πόλις Λιγύρων, Κρηστών πόλις Θρᾴκης παρ’ Ἡροδότῳ (I 57)· λέγεται καὶ Κρηστώνη Λυκόφρων (v. 937) «ὁρμοκωτῆσαι τόν τε Κρηστώνης θεόν». Κραννώ ν , Νεώ ν. τὸ Ἴτων πόλις Θεσσαλίας βαρύνεται ὡς ἑτέρῳ κανόνι ὑποπεσόν—καθόλου γὰρ τὰ εἰς των δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται, μὴ ὄντα τοπικά. πρόσκειται μὴ ὄντα τοπικὰ διὰ τὸ κοιτώ ν. τὰ δὲ ἄλλα βαρύτονα. Πλούτω ν , γείτω ν , Τρίτω ν , Κρίτω ν , Βίτω ν. ἐκτέταται δὲ ποιητικῶς τὸ «Ἰτωνά τε μητέρα μήλων» (B 696). οἱ δὲ ἐγχώριοι ὀξυτόνως αὐτήν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασιν Ἰτών· τινὲς δὲ Σιτῶνα αὐτήν φασι διὰ τὸ σιτοφόρον. λέγεται δὲ καὶ ἡ Ἴτωνος ἀπὸ Ἰτώνου ἥρωος, ἀφ' οὗ καὶ Ἰτωνία ἡ Ἀθηνᾶ, ἥτις καὶ Ἰτώνη. σεσημείωται τὸ Σούλμων πόλις Σικελίας. τὸ δὲ Κρότων διαστολὴν ἔχει σημαινομένου. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἐπὶ πόλεων ὀξύνεσθαι θέλει, εἰ μὴ εἰς λων λήγοι, ἔχοντα πρὸ τοῦ τέλους α , ἢ ἔννοιαν συνθέσεως ἔχοι, Ἐλεώ ν , Μεδεών Βοιωτικὴ πόλις. καὶ Φωκικὴ ἑτέρα. Στράβων ἐνάτῃ (p. 410. 423). ἐκλήθη δὲ ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου καὶ Ἠλέκτρας. ἔστι καὶ τῆς Ἠπείρου πόλις καὶ κώμη .... Πετεών πόλις Βοιωτίας, Πορφυρεών πόλις Φοινίκη, Μεδιώ ν , Σικυώ ν , Βαβυλώ ν. σεσημείωται τὸ Ἀσκάλων καὶ Καστάλων βαρύτονα ὡς εἰς αλων ληγόμενα· τὸ δὲ Εὐαίμων πόλις Ὀρχομενίων καὶ τὸ Λακεδαίμων βαρύνεται ὡς ἔχοντα ἔννοιαν συνθέσεως.

3,1 40 Τὰ εἰς ων περιεκτικὰ ἢ μέρος σώματος σημαίνοντα καὶ τοπικὴν ἔχοντα ἔννοιαν ὀξύνεται, ἀγώ ν , ἀγκώ ν , φηγώ ν , πιθώ ν , κροκώ ν , πευκώ ν , χαλκώ ν , πυλώ ν , αὐλώ ν , μυλώ ν , κευθμώ ν , δρυμώ ν , δαφνώ ν , ξενώ ν , ἱππώ ν , πεπώ ν , ἀντρώ ν , λουτρώ ν , ἀνδρώ ν , θυρώ ν , κισσώ ν , κοιτώ ν , ἱστώ ν , χαρακώ ν , ἀνθρακώ ν , φαρμακώ ν , γυναικώ ν , ἀμπελώ ν , καμηλώ ν , καλαμώ ν , πλαταμώ ν , κεραμώ ν , πλατανώ ν , παρθενώ ν , ἀχυρώ ν , προβατώ ν , ἐλαιώ ν , ἀνδρεώ ν , ἀνθερεώ ν , κενεώ ν , κυκεώ ν , πυλεώ ν , ξενεώ ν , λουτρεώ ν , περιστερεώ ν , παρθενεώ ν , λαυρεώ ν , οἰνεών καὶ Οἰνεών Λοκρίδος λιμήν. Θουκυδίδης τρίτῃ (c. 95. 102). Μαραθώ ν , Ἀργανθώ ν , Ἑλικώ ν , Κιθαιρώ ν. Τὰ εἰς ων ὀνόματα μηνῶν ἢ χρόνων ὀξύνεται, Ἑκατομβαιώ ν , Μεταγειτνιώ ν , Βοηδρομιώ ν , Πυανεψιώ ν , Μαιμακτηριώ ν , Ποσειδεώ ν , Γαμηλιώ ν , Ἀνθεστηριώ ν , Ἐλαφηβολιώ ν , Μουνυχιώ ν , Θαργηλιώ ν , Σκιροφοριών, μῆνες τῶν Ἀθηναίων, παχών ὄνομα μηνὸς παρ' Αἰγυπτίοις, αἰώ ν , χειμώ ν , πλειών ὁ ἐνιαυτός. Τὰ εἰς ων σύνθετα, ἀπὸ ἁπλῶν συντεθειμένα ῥητὰ ἀπὸ βαρυτόνων βαρύνονται, Ἀνακρέω ν , Χαμαιλέω ν. τὰ δὲ ἀπὸ περισπωμένων περισπῶνται, φιλοξενοφῶ ν , φιλοκτησιφῶ ν. καὶ τὰ ἀπὸ ὀξυτόνων φυλάττει τὴν ὀξεῖαν, φιλομακεδώ ν , ἱππαλεκτρυώ ν. Τὰ εἰς ων ὀξύτονα δισύλλαβα καὶ μονοσύλλαβα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον, ὁπότε μὴ σχέσει τοπικῇ ἥνωται, ὡς ἔχει τὸ κατὰ συνήθειαν, προκοιτώ ν , προπυλώ ν , προθυρώ ν. τὰ δὲ ἄλλα ἀναβιβάζουσι τὸν τόνον οἷον βαθυλείμω ν , εὐλείμω ν , ἀχίτω ν , μακραίω ν , αὐτόχθω ν. Τὰ εἰς ιων λήγουσαι μετοχαὶ δισύλλαβοι ὀξυτονούμεναι καὶ ὀνόματα κύρια γινόμενα μετατιθέασι τὸν τόνον οἷον Ἀμφίω ν , Ὑπερίων, τὰ δὲ κοινὰ τῷ γένει φυλάττουσι τὸν τόνον, περικτιώ ν , ἀμφικτιώ ν , ἰθυκτιών, ὧν καὶ βραχεῖα ἡ παραλήγουσα.

3,1 41 * Τὰ εἰς ων συγκριτικὰ πάντα βαρύνεται, μείζω ν , ὀλίζω ν , κρείσσω ν , ἥσσω ν , θάσσω ν , ἐλάττω ν , ἀμείνω ν , χερείων χείρω ν , πλείω ν , μείω ν , ἀρείω ν , βελτίω ν , ἡδίω ν , γλυκίω ν , κακίω ν , βραχίων εἴτε ἐπὶ τοῦ συγκριτικοῦ εἴτε ἐπὶ τοῦ μέρους σώματος, οὐδὲ γὰρ λέγομεν βραχιών ὀξυτόνως, ὡς λέγουσιν ἐν τῇ συνηθείᾳ, ἀλλὰ βραχίων βαρυτόνως. ΠΕΡΙ ΤΩΝ ΕΙΣ ξ ΚΑΙ ΕΙΣ ρ ΚΑΙ ΕΙΣ ας ΛΗΓΟΝΤΩΝ ΟΝΟΜΑΤΩΝ.

3,1 42 ΒΙΒΛΙΟΝ β′. Πᾶν ὄνομα εἰς αξ λῆγον ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένον, καὶ μίαν συλλαβὴν φυλάττοι τοῦ ῥήματος καὶ ἐπιθετικὸν ὑπάρχοι, μὴ ἐθνικόν, κόραξ, ἔστι καὶ Κόραξ ὄρος μεταξὺ Καλλιπόλεως καὶ Ναυπάκτου. Πολύβιος εἰκοστῷ· κόλα ξ , φύλα ξ , ἄνα ξ , βόα ξ , νέα ξ , φένα ξ , κόρδα ξ , ἅρπα ξ , κέκρα ξ , λάλα ξ , λάτα ξ , χάραξ, ἔστι καὶ Χάραξ Ἀλεξάνδρου τόπος περὶ Κελαινὰς τῆς Φρυγίας, ἔνθα Ἀλέξανδρος ὁ τοῦ Φιλίππου ἐστρατοπεδεύσατο. ἔστι καὶ Καρίας ἄλλη πόλις Χάραξ ἡ νῦν Τράλλις. ἔστι καὶ ἄλλος Χάραξ ἐμπόριον μέγιστον, ἐν τῷ τῆς Νικομηδείας κόλπῳ πλησίον αὐτῆς. ἔστι καὶ ἄλλος τόπος τῆς Ποντικῆς. Ἄταξ ποταμός, Μίμαξ ἔθνος Λιβυκόν. Φίλιστος Σικελικῶν ὀγδόῳ. Μύλαξ ἔθνος Ἠπειρωτικόν. Λυκόφρων (v. 1021) «Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὄρος». Νύραξ πόλις Κελτική. Ἑκαταῖος Εὐρώπῃ. Ῥύνδαξ ποταμὸς μεταξὺ Φρυγίας καὶ Ἑλλησπόντου ὁ καὶ Ῥύνδακος. Κάσταξ πόλις Ἰβηρίας. Μάρμαξ ἔθνος Αἰθιοπικόν· Ἑκαταῖος Ἀσίᾳ. Θόρναξ ὄρος τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λακωνικῆς. Νικόλαος δ′. Ἄμβραξ καὶ Ἄμπραξ ὁ παῖς Θεσπρωτοῦ τοῦ Λυκάονος. Τάμβραξ πόλις Παρθυαίων. ὄμφα ξ , φόρτα ξ , Φαία ξ· Ἑλλάνικος Ἱερειῶν α′ «Φαίαξ ὁ Ποσειδῶνος καὶ Κερκύρας τῆς Ἀσωπίδος, ἀφ’ ἧς ἡ νῆσος Κερκύρα ἐκλήθη, τὸ πρὶν Δρεπάνη τε καὶ Σχερία κληθεῖσα». καὶ τὸ ἐθνικὸν ὁμοφώνως. θώρα ξ· ἔστι καὶ πόλις Αἰτωλίας καὶ Μαγνησίας, οἴα ξ , πλούτα ξ , βώμα ξ , κνώδα ξ . Νῶραξ ὁ Ἐρυθείας καὶ Ἑρμοῦ ὡς Παυσανίας, πῖδα ξ , κλῖμα ξ , λεῖμα ξ , βῶλα ξ , μεῖρα ξ , Γῦνα ξ , Γῦλαξ, εἰσὶ δὲ ταῦτα κύρια ὀνόματα, σαῦσαξ, φασὶ δὲ εἶναι τοῦτο ὄσπρεον, σχίδα ξ , αὖλα ξ , θρῖδα ξ , καύα ξ , ἀσπάλα ξ , ἱέρα ξ , Ἐπιδαύρα ξ , Τεκτόσαξ ἔθνος Γαλατικόν. εὕρηται καὶ Τεκτοσάγης εὐθεῖα καὶ Τεκτοσάγαι· ὡς γὰρ Καππάδοκος Καππαδόκης, οὕτω Τεκτόσαγος Τεκτοσάγης. ὀρθία ξ , θυμέλα ξ , Ἀχαρνοφαία ξ , λινοθώρα ξ , Σαμόθρᾳ ξ , Ἱππῶνα ξ , Ἀρχεάνα ξ , χαρτοφύλα ξ , φιλάρπα ξ , ἐριβῶλα ξ , πολυπῖδα ξ. τὰ δὲ ἀπὸ ῥήματος συγκείμενα ὀξύνεται ἀποσφά ξ , διασφά ξ , βλεφαροσπάξ καὶ φιτροβαστάξ καὶ νεκροβαστά ξ.

3,1 43 τὸ δὲ Ἄσφαξ βαρύνεται ὡς ἐθνικόν. μή τις δὲ Ἄσφαξ τὸ ἔθνος καὶ τὸ Ἄτραξ τὸ κύριον σύνθετον οἰηθείη. ἁπλᾶ γάρ ἐστιν. καὶ τὸ μὲν Ἄσφαξ ἐστὶν ἔθνος ἐποικίσαν τὴν Κύπρον. ὁ δὲ Ἄτραξ Πηνειοῦ καὶ Βούρας παῖς, ἀφ’ οὗ πόλις Θεσσαλίας κτισθεῖσα ἐκλήθη Ἄτραξ καὶ Ἀτρακία. καὶ τὸ ἐθνικὸν Ἄτραξ ὁμοφωνεῖ τῇ πόλει. Λυκόφρων (v. 1309) «καὶ δευτέρους ἔπεμψαν Ἄτρακας λύκους». Τὰ εἰς εξ ὀνόματα βαρύνεται, Λέλε ξ , Βέρεξ ἔθνος μεταξὺ Ἰνδίας καὶ Αἰθιοπίας ὡς Τιμοκράτης ὁ Ἀδραμυττηνός, ἐπίτε ξ , ἀγχίτε ξ , πινυτάλεξ καὶ εἴ τι ὅμοιον. Τὰ εἰς οξ ὀνόματα βαρύνονται· σπάνια δέ εἰσιν· Ἀλλόβροξ, ἔθνος Γαλατικόν· Πολύβιος δὲ διὰ τοῦ ι αὐτοὺς καλεῖ Ἀλλόβριγας καὶ ὡσαύτως δὲ οἱ πλείους, Ἀπολλόδωρος δὲ διὰ τοῦ υ Ἀλλόβρυγας, Χάραξ δὲ διὰ τοῦ ο Ἀλλόβρογας. ἴσοξ ποιός τις ἰχθῦς, ἄλο ξ, παρὰ δέ τισιν αὖλαξ, πρὸς τούτοις δὲ καὶ τὸ Καππάδοξ ἔθνος τῇ Κιλικίᾳ πρόσχωρον. τοῦτο δὲ λέγεται καὶ Καππάδοκος—οὕτως καὶ ὁ κτιστὴς εἴρηται ὑπὸ Μενάνδρου—καὶ Καππαδόκης. Ἡρόδοτος δέ φησιν (I 72). Τὰ εἰς ιξ βαρύνεται· φοῖνι ξ· ἔστι δὲ καὶ κύριον Φοῖνιξ Ἀγήνορος παῖς ἢ Ποσειδῶνος καὶ Λιβύης, ᾧ ὁμοφωνεῖ τὸ ἐθνικόν. ἔστι καὶ φρούριον Καρίας οὐ πολὺ ἀπέχον Ῥόδου. καὶ ποταμός ἐστι Φοῖνιξ. βέμβι ξ , Τέμμιξ ἔθνος πρῶτον οἰκῆσαν ἐν Βοιωτίᾳ. Λυκόφρων «Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι» (v. 644), πέμφι ξ , τέττι ξ , σκάνδιξ λάχανόν τι ποιόν, πέρδι ξ , χοῖνι ξ , Κίλιξ τὸ κύριον καὶ τὸ ἐθνικόν, Αἶθιξ ἔθνος. ἐν Θετταλίᾳ δ’ ᾤκουν ἐν τῷ Πίνδῳ ὄρει· Μαρσύας δὲ μέσον τῆς Τυμφαίας καὶ Ἀθαμανίας κεῖσθαί φησι τὴν χώραν. Ἕρνιξ ἔθνος Λατίνων. Διονύσιος ὀγδόῳ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας. Θρέϊξ καὶ Θρῆϊξ καὶ κατὰ συναλοιφὴν Θρῆξ, ἆϊ ξ , κῶδι ξ , ἦλι ξ , πάλλι ξ , μάστι ξ , χάλι ξ , χόλι ξ , ἕλι ξ , κύλι ξ , ἄδδιξ μέτρον τετραχοίνικον, Μαγίστριξ ἔθνος τῶν Ταυρίσκων τοῖς Γερμανοῖς ὁμοροῦν.

3,1 44 μῆνιγξ τὸ προσηγορικὸν καὶ νῆσος περὶ τὰς Σύρτεις καὶ πόλις. ὄστλιγξ ὃ παρὰ μὲν Ἀπολλωνίῳ καὶ Φιλητᾷ διὰ τοῦ α , σάλπιγ ξ , σύριγ ξ· σημαίνει τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν καὶ πάθος καὶ τὴν δορατοθήκην. ἔστι δὲ κατὰ μίμησιν τοῦ γινομένου ἤχου. ὄρνιξ οἱ Δωριεῖς λέγουσι τὸ ὄρνις. ὁμοίως δὲ καὶ τὰ σύνθετα Λιβοφοῖνι ξ , ὁμόστι ξ , σύμμι ξ , ὁμῆλι ξ , καλλίθρι ξ , πολυᾶϊ ξ , κορυθᾶϊ ξ. Τὰ εἰς υξ βαρύνεται, εἰ μὴ ἔχοι ἔννοιαν περιεκτικήν· αἶθυξ ὁ εὐκίνητος παρὰ τὸ αἰθύσσω, ἔστι δὲ καὶ ὄνομα ἔθνους καὶ κύριον. βαῖβυ ξ , δοῖδυ ξ , θρᾶνυξ ἐπὶ τοῦ θρόνου παρὰ Κορίννῃ, θρῆνυξ ἐπὶ τοῦ αὐτοῦ καὶ ἔστιν ἡ χρῆσις παρ’ Εὐφορίωνι ἐν Πολυχάρει, ἶβυ ξ, ἔστι δὲ εἶδος ὀρνέου, ἶδυξ ἐπὶ τῆς ἴκτιδος ὡς Ἀλέξανδρος ὁ Μύνδιος, κῆρυ ξ , Κῆϋ ξ , κῶδυξ ἐπὶ τοῦ κωδύου, Νᾶρυ ξ· ἔστι δὲ πόλις Λοκρίδος θηλυκῶς λεγομένη, τινὲς δὲ Ναρύκιον τὴν πόλιν φασίν· λέγεται καὶ Ναρύκη. βαῖτυξ ἡ βδέλλα, ἧλυξ ἡ σκιά, πῶϋγ ξ . Βέβρυξ, ἔστι δὲ ἔθνη δύο τὸ μὲν πρὸς τῷ Πόντῳ ἐν τῇ Ἀσίᾳ, τὸ δὲ πρὸς τοῖς Ἴβηρσιν ἐν τῇ Εὐρώπῃ. περὶ δὲ τοῦ ἐν Ἀσίᾳ διάφοροι γεγόνασι δόξαι, ὅτι ἀπὸ Βέβρυκος ἢ Βεβρύκης καὶ ἄλλοι ἄλλως. βόμβυξ αὐλοῦ τι εἶδος καὶ ζῷον, ἀφ’ οὗ τὰ βομβύκινα ὑφάσματα, κατὰ Λάκωνας δὲ στάμνον δηλοῖ. Σάμβυξ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κύριον· ἔστι δὲ καὶ ποταμὸς καὶ ἔθνος. Ἄμπυξ κύριον ὄνομα καὶ κόσμος ἤγουν κεφαλοδέσμιον καὶ τροχός. Ἔρυξ ὁ ἥρως ὁ Ἀφροδίτης καὶ Βύτου καὶ ἡ πόλις Σικελίας παρὰ τῷ Ἐρατοσθένει ἀρσενικῶς. Ἄδρυξ πόλις Συρακουσίων, ἀρσενικῶς λεγομένη «ἔφυγον εἰς τὸν Ἄδρυκα». Φίλιππος ὁ ἱστορικός φησιν. ἄμβυ ξ , Γάνυξ ὁ Γανύκτωρ παρὰ τῷ Ἐρατοσθένει, κάλυ ξ· θηλυκῶς δὲ λέγεται καὶ σημαίνει τὸ καλούμενον ῥόδον. ψάλυ ξ· τινὲς δὲ τὰς ψυχὰς ἐδέξαντο σημαίνειν τὴν λέξιν, Δίδυμος δέ φησιν τοὺς ἀσθενεῖς σπινθῆρας δηλοῦν τὴν λέξιν· ἔστι δὲ ἀπὸ τοῦ φεψάλυξ καὶ κατ’ ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς.

3,1 45 ἄντυ ξ , βλέκυξ ἡ φλυαρία, ὄρτυ ξ , ὄρυ ξ , κόκκυ ξ , Μόρτυξ βασιλεὺς Κερκυραίων, φάρυ ξ. γράφεται δὲ χωρὶς τοῦ γ ἡ εὐθεῖα καὶ ἡ γενικὴ δι’ ἑνὸς γ «φάρυγος δ’ ἐξέσσυτο οἶνος» (Od. ι 373). μαρτυρεῖ δὲ τῇ δι’ ἑνὸς γ γραφῇ τῆς φάρυγος καὶ τὸ φαρύγεθρον· ἔστι καὶ αἱ Φαρύγαι τόπου ὄνομα. καὶ ἀρσενικῶς μὲν παρὰ Δωριεῦσι, θηλυκῶς δὲ παρὰ Ἀθηναίοις λέγεται. στόνυ ξ . ὄνυ ξ , ἴυγ ξ , λάρυγ ξ , στόρθυγ ξ· σημαίνει δὲ πᾶν εἰς ὀξὺ λῆγον. Ἰᾶπυ ξ· ἔστι δὲ ἔθνος, Ἰᾶζυξ ἔθνος Εὐρωπαῖον, σπινθάρυ ξ . ταρβάλυξ ὁ ταρακτικός, πομφόλυ ξ . ἀμάρυγξ ἐπὶ ἀκτῖνος καὶ λαμπηδόνος καὶ ὄφεως· ὡσαύτως δὲ καὶ τὰ σύνθετα· Κολοῖφρυ ξ , ἐπῆλυ ξ , καταῖτυ ξ , τανυπτέρυ ξ , διῶνυ ξ , μονῶνυ ξ , μῶνυ ξ , ἀκρόνυ ξ , εἰνάνυ ξ , ἔννυ ξ . μεσόνυξ εἷς τῶν πλανήτων παρὰ τοῖς Πυθαγορείοις· μέμνηται Στησίχορος. διῶρυ ξ , τετρῶρυ ξ , πρόφυ ξ , πρόσφυ ξ , ἄζυ ξ , δίζυ ξ , σύζυ ξ , ὁμόζυ ξ. —Τὸ δὲ πτερύξ σεσημείωται ὑπὸ Ἀριστάρχου ὀξυνθὲν διὰ τὸ ἐννοίας περιεκτικῆς εἶναι· οὕτω γάρ, φησίν, ἀνέγνωμεν ἐν τῇ Β ῥαψῳδίᾳ (v. 316) «πτερύγος λάβεν ἀμφιαχυῖαν». οἱ δὲ ἄλλοι προπαροξύνουσιν τὸ πτέρυγος ὡς ὄρτυγος. Τὰ εἰς ηξ μὴ ὄντα σύνθετα ἐπιθετικὰ βαρύνεται, μύρμη ξ· ἔστι δὲ καὶ κύριον Μύρμηξ ἡ Ἐπιμηθέως γυνή, σκώλη ξ , νάρθη ξ , κάχλη ξ , ἀλώπη ξ . Ζάρηξ πόλις Λακωνικὴ πρὸς τῇ θαλάσσῃ καὶ ἥρως Ἀθηναῖος, ὡς Παυσανίας ἐν πρώτῳ (c. 38, 4) «ἔστι καὶ Ἱπποθόωντος ἡρῷον, ἀφ’ οὗ τὴν φυλὴν ὀνομάζουσι καὶ πλησίον Ζάρηκος». Ζαύηξ ἔθνος Λιβύης. Ἡρόδοτος δʹ (c. 193). «Ζαύηκος ἔθνος» Ἑκαταῖος ἐν περιηγήσει Ἀσίας. πήληξ καὶ Πήληξ δῆμος τῆς Λεοντίδος φυλῆς καὶ ὁ δημότης. ὁ δὲ δῆμος πληθυντικῶς λέγεται, ἑνικῶς δὲ τὰ τοπικὰ ἐν Πήληκι εἰς Πήληκα.

3,1 46 Τὰ εἰς ηξ σύνθετα παρὰ ῥῆμα ὀξύνεται, εἰ ἐπιθετικὰ εἴη, βουπλή ξ , κωμοπλή ξ , κυματοπλήξ καὶ κυμοπλή ξ , μεθυπλή ξ , οἰστροπλή ξ , παραπλή ξ , λαοπλή ξ , ἀκανθοπλή ξ , βουπλή ξ , μολυβδοτήξ, ὅ τινες βαρύνουσι παραλόγως. τὸ ὕσπληξ καὶ ἀντίπηξ βαρύνεται, ὅτι οὐκ ἐπιθετικά. τὸ δὲ χηναλώπηξ καὶ αὐτὸ βαρύνεται ὡς τὸ χαμαισκώλη ξ , λεοντομύρμη ξ. Τὰ εἰς ωξ ὀξύνεται, ὅσα μίαν συλλαβὴν ἔχει ἐπὶ τέλους ἐν τῇ συνθέσει, ἀρρώ ξ , ἀπορρώ ξ , κυαμοτρώ ξ , γραμματοτρώ ξ , θυλακοτρώ ξ , ἀπτώ ξ , πολυπτώ ξ , κυμορρώξ · τὸ δὲ θηροδίω ξ , αἰγοδίωξ βαρύνεται ὡς δύο φυλάξαντα συλλαβὰς ἐν τῇ συνθέσει. * Μόνον εἰς αιξ δισύλλαβον τὸ γύναι ξ. τοῦτο δὲ πλαγίαν μὲν ἔχει, εὐθεῖαν δὲ οὔ. τὰ γὰρ εἰς αιξ λήγοντα ἢ ἀρσενικοῦ μόνου γένους εἰσὶν οἷον Θρᾷξ καὶ ἐὰν ὦσι θηλυκοῦ γένους, πάντως καὶ ἀρσενικοῦ εἰσιν οἷον ὁ Γραίξ καὶ ἡ Γραίξ, ὁ αἴξ καὶ ἡ αἴξ. ἐπειδὴ οὖν καὶ τὸ γύναιξ οὐκ ἠδύνατο ἀρσενικοῦ γένους εἶναι, ἡ γὰρ σημασία κωλύει, τούτου χάριν ἡ γύναιξ εὐθεῖα ἐπιλέλοιπεν, ᾗ συνεπιλείπεται καὶ ἡ ἐντελὴς κλητική. τὸ γὰρ γύναι, καθὰ καὶ τὸ «Ζεῦ ἄνα» (Γ 351) λείπεται διπλοῦ τοῦ κατ’ ἀναλογίαν. ἐν δὲ τῇ συνθέσει, ἐπειδὴ γίνεται ἀρσενικοῦ γένους, ἀναδέχεται τὴν εἰς αιξ κατάληξιν οἷον «ὡς ὢν ἄπαις τε κἀγύναιξ κἀνέστιος» παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι (fr. 4 Nauck). βαρύνεται δέ. Περὶ τῶν ληγόντων εἰς ρ . Τὰ εἰς αρ ὑπὲρ μίαν συλλαβὴν εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ βαρύνεται, μάκα ρ , δάμα ρ , Ἄραρ τις λέγεται ποταμός, ὡς παρ’ Ἐρατοσθένει, καὶ ἐπίγραμμα ἔχον οὕτως μισγόμεθ’ ἀλλήλων ὡς Ἄραρος Ῥοδανός.

3,1 47 Ἰνσόβαρ ἔθνος Κελτικὸν πρὸς τῷ Πάδῳ. Πολύβιος, οὓς καὶ Ἴνσοβρας φησίν. Τὰ εἰς υρ βαρύνεται οἷον μάρτυ ρ. γίνεται δὲ ἐκ τοῦ μάρτυς κατὰ τὴν Αἰολέων διάλεκτον· ἐκεῖνοι γὰρ τὸ ς εἰς ρ μεταβάλλουσι τὸ οὗτος οὗτορ λέγοντες καὶ τὸ ἵππος ἵππορ· οὕτως οὖν καὶ μάρτυς μάρτυρ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφ' ἧς ἐκπίπτει πληθυντικὸν οἱ μάρτυρες παρά τε κωμικοῖς καὶ Ἱππώνακτι. οἱ δέ γε μάρτυροι ἀπὸ τῆς ὁ μάρτυρος εὐθείας οἷον «Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω» (Η 76). ψίθυ ρ. ταῦτα δὲ μόνα εἴρηται· τὸ γὰρ Ἴλλυρες καὶ Κέρκυρες καὶ Ἄσσυρες παρὰ Ἐρατοσθένει οὐ κλίσεως ἐστὶν ἀπὸ εὐθείας τῆς Ἴλλυρ, Κέρκυρ, Ἄσσυρ, ἀλλὰ κατὰ τὴν αὐτὴν πτῶσιν μεταπέπλασται ἐκ τοῦ Ἰλλυριοί καὶ Κερκυραῖοι καὶ Ἀσσύριοι ὡς οἱ θεράποντες εὕρηνται θέραπες λεγόμενοι καὶ οἱ πολύποδες πώλυπες. ὡσαύτως ἔχει καὶ τὸ Λίγυρες ἔθνος προσεχὲς τοῖς Τυρρηνοῖς. Ἀρτεμίδωρος. ἀπὸ Λιγύρου ποταμοῦ· καὶ Φίλυρες ἔθνος πρὸς τῷ Πόντῳ ἀπὸ Φιλύρας τῆς μητρὸς Κρόνου. Τὰ εἰς ηρ ὀξύνεται καὶ βαρύνεται. καὶ ὀξύνεται μὲν ἁπλᾶ ὄντα ἀρσενικά. ὁ δὲ λόγος περὶ τῶν εἰς ηρ τοῦ τ προηγουμένου τοῦ η , στατή ρ , ἐλατή ρ , καμπτή ρ , ὀλετή ρ , ξυστή ρ , γενετή ρ , πατή ρ , σωτή ρ , χρηστή ρ , ζωστήρ, καὶ Ζωστήρ τῆς Ἀττικῆς ἰσθμός, ὅπου φασὶ τὴν Λητὼ λῦσαι τὴν ζώνην καὶ καθεῖσαν ἐν τῇ λίμνῃ λούσασθαι. ἐνταῦθα θύουσιν Ἁλαεῖς Λητοῖ καὶ Ἀρτέμιδι καὶ Ἀπόλλωνι Ζωστηρίῳ. ἐξαυστή ρ. Ἐξαύτηρ δὲ κύριον ὡς τὸ ἀμάτηρ καὶ ἄντηρ καὶ Ἄστηρ κύριον. τὸ δὲ φράτηρ Ἀττικοὶ μὲν βαρύνουσιν, οἱ Δωριεῖς ὀξύνουσιν. φράτερες δέ εἰσιν οἱ συγγενεῖς.

3,1 48 ἀρσενικὰ δὲ εἶπον διὰ τὰ θηλυκά. καὶ γὰρ τὰ εἰς ηρ θηλυκά, μὴ μετατιθέμενα κατά τι ἔθος ποιητικὸν εἰς διάφορον γένος, βαρύνεται, μήτη ρ , θυγάτη ρ , Δημήτη ρ , εἰνάτη ρ. προσέθηκα δὲ «μὴ μετατιθέμενα κατά τι ἔθος ποιητικὸν εἰς διάφορον γένος» διὰ τὸ, » ῥαιστῆρα κρατερήν» (Σ 477) «ὕλην στεγαστῆρ α». τοιαῦτα γάρ ἐστιν ὁποῖον ἡ αἰθήρ ἡ ἀήρ. σημειώδης ἄρα ἡ γαστήρ ὀξυνομένη. Τὰ εἰς ηρ ἐθνικὰ ἢ κύρια, μὴ συνεμπίπτοντα προσηγορικοῖς, βαρύνονται, Ἴβηρ ὁ ποταμός, οὗ μέμνηται Ἀπολλόδωρος ἐν τῇ περὶ γῆς β' ἐντὸς δὲ Πυρήνης Ἴβηρ τ' ἐστὶν μέγας ποταμὸς φερόμενος ἐνδοτέρω. καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Ἀριστοφάνης Τριφάλητι «μανθάνοντες τοὺς Ἴβηρας τοὺς Ἀριστάρχου πάλαι» καὶ «τοὺς Ἴβηρας οὓς χορηγεῖς μοι βοηθῆσαι δρόμῳ» καὶ Ἀρτεμίδωρος ἐν δευτέρῳ τῶν γεωγραφουμένων «γραμματικῇ δὲ χρῶνται τῇ τῶν Ἰταλῶν οἱ παρὰ θάλατταν οἰκοῦντες τῶν Ἰβήρων». Ἰλλίβη ρ , Δόβηρ ἔθνος Παιονίας, Πίη ρ , Βύζηρ ἔθνος ἐν τῷ Πόντῳ. τὸ μέντοι Ἐλευθήρ εἷς τῶν Κουρήτων, ἀφ' οὗ Ἐλευθεραί πόλις Κρήτης, καὶ υἱὸς Ἀπόλλωνος, ἀφ' οὗ Ἐλευθεραί πόλις Βοιωτίας, ὀξύνεται ὡς τὸ Ἀστή ρ. Τὰ εἰς ηρ μὴ ὄντα σύνθετα μηδὲ ἐθνικὰ ὀξύνεται, ἀνή ρ , δαή ρ , ἀή ρ , αἰθή ρ , σπινθή ρ. τὸ μέντοι ἐρίηρ ὡς σύνθετον βαρύνεται. Τὰ εἰς ηρ ὀξύτονα φυλάττοντα τὸ η κατὰ τὴν γενικὴν φυλάττει καὶ τὸν τόνον ἐν τῇ συνθέσει οἷον δετήρ ἀμαλλοδετήρ, στατήρ ὀβελοστατή ρ. τὸ μέντοι ἀνήρ λιπάνηρ, δαήρ πολυδάηρ, πατήρ αἰνοπάτηρ ὡς μὴ φυλάττοντα τὸ η βαρύνονται. καὶ τὸ πάνθηρ καὶ σατυρόφηρ ἀπὸ μονοσυλλάβων. Τὰ εἰς ωρ πάντα βαρύνονται, ῥήτω ρ , κλήτω ρ , ἵστω ρ , Ἕκτω ρ , πέλωρ, ἐξ οὗ ὁ πελώριος, κέλωρ, σημαίνει δὲ τὸν υἱὸν παρὰ τὸ κελεύεσθαι, ἄκτω ρ , Σπέρχω ρ , ἄχωρ τὸ τῆς κεφαλῆς πιτύρισμα, ἀνάκτωρ, Ἀννίχωρ ὁ οἰκῶν Ἀννίχωρον, οὗ μέμνηται Ἀλκμάν, πλησίον Περσῶν.

3,1 49 λέγονται δὲ οἱ Ἀννίχωρες καὶ Ἀννίχωροι, Κάστω ρ , Θέστω ρ , Νέστω ρ , μήστωρ καὶ Μήστω ρ . φράτωρ, ὃ καὶ φράτηρ ἐλέγετο, ἀλλὰ τὸ μὲν φράτηρ ἀρχαῖον μετὰ τῆς αὐτοῦ κλίσεως, θάτερον δὲ νεώτερον, Μέντωρ κύριον καὶ ἔθνος πρὸς τοῖς Λιβυρνοῖς. Ἑκαταῖος Εὐρώπῃ. κωμήτω ρ , οἰκήτω ρ , παγκράτω ρ , προπάτω ρ , Νικάνω ρ , ἠλέκτωρ ὁ ἥλιος, ταλάωρ τὸ τόξον. Χαλκήτωρ ὁ οἰκήτωρ Χαλκητορίου πόλεως Κρήτης. Κρατερὸς ἐν τῷ περὶ ψηφισμάτων, Ἀπολλόδωρος δὲ Χαλκητορεῖς αὐτούς φησι τετάρτῳ χρονικῶν «μεθ' οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς». ἀλάστωρ ὁ Ζεὺς ὁ ὑποπτεύων τοὺς ἄλαστα καὶ χαλεπὰ ποιοῦντας· ἢ ὁ ἀσεβὴς ἢ ὁ κακοποιός. σημειῶδες ἄρα τὸ ἰχώρ μόνον ὀξυνόμενον. τὸ δὲ αἴτιον, ὅτι τοῦτο μόνον διήλλαξε περὶ τὴν κλίσιν. τὰ γὰρ εἰς ωρ ἀρσενικὰ δισύλλαβα μὴ ἔχοντα τὸ λ διὰ τοῦ ο κλίνονται οἷον Νέστορος Ἕκτορος· τὸ τοίνυν ἰχώρ μὴ ὁμοίως τοῖς ἄλλοις κλιθὲν ἐνήλλαξε καὶ περὶ τὸν τόνον. Τὰ εἰς ειρ ὑπὲρ μίαν συλλαβὴν ἀσυνήθη μέν, τὰ δὲ εὑρεθέντα βαρύνεται, Βέχειρ ἔθνος Σκυθικόν, Σάπειρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ μετὰ τοῦ ς Σάσπειρ ἔθνος ἐν μεσογαίᾳ τῆς Ποντικῆς οἱ νῦν διὰ τοῦ β λεγόμενοι Σάβειρες, Ἀλάζει ρ , Λίγειρ ποταμὸς περὶ Γαλατίαν, Ἐλάτειρ ὁμοίως ὄνομα ποταμοῦ. ἑκατόγχει ρ , ἀντίχει ρ , χρυσοέθειρ παρ’ Ἀρχιλόχῳ ἐν Ἰοβάκχοις, ὅπερ ἀποκέκοπται τοῦ χρυσοέθειρος.

3,1 50 οἱ μέντοι Βοιωτοὶ πολλὴν ἴσασι τὴν ειρ κατάληξιν, καθὸ παρ’ αὐτοῖς εἴωθε τὸ η εἰς τὴν ει δίφθογγον τρέπεσθαι· τὸ γὰρ πένης πένεις γράφουσι διὰ τῆς ει διφθόγγου καὶ τὸ πατήρ καὶ μήτηρ παρ’ ἡμῖν μὲν διὰ τοῦ η , παρ’ αὐτοῖς δὲ διὰ τῆς ει διφθόγγου. Περὶ τῶν εἰς ας ὑπὲρ μίαν συλλαβήν. Τὰ εἰς ας ὑπὲρ μίαν συλλαβὴν ἐκτεταμένον ἔχοντα τὸ α βαρύνεται καὶ περισπᾶται. καὶ βαρύνεται μὲν Αἴας Θόα ς , Ποία ς , Δοίας, ἀφ’ οὗ Δοίαντος πεδίον Φρυγίας καὶ Δοιάντειον ἄλσος, Βία ς , Πρία ς , Ὕας ἔθνος περὶ Ἀλαλκομένιον, Δρύα ς , Εὔα ς, ἔστι δὲ ἐπίθετον τοῦ Διονύσου, Κλεύα ς , Λάας τὸ κύριον, Λαία ς , Καία ς. περισπᾶται δὲ ἀτταγᾶ ς , πελεκᾶς καὶ Μαρικᾶς ὄνομα βάρβαρον παρὰ τῷ κωμικῷ «Εὔπολις τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν» (Nub. 553), κλίνεται δὲ καὶ περιττοσυλλάβως «ἀλλ’ οὖν ἔγωγέ σοι λέγω Μαρικᾶντα μὴ κολάζειν». (Eupolis Mein. fr. Com. p. 191 ed. min.) τὸ δὲ Γλισᾶς — ἔστι δὲ ἥρως καὶ πόλις Βοιωτίας—«ἠδ’ οἳ Γλισᾶντα νέμοντο» (Β 504) ἡ μὲν συνήθεια περισπᾷ, ἡ δὲ ἱστορία παροξύνει. Διονύσιος γὰρ ἱστορεῖ τοὺς ἐγχωρίους συστέλλειν τὸ ι καὶ μὴ περισπᾶν. ἀλλ’ οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν. τὸ δὲ ἀλλᾶς παρὰ τῷ κωμικῷ ἡ μὲν κοινὴ συνήθεια βαρύνει, ἀλλ’ ἐπειδὴ ὁ ἀλλᾶς ὡς ἀπὸ τοῦ ἀλλάεις κέκλιται διὰ τοῦ ντος , ἵν’ ᾖ ἀλλάεντος καὶ κατὰ κρᾶσιν ἀλλᾶντος, καὶ ἡ ἐντελὴς εὐθεῖα τοῦ ἀλλᾶντος περισπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράσεως ὁμοίως τῷ ἱλάεις ἱλᾶ ς.

3,1 51 Ἔτι δὲ περισπῶνται ταῦτα μόνως κύρια ἢ ὑποκοριστικά, Ἑρμᾶς Ἀργᾶ ς , Αἰγᾶς ποταμὸς φερόμενος ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους, ἀφ’ οὗ καὶ τὸ πεδίον Αἰγαῖον, Καρρᾶς ποταμὸς Συρίας, Βορρᾶ ς , Γονατᾶς ὁ Γούνιος ἐθνικόν, Κομητᾶ ς , Φιλητᾶ ς , Μηνᾶ ς , Ζηνᾶ ς , Μητρᾶ ς , ὀστρακᾶ ς , πινακᾶ ς , λαχανᾶς, ἢ ἐπὶ σκώμματος τασσόμενα φαγᾶς καταφαγᾶς δακνᾶς ἢ τὰ ἀπὸ συμβεβηκότος οἷον τρεσᾶ ς. ὡσαύτως δὲ καὶ τὰ Ἰωνικῶς παραλόγως διὰ τοῦ δ κεκλιμένα, ὧν τὸ α μακρόν, Βοιβᾶ ς , Βιττᾶ ς , Κυρᾶ ς· εἰσὶ δὲ ὀνόματα κύρια. οὐδέποτε δὲ ὀξύνεται, χωρὶς εἰ μὴ ὦσιν ἀπὸ παθητικοῦ παρακειμένου σύνθετα διὰ μόνου τοῦ τ κλινόμενα οἷον χαλκοκράς καὶ γαλακτοκράς καὶ νεοκρά ς. ὅθεν τὸ ἱμάς καὶ ἀνδριάς ὡς ἐκτεταμένον ἔχοντα τὸ ας σημειούμεθα παραλόγως ὀξυνόμενα. οὐκ ἀγνοῶ δὲ ὅτι Ἡλιόδωρος ἐβούλετο ταῦτα περισπᾶν. τὸ δ’ αὐτὸ ἠξίου καὶ Δράκων ὁ Στρατονικεύς, ἔτι δὲ καὶ Τυραννίων. οὐκ ἔχει δὲ οὕτω τὰ τῆς ἀναγνώσεως. ἐμιμήσαντο δὲ αὐτὰ ἐκτεινόμενα ἐν τῇ ληγούσῃ κατὰ τὰς μετοχὰς καὶ τὴν τῶν μετοχῶν κλίσιν τοῦ ἱστάς ἱστάντος καὶ βιβάς βιβάντος. ἱμάντος γὰρ καὶ ἀνδριάντος, ἅπερ παρ’ Ἀττικοῖς περισπᾶται. Βαρύνεται δὲ τὰ εἰς ας καθαρόν, Νικία ς , Λυσία ς , Ἀρχία ς , Λοξία ς , Γοργία ς , Ἐρυξία ς , δρακοντία ς , ὀνοματία ς , κοππατία ς , ταραξία ς , κοχλία ς , τραυματία ς , Παπία ς , Ὠπίας ἔθνος Ἰνδικόν.

3,1 52 Ἑκαταῖος Ἀσίᾳ «ἐν δὲ αὐτοῖσι οἰκέουσι ἄνθρωποι παρὰ τὸν Ἰνδὸν ποταμὸν Ὠπίαι, ἐν δὲ τεῖχος βασιλήϊον. μέχρι τούτου Ὠπίαι, ἀπὸ δὲ τούτων ἐρημίη μέχρις Ἰνδῶν». Προυσία ς , Πρακίας ἔθνος ἀπὸ Πρακὸς τοῦ ἐξ Ἠπείρου μὲν ὁρμήσαντος, οἰκήσαντος δὲ ἐν τῇ Λακωνικῇ. Ἀγρίας ἔθνος Παιονίας μεταξὺ Αἵμου καὶ Ῥοδόπης. παρὰ Πολυβίῳ δὲ διὰ τοῦ α . εὑρέθη δὲ ἐν ὀκτωκαιδεκάτῃ «τὸ γὰρ τῶν Ἀγραῶν ἔθνος». λέγονται καὶ Ἀγράϊοι καὶ Ἀγριεῖς ὡς Θεόπομπος καὶ Ἀγριᾶνες. Ἀδρίας κόλπος παρὰ τὴν Ἀδρίαν πόλιν καὶ ποταμός, ὡς Ἑκαταῖος. Καλατίας γένος Ἰνδικόν. Ἑκαταῖος Ἀσίᾳ. Ἀσία ς. Ὅμηρος (Β 461) «Ἀσίω ἐν λειμῶνι» ἀντὶ τοῦ Ἀσίου (γενικὴ γάρ ἐστιν, οὐκ Ἀσιανῷ. ἀγνοεῖ γὰρ Ὅμηρος τὴν Ἀσίαν ὡς καὶ τὴν Εὐρώπην)· καὶ Ἰωνικῶς Ἀσίεω καὶ Ἀσίω ὡς τὸ «ἐϋμμελίω Πριάμοιο» (Δ 47). διὸ χωρὶς τοῦ ι . Ἱππία ς , πωγωνία ς , Γλαυκία ς , τοξία ς , Ἀφίας κύριον παρ’ Εὐφορίωνι, Πευκετίας ἔθνος τοῖς Οἰνωτροῖς προσεχές, ὡς Ἑκαταῖος Εὐρώπῃ, Πικίας ἔθνος Ἰταλίας, Παρία ς· ἔστι δὲ ὄνομα κύριον καὶ διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ι γράφεται. τὸ γὰρ σημαῖνον τὸν ὄφιν διὰ τῆς ει διφθόγγου οἷον παρεία ς· καὶ ἔστιν ἡ χρῆσις παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ (690) «ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις». Βορέα ς , Ἡρέα ς , Θρασέα ς , Κρατέα ς , Ἀνδρέα ς , Θαλέα ς , Μενέα ς , Ἀριστέα ς , Μνασέα ς , Αὐγέα ς , Πυθέα ς , Ἐλέας παρὰ Φιλοστεφάνῳ, Φιλέας χωρίον Βυζαντίου. τινὲς δὲ Φιλίαν, ἄλλοι δὲ Φινέαν γράφουσιν. καὶ πλεονασμῷ τοῦ ι Αἰνεία ς , Αὐγεία ς , Ἑρμεία ς . Τηλεβόας ἥρως καὶ ἔθνος τῆς Ἀκαρνανίας· ἔστι καὶ Τηλεβόας ποταμὸς πρὸς ταῖς πηγαῖς Τίγρητος. Γενόας ἄρχων Μολοττῶν, ἀφ' οὗ ἔθνος Γενοαῖοι. Ματόα ς· οὕτω πάλαι ὑπὸ Σκυθῶν ἐκαλεῖτο Ἴστρος ὁ ποταμός. Ματόας δέ ἐστι κατ' Ἕλληνας ἄσιος. πατραλοία ς . Μαρσύα ς , Ἰχθύα ς , Ὀθρύα ς , Μινύας ἔθνος Θεσσαλίας, Μιλύας ἔθνος οἱ πρότερον Σόλυμοι ὡς Τιμαγένης πρώτῳ βασιλέων. λέγονται καὶ Μίλυες ἀπὸ Μιλύης τῆς γυναικὸς Σολύμου καὶ ἀδελφῆς, ὕστερον δὲ Κράγου γυναικός. Βιθύας ἔθνος Θρᾴκης ἀπὸ Βίθυος τοῦ Ἄρεος καὶ Σήτης τῆς Ῥήσου ἀδελφῆς.

3,1 53 Φλεγύας ὁ Ἄρεος καὶ Χρυσῆς παῖς καὶ ἔθνος Βοιωτίας. Ὅμηρος (Ν 302) «ἠὲ μετὰ Φλεγύας μεγαλήτορας». ἔστι δὲ καὶ Φλεγύης ἡ εὐθεῖα καὶ Φλέγυς. Σατύας κύριον παρ' Ἡγησίππῳ καὶ Ἀρύας ποταμὸς παρ' Ἐρατοσθένει «ἡ δὲ ὑπὲρ Ἀρύαντος ἐπὶ προχοαῖς ποταμίων». τὸ μέντοι τριάς θηλυκὸν καὶ συστελλόμενον ἔχει τὸ α . Τὰ εἰς βας βαρύνονται· Βίβας τὸ κύριον, Φόρβας, Ἡλίου υἱὸς καὶ πόλις τῶν ἐν Θεσσαλίᾳ Ἀχαιῶν, Ἄβας ποταμὸς καὶ ἥρως καὶ ἔθνος, Ἴβα ς , Σκρίβα ς , Ψευδαρτάβα ς , Ἀννίβα ς , Κάβα ς , Λάβα ς , Ἰόβα ς , Ῥήβας ποταμὸς παρὰ τῷ Πόντῳ καὶ χώρα, Ἄλβας ποταμὸς ὁ νῦν λεγόμενος Τίβερις Τιβερίνου τοῦ βασιλέως ἐν αὐτῷ θανόντος. Χάλβας ποταμὸς Συρίας, Σάμβας ὄνομα ποταμοῦ, Λυκάμβα ς , Χηράμβα ς . Κύρβα ς , Θίσβα ς , λυκάβα ς , Ἀρύβας κύριον, Ἀρύββας ἐθνικὸν παρὰ τῷ Ἀλκμᾶνι. ἀλίβα ς . Ἀλύβα ς· τοῦτον οἱ μὲν Μεταπόντιον ἤκουσαν τῆς Ἰταλίας, οἱ δὲ Θρᾴκης πόλιν, ὡς Ὅμηρος. ἔστι δὲ καὶ ἔθνος. ὀκρίβα ς. τὸ δὲ Βοιβᾶς περισπᾶται. τὸ δὲ στιβάς θηλυκὸν καὶ συστελλόμενον ἔχει τὸ α , καὶ τὸ βιβάς μετοχή ἐστιν. Τὰ εἰς γας πάντα βαρύνεται, εἰ μὴ ἐπὶ σκώμματος εἴη, ὡς ἔχει τὸ φαγᾶ ς , γίγα ς , μέγας καὶ Μέγα ς , Μίγα ς , Σάγγα ς , Ἄλγα ς , Βρίγας κύριον καὶ ἔθνος, Ζύγας ἔθνος Λιβύης «οἵ τινες τὰ ἄνθη συλλέγοντες μέλι ποιοῦσιν ὥστε μὴ λείπεσθαι τοῦ ὑπὸ τῶν μελισσῶν γινομένου», ὡς Εὔδοξος ὁ Κνίδιος ἐν ἕκτῳ γῆς περιόδου. Σάλγας ποταμὸς τῆς Μαυριτανίας, Βησσύγας ποταμὸς τῆς Ἰνδικῆς. Ἀκράγας πόλις Σικελίας ἀπὸ ποταμοῦ παραρρέοντος. φησὶ γὰρ Δοῦρις ὅτι αἱ πλεῖσται τῶν Σικελῶν πόλεων ἐκ τῶν ποταμῶν ὀνομάζονται, Συρακούσας, Γέλαν, Ἱμέραν, Σελινοῦντα καὶ Φοινικοῦντα καὶ Ἐρύκην καὶ Καμικόν Ἁλικύας τε καὶ Θέρμον καὶ Καμάριναν, ὡς καὶ ἐν Ἰταλίᾳ. οἱ δὲ ἀπὸ Ἀκράγαντος τοῦ Διὸς καὶ Ἀστερόπης τῆς Ὠκεανοῦ. ἔστι καὶ Θρᾴκης καὶ Εὐβοίας καὶ Κύπρου καὶ Αἰτωλίας. Πολύβιος δὲ τὸν ποταμὸν καὶ τὴν πόλιν ἀπὸ τῆς χώρας ὠνομάσθαι Ἀκράγης διὰ τὸ εὔγεων. Σατύργα ς .

3,1 54 Στροάγα ς. τὸ μέντοι φυγάς ὀξύνεται οὐκ ἔχον τὸ α ἐκτεταμένον. σεσημείωται τὸ ἀτταγᾶς περισπώμενον, ὅπερ καὶ ἀτταγήν λέγεται, καὶ τὸ Αἰγᾶς καὶ τὸ Ἀργᾶ ς. Τὰ εἰς δας βαρύνεται, εἰ μὴ διὰ τοῦ δος κλίνοιτο, ἢ συναληλιμμένα εἴη ἢ ὑποκοριστικά, Ἴδα ς , Λάδα ς , Δάδα ς , Σφάδα ς , Κλύδα ς , Λήδα ς , Δέρδα ς , Μίδα ς , Οἴδας οἱ κατοικοῦντες Οἰδάντιον πόλιν Ἰλλυριῶν, ὥς φησιν Ἑκαταῖος, Μείδα ς , Σακάδα ς , Τιμαχίδα ς , Θρακίδα ς , Λεωνίδα ς , Βρασίδα ς , Χαρμάδα ς , Ἀφείδας βασιλεὺς καὶ ἔθνος Μολοσσῶν, Χαρίδα ς. τὸ μέντοι Θευδᾶς περισπᾶται ὡς Μητρᾶς, Ζηνᾶς, Πυθᾶς. τὸ δὲ Κερκιδᾶς ἀπὸ συναλοιφῆς. τὸ δὲ ...... διὰ τοῦ δος κλίνεται. Τὰ εἰς ας ἐκτεταμένον, ἔχοντα πρὸ τοῦ α ἓν τῶν διπλῶν βαρύνονται, Βύζας ὁ Κεροέσσης τῆς Ἰοῦς θυγατρὸς καὶ Ποσειδῶνος καὶ ἔθνος Λιβυκόν, ἀφ' οὗ ἡ πόλις Βυζάντιον. παρ' Ἡροδότῳ δὲ ἐν τετάρτῃ (c. 194) διὰ τοῦ γ Γύζαντε ς . Ἐλίξα ς , Ἄψα ς . Πύζα ς , Ἀρίζα ς , Ἀνάξα ς , Γαρτάζα ς. τὸ μέντοι ὑψᾶς περισπᾶται καὶ τὸ ἑξᾶς ἐπὶ ποσότητος ὄν. * Τὰ εἰς θας βαρύνονται, Στρούθα ς , Παγάθα ς , Ἄρθα ς , Ἀόρθα ς. * Τὰ εἰς κας βαρύνονται, Πελέκα ς , Περδίκκα ς , Κώκα ς , Κρίκας ποταμός, Σάκα ς , Λάκα ς , Πολύκκας ποταμὸς Μακεδονίας, Ματάκας ὄνομα εὐνούχου, Ἰνδύκα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ς , Κοτύκας βασιλεὺς Παφλαγονίας. Ἑλίκας ὁ Λυκάονος. Καραμβύκας ποταμὸς Ἐλιξοίας νήσου καὶ ὁ νησιώτης ὁμοφώνως, ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης. τὸ δὲ Ἀρκάς συστελλόμενον ἔχον τὸ α ὀξύνεται. Τὰ εἰς λας δι' ἑνὸς λ βαρύνονται, εἰ μὴ ἐκ συναλοιφῆς εἴη, Γέλας ποταμὸς Σικελίας, ὃς οὕτω καλεῖται, ὅτι πολλὴν πάχνην γεννᾷ. ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Σικελῶν γέλαν λέγεσθαι. Ὕλα ς , μέλα ς .

3,1 55 Γάλα ς , Κάλα ς , Φύλα ς , Μύλας ὁ πρῶτος εὑρὼν ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν, Χήλα ς , Ἄτλας ἔθνος Λιβυκόν. Ἡρόδοτος τετάρτῃ (c. 184). ἔστι δὲ τὸ ὄνομα ἀπὸ τῶν ὀρῶν τῶν δύο Ἀτλάντων. Ῥιανὸς δὲ ἐν Ἀχαϊκῶν δευτέρᾳ Ἀτάραντας εἶναί φησι καὶ μετ' αὐτοὺς Ἄτλαντας. Πτερέλα ς , Κωτέλα ς , Ζηΐλας πατὴρ Νικομήδους, Πριόλα ς , Μιδιόλα ς , Γενειόλα ς , Μεσόλας ὁ Δεξαμενοῦ πατήρ, Ἀργόλας ὁ Ἀργεῖος. Ἀριστοφάνης Ἥρωσιν οὐκ ἠγόρευον; οὗτός ἐστ' ὁ Ἀργόλας. μὰ Δι' οὐ δέ γ' Ἕλλην, ὅσον ἔμοιγε φαίνεται. καὶ Εὐριπίδης ἐν Πλεισθένει «ἐγὼ δὲ Σαρδιανός, οὐκέτ' Ἀργόλας». Δορύλα ς , Ἀρτύλα ς , Βουκεφάλας λιμὴν τῆς Ἀργολικῆς καὶ ὁ ἵππος τοῦ Ἀλεξάνδρου. Ἀμύκλας ὁ Λακεδαίμονος υἱός. Σιμίας ἐν Μησίν «ὅν ῥ' ἀπ' Ἀμύκλαντος παιδὸς ἀποφθιμένου λαοὶ κικλήσκουσιν». Τὸ μέντοι ἱλᾶς περισπᾶται ἀπὸ τοῦ ἱλάεις. Τὰ εἰς δύο λλ ἐκτεινόμενον ἔχοντα τὸ α βαρύνεται, Μύλλα ς , Πάλλα ς , Βάλλα ς , Κύλλα ς , Κίλλας κύριον καὶ ἐθνικὸν ὁμοφώνως, Ἴλλα ς , Σίλλα ς , Φέλλα ς , Σέλλας ποταμὸς ἐν τῇ Μεσηνῶν γῇ, Ἰόλλα ς , Ἀβόλλας ποταμός, Ἀμύλλα ς , Λευκόλλας χωρὶς εἰ μὴ ἐπὶ σκώμματος εἴη ἢ ἔχοι τι ἐντελέστερον. τὸ μὲν πελλᾶς ὁ γέρων περισπᾶται ἐπὶ σκώμματος ὂν καὶ τὸ ἀλλᾶς καὶ βιλλᾶ ς. τὸ δὲ Παλλάς συστελλόμενον ἔχει τὸ α . Τὰ εἰς μας βαρύνεται, Τόλμα ς , ἀδάμα ς , Σίλμα ς , Τέλμα ς , Θαύμα ς , Δύμα ς , Βρίμα ς , Μάμα ς , Δάμα ς , Ἀρίμμα ς , Πυρίμμα ς , Ἐχέμμα ς , Λυκόρμας ποταμὸς Αἰτωλίας, ἀκαμαντοχάρμα ς . Πολυδάμα ς , Θειοδάμα ς , Εὐρυδάμα ς , Ἀλκιδάμα ς , Ἀθάμα ς , Σαλάμας καὶ Σπιτάμας Περσικὰ ὀνόματα, Ὀδόμας ἔθνος, Γαράμας ἔθνος Λιβύης· Ἡρόδοτος τετάρτῃ (c. 174) «οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίαν». εἰ μὴ κατὰ τροπὴν εἴη Δωρικὴν ὡς τὸ Ἑρμᾶς καὶ τὸ Ἀρτεμᾶς ὑποκοριστικόν. Τὰ εἰς νας ὁμοίως βαρύνεται, εἰ μὴ εἴη ὑποκοριστικὰ ἢ ἐπὶ σκώμματος, Ἀρτύνα ς , Ξένα ς , Πρατίνα ς , Πίνα ς , Κάνα ς .

3,1 56 Μηνᾶς μέντοι καὶ Ζηνᾶς ὑποκοριστικά. τὸ δὲ δακνᾶς περισπᾶται, ὅτι ἐπὶ σκώμματος τάσσεται. * Τὰ εἰς πας βαρύνεται, Κάλπα ς , Πάπα ς , Σκόπα ς , Λάμπα ς , Πάμπα ς , Λίπα ς , Εὐρώπα ς , Κύπα ς , Ἀγρίππα ς , Ἀράσπα ς , Γοργόπα ς , ἄπα ς. Τὰ εἰς ρας , μὴ ὄντα ὑποκοριστικὰ ἢ συναληλιμμένα ἢ νόμισμα δηλοῦντα βαρύνεται, Θήρα ς , Ἀθύρας ἐπίνειον καὶ ποταμὸς περὶ Βυζάντιον· Εὐφορίων «ὕδατα δινήεντος ἀμευσάμενος Ἀθύραο». ἔστι δὲ καὶ Σικελίας ποταμὸς Ἀθύρας, ὡς Νυμφόδωρος. Τύρας πόλις καὶ ποταμὸς ἐν τῷ Εὐξείνῳ πόντῳ, ὡς ὁ πολυίστωρ. λέγεται δὲ καὶ Τύρις. Κιβύρας ἀδελφὸς Μαρσύου. Ἄρας αὐτόχθων τις, ἀφ' οὗ Ἀραντία Πελοποννήσου πόλις. Τάρας πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος παρὰ θάλασσαν· ἀρσενικῶς δὲ κατ' ἀναλογίαν. οὐδὲν γὰρ εἰς ρας θηλυκὸν εὑρίσκεται. τοῦτο δ' εὕρηται καὶ θηλυκῶς. Κάρα ς . Λάρα ς . Πείρα ς . Καίρρα ς . Ἱμέρας ποταμός, ὡς Νικάνωρ. Χρυσαόρας ποταμὸς Λυδίας. Φαναγόρα ς . Πυθαγόρα ς . Σιμμόρα ς . Ξεναγόρα ς . Κύδρα ς . Κόδρα ς . Λάμπρα ς . Πρόφρα ς . Τεύθρας ὁ Πανδίονος, Τίθρας δῆμος τῆς Αἰγηΐδος φυλῆς, Βάβρας πολίχνιον Αἰολίδος ἐγγὺς Χίου ὁμώνυμον τῷ κτιστῇ. Κοψίφρα ς. τὸ δὲ Μητρᾶς Ἡρᾶς τετρᾶς βορρᾶς περισπᾶται. τὸ δὲ τετράς τετράδος συστέλλεται. * Τὰ εἰς σας βαρύνεται, εἰ μὴ ἀπὸ συμβεβηκότος εἴη Χρύσα ς , Βαρβύσα ς , Κέρσα ς , Πετίσα ς , Ἀπέσας ὄρος τῆς Νεμέας ὡς Πίνδαρος καὶ Καλλίμαχος ἐν τρίτῃ, ἀπὸ Ἀφέσαντος ἥρωος βασιλεύσαντος τῆς χώρας ἢ διὰ τὴν ἄφεσιν τῶν ἁρμάτων ἢ τοῦ λέοντος.

3,1 57 ἐκεῖ γὰρ ἐκ τῆς σελήνης ἀφείθη. Καλλίμαχος ἐν τοῖς ἰάμβοις (fr. 82 Bentl.) καὶ τὸ ἔθνος Ἀπέσας φησί, κ' οὐχ ὧδ' Ἀρείων τῷ Ἀπέσαντι πὰρ Διΐ ἴθυσεν Ἀρκὰς ἵππος. τὸ δὲ τρεσᾶς ἀπὸ

συμβεβηκότος. καὶ τὸ Γλισᾶς δὲ ἡ συνήθεια περισπᾷ. * Τὰ εἰς τας λήγοντα βαρύνεται, Σώτα ς , Μέτας Τυρρηνός, Τύντα ς , Κώστα ς , Ἀρχύτα ς , Εὐρώτα ς , Τελεύτα ς , Ὀφέλτα ς , Ἀκέλτα ς , Ἀμύντα ς· ἔστι καὶ ἔθνος Θεσπρωτικὸν Ἀμύνται «μένος πνείοντες Ἀμύνται». καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν πολιτείᾳ. τὸ δὲ Γονατᾶς παράλογον διὰ τὸν τόνον καὶ τὸ Φιλητᾶ ς , Κομητᾶ ς. * Τὰ εἰς φας λήγοντα βαρύνεται, Δέλφα ς , Ἄλφα ς , Ἄφα ς , Κύφας χωρίον τῆς Λακωνικῆς, Κορύφα ς , Ὑπέρφα ς , Περίφα ς , Ἀκύφας πόλις μία τῆς Λακωνικῆς τετραπόλεως, ὡς Θεόπομπος. Ὀνόφα ς. * Τὰ εἰς χας βαρύνεται, Ὕ ρχα ς , Λέχα ς , Καλλίχα ς , Λίχα ς , Λάχα ς , Κάλχα ς , Τρύχα ς. Λυκόφρων γὰρ Τρύχας πόλιν Εὐβοίας μεταφράσας Τρύχαντα καλεῖ. Τὰ εἰς ας σύνθετα πάντα βαρύνεται, παιδοπίπα ς , εὐφαρέτρα ς , παρθενοπίπα ς , πατραλοία ς , θυννοθήρα ς , βουβάρας ὅ ἐστι μέγας καὶ ἀναίσθητος, Εὐρυβία ς , Πυθαγόρα ς , Παυσανία ς. τὸ μέντοι χαλκοκράς ὀξύνεται ἀπὸ τοῦ παθητικοῦ παρακειμένου συντεθέν. τὸ δὲ φιλαπελλᾶς καὶ φιλοβορρᾶς τὸν τῶν ἁπλῶν ἐφύλαξε τόνον. Τὰ εἰς ας συνεσταλμένα ἀρσενικὰ καὶ θηλυκὰ ὀξύνεται καὶ διὰ τοῦ δος κλίνεται, ὁ φυγάς καὶ ἡ φυγάς, ὁ Ἀρκάς —ὁ πολίτης καὶ ὁ ἥρως. Ἴστρος δέ φησιν ὅτι Θεμιστοῦς καὶ Διὸς ὁ Ἀρκὰς ἐγένετο, διὰ δὲ τὴν τῆς μητρὸς ἀποθηρίωσιν (ἄρκτῳ γὰρ ὑφ' Ἥρας αὐτὴν ὁμοιασθῆναι) ταύτης τυχεῖν τῆς προσηγορίας—καὶ ἡ Ἀρκά ς. ἔστι καὶ πόλις Κρήτης Ἀρκάδες ὡς Ξενίων ἐν Κρητικοῖς. Δημήτριος δὲ οὐκ Ἀρκάδας τὴν πόλιν, ἀλλ' Ἀρκαδίαν φησί.

3,1 58 Ὀλκάς ἔθνος Ἰβήρων τῶν ἐντὸς Ἴβηρος τοῦ ποταμοῦ. Πολύβιος ἐν τρίτῳ. Νουβάς ἔθνος Λιβύης παρὰ Νείλῳ, οἳ καὶ Νοῦβαι καὶ Νουβαῖοι λέγονται, Ἑλλάς πόλις Θεσσαλίας «πολλοὶ Ἀχαΐδες εἰσὶν ἂν Ἑλλάδα τε Φθίην τε» (Il. 9, 395). ἐκτίσθη ὑπὸ Ἕλληνος οὐ τοῦ Δευκαλίωνος, ἀλλὰ τοῦ Φθίου καὶ Χρυσίππου τοῦ Ἴρου. ἔστι καὶ ἄλλη πόλις Ἑλλάς κοίλης Συρίας. Παλλά ς . ἐθά ς . ἰκμάς παρὰ τὸ ἱκνεῖσθαι ἄνωθεν πρὸς ἡμᾶς ἀπὸ τοῦ Διὸς ὕοντος. μονά ς . Ἐχινάς νῆσοι περὶ τὴν Αἰτωλίαν, αἳ καὶ Ἐχῖναι. λαμπά ς . Δειράς δῆμος τῆς Λεοντίδος φυλῆς, πολυδειρά ς , ἀναδενδρά ς . Χοιράδες πόλις Μοσσυνοίκων. Ἑκαταῖος Εὐρώπῃ «Τιβαρηνοῖσι δὲ πρὸς ἥλιον ἀνίσχοντα Μοσσύνοικοι ὁμουρέουσι. ἐν δὲ αὐτοῖσι Χοιράδες πόλις». Λυμφάς πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ (c. 34, 6). Στροφάς νῆσοι πρὸς τῇ Ζακύνθῳ δύο. ἰσχά ς . Στοιχάς νῆσοι τρεῖς πρὸς τῇ Μασσαλίᾳ. Πανεάς πολίχνιον Φοινίκης. δυά ς . τριά ς . ῥυά ς . πλειά ς . πελειάς «αἱ δὲ βάτην τρήρωσι πελειάσι» (Il. 5, 778), ἢ καὶ πελειά. Ἰάς Ἰλλυρίας μέρος. καὶ ἐθνικὸν θηλυκόν. Φθιάς, παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (v. 119) «Φθιὰς ὅμως». Διάς πόλις Λυκίας, ἣν Διάδης ἔκτισε. Σκιάς χώρα Ἀρκαδίας. Τρῳάς ἡ χώρα τοῦ Ἰλίου. Πεδιάς φυλὴ τῆς Ἀττικῆς. Μενουθιάς νῆσος Αἰθιοπίας. Θυνιάς νῆσος πρὸς τῷ στόματι τοῦ Πόντου καὶ ἄκρα. Ξυνιάς λίμνη, ἣν Βοιβιάδα φασίν. Ἀπολλωνιά ς. οὕτω τινὲς Κυπάρισσον πόλιν φασίν. καὶ ἡ Τροιζὴν οὕτως ἐκαλεῖτο, ἣ καὶ Ποσειδωνιά ς . Κωλιάς ἄκρα Φαληροῖ, ὅπου καὶ Ἀφροδίτη Κωλιάς. ὁ δὲ τόπος ὀρθῶς καλεῖται. ἐκκείμενος γάρ ἐστι καὶ ὅμοιος ἀνθρώπου κώλῳ. Ἰξιάς πόλις Οἰνωτρῶν ἐν μεσογαίᾳ. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Ἰξιὰς πόλις, ἐν δὲ Μενεκίνη πόλις». Ἰδριάς πόλις τῆς Καρίας ἀπὸ Ἰδρίεω παιδὸς Καρός. Τιβεριάς πόλις τῆς Ἰουδαίας πρὸς τῇ Γεννησαρίτιδι λίμνῃ. Φαλωριάς πόλις Λοκρίδος. Δημητριάς πόλις Θεσσαλίας ἀπὸ Δημητρίου βασιλεύσαντος· β' Μακεδονίας. γ' Περσίδος πρὸς Ἀρβήλῳ. Διοσκουριάς μία τῶν ἐν Λιβύῃ Λευκῶν νήσων. ἔστι καὶ ἑτέρα περὶ Πόντον, ἥ τις Σεβαστόπολις καλεῖται. καὶ πρότερον δὲ Αἶα ἐκικλήσκετο, ὡς Νικάνωρ. Μεθουριάς νῆσοι μεταξὺ Αἰγίνης καὶ Ἀττικῆς πλησίον Τροιζῆνος. Ἀνδροτίων πέμπτῳ Ἀτθίδος. Προυσιάς πόλις Βιθυνίας ἀπὸ Προυσίου τοῦ Ζηΐλα τῶν Βιθυνῶν βασιλέως ἡ Κίος πρότερον ὀνομασθεῖσα. Ἀφροδισιάς πόλις Κιλικίας, περὶ ἧς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τῷ περὶ Κιλικίας φησὶν ὅτι Ζώπυρός φησιν αὐτὴν ἀπὸ τῆς Ἀφροδίτης κεκλῆσθαι, γράφων καὶ ἱστορίας. δευτέρα Ἰβηρίας πρὸς τοῖς Κελτοῖς. τρίτη νῆσος ἡ πρότερον Ἐρυθεία μεταξὺ Ἰβηρίας καὶ Γαδείρων.

3,1 59

τετάρτη ἐν Κνίδῳ. πέμπτη μεταξὺ Λυδίας καὶ Καρίας. ἕκτη νῆσος Λιβύης πρὸς τῇ Κυρήνῃ. ἑβδόμη πόλις Λακωνική, μία τῶν ἑκατόν. ὀγδόη Σκυθίας παραλία πρὸς τὴν ληστείαν εὔθετος. ἐνάτη Αἰθιοπίας. δεκάτη Κύπρου. εἰσὶ καὶ δύο νησίδια πλησίον τῆς Λιβύης. ἔστι καὶ Ἀλεξανδρείας. Τελμισσιάς, ἄκρα Λυκίας, ὡς Ἀρτεμίδωρος ἐν δεκάτῳ γεωγραφουμένων. Βολογεσσιάς πόλις πρὸς τῷ Εὐφράτῃ ἐκ Βολογεσσοῦ βασιλέως ᾠκισμένη. Ἡφαιστιάς πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ. Κεραστιάς καὶ Κεραστίς ἐκαλεῖτο ἡ Κύπρος ἀπὸ τοῦ πολλὰς ἄκρας ἔχειν. τὸ μέντοι μέγας καὶ λᾶας «λᾶας ἀναιδής» (Δ 521) συστέλλοντα τὸ α ὅμως βαρύνονται, ἐπειδὴ οὐ διὰ τοῦ δος κλίνονται. ἡμάρτηται δὲ τὸ μέγας περὶ τὴν εὐθεῖαν, ἐπείπερ ἢ βραχὺ ἔχον τὸ α ὤφειλεν ὀξύνεσθαι κατὰ τὸ Ἀρκάς φυγάς, ἢ βαρυνόμενον ἐκτείνειν τὸ α , ὧν οὐδέτερον ἔχει. καὶ διὰ τοῦτο οὐδὲ ἔσχεν ἀκόλουθον κλίσιν, μέγας γὰρ μεγάλου φαμέν. ΒΙΒΛΙΟΝ γʹ. Πᾶν ὄνομα δισύλλαβον ἁπλοῦν εἰς ης καθαρεῦον ἀσυνάλειπτον βαρύνεται, εἰ μὴ ἔχοι πρὸ τέλους μόνον τὸ υ καὶ ἰσοσυλλάβως κλίνοιτο ἢ σύνθετα εἴη, Ναίη ς , Δάης Σκυθικὸν ἔθνος· λέγονται καὶ Δάσαι μετὰ τοῦ ς . Κλεύη ς , γλοίη ς , Βρύη ς. Τὸ δὲ Ὑῆς περισπᾶται ἔχον τὸ υ ὥσπερ καὶ τὸ Θυῆ ς , Κυῆς ἰσοσυλλάβως κλινόμενα. τὰ δὲ περιττοσυλλάβως κλινόμενα βαρύνονται Γύης Γύητος βασιλεὺς τῶν Φρυγῶν, Μύης πόλις Ἰωνική. Ἑκαταῖος Ἀσίᾳ. τὸ δὲ λυῆς λυῆντος ἀπὸ τοῦ λυήεις· καὶ τὸ ζαής ὡς σύνθετον ὀξύνεται. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν, ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης «ὦρσε δ' ἐπὶ ζαῆν ἄνεμον» (Od. μ 313)· τοῦτο δὲ ἔδει χωρὶς τοῦ ν ζαῆ ὡς «ἀκραῆ Ζέφυρον» (β 421)· ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι ὡς τὸ «αἰνοπάθη πατρίδ' ἐπόψομαι» παρὰ Ἀνακρέοντι.

3,1 60 ὁ δὲ Ἀρίσταρχός φησι περισπᾶσθαι καὶ οὕτως ἔχει ἡ παράδοσις. Τὰ εἰς βης δισύλλαβα παραληγόμενα φωνήεντι βαρύνεται Λάβη ς , λέβη ς , Κέβη ς , Κάβη ς , Χάβη ς , Σίβης, Ἰνδικὸν ἔθνος, Βύβης πόλις κατὰ Πευκετίους καὶ τὸ ἐθνικὸν οἱ Βύβαι ὁμοφώνως ὡς Λοκροί καὶ Δελφοί. Νούβης ἔθνος Λιβύης παρὰ Νείλῳ. Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. λέγονται καὶ Νουβαῖοι ὡς Σαβαῖοι καὶ Νουβάδες οἱ αὐτοί. τὸ δὲ κιβῆς περισπᾶται ἀπὸ τοῦ κιβέας. Τὰ εἰς γης δισύλλαβα βαρύνονται χωρὶς εἰ μή τι ἐκ συνθέτου καταλελειμμένον εἴη ἢ παρώνυμον ἐπιθετικόν. τότε γὰρ περισπᾶται, ὅτε συναλήλιπται ἢ βραχείᾳ παραλῆγον ἰσοσυλλάβως κλίνοιτο. καὶ ἃ μὲν βαρύτονα, Μέγης «Τεῦκρον Μηριόνην τε Μέγην τ' ἀτάλαντον Ἄρηϊ» (Il. Ο 302). τοῦτο ὁ μὲν Ἀρίσταρχος βαρύνει ὡς «Μέσθλην τε Γλαῦκόν τε» (Il. Ρ 216) καὶ ἐπείσθη ἡ παράδοσις. ὁ δὲ Ἀσκαλωνίτης καὶ ἄλλοι περισπῶσιν ὡς Ἑρμῆν καὶ Ποδῆν. τὰ γὰρ εἰς ης λήγοντα, φασί, βαρύτονα δισύλλαβα, ἀπὸ βραχείας ἀρχόμενα, περιττοσυλλάβως κλίνεται, λέβητα, Λάχητα· εἰ δ' οὐχ' οὕτως ἐκλίθη, δῆλον, ὅτι περισπασθήσεται. ἄλλως τε εἰ εὑρέθη αὐτοῦ ἡ αἰτιατικὴ ὡς ἀπὸ βαρυτόνου «Φυλλείδην τε Μέγητα» (Il. Τ 239), ὅτε μὴ οὕτως ἔχῃ, περισπασθήσεται ὡς Θαλῆν καὶ Θάλητα καὶ Φαλῆν Φάλητα. ἔστι δὲ ὑπὲρ τοῦ Ἀριστάρχου πρὸς αὐτοὺς πρῶτον μὲν ἐκεῖνο εἰπεῖν, ὅτι οὐχ ἁπλῶς τὰ εἰς ης , ἀλλὰ τὰ ῥηματικὰ μὴ εἰς της λήγοντα τὴν προειρημένην ἀναδέχεται κλίσιν οἷον λέβης, Λάχης, Δάρης, Χάρης, πλάνης, πένης, Τρόμης, Κράτης. πρόσκειται δὲ «μὴ εἰς της » διὰ τὸ δότης, πλύτης, θύτης. ἔπειτα πολλά ἐστι διχῶς κεκλιμένα. τὸ γοῦν Μύνης ὁ μὲν ποιητὴς περιττοσυλλάβως ἔκλινεν «πέρσεν δὲ πόλιν θείοιο Μύνητος» (Il. Τ 296)· ὁ δὲ Σοφοκλῆς ἐν Αἰχμαλωτίσιν ἰσοσυλλάβως «Μύνου Ἐπιστρόφου τε», μύκητά τε καὶ μύκην, εἰ καὶ πολλὰ σημαίνει ἡ λέξις· σημαίνει γὰρ καὶ τοὺς σπινθῆρας τοὺς ἐπικειμένους τοῖς λύχνοις ὡς παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ (fr. 4) ὁπότε λύχνου δαιομένου πυρόεντος ἄδην ἐγένοντο μύκητες.

3,1 61 σημαίνει δὲ καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους ὡς παρὰ Ἀντιφάνει «ὄπτα μύκητας πρινίνους τοῦσδε δύο» (Mein. fr. com. p. 557 ed. min.). σημαίνει δὲ καὶ τὸ μέρος τῆς λαβῆς τοῦ ξίφους «ἔνθα κρατεῖ τις, οὗ πεσόντος ἐκ Περσέως Μυκήνας συνέβη κτισθῆναι», σημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνθρώπου, ὅπερ ἰσοσυλλάβως ἔκλινεν Ἀρχίλοχος (fr. 96 Bergk)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ' ἀπερρώγασί μοι μύκεω τένοντες· καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐστι, δῆλός ἐστι Ἑκαταῖος οὕτως κλίνας· φησὶ γὰρ «καὶ ἐπαφήσας τὸν κολεὸν τοῦ ξίφεος, τὸν μύκην εὗρεν ἀποπεπτωκότα». ὁ δὲ Ἄρατος περιττοσυλλάβως ἔκλινεν «ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν» (Dios. 244). καὶ μήποτε ταῦτα συναγωνίζεται τῷ Ἀριστάρχῳ. καὶ γὰρ ταῦτα διχὼς κλιθέντα οὐ μετέβαλε τὸν τόνον, οἷς ὅμοιον δύναται εἶναι καὶ τὸ Μέγης. Γύγης ἐπὶ τοῦ γίγαντος καὶ ἐπὶ τοῦ βασιλέως τῆς Λυδίας. Δράγγης ἔθνος Περσικῆς. Στράβων πεντεκαιδεκάτῃ (p. 721). Μόργης ἔθνος Ἰταλίας. Βρίγης ὁ κατοικήσας ἐν Μακεδονίᾳ, ἀφ' οὗ Βριγία ἡ Τρωϊκή, τουτέστιν ἡ Φρυγία. Βρύγης ἔθνος Μακεδονικὸν προσεχὲς Ἰλλυριοῖς ὃ καὶ Βρύξ, Μίσγης ἔθνος Ἰβήρων. Ἑκαταῖος Εὐρώπῃ, Λίργη ς , Ἄργης κύριον «Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον» παρ' Ἡσιόδῳ (Theogon. 140). τὸ μέντοι ἀργής ἐπιθετικὸν ὥσπερ καὶ τὸ ἀγής ἀπὸ συνθέτου καταλελειμμένον τοῦ ἀαγής ὁ μὴ κλώμενος. τὸ δὲ Μογῆς καὶ Δρογῆς ἰσοσυλλάβως κλινόμενα περισπᾶται. καὶ τὸ ἀργῆς ἐκ τοῦ ἀργήεις καὶ τὸ φθογγῆς ἐκ τοῦ φθογγήεις καὶ τὸ Αὐγῆς ἐκ τοῦ Αὐγέας. Τὰ εἰς δης δισύλλαβα μὴ διὰ τοῦ ους κλινόμενα ἢ τὸ ο παραληγόμενα βαρύνονται, Πύδης πόλις καὶ ποταμὸς Πισιδίας ὡς παρὰ Ἀντιμάχῳ «καδδ' ᾗα Πύδην ἐρόεντα» (fr.

3,1 62 79 Duebner) καὶ «Πύδητος τηλεκλείτου ποταμοῖο» (ibid). ᾄδη ς , Γράδη ς , Μένδης πόλις Αἰγύπτου παρὰ τὴν Λύκων πόλιν. Στράβων ιζ' (p. 802), «καὶ Λύκων πόλις καὶ Μένδης, ὅπου τὸν Πᾶνα τιμῶσι καὶ τὸν τράγον» Πάνδης καὶ Σίνδης ἔθνη Ἰνδικά, Ἔσδης ἔθνος Ἰβηρικόν. Ἑκαταῖος Εὐρώπῃ. Ἴδη ς . Ὕδη ς, ἐξ οὗ ἡ πόλις Ὑδισσός. τὸ μέντοι ψευδής καὶ φραδής ἐπιθετικά. καὶ τὸ Ποδῆς καὶ Ῥοδῆς περιεσπάσθη, ὅτι τὸ ο παραλήγει. Τὰ εἰς ης ἀσυνάλειπτα βαρύνονται, Ἄνθη ς , Σκύθης ἔθνος Θρᾴκιον ἀπὸ Σκύθου παιδὸς Ἡρακλέους· τινὲς δὲ ἀπὸ τοῦ σκύζεσθαι. ὀργιλώτατοι γάρ. «Σκύθης ὅμιλος» (Aeschyl. Prom. 415) καὶ «Σκύθην ἐς οἶμον» (ibid. v. 2) καὶ «Σκύθης σίδηρος» (Septem 799). ὅθεν τὸ ἀποσκυθίσαι τὸ τῷ σιδήρῳ τὰς τρίχας τεμεῖν. Σεύθη ς , Λάχη ς , Πάχη ς , λέσχη ς , Σάκης ἔθνος· τοὺς Σκύθας οὕτω φασίν, ἀπὸ τοῦ ὅπλου, ὅτι αὐτὸ εὕραντο. Μέλης ποταμὸς Σμυρναῖος, Μήλης ποταμὸς Κολοφῶνος, Πόλλη ς , Κόμης κύριον, Τρόμης πατὴρ Αἰσχίνου τοῦ ῥήτορος, Σάπης ἔθνος Θρᾴκης, λέγονται καὶ Σαπαῖοι καὶ Σάϊοι, τάπη ς , Βρύκης ἔθνος Θρᾴκης. λέγονται καὶ Βρυκεῖς καὶ Βρυκήϊοι, Μάκης ἔθνος μεταξὺ Καρμανίας καὶ Ἀραβίας. Βύζης, ἀφ' οὗ κατά τινας Βυζάντιον ἐκτίσθη. Βούσης ἔθνος Μήδων· Ἡρόδοτος πρώτῃ (101). Κάλπης λιμήν. Τύμης πόλις Λιβύης. Γέτης Θρᾳκικὸν ἔθνος καὶ τὸ κύριον. Ῥιανὸς δὲ Γετηνοὺς αὐτούς φησι. Ἄστης ἔθνος Θρᾴκης. Ἀρτεμίδωρος. Κέλτη ς· οὕτως γὰρ Στράβων φησὶ τοὺς Κελτούς. Κώφης Ἰνδικὸς ποταμός, ὡς Στράβων «Χοάσπης εἰς τὸν Κώφην ἐμβάλλει» (p. 697) καὶ πάλιν «μετὰ τὸν Κώφην ὁ Ἰνδός, εἶτα ὁ Ὑδάσπης, εἶτα ὁ Ἀκεσίνης καὶ ὕστατος ὁ Ὕπανις» (ibid.). Ἀριστοτέλης δὲ ἐν πέμπτῳ περὶ Ἀλεξάνδρου τὸν Κωφῆνά φησιν ὡς σωλῆνα. δότη ς , πλύτη ς , θύτη ς , πράτη ς. τὸ μέντοι κριτής ὀξύτονον καὶ τὸ ψαλτής δὲ Ἀττικῶς ὀξύνεται, ὡς ἱστορεῖ Ἀπολλόδωρος, καὶ ἔτι τὸ ληστής ἀπὸ τοῦ ληϊστής τρισυλλάβου· διὸ ἔχει προσκείμενον τὸ ι .

3,1 63 τὸ δὲ πότης ἀρσενικόν, τὸ δὲ ποτής θηλυκόν. τὸ μέντοι ψιλής παρ' Αἰσχύλῳ ἐπιθετικόν. τὸ δὲ Πυθῆς συναλήλιπται. Τὰ εἰς ης δισύλλαβα μὴ ὄντα προσηγορικὰ ἢ ἐπιθετικὰ συναληλιμμένα βαρύνονται, ἔχοντα πρὸ τοῦ η ἢ ς ἢ ξ . Ξέρξη ς , Χρύση ς . Μάσης πόλις Ἀργείων. Παυσανίας δευτέρῳ (c. 36, 2) «ὁδός ἐστιν ἐπὶ Μάσητα». Ὅμηρος «οἵ τ' ἔχον Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν» (B 562). λέγεται δὲ ἡ πόλις καὶ ἡ Μάσητος. Πέρσης τὸ ἔθνος. λέγεται καὶ Πέρσης ὄνομα. Βούση ς , Μάρσης, ἀφ' οὗ Μαρσύα πόλις φοινίκης. τὸ δὲ κασῆς τὸ πιλωτὸν ἱμάτιον περισπᾶται. τὸ δὲ Κισσής ὀξύνεται ὡς ἐπίθετον. Τὰ εἰς νης καὶ ρης δισύλλαβα ἁπλᾶ μὴ ἔχοντα κατ' ἐπιπλοκὴν σύμφωνον βαρύνεται· εἰ δέ τι περισπασθῇ, τοῦτο κατὰ συναλοιφὴν ἐγένετο ἢ ἰαμβικόν ἐστι καὶ ἰσοσύλλαβον. ὅσα δὲ ὀξύνεται εἰς ους ἔχει τὴν γενικὴν ἢ εἰς τος . τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρύτονα πένη ς , πλάνη ς , Μύνη ς , χλούνη ς , Φάνη ς . Τένης ὁ Κύκνου, Τύνης πόλις Λιβύης ἀντικρὺ Σικελίας, Κύνης ἔθνος Ἰβηρίας, Γένης ποταμὸς Καππαδοκίας παρὰ Σοφοκλεῖ, ὃς καὶ Γενήτης καλεῖται ἐκ τῆς γενικῆς ὡς τῆς Οἰδιπόδος Οἰδιπόδης καὶ τρίποδος τριπόδης. Σίνης ἔθνος. Ἄρης ὁ θεὸς παρὰ τὸ ἀρῶ καὶ ἀρῶμαι, ἔστι καὶ Ἄρης χωρίον Εὐβοίας. Θεόπομπος εἰκοστῇ τετάρτῃ Φιλιππικῶν. Δάρη ς· γέγονε δὲ ἤτοι παρὰ τὸ δείρω καὶ ἐκδείρω (ἐοικὸς γὰρ ἱερεῖ) καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης. ἐτράπη οὖν τὸ ε εἰς α . ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεονασμῷ τοῦ ρ . Χάρη ς . Κάρης πατὴρ Κρυασσοῦ, Φάρης ἔθνος Βοιωτίας. Βέρης υἱὸς Μακεδόνος καὶ πόλις Θρᾴκης ὁμωνύμως. Κέρης ἔθνος τοῖς Ἴβηρσιν ὁμοροῦν. Κύρης πόλις. τὸ δὲ πρηνής εἰς ους ἔχει τὴν γενικήν, τὸ δὲ Κουρής Κουρῆτος τὸ ἔθνος «Κουρῆτες τ' ἐμάχοντο καὶ Αἰτωλοί».

3,1 64 Ὅμηρος (Il. I 529) ὀξύνεται πρὸς διαστολὴν τοῦ « κούρητες Ἀχαιῶν (Il. T 248). τοῦτο γὰρ ἀπὸ τοῦ κόρος ὁ νέος κόρης ὡς ἰαμβικὸν κλίνεται διὰ τοῦ τος καὶ βαρύνεται ὡς πένης· καὶ τὸ ἔθνος δὲ οὐκ ἐχρῆν ὀξύνεσθαι, καθότι οὐ φιλεῖ τὰ εἰς ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι, ἀλλὰ συνεξωμοιώθη τῷ ἀδμής καὶ ἀβλής. «ἐκλήθησαν δὲ Κούρητες, ὡς Ἀρχέμαχος ὁ Εὐβοιεύς φησιν, ὅτι, ἐπεὶ οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τῆς ἔμπροσθεν κατέσπων αὐτούς, ὄπισθεν τοῦ λοιποῦ ἐκόμων, κειρόμενοι τὰ ἔμπροσθεν. ἔνιοι δὲ ἀπὸ ἥρωος τοὔνομα ἔχειν τὸ φῦλον, οἱ δὲ ἀπὸ ὄρους τοῦ Κουρίου τοὺς Κουρῆτας εἶναί φασιν, οἱ δὲ θηλυστολοῦντας ὡς αἱ κόραι τοὔνομα σχεῖν τοὺς περὶ τὴν Αἰτωλίαν φασίν. εἶναι γὰρ καὶ τοιοῦτόν τινα ζῆλον ἐν τοῖς Ἕλλησιν ὡς καὶ Ἰάονες ἑλκεχίτωνας εἰρῆσθαι καὶ κρωβύλον καὶ τέττιγα ἐμπλέκεσθαι καὶ τοὺς περὶ Λεωνίδαν κτενιζομένους τὴν κόμην, ὅτ' ἐπεξῄεσαν εἰς τὴν μάχην, καταφρονηθῆναι ὑπὸ Περσῶν». τὸ μέντοι σθενῆς, τεχνῆς, λαχνῆς, ζαχρῆς ἀπὸ συναλοιφῆς γίνονται· καὶ τὸ Φανῆς ἰαμβικὸν ἰσοσύλλαβον. Τὰ εἰς ης δισύλλαβα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον μετ' ἐπιπλοκῆς συμφώνου ἑτέρου κύρια ὄντα ἢ προσηγορικὰ βαρύνεται, Μέσθλη ς , μάσθλη ς , Μάγνης ὁ πολίτης Μαγνησίας ὁμωνύμως τῷ οἰκιστῇ, Πίγρης ὁ Τίγρη ς , Ὅπλη ς· Ὅπλητες δέ εἰσιν φυλὴ παλαιά, μία τῶν τεσσάρων τῶν ἀπὸ Ἴωνος παίδων, Πέτρης λιμήν τις. Μέμβλη ς , Βάμβλη ς , λάγνη ς , Πάσνη ς , Μάσνης ὀνόματα ποταμῶν, Τρίσπλης ἔθνος Θρᾴκιον. Ἑκαταῖος Εὐρώπῃ, Πάρνης τὸ ὄρος τῆς Ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται. Ἀντιφάνης ἐν Πυραυνῷ «ἐς κόρακας· ἥξω φέρων τε δεῦρο τὸν Πάρνηθ' ὅλον»· καὶ θηλυκῶς ὡς παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (v. 323) «βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα». Ἴγνης ἔθνος οἰκῆσαν τὴν Ῥόδον, ὃ καὶ χωρὶς τοῦ ι λέγεται. Φάγρης πόλις Θρᾴκης· Ἑκαταῖος Εὐρώπῃ καὶ Θουκυδίδης δευτέρᾳ (c. 99). Βάβρη ς , Ἔγκρη ς , Σάτρης ἔθνος Θρᾴκης ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ φησίν. Γόνδρης Θρᾴκιον ἔθνος. Νίγρης ποταμὸς Λιβύης καὶ ἔθνος, Γύμνης ἔθνος· ἐκλήθη δὲ ὅτι τῷ θέρει γυμνοὶ μένουσιν. εἴ τι δὲ περισπασθῇ, κατὰ πάθος γέγονε· τὸ γὰρ τεχνῆ ς , λαχνῆ ς , ζαχρῆς ἀπὸ συναλοιφῆς γίνονται. τὸ μέντοι γυμνή ς , χερνή ς , ἀβλή ς , προβλή ς , ἀδμή ς , ἀκμής ἐπιθετικὰ ὄντα ὀξύνονται. Τὰ εἰς ης ἐπιθετικὰ δισύλλαβα εἰς ους τὴν γενικὴν ποιοῦντα καὶ μὴ παθόντα συγκοπὴν ὀξύνεται, ψευδή ς , πρηνή ς , ζαή ς , ἁλή ς , σαφή ς , πρυλή ς , φραδή ς , νωθή ς.

3,1 65 τὸ δὲ πλήρης βαρύνεται, πλειήρης γάρ, ὡς ξιφήρη ς , ὀλιγήρη ς. καὶ τὸ Ἄρης κύριον. Τὰ εἰς ης δισύλλαβα κύρια ἔχοντα υ ἐν τῇ παραληγούσῃ περισπᾶται, Μυῆ ς , Θυῆ ς , Κυῆ ς· βαρύνεται δὲ τὸ Βρύη ς , Κύη ς , Γύης περιττοσύλλαβα. τὸ γύης δὲ οὐ κύριον, ἔστι δὲ μέτρον τι γῆς καὶ μέρος ἀρότρου κατὰ Ἡσίοδον. Τὰ εἰς ης κύρια ἀπὸ ἐντελεστέρου περισπᾶται, Ἑρμῆ ς , Θαλῆ ς , Πυλῆ ς , Ποδῆς ὁ παρ' Ὁμήρῳ (P 590), Φαλῆ ς , Κισσῆ ς , Σωσῆ ς. * Τὰ παρὰ τὸ ἄω συντιθέμενα καὶ εἰς ης λήγοντα ὀξύνεται, ἀκραή ς , δυσαή ς , ὑπεραή ς. Τὰ παρὰ τὸ κλέος ἐπίθετα ὄντα ὀξύνεται, εὐκλεή ς , ἀκλεή ς , δυσκλεή ς. κύρια δὲ ὄντα ἐν μὲν τῇ ἐντελείᾳ βαρύνεται, ἐν δὲ τῇ συναιρέσει περισπᾶται, Ἡρακλέη ς , Ἡρακλῆ ς , Σωκλῆ ς , Προκλῆ ς , Σοφοκλῆ ς. ὡς καὶ τὰ εἰς εας Ἀρτεμέας Ἀρτεμῆ ς , Θαλέας Θαλῆ ς , Ἀπελλέας Ἀπελλῆ ς. Τὰ εἰς ης ἀπὸ τῶν εἰς ηεις

περισπῶνται, τιμῆς «τιμῆς ἔσεται» (Ι 605) οὕτως καὶ τὴν αἰτιατικὴν εἶπε «καὶ χρυσὸν τιμῆντα» (Il. Σ 475). τινὲς μὲν τὸ τιμῆς ὡς ἀπὸ τοῦ τιμήεις διὰ τοῦ ι γράφουσιν, ἀλλὰ λόγος ἐστίν, ὡς πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουσα φωνήεντα ταῦτα ἐκφωνεῖ χωρὶς τοῦ Θρᾷξ. καὶ ἄλλως οἱ Δωριεῖς ἄνευ τοῦ ι προφέρονται τιμῆες χαρίες αἱματόες καὶ ἡμεῖς λοιπὸν προσθέσει τοῦ ι γράφομεν. τεχνῆ ς , δαφνῆ ς , φθογγῆ ς , σθενῆ ς , λαχνῆ ς , ζαχρῆ ς , ἀργῆ ς. τὸ δὲ « ὑψιπέτη ς» (Il. Μ 202) Ἀρίσταρχος ἐβάρυνεν εὑρὼν τὸ «ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν» (Il. Θ 42) οὕτως κεκλιμένον ὡσεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπῶλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων.

3,1 66 ὑψιπέτας γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η εἰς α , ὅπερ ζητεῖ καὶ ἡ κλίσις καὶ ἡ βαρεῖα τάσις· τινὲς μέντοι ἐτόλμησαν ὡς τὸ «τιμῆς ἔσεται» οὕτως ὑψιπετήεις ὑψιπετῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς εὕρομεν αἰτιατικήν, ἥτις ἐδίδασκε τὸ τῆς εὐθείας πάθος. ἐπὶ δὲ τοῦ ὑψιπέτης οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείσθημεν τῷ Ἀριστάρχῳ. * Τὰ εἰς γης ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, Ποδάργης ἔθνος Θρᾴκης, Τεκτοσάγης ἔθνος Γαλατικόν· ὡς γὰρ Καππάδοκος Καππαδόκης, οὕτω Τεκτόσαγος Τεκτοσάγης. Σαννίγης ἔθνος Σκυθίας τοῖς Ἀβασγοῖς παρακείμενον. Τὰ εἰς δης πατρωνυμικὰ ἢ ὡς πατρωνυμικὰ βαρύνεται, Πηλείδη ς , Ἀτρείδη ς , Κρονίδη ς , Θουκυδίδη ς. Ἰστέον δὲ ὅτι τὰ εἰς δης πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ πρὸ τοῦ δ ἔχει ἢ τὸ α ἢ τὸ ι . τὸ μὲν α οἷον Ἰλιάδη ς , Μενοιτιάδη ς , Πυλάδη ς , Ἀλκιβιάδης · Μιλτιάδη ς , Δημάδης ἐκ τοῦ Δημεάδης· Ἀργεάδης ὁ Ἀργεῖος· Δειράδης, ἀφ' οὗ δῆμος Δειράδες, Δολογκιάδης οἱ Δόλογκοι ἔθνος Θρᾴκης· Ἐνδυμιωνιάδης οἱ Ἐπειοί, Ἠλιάδης ὁ Ἠλεῖος, Βερενικιάδης ὁ Βερενικεύς, Παροπανισσάδης οἱ Παροπανίσσῳ ὄρει Ἰνδικῆς παροικοῦντες. Σκυμνιάδης ἔθνος σὺν Γέταις. Εὔδοξος τετάρτῃ γῆς περιόδου «Σκυμνιάδαι καὶ Γέται». Βουτάδαι δῆμος τῆς Αἰγηΐδος φυλῆς ἀπὸ Βούτου τοῦ Πανδίωνος· λέγονται γὰρ δῆμοι πατρωνυμικῶς. Ἐροιάδαι δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. Ἱπποταμάδαι τῆς Οἰνηΐδος, Κειριάδαι τῆς Ἱπποθοωντίδος, Λακιάδαι τῆς Οἰνηΐδος. Παμβωτάδαι Ἐρεχθηΐδος φυλῆς. Ὑβάδαι τινὲς τὸν δῆμον « Ὕβ α» λέγουσιν. Οἰνειάδαι πόλις Ἀκαρνανίας πρὸς τῷ Ἀχελῴῳ ἡ καὶ Ἐρυσίχη· ἔστι καὶ ἑτέρα τῆς Οἰταίας πόλις Οἰνειάδαι. Πατριαργάδαι τόπος Περσικός. οἱ οἰκήτορες ὁμοίως Πατριαργάδαι. Πασαργάδαι πόλις Περσική. Ἀπολλόδωρος ἀρσενικῶς φησιν, θηλυκῶς δὲ Διότιμος ἐν ἑξηκοστῷ πέμπτῳ παντοδαπῶν ἀναγνωσμάτων παρατιθέμενος Ἀναξιμένην ἐν μεταλλαγαῖς βασιλέων οὕτω γράφοντα «τὰς δὲ Πασαργάδας ἔκτισεν ὁ Κῦρος ἐφ' οὗ τόπου παραταξάμενος Ἀστυάγην ἐνίκησεν. ὀνομάζεται δὲ ἡ πόλις διερμηνευθεῖσα Περσῶν στρατόπεδον».

3,1 67 ἔοικε δὲ ἀρσενικῶς καὶ θηλυκῶς εἰρῆσθαι, τάχα δέ, ὅπερ ἄμεινον, ἐπὶ τῆς πόλεως θηλυκῶς, ἐπὶ δὲ τῶν οἰκητόρων ἀνδρωνύμως. τῷ δὲ ι παραλήγεται ἢ μόνῳ ἢ μετὰ ἑτέρου φωνήεντος ἐν διφθόγγῳ ἢ ἀνεκφωνήτῳ. καὶ ἀνεκφωνήτῳ μὲν οἷον Μίνως Μινωΐδης καὶ συναιρέσει Μινῴδης καὶ ἥρως Ἡρωΐδης καὶ Ἡρῴδης, ἐν διφθόγγῳ δὲ οἷον Περιθοίδης καὶ Περιθοῖδαι δῆμος Οἰνηΐδος φυλῆς, Χολλεῖδαι δῆμος τῆς Λεοντίδος φυλῆς. καὶ τὰ δὲ ἀπὸ τῶν εἰς ευς ὄντα πατρωνυμικὰ πάντα διὰ τῆς ει θέλουσι γράφεσθαι Πηλείδη ς , Ἀτρείδη ς , Αἰγείδη ς , Ὠρείδη ς. τὸ δὲ Ἀλκείδης ἀπὸ τοῦ Ἀλκαῖος τροπῇ τῆς αι διφθόγγου εἰς τὴν ει · ἔτι τὰ ἀπὸ τῶν εἰς ως Ἀττικῶν διὰ τῆς ει γράφονται Νείλεως Νειλείδης, Εὔνεως Εὐνείδη ς· καὶ τὰ ἀπὸ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικήν, εἰ μὲν βραχείᾳ παραλήγεται, διὰ τοῦ ι γράφεται Εὐτυχίδη ς , Πλεισθενίδη ς , Ἀχαιμενίδης, εἰ δὲ μακρᾷ παραλήγεται, διὰ τῆς ει Εὐήρης Εὐήρους Εὐηρείδη ς , Εὐκλείδη ς , Ἡρακλείδη ς , Χαρικλείδη ς· τύπου δὲ πατρωνυμικοῦ ἀπὸ τῶν εἰς ος ὄντα παρετάθησαν διὰ τῆς ει Λυσιθείδη ς , Κηκείδη ς , Καλλείδη ς , Ἀχιλλείδη ς , Ἐχεφυλλείδη ς , Σκυθρωπείδη ς , Θαρρελείδη ς , Φιλομηλείδης «Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς» (Od. ρ 134). Κυθνείδη ς. ι μόνῳ δὲ παραλήγεται τὰ ἀπὸ τῆς εἰς ος εἴτε εὐθείας εἴτε γενικῆς ἢ ἀπὸ τῶν εἰς ης εἰς ου ἐχόντων τὴν γενικὴν γινόμενα πατρωνυμικά, Πριαμίδη ς , Ταντααλίδη ς , Ἑκτορίδη ς ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πελοπίδη ς , Κεκροπίδη ς , Μεμνονίδη ς , Φοινικίδη ς . Ἀστακίδης Πείσανδρος δεκάτῃ. Ἀρκασίδης ὁ Ἀρκάς· ὤφειλε μὲν Ἀρκαδίδης, ἀλλὰ διὰ τὸ κακόφωνον οὕτως ἐγένετο καὶ τὸ θηλυκὸν Ἀρκασίς. Ἀρσακίδης ἔθνος ἀπὸ Ἀρσάκου, Δαρδανίδαι οἱ Δάρδανοι, Ἰδηΐδαι οἱ Ἰδαῖοι ἀπὸ τῆς Ἰδηΐς εὐθείας θηλυκῆς, Δρυΐδης ἔθνος Γαλατικὸν φιλόσοφον. Ἐρεβίδαι μέρος Λωτοφάγων· Φίλιστος ὀγδόῳ. Ὀδρυσίδης ὁ Ὀδρύσης, Ἀδυρμαχίδης Λιβυκὸν ἔθνος ὡς Ἡρόδοτος (IV 168). Πηδασίδης ὁ Πηδασεύς. Τευθίδης ὁ οἰκῶν Τευθίδα πόλιν Ἀρκαδίας. Πισίδης ἔθνος βάρβαρον κατοικοῦν παρὰ τὴν Ἄσπενδον καὶ τὴν Κιλικίαν. εἴρηται δὲ ἀπὸ Πισίδου. συστέλλονται δὲ τοῦ Πισίδης καὶ Πισιδία αἱ δεύτεραι καὶ αἱ πρῶται· Πισιδικὴ δὲ καὶ Πισιδικὸν καὶ Πισιδεῖς μετὰ ἐκτάσεως τοῦ ι . Αἰθαλίδαι δῆμος τῆς Λεοντίδος φυλῆς καὶ οἱ δημόται ὁμοφώνως, Βερενικίδαι ἀπὸ Βερενίκης τῆς Μάγα θυγατρός, γυναικὸς δὲ Πτολεμαίου δῆμος τῆς Πτολεμαΐδος φυλῆς· καὶ ἄλλα ἐξηνέχθη πατρωνυμικῶς.

3,1 68 Δαιδαλίδαι δῆμος τῆς Κεκροπίδος φυλῆς, Εἰρεσίδαι τῆς Ἀκαμαντίδος, Εὐπυρίδαι τῆς Λεοντίδος, Ἐχελίδαι δῆμος τῆς Ἀττικῆς, Ἰωνίδαι δῆμος τῆς Αἰγηΐδος φυλῆς, Κυνδατίδαι τῆς αὐτῆς, Κοθωτίδα ι , Περρίδαι δῆμος τῆς Ἀντιοχίδος φυλῆς, Σημαχίδαι δῆμος τῆς Ἀττικῆς ἀπὸ Σημάχου· ἔστι δὲ Ἀντιοχίδος φυλῆς· Φιλόχορος δὲ τῆς Ἐπακρίας φησὶ τὸν δῆμον. Σκαμβωνίδαι δῆμος Ἀττικῆς Ἀντιοχίδος φυλῆς, Συβρίδαι δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, Βωταχίδαι τόπος Ἀρκαδίας ἀπὸ Βωτάχου. Φιλαΐδαι δῆμος τῆς Αἰγηΐδος φυλῆς ἀπὸ Φιλαίου τοῦ Αἴαντος υἱοῦ καὶ Λυσιδίκης, τῆς Κορώνου τοῦ Λαπίθου, ὡς Πειραΐδης «Πειραΐδαο» (Δ 228)· τοῦτο γὰρ ἐν τέσσαρσι συλλαβαῖς προφέρονται οἱ ἄλλοι. Τυραννίων δὲ τρισυλλάβως, λέγων ὡς ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλους διεσταλμένον τὸ ι ἀπὸ ἑτέρου φωνήεντος οἷον Πυθοίδης, Βοηθοίδης, Πηλείδης. οὐκ ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετρασυλλάβως ἀναγινώσκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡς ὅτι ἐντελές ἐστι τὸ κατὰ διάλυσιν τοῦ ι , καὶ ὅτι οὐκ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ σύλληψιν ἐξηνέχθη τοῦ α καὶ τοῦ ι πρὸ τέλους. παρὰ τὸ Πείραιος οὖν Πειραΐδης ἐγένετο. ὠγενίδης ὁ ἀρχαῖος ἀπὸ Ὠγένου ἀρχαίου θεοῦ. Καὶ τὰ μητρωνυμικὰ δὲ διὰ τοῦ ι γράφεται, Λητοΐδη ς , Δαναΐδη ς , Νιοβίδης, ὅθεν τὸ Φιλομηλείδης κύριον λέγεται εἶναι· εἰ γὰρ ἦν μητρωνυμικόν, διὰ τοῦ ι ἐγράφετο ἄν· ἀλλ' οὐδὲ Ὅμηρος ἀπὸ μητέρων σχηματίζει πατρωνυμικόν, ὥς φησι Διονύσιος. Ἔτι τὰ διὰ τοῦ ωδης βαρύνονται, εὐώδη ς , πετρώδη ς , δυσώδη ς , γεώδη ς , ὀνώδη ς , βοώδη ς , λιμώδη ς , κτηνώδη ς , πυρώδη ς , ἀμμώδη ς , γραώδη ς , σαρκώδη ς. * Τὰ εἰς κης κύρια βαρύνονται· Ἀρτάκης ὁ κατοικῶν Ἀρτάκην πόλιν Φρυγίας. Σοφοκλῆς δὲ ἀπὸ τοῦ Ἀρτακεύς εἶπε «τί μέλλει Ἀρτακῆς τε καὶ Περκώσιοι»· ἔστι δὲ καὶ κύριον Ἀρτάκης «ἠδὲ καὶ Ἀρτάκεα, πρόμον ἀνδρῶν» (Apoll. Rhod. I 1047). Ἀριαράκης ἔθνος παρὰ τὴν Ἀριαράκην, πόλιν πρὸς τῇ Κασπίᾳ θαλάσσῃ ὡς λέσχη λέσχης, ἀράχνη ἀράχνης. Ὑδάρκης ἔθνος Ἰνδικόν. Ἀπασιάκης Μασσαγετῶν ἔθνος. Στράβων ἑνδεκάτῃ (p. 513) καὶ Πολύβιος δεκάτῃ (c. 48) «οἱ δ' Ἀπασιάκαι νομάδες κατοικοῦσι μὲν ἀνὰ μέσον Ὤξου καὶ Ταναΐδος». Δαδίκης ἔθνος Περσικόν.

3,1 69 Ἡρόδοτος ἑβδόμῃ (c. 66). Ὀξυδράκης ἔθνος Ἰνδικόν, ἀφ' ὧν σώσας Ἀλέξανδρον Πτολεμαῖος σωτὴρ ἐκλήθη· οἱ δὲ ψεῦδος τὸ περὶ τῶν Ὀξυδρακῶν. Δερβίκκης ἔθνος πλησίον τῶν Ὑρκανῶν. Ἀπολλώνιος δὲ δὶς τὸ κ καλῶς γράφει. Κτησίας δὲ Δερβισσοὺς αὐτούς φησιν ἢ Τερβισσούς. Καππαδόκη ς. Ἡρόδοτος δέ φησιν (I 72). λέγεται καὶ Καππάδοξ καὶ Καππάδοκος. Καραμβύκης ἔθνος Ὑπερβορέων ἀπὸ ποταμοῦ Καραμβύκα ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης. Παυσάρκης ἔθνος ὑπὸ τὸν Καύκασον. Πολυδεύκη ς , Πολυνείκη ς. βαρύνεται δὲ καὶ ὅσα παρὰ ῥῆμα προσηγορικά, ἱερονίκη ς , Ὀλυμπιονίκη ς. τὰ δὲ ἐπίθετα ὀξύνεται πολυδευκή ς , πολυνεικής πλὴν τῶν παρὰ τὸ ἀρκῶ αὐτάρκη ς , ποδάρκη ς. Τὰ εἰς λης βαρύνεται, εἰ διὰ τοῦ ητος ἢ διὰ τοῦ ου κλίνονται, Ἐπιάλης Ἐπιάλητος, οὗ χρῆσις παρὰ Σώφρονι οἷον «Ἡρακλῆς Ἠπιάλητα πνίγων» Κεφάλλης Κεφάλλητος ὄνομα κύριον, Ἀκέλης Ἀκέλητος ὄνομα ποταμοῦ· ἔστι καὶ πόλις Ἀκέλης καὶ ὁ

πολίτης ὁμοφώνως. Ἑλλάνικος δ᾽ εἶπεν «εἰς πόλιν Ἀκέλην»· ἐχρῆν δὲ Ἀκέλητα εἶναι. ἔοικε δὲ λέγεσθαι ἀπὸ Ἀκέλου τοῦ Ἡρακλέους καὶ Μαλίδος παιδός, δούλης τῆς Ὀμφάλης, ὡς Ἑλλάνικος. Ἀμέλης Ἀμέλητος ὄνομα ποταμοῦ, Τρεμίλης Τρεμίλου καὶ Τρεμίλητος, ἀφ᾽ οὗ ἡ Λυκία ἐκαλεῖτο Τρεμίλη ὡς Πανύασις ἔνθα δ᾽ ἔναιε μέγας Τρεμίλης καὶ ἔγημε θύγατρα, νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσιν, Σίβρῳ ἐπ᾽ ἀργυρέῳ ποταμῷ παρὰ δινήεντι· τῆς δ᾽ ὀλοοὶ παῖδες Τλῶος Ξάνθος Πίναρός τε καὶ Κράγος, ὃς κρατέων πάσας ληΐζετ᾽ ἀρούρας. Ἑκαταῖος Τρεμίλας τοὺς κατοικοῦντας καλεῖ ἐν τετάρτῳ τῶν γενεαλογιῶν, Ἀλέξανδρος δὲ Τρεμιλέας «τελευτήσας τοὺς Τρεμιλέας Λυκίους Βελλεροφόντης μετωνόμασεν». Ἡρόδοτος δὲ Τερμίλας αὐτοὺς καλεῖ ἐν πρώτῳ (c. 173). ὁ δὲ χρησμὸς ὁ περὶ αὐτῶν Τερμιλέας αὐτούς φησι. Δημομέλης Δημομέλου. Ἀψίλης ἔθνος Σκυθικὸν γειτνιάζον Λαζοῖς, ὡς Ἀρριανὸς ἐν περίπλῳ τοῦ Εὐξείνου πόντου (p. 12). Μυτίλης ὁ οἰκιστὴς τῆς Μυτιλήνης· Δασκύλης ὁ υἱὸς Περιαύδου, ἀφ᾽ οὗ Δασκύλιον πόλις Καρίας. Ὀζόλης ἔθνος. Λοκρῶν μοῖραι τρεῖς εἰσιν Ἐπιζεφύριοι Ἐπικνημίδιοι, οἱ καὶ Ὀπούντιοι ὧν ἦν Αἴας, καὶ Ὀζόλαι.

3,1 70 φαινόλη ς , γενειόλη ς. τὸ δὲ ἀμελή ς , ἀφελής, καὶ ἀελλής καὶ ἀολλής ἐπίθετα καὶ εἰς ους ἔχουσι τὴν γενικήν. Ἔτι βαρύνονται τὰ παρὰ τὸ ὄλω, πανώλη ς , ἐξώλη ς , προώλης καὶ τὰ παρὰ τὸ πωλῶ παντοπώλη ς. * Τὰ εἰς μης βαρύνονται, Γιλγάμης ἔθνος Λιβύης· Ἡρόδοτος ἑβδόμῃ (c. 66). Ἰάμης ἔθνος Σκυθικόν. Ἑκαταῖος Ἀσίᾳ. λέγονται καὶ Ἴαμοι, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Εὐξείνου πόντου μυθολογεῖ. Ἀδρύμης Λιβύης πόλις· λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς ἡ Ἀδρυμητός καὶ οὐδετέρως τὸ Ἀδρυμητόν. κέκληται δὲ ἀπό τινος Ἀδρύμητος τῆς γενικῆς παραχθείσης εἰς εὐθεῖαν. ἄμεινον δὲ τὸ Ἀδρύμης· αἱ γὰρ ἀπὸ γενικῆς εὐθεῖαι δίχα ποιητικῆς φράσεως σπανιώταται. Ἔτι τὰ εἰς ανης κύρια, Τιγράνη ς , Ἰορδάνη ς , Ἐξοστάνη ς , Ἀϊάνη ς , Βαρδάνη ς , Ἀριστοφάνη ς , Θεοφάνη ς. τὸ δὲ ἐπίθετον θεοφανής ὀξύνεται. καὶ τὰ εἰς αννης διὰ δύο νν Ὀρθάννη ς. καὶ τὰ εἰς νης παραληγόμενα τῷ ρ . Βαστάρνης ἔθνος ὑπὲρ τὸν Ἴστρον οἰκοῦν. καὶ τὰ εἰς ης Περσικὰ πάντα, Ἀρταφέρνη ς , Ἰνταφέρνη ς. * Τὰ διὰ τοῦ ενης κύρια βαρύνονται, Δημοσθένη ς , Διογένη ς , Ἀντιγένη ς , Ἀριστομένη ς , Βορυσθένης πόλις καὶ ποταμὸς τοῦ Πόντου παρὰ τὴν Μαιῶτιν λίμνην καὶ Τάναϊν τὸν ποταμόν. οὕτως καὶ ὁ Ἑλλήσποντος πρὸ τῆς Ἕλλης ἐκαλεῖτο. ἔστι δὲ καὶ πόλις Ἑλληνὶς πρὸς ἑσπέραν Βορυσθένου τοῦ ποταμοῦ, Μιλησίων ἄποικος, ἣν οἱ μὲν ἄλλοι Βορυσθένην, αὐτοὶ δὲ Ὀλβίαν. κεῖται δ᾽ ἐν νήσῳ, ἣν ποιοῦσιν ὅ τε Βορυσθένης καὶ Ὕπανις. ἀμένης ἀμένητος τὸ παιδίον διὰ τὸ μὴ ἔχειν μένος. τὰ δὲ ἐπίθετα ὀξύνεται, ἀμενή ς , εὐμενή ς , δυσμενή ς , ἀγενή ς. * Τὰ διὰ τοῦ ηνης ὀξύνονται, σαφηνής ὁ σαφής, παιδηνής ὁ παιδικός, γαληνής ὁ γαληνὸς τρόπος, δυσδηνή ς , ἀπηνή ς , προσηνή ς , δυσηνή ς. * Τὰ εἰς ινης κύρια βαρύνονται, Αἰσχίνη ς , Σμικρίνη ς , Λεπτίνη ς , Θεοκρίνη ς , Μηκίνη ς , Ἀξίνη ς , Ἀψίνη ς , Σπασίνης ἀφ᾽ οὗ Σπασίνου χάραξ πόλις ἐν τῇ μέσῃ τοῦ Τίγρητος Μεσήνῃ.

3,1 71 Ἀκεσίνης ποταμὸς ὁ Τάναϊς. Ἀρκεσίνη ς· οὕτως ἀρσενικῶς Πολύβιος τὴν Ἀρκεσίνην πόλιν ἐν Ἀμόργῳ τῇ νήσῳ φησίν. Βαρδίνης ποταμὸς Συρίας. τὸ δὲ ἀπινής ὁ ἀμόλυντος καὶ ἀκλινής ἐπίθετα καὶ εἰς ους τὴν γενικὴν ἔχει. Τὰ εἰς ονης βαρύνεται, Μηριόνη ς , Κεβριόνης ὁ Πριάμου. * Ἔτι τὰ εἰς υνης , Κερύνης καὶ τὰ εἰς ωνης τελώνη ς. * Τὰ εἰς ξης βαρύνεται, Ἀράξης ποταμὸς Ἀρμενίας καὶ Θετταλίας· οὕτως γὰρ ὁ Πηνειὸς ἐκαλεῖτο ἐκ τοῦ ἀράξαι. ἔστι δὲ καὶ ἔθνος Ἰλλυρίας, ὃ καὶ Ἄραξος λέγεται, ὡς Ἀλέξανδρος Κορνήλιος ἐν τῷ περὶ τῶν παρ᾽ Ἀλκμᾶνι τοπικῶς εἰρημένων. Σαΐξης ἔθνος παρὰ τῷ Ἴστρῳ. * Ἔτι τὰ εἰς πης Παντικάπης ποταμός, Ὑστάσπης ἔθνος Περσικόν. Ἔτι τὰ εἰς αρης , εἰ μὴ ἐπίθετα εἴη, Κυαξάρη ς , Παντάρη ς , Σωχάρη ς , Τυνδάρη ς , Ἀφάρη ς , Ἀμφιάρη ς , Καβάρης ὄνομα ποταμοῦ, Γανδάρης Ἰνδῶν ἔθνος. Ἑκαταῖος Ἀσίᾳ. λέγονται καὶ Γανδάριοι παρ᾽ αὐτῷ. Δουσάρης θεὸς παρὰ Ἄραψι καὶ Δαχαρηνοῖς τιμώμενος, ἀφ᾽ οὗ Δουσαρή σκόπελος Ἀραβίας. τὸ δὲ θυμαρής «ἔχει δ᾽ ἄλοχον θυμαρέα» (Il. I

Eulogikon public reading copy · View original HTML at eulogikon.org

336) καὶ «σκῆπτρον θυμαρές» (Od. ρ 199) ὀξύνεται· ἔστι γὰρ ἐπίθετον παρὰ τὸ θυμός καὶ ἀρῶ. * Τὰ εἰς ερης βαρύνονται, εἰ εἰς ητος τὴν γενικὴν ἔχει, Ὑπέρης Ὑπέρητος ὁ Λυκάονος υἱός, ἀφ' οὗ Ὑπερησία πόλις τῆς Ἀχαΐδος, ὑψικέρης ὑψικέρητος ὁ ἐν ὕψει κεκτημένος τὰ κέρατα, τὸ δὲ ἀμερής διὰ τοῦ ους κλινόμενον ὀξύνεται. Ἔτι τὰ διὰ τοῦ ηρης βαρύνονται, χαλκήρη ς , χρυσήρη ς , θυμήρης, ἔνθεν τὸ «θυμῆρες κεράσασα» (Od. κ 362), φρενήρη ς , τριήρη ς· ἔστι καὶ πόλις Συρίας, ὀλιγήρη ς , ποδήρη ς· τὸ δὲ ἀπηρής ὁ ἀβλαβής Ἀπολλώνιος Ἀργοναυτικοῖς (I 556) «νόστον ἐπευφήμησαν ἀπηρέα νισσομένοισι» οὐκ ἔστι τύπου τῶν διὰ τοῦ ηρης , ἐβαρύνετο γὰρ ἂν ὡς χαλκήρης, κωπήρης.

3,1 72 Ἔτι τὰ διὰ τοῦ ωρης βαρύνονται, νεώρη ς , αὐτώρη ς , κατώρη ς , ὑληώρη ς , μεσσώρη ς , Διώρης ὄνομα κύριον. Λυκώρη ς. ἡ δὲ Λυκωρέος γενικὴ παρὰ Καλλιμάχῳ (hymn. Apoll. 94) ἀπὸ τῆς Λυκωρεύς εὐθείας ἐκφέρεται. * Τὰ εἰς σης βαρύνεται, Ἀγχίση ς , Ἀντίση ς , Ἀμφίση ς , Ἐρίσης, ὄνομα κύριον, Κυρίσης ποταμὸς Κελτικῆς, Τιπανίσης, ἔθνος παρὰ τὸν Καύκασον. Ἑκαταῖος Εὐρώπῃ. Βασανίσης ἔθνος Θρᾴκιον, Ὀδρύσης ἔθνος Θρᾴκης· Στράβων ἑβδόμῃ (fr. 48), Λαπέρσα ι· οὕτως οἱ Διόσκουροι ἐκλήθησαν Λᾶν πόλιν Λακωνικὴν ἑλόντες. Τὰ εἰς της ἁπλᾶ ἀρσενικὰ καθαρὸν ἔχοντα τὸ τ βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς βαρύνεται, ἐργάτη ς , ἐλάτη ς , Ἰξιβάτης ἔθνος πρὸς τῷ Πόντῳ προσεχὲς τῇ Σινδικῇ. Ἑκαταῖος Ἀσίᾳ. Ἰαζαβάτης ἔθνος παρὰ Μαιῶτιν, οὓς Σαυρομάτας φησὶν Ἔφορος. Σαρμάτης ἔθνος Σκυθικόν, Σαυρομάτης ἔθνος Ἰνδικόν. λέγονται καὶ Συρμάται, ὡς Εὔδοξος πρώτῳ «ποταμὸν τοῦ Τανάϊδος Συρμάτας κατοικεῖν». Γαλάτης ἔθνος πρὸς νότον τοῖς Παφλαγόσιν· ἀπὸ τῶν ἐν τῇ Κελτικῇ Γαλατῶν, οἳ πλανηθέντες πολὺν χρόνον καὶ καταλαβόντες τὴν χώραν οὕτως ὠνόμασαν. παρήχθη δὲ τὸ Γαλάτης ἐκ τοῦ Γάλλος ὑφέσει τοῦ ἑνὸς λ . Ἀβρινάτης Ποντικὸν ἔθνος καὶ μετὰ τοῦ ρ καὶ χωρὶς τοῦ ρ . Δαλμάτης ἔθνος Ἰταλίας. λέγονται δὲ καὶ Δελματεῖς καὶ Δάλμιοι καὶ Δαλμιεῖς. Χαριμάτης ἔθνος πρὸς τῷ Πόντῳ. Παλαίφατος ἐν ἑβδόμῳ Τρωϊκῶν «Κερκετέων ἔχονται Μόσχοι καὶ Χαριμάται τοῦ Παρθενίου κρατέουσιν εἰς τὸν Εὔξεινον πόντον». καὶ Ἑλλάνικος ἐν κτίσεσιν ἐθνῶν καὶ πόλεων «Κερκετέων δ' ἄνω οἰκέουσι Μόσχοι καὶ Χαριμάται, κάτω δ' Ἡνίοχοι, ἄνω δὲ Κοραξοί».

3,1 73 Ναβάτης ἀφ' οὗ ἔθνος τῶν εὐδαιμόνων Ἀράβων. Ναβάτης δέ ἐστιν ἀραβιστὶ ὁ ἐκ μοιχείας γενόμενος. οἰκέτη ς , ὀφελέτη ς , φυλέτη ς , εὐνέτη ς , ἐρέτη ς , γενέτη ς , γαμέτη ς , Μακέτης ὁ Μακεδών, Ματυκέτης ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. Μασσαγέτης ἔθνος Σκυθῶν, ἔνθα Κῦρος ἐτελεύτησε. Εὐεργέτης Σκυθικὸν ἔθνος. Στράβων (p. 724) ὃ καὶ Ἀριμασποί ἐλέγετο. ἐκεῖ γὰρ τῶν ἐπὶ τῆς Ἀργοῦς χειμῶνος πνεύσαντος διασωθῆναι τὸ σκάφος καὶ οὕτω κληθῆναι. Θυσσαγέτης ἔθνος περὶ τὴν Μαιῶτιν λίμνην ὡς Ἡρόδοτος (IV 22). Τορέτης ἔθνος Ποντικόν. Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. Μυργέτης ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. ἀρότη ς , ἀγρότη ς , δημότη ς , ὁμότης καὶ ξυνωμότη ς , τοξότη ς , ἱππότη ς , δεσπότη ς. σεσημείωται τὸ εὑρετή ς· τὸ μέντοι ἀθλητή ς , μαθητή ς , ποιητή ς , μαχητή ς , ἐγγυητή ς , φοιτητή ς , τρυγητή ς , ἀκονητή ς , αὐλητή ς , πειρατή ς , θεατή ς , τορευτή ς , βραβευτή ς , χρυσωτή ς , σταυρωτή ς , βεβαιωτή ς , ζηλωτή ς , διορθωτής ὀξύνεται, ὅτι οὐ βραχεῖαν ἔχει τὴν παραλήγουσαν. Τὰ γὰρ εἰς της ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεσθαι θέλει. οὐκ ἄρα ὑγιῶς Τυραννίων παροξύνει τὸ ἑεδνωτής σχηματισθὲν παρὰ τὸ «ἑεδνώσαιτο θύγατρα» (Od. β 53). μάχεται δὲ τὸ κυβερνήτη ς. τὸ γὰρ ἀήτης οὐ παρὰ ῥῆμα γέγονε. τὰ γὰρ εἰς της φύσει μακρᾷ παραληγόμενα μὴ ῥηματικὰ βαρύνεται, κομήτη ς , πεδήτη ς , πλανήτη ς , ἀλήτη ς , λιμνήτη ς , ὑπηνήτη ς , κορυνήτη ς , νικήτη ς , κωμήτη ς , λιπερνήτης ὁ πρότερον πλούσιος, ὕστερον δὲ πένης παρὰ τὸ λείπεσθαι ἐρνέων ἤγουν φυτῶν.

3,1 74 Δανθαλήτης ἔθνος Θρᾳκικόν. Θεόπομπος μή. Δασσαρήτης ἔθνος Ἰλλυρίας. Πολύβιος ὀγδόῳ. Δεκιήτης ἔθνος Ἰταλίας, ὡς Ἀρτεμίδωρος ἐν α' γεωγραφουμένων. Γαζήτης ἔθνος Γαλατῶν

χρυσοφοροῦν. Σιδήτη ς , πολιήτης κατὰ πλεονασμὸν τοῦ η ὥσπερ μυθιήτης καὶ Κεραμιήτης καὶ Ἰουλιήτης ἀπὸ τοῦ Ἰουλίτης. Αἰγινήτης κατὰ τροπὴν ἀπὸ τοῦ Αἰγινάτης· ἔστι καὶ Αἰγινήτης πολίχνιον καὶ ποταμὸς Παφλαγονίας· οὕτω καὶ Βεμβινήτης, ὡς Πανύασις ἐν Ἡρακλείας πρώτῃ «δέρμα τε θήρειον Βεμβινήταο λέοντος» καὶ ἄλλως «καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος». καὶ Βαργυλιήτη ς , Μασσαλιήτη ς , Μαλειήτης «Μαλειήτης τρύπανον αἰπολικόν». στρατιώτη ς , νησιώτη ς , ταξεώτη ς , βοώτη ς , γαλεώτη ς. ἔστι δὲ καὶ Γαλεώτης ἔθνος ἐν Σικελίᾳ ἢ ἐν τῇ Ἀττικῇ ἀπὸ Γαλεώτου υἱοῦ Ἀπόλλωνος καὶ Θεμιστοῦς, τῆς θυγατρὸς Ζαβίου, τοῦ βασιλέως τῶν Ὑπερβορέων. τινὲς δὲ ὅτι Γαλεῶται μάντεων εἶδος Σικελῶν. ἀγγελιώτη ς . Περκώτη ς . Μαλλώτη ς . Ἠπειρώτη ς . Κολώτη ς . ἀσκαλαβώτη ς , δεσμώτη ς , δενδρώτη ς , λεσχηνώτη ς , ἀγρώτης καὶ ἐν πλεονασμῷ τοῦ ς ἀγρώστης ἀγροιώτη ς , μονώτης καὶ μονώστης.

3,1 75 Μαιώτης ἔθνος Σκυθικὸν μέγιστον καὶ πολυάνθρωπον. ἔστι καὶ μαιώτης ἰχθῦς τις. Ἀραχώτης ποταμὸς Ἰνδικός, ὃς καὶ Ἀραχωτός. Ἀζειώτης ἔθνος τῆς Τρῳάδος, ὡς Ἑλλάνικος ἐν τοῖς περὶ Λυδίαν λέγει. ἔοικε δὲ τὸ πρωτότυπον Ἄζεια εἶναι, ἵν’ ᾖ ὡς Μάρεια Μαρειώτης, Ῥάφεια Ῥαφειώτης. λέγεται δὲ καὶ Ἀζειοί. Ἡρακλεώτη ς , Ῥαφανεώτη ς , Ἀμβρακιώτη ς , Πηλιώτη ς , Φθιώτη ς , Ἰταλιώτη ς , Σικελιώτη ς . ἀσπιδιώτης —τὸ δὲ προπετή ς , ἀκρατή ς , τριετής σύνθετα. Τὰ διὰ τοῦ ατης τὸ α μακρὸν ἔχοντα μὴ ὄντα ῥηματικὰ βαρύνεται, Εὐφράτης ποταμός, Νιφάτης ὄρος Ἀρμενίας. ἔοικε δὲ παρὰ τὸ νείφειν, ἀλλ’ ὀνοματικῶς διὰ τοῦ ι γράφεται. καὶ Πείσανδρος ἑβδόμῳ «ταῦρον πρυμνώρειαν ἐϋσκόπελόν τε Νιφάτην». Ἰλαραυγάτης ὁ Ἴβηρ· Ἑκαταῖος Εὐρώπῃ. καὶ Ἰλαραυγάτης ποταμός. Ἀντεμνάτη ς , Βεμβινάτη ς , Μεσολάτη ς , Ναπάτη ς , Πισάτη ς , Ῥαβεννάτη ς , Ῥεσινάτη ς , Σπινάτη ς , Ζαιάτη ς , Βαιάτη ς , Ἐλεάτη ς , Τεγεάτη ς , Μαλεάτη ς. Ἀνδροτίων πέμπτῳ. Γυθεάτη ς , Σερρεάτη ς , Φενεάτη ς , Πανεάτη ς , Κορσεάτη ς , Ὑδρεάτη ς , Ὀρνεάτη ς , Ζελειάτη ς , Κορωνειάτη ς , Καυλωνειάτη ς , Ἐρευάτης πόλις Λυκίας καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Σπαρτιάτης κατὰ πλεονασμὸν τοῦ α ἀπὸ τοῦ Σπαρτίτης ὡς Κροτωνιάτη ς , Φαριάτη ς , Φασιάτη ς , Νωνακριάτη ς , οἰκιάτη ς . Ἰάτη ς , Σκιάτη ς , Ἐρινιάτης κώμη Μεγαρίδος. Παυσανίας α′ (c. 44, 5) καὶ ὁ οἰκήτωρ Ἐρινιάτης διὰ τὸ προκατειληφός. Βρενθιάτης ποταμὸς Ἀρκαδίας. Αὐταριάτης ἔθνος Θεσπρωτικόν. Χάραξ ἐν ἑβδόμῃ χρονικῶν καὶ Φαβωρῖνος ἐν παντοδαπαῖς καὶ Ἐρατοσθένης. Γενοάτη ς , Θεισοάτη ς , Λυκοάτη ς , Μεσσοάτη ς , Οἰάτη ς , Καρυάτη ς , Καφυάτη ς , Μωλυάτη ς , ἀγυιάτη ς. τὸ δὲ θεατής καὶ πειρατής ῥηματικὰ ὄντα ὀξύνεται. Τὰ εἰς ιτης τοῦ ι μακροῦ ὄντος καὶ ειτης βαρύνεται, πολίτη ς , τεμενίτης, ἔστι καὶ λόφος ἐν τῇ Θρᾴκῃ πρὸς τῇ Τριβαλλῶν. ζευγίτη ς , στυλίτη ς , ἑρκίτη ς , Θερσίτης, ἔστι καὶ ἔθνος Ἰβηρικόν.

3,1 76 Πολύβιος ἐν τρίτῳ. μεσίτη ς , στεφανίτη ς , πυρίτη ς , ὁδίτη ς , ἐπαλξίτη ς , μαγνίτη ς , φεγγίτη ς , λυχνίτη ς , αἰθερίτη ς , ἀγρίτη ς , τοπίτη ς , χωρίτη ς· Σοφοκλῆς Αἰγεῖ «ἐκλύομεν. οὐκ ἔγωγε χωρίτην γ’ ὁρῶ». καὶ ἐν Ἡρακλεῖ «τρέφουσι κρήνης φύλακα, χωρίτην ὄφιν». καὶ Αἰσχύλος ἐν Λέοντι σατυρικῷ «ὁδοιπόρων δήλημα, χωρίτης δράκων». καὶ Ἀπολλώνιος ἐν τῷ Κανώβῳ «τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης πλόος κομίζων δῶρα πλουσίου Νείλου». ἑδρίτη ς , Ὠρίτης ἔθνος Ἰνδῶν αὐτόνομον. Στράβων πεντεκαιδεκάτῃ (p. 720) «τῷ ὁρίζοντι αὐτοὺς ἀπὸ τῶν ἑξῆς Ὠριτῶν· Ἰνδῶν δέ ἐστι καὶ αὕτη μερίς, ἔθνος αὐτόνομον». καὶ Ἀπολλόδωρος δευτέρῳ «ἔπειτα Ὠρίτας τε καὶ Γεδρωσίους, ὧν τοὺς μὲν Ἰνδοὺς ὡς ἐνοικοῦντας πέτραν ....» Ὑθμίτης ἔθνος πρὸς τοῖς Λιβυρνοῖς καὶ Συωπίοις, ὥς φησιν Ἑκαταῖος Εὐρώπῃ. Αὐσχίτης ἔθνος Λιβύης ὑπὲρ Βάρκης, Ἀπολλόδωρος περὶ γῆς δευτέρῳ. Ἀμαλεκίτης ἔθνος Ἑβραϊκόν. Αὐαλίτης κόλπος ἐν δεξιοῖς μέρεσι τῆς Ἐρυθρᾶς θαλάσσης. Ἀμμανίτης διὰ δύο μμ γένος τῶν Ναβαταίων Ἀράβων ὡς Ἰώσηπος (Ant. Iud. 1, 11, 5) ἐκλήθησαν δὲ ἀπὸ Ἀμμάνου τοῦ παιδὸς Λώτου καὶ τῆς νεωτέρας θυγατρός. Ἀμανίτης ὁ οἰκήτωρ Ἀμάνου ὄρους πρὸς τῇ Κιλικίᾳ ἀπὸ τοῦ Ταύρου καθήκοντος. Αὐσονίτη ς. Λυκόφρων «παρ’ Αὐσονίτην Φύλαμον δομήσεται» (v. 593). Βοιίτη ς .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γεβεωνίτης ἔθνος πλησίον Ἱεροσολύμων, ὡς Ἰώσηπος (A. I. 1, 2). Γολομίτης ἔθνος τῆς Ἰδουμαίας. Διοχίτης κώμη Αἰγύπτου, ἐν ᾗ τέθαπται .... Ὄσιρις. ἐθνικὸν τὸ αὐτὸ Διοχίτης. Ἁρματίτης ἐθνικὸν Ἁρμάτων πόλεως πληθυντικῶς Ἰνδικῆς ὡς τοῦ ἕρμα ἑρματίτη ς· ἔστι καὶ πόλις Ἁρματίτης. Ἐπαρίτης ἔθνος Ἀρκαδίας, περὶ οὗ Ξενοφῶν καὶ Ἔφορος καὶ Ἀνδροτίων φασίν. Εὐωνυμίτης ἔθνος Αἰγύπτιον πρὸς τῇ Αἰθιοπίᾳ. Ἀλέξανδρος Αἰθιοπικῶν πρώτῳ. Ἰβηρίτης ὁ καὶ Ἴβηρ ἔθνος. Παρθένιος ἐν Λευκαδίᾳ « Ἰβηρίτῃ πλεύσει ἐν αἰγιαλῷ». Νεφθαλίτης ἔθνος κρατῆσαν τῆς ἕω, ὡς Ἰώσηπος (A. I. 5, 1). Ὁμηρίτης ἔθνος Αἰθιόπων. Ὀρβίτης ἔθνος Ἰνδικόν, ὡς Ἀπολλόδωρος δευτέρῳ, περὶ Ἀλεξάνδρειαν. Σαυνίτης τῶν Ἰαπύγων ὅμορος. Τρωΐτης ποταμὸς Αἰγύπτου. ἀστίτη ς. Σοφοκλῆς Ἀλεξάνδρῳ «οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει» καὶ «βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;» ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ προαστίτη ς. οὐ γὰρ παρὰ τὸ προάστιον· ἦν γὰρ προαστεύς ὡς Δουλιχιεύς, ἢ προάστιος ὡς Βυζάντιος. οὕτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται προαστία γῆ ἐν Φρίξῳ Σοφοκλέους «ὅρια κελεύθου τῆσδε γῆς προαστίας». ἀσπιδίτη ς. Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι «ἀλλ’ ἀσπιδίτην ὄντα καὶ πεφραγμένον». παραιγιαλίτης ἰχθῦς παρὰ τὸν αἰγιαλὸν εὑρισκόμενος ὡς Παρωκεανίτη ς , Παραχελωΐτη ς .

3,1 77 Σινωπίτη ς , Ἰοπίτη ς , Ἀκεσίτη ς , Παγασίτη ς , Ἀκμονίτη ς , Ἀβδηρίτη ς , Γαβαλίτη ς , Διολκίτη ς , Μεμφίτη ς , Ναυκρατίτη ς , εὐρείτη ς , βαθυρρείτη ς , ἀκαλαρείτης ὁ ἡσύχως ῥέων. ἀκαλὸν γὰρ παρὰ Σικελοῖς τὸ ἥσυχον. ἱερείτη ς , Σαμαρείτη ς , Ἀταρνείτη ς , Ἑλείτη ς , Ἁγνωνείτη ς , Μαρωνείτη ς , Καυκωνείτη ς , Δικαιαρχείτη ς , Ζελείτη ς , Ὠρείτη ς , ἀλείτης, ᾧ ἀντιπαράκειται τὸ ἀλοίτης. τὸ τραπεζίτης ἐπὶ μὲν τοῦ ἐν τῇ ἀγορᾷ διαπονουμένου διὰ τοῦ ι γράφεται, παρὰ γὰρ τὸ τράπεζα· ἐπὶ δὲ κυνός, ἐπεὶ ἀπὸ τοῦ τραπεζεύς παρῆκται, διὰ τῆς ει διφθόγγου γράφεται· τοῦτο δὲ παρ’ Ἰβύκῳ εὕρηται κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η . Καὶ ὅσα παρώνυμα τὸ υ μακρὸν ἔχοντα βαρύνεται, πρεσβύτη ς , ἐλύτη ς , βασανύτη ς , ἁλκυονύτη ς , Ἀρχύτη ς , Πιδύτη ς , Αἰγύτης ἐθνικόν, ὡς Παυσανίας, Κωβρύτη ς , Μωλύτη ς , Αἰπύτη ς , Πατρασύτη ς· τὸ μέντοι κωλυτή ς , μηνυτής ῥηματικὰ καὶ οὐ παρώνυμα. Τὰ εἰς οιτης ἰσοσύλλαβα βαρύνεται, Δαμοίτη ς , Μενοίτη ς , Θυμοίτη ς , Ἀγροίτη ς , Φιλοίτη ς , Λαοίτη ς , Ἀνεμοίτη ς , Ὀροίτη ς , Ἀνδροίτη ς , Σακοίτη ς , ἀλοίτη ς , Ζιποίτης βασιλεὺς Βιθυνίας· καὶ τὰ ἐθνικὰ Βουτοίτης ἐκ τοῦ Βουτοΐτης παρὰ τὴν Βουτὼ πόλιν Αἰγύπτου, Σαβοΐτης Σαβοίτης ὁ πολίτης τῆς Σαβοῦς, Κυβοίτης τῆς Κυβώ. * Τὰ εἰς ουτης βαρύνεται, Μαντούτης κατὰ συγκοπὴν παρὰ τὸ Μάντουα ὡς Ζελείτης παρὰ τὸ Ζέλεια. τριακοντούτη ς. * Τὰ εἰς της ἔχοντα τὴν παραλήγουσαν εἰς ἀμετάβολον λήγουσαν, ἀπρόσληπτα τοῦ ς κατὰ τὴν γενικήν, βαρύνεται, εἰ μὴ εἴη μετοχικά, ὑφάντη ς , ἀγύρτη ς , εὐφράντη ς , ὀξύντη ς , ἐγέρτη ς , ὀρίντη ς , αὐθέντη ς . Λαέρτη ς· ἔστι καὶ Κιλικίας χωρίον· Στράβων ιδ′ (p. 669) Ἀλέξανδρος δὲ «καὶ ὄρος καὶ πόλις» φησί. Σιβύρτης · Βερεκύντης, ἀφ’ οὗ ἡ Βερεκυντία χώρα.

3,1 78 Βισάλτης ὁ Ἡλίου καὶ Γῆς, ἀφ’ οὗ Βισαλτία πόλις καὶ χώρα Μακεδονίας. καὶ τὸ ἐθνικὸν ὁμοφώνως· ἔστι καὶ Βισάλτης ποταμός. Ἰαξάρτης ποταμὸς ὁ Τάναϊς. τὸ δὲ ἑκοντή ς , ἐθελοντής μετοχικά. παρὰ δὲ Ἀττικοῖς ὀξύνεται τὸ καθαρτή ς , ἀμυντής ἐπὶ τοῦ βοηθοῦ, φαιδρυντή ς , ποικιλτή ς , καλλυντή ς , πραϋντή ς. * Τὰ εἰς στης ῥηματικὰ πολυσύλλαβα ὀξύνεται, λυριστή ς , λεπιστή ς , ὑβριστή ς , ἐρανιστή ς , Αἰτωλιστής ὁ αἰτωλίζων καὶ τὰ τῶν Αἰτωλῶν φρονῶν, Ἐορδιστής ἀπὸ τοῦ ἐορδίζω ὡς Λυδός λυδίζω Λυδιστή ς , δικαστή ς , ἡλιαστή ς , δανειστή ς , παλαιστή ς , χηρωστής παρὰ τὸ «χήρωσας δὲ γυναῖκα» (Il. P 36). τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ «στείχων δ’ ἀγρώστην ὄχλον» παρώνυμον ὡς καὶ τὸ μονώτης μονώστη ς. Τὰ διὰ τοῦ εστης μὴ ὄντα ἐπιθετικὰ βαρύνεται, Ὀρέστης παρὰ τὸ ὄρος, Ὀφελέστης παρὰ τὸ ὄφελος, Θυέστης παρὰ τὸ θύος, Ἀκέστη ς . Διέστης —Παυσανίας δὲ Διάστας αὐτοὺς καλεῖ—Μακεδονικὸν ἔθνος ὡς καὶ Ὀρέστης παρ’ Ἑκαταίῳ Εὐρώπῃ. Πενέστης καὶ Ἐθνέστης —ἀπὸ Ἐθνέστου τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νεοπτολέμου παιδῶν ἑνός, ὡς Ῥιανὸς δ′ καὶ ε′—Θεσσαλικὰ ἔθνη. καὶ Κυρρέστης ἔθνος Συρίας, ὡς Πολύβιος πέμπτῳ· Δημήτριος δὲ ὁ Ἀντιγόνου τὸ Κυρήστης διὰ τοῦ η φησὶ καὶ καθ’ ὕφεσιν τοῦ ἑνὸς ρ . ὁμοίως δὲ τῷ Ὀρέστης βαρύνεται καὶ Πιάστης ἔθνος πρὸς τῷ Πόντῳ καὶ Προνάστης ἔθνος Βοιωτίας «Βοιωτῶν δέ τινες τὸ πάλαι ἔθνος Προνάσται καλέονται». καὶ Ἀσβύστης ἔθνος Λιβύης «οἵ τε Τρίτωνος ἐφ’ ὕδασιν Ἀσβύσταο» Καλλίμαχος Αἰτίων πρώτη.

3,1 79 τὸ μέντοι κηδεστής καὶ ἀργεστής «ἄνεμος ἀργεστᾶο Νότοιο» (Λ 306) ἐπιθετικὰ ὀξύνονται. τὸ δὲ Κηδέστης ὄνομα κύριον βαρύνεται. Τὰ εἰς στης λήγοντα, τῷ η παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ ς , ὑπὲρ δύο συλλαβὰς ὄντα ὀξύνεται, ἑρπηστή ς , ὀρχηστή ς , τευχηστή ς , ἀλφηστή ς . τὸ ὠμηστής Ἀρίσταρχος ὡς ἀθλητής, Τυραννίων δὲ ὡς κομήτης, σύνθετον ἐκδεχόμενος τὴν λέξιν. ἐπεκράτησε δὲ ἡ τοῦ Ἀριστάρχου προσῳδία. Τὰ εἰς ης πολυσύλλαβα παρώνυμα μεταθέσει τῆς εἰς ος εἴτε εὐθείας εἴτε γενικῆς εἰς ης γινόμενα βαρύνονται, Ἄραξος Ἀράξης ἔθνος Ἰλλυρίας, Λάπιθος Λαπίθης ἔθνος Θεσσαλίας, εἴσπνηλος εἰσπνήλης ὁ ἐρώμενος, ἀγκυλόχειλος ἀγκυλοχείλης, Ἄσκαλος Ἀσκάλης, δάμαλος δαμάλης «δαμάλης ἔρως», ἀπὸ τοῦ χαράξω Χάραξος Χαράξης, εὔπατρις εὐπάτριδος εὐπατρίδης εὐπατρίδου, ἑπτάπους ἑπτάποδος ἑπταπόδης παρ’ Ἡσιόδῳ, τρίπους τρίποδος τριπόδης, Οἰδίπους Οἰδίποδος Οἰδιπόδη ς. Γένης Γένητος Γενήτης λιμὴν καὶ ποταμὸς Καππαδοκίας. τὸ δὲ ἐθελοντής ἀπὸ τοῦ ἐθέλοντος καὶ ἑκοντής ἀπὸ τοῦ ἑκόντος γενικῆς μετοχῆς. τὸ δὲ νεοπτορθής παρὰ τὸ νεόπτορθος καὶ πολυκλαδής παρὰ τὸ πολύκλαδος ὀξύνονται ὡς διὰ τοῦ ους κλινόμενα. Τὰ εἰς ης ἐπίθετα παρὰ ῥῆμα σύνθετα εἰς ους ποιοῦντα τὴν γενικὴν ὀξύνεται, εὐσεβή ς , ἀσεβή ς , εὐλαβή ς , θεοφιλή ς , αὐτοσφαγή ς , ἀνηλεγής, ὅθεν τὸ «νίσσετ’ ἀνηλεγέως» (Apoll. Rhod. A 785), δυσηχή ς , πολυηδή ς , λαθικηδή ς , οἰνοπληθή ς , ἀληθή ς , ἀναιδή ς , θυμαρή ς , δυσαή ς , ζαχρηή ς , πολυσπειρή ς , νεοαρδή ς , πρωτοπαγή ς , ἀριφραδή ς , διοπειθή ς , πολυδευκή ς , ἀϊδής «δυσμενέων δ’ ἀϊδής» λέγει Βακχυλίδης, οὗ τὸ οὐδέτερον ἀϊδές «τοῦ δὲ τάφον καὶ σῆμ’ ἀϊδὲς ποίησεν».

3,1 80 Ἡσίοδος (Scut. 447), Ἀριφράδης δὲ καὶ Διοπείθη ς , Πολυδεύκη ς , Ἀΐδης τὰ κύρια βαρύνονται ὡς καὶ τὸ Ἀριστοφάνης Διομήδη ς. ὁμοίως ὀξύνονται καὶ τὰ εἰς τος τὴν γενικὴν ποιοῦντα, ἡμιθνή ς , ἡμιτρή ς , ἐπιβλή ς· διὸ καὶ παρὰ Ἀριστοφάνει (Vesp. 590) τὸ «ὁ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλή ς», ὅ ἐστι ῥίψασπις, καίτοι ἐκ τριῶν συγκείμενον λέξεων, ὅμως ὀξύνεται· οὐ καλῶς οὖν τὸ ἐπιβλής βαρύνει Ἀρίσταρχος, ὅτι δοκός ἐστιν. οὐ γάρ ἐστι βλής μονοσύλλαβον καθ’ ἑαυτὸ ἐπὶ ταύτης τῆς ἐννοίας, ἵνα ἐν συνθέσει βαρύνηται ὥσπερ τὸ Κρής Ἐτεόκρης. Βαρύνονται δὲ τὰ παρὰ τὸ ὄλω πανώλη ς , ἐξώλη ς , προώλης καὶ τὰ παρὰ τὸ ἀρκῶ αὐτάρκη ς , ποδάρκης —σημαίνει τὸν ταχὺν περὶ τὸν δρόμον ὁ τοῖς ποσὶ τοῖς ἑαυτοῦ ἐπαρκεῖν δυνάμενος πρὸς τὸ ὑπεκφυγεῖν ἢ διώκειν τοὺς πολεμίους. Ὅμηρος «ποδάρκης δῖος Ἀχιλλεύς» (Α 121). ἔστι δὲ καὶ ὄνομα κύριον. ὤφειλε δὲ εἶναι ποδαρκής ὀξυτόνως ὡς ἐπίθετον, ἀλλὰ σεσημείωται τὰ παρὰ τὸ ἀρκῶ. γίνεται δὲ ἡ κλητικὴ πόδαρκες ὡς αὔταρκες· καὶ τὸ οὐδέτερον ποδαρκές ὀξυτόνως, τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ. σεσημείωται δὲ καὶ τὰ παρὰ τὸ ἀντῶ προσάντης καὶ τὰ παρὰ τὸ ἅδω αὐθάδη ς. Τὰ μέντοι παρὰ ῥῆμα σύνθετα εἰς ου ἔχοντα τὴν γενικὴν βαρύνεται οἷον πωλῶ παντοπώλης, μετρῶ γεωμέτρης, τρίβω παιδοτρίβης, ὀφείλω χρεωφείλης, βαίνω ναυβάτης, μισῶ ἐργομίσης, τύπτω πατροτύπτη ς. τὸ μέντοι φιλαλήθης καὶ μισαλήθης καὶ εὐήθης καὶ κακοήθης παρώνυμά εἰσιν, οὐ παρὰ ῥῆμα. Τὰ παρ’ οὐδέτερα δισύλλαβα εἰς ος λήγοντα, μὴ τῷ η παραληγόμενα, συντιθέμενα, εἰς ης λήγοντα, ἀρσενικὰ ὀνόματα ὀξύνεται ἐπιθετικὰ ὄντα, εἶδος εὐειδής, βάθος « ἀγχιβαθής δὲ θάλασσα» (Od. ε 413), λέχος ἀγχιλεχή ς· Ἀντίμαχος «τό ῥά οἱ ἀγχιλεχὲς κρέματο περὶ πάσσαλον ἀεί», κράτος ἐγκρατής, γένος εὐγενή ς , ἀγενή ς , δυσγενή ς , προσγενής, τέλος εὐτελή ς , ἐντελής, μένος εὐμενή ς , δυσμενής, μέρος ἀμερής, κλέος δυσκλεής, τεῖχος εὐτειχή ς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 81 τὸ δὲ » εὐτείχε α» (Il. Π 57) οὐ παρὰ τὸ εὐτειχής, ἀλλὰ παρὰ τὸ εὐτείχεος, ἀφ’ οὗ τὸ «δῶσι πόλιν Τροΐην εὐτείχεον ἐξαλαπάξαι» (Il. Α 129), κατὰ μεταπλασμὸν ὡς πυργοκέρατον πυργοκέρατα· τὸ η παρῃτησάμην διὰ τὸ εὐμήκη ς , ἐπιμήκη ς , συνήθη ς , κακοήθη ς , μεγακήτης, τὴν δισυλλαβίαν διὰ τὸ εὐμεγέθη ς , εὐστελέχη ς. τὰ δὲ παρὰ τὸ ἔτος παρ’ ἡμῖν μὲν ὀξύνονται, διετή ς , τριετής, παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνονται· οἱ γὰρ Ἀθηναῖοι διέτη ς , τριέτη ς , ἑξαέτης λέγουσι βαρυτόνως ὁμοίως τῷ εὐνέτης, οἰκέτης καὶ ἱκέτης, εἰ καὶ ταῦτα εἰς ου δίφθογγον ἔχουσι τὴν γενικὴν τῶν παρὰ τὸ ἔτος εἰς ους αὐτὴν ἐχόντων. οὐ μόνον δὲ περὶ τὸν τόνον πταίουσιν οἱ Ἀττικοὶ τοῖς παρὰ τὸ ἔτος βαρυτόνως αὐτὰ προφέροντες, ἀλλὰ καὶ περὶ τὴν κλίσιν. οἷον δωδεκαέται γὰρ λέγουσι τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιούμενοι αὐτὴν ὥσπερ ὁ οἰκέτης τοῦ οἰκέτου οἱ οἰκέται, ὀφείλοντες εἰπεῖν οἱ δωδεκαέτεις ὥσπερ οἱ Δημοσθένεις· ὡσαύτως καὶ τὰ θηλυκὰ τούτων ὡς ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιοῦνται· ὥσπερ γὰρ ὁ πολίτης τοῦ πολίτου καὶ ἡ πολῖτις τῆς πολίτιδος καὶ ὁ κυνηγέτης τοῦ κυνηγέτου καὶ ἡ κυνηγέτις τῆς κυνηγέτιδος, οὕτω καὶ ἀπὸ τοῦ τριακονταέτης τριακονταέτου ποιοῦσι τὸ θηλυκὸν ἡ τριακονταέτις τριακονταέτιδος, ὡς παρὰ τῷ συγγραφεῖ (Thucyd. I 87) «τῶν τριακονταετίδων σπονδῶν» καὶ κατὰ κρᾶσιν τριακοντουτίδων, ὀφείλοντες εἰπεῖν ἡ τριακονταετής τῆς τριακονταετοῦς. τούτων οὕτως ἐχόντων «ὄτριχας οἰέτεας (Il. Β 765) ἀναγινώσκουσι κατὰ βαρεῖαν τάσιν, ἀλλ’ οὐδὲ τοῦτο πάλιν καθολικῶς σώζοντες· « ἑξετέα γὰρ ἀδμήτην» (Il. Ψ 266) ἀναγινώσκουσιν ὡς εὐσεβέα. Τοῖς μέντοι ἐπιθετικοῖς ὀξυνομένοις συνθέτοις παράκειται κύρια βαρύτονα «αὐτὰρ ὁ διογενής», ἀλλὰ Διογένης, «πολυνεικὴς δῖ’ Ἑλένα», ἀλλὰ Πολυνείκης, «παγκρατὴς ἀλήθεια» (Bacchyl. fr. 20)— Παγκράτης, «ὁ πλοῦτος εὐρυσθενής» (Pind. Pyth. V 1)— Εὐρυσθένης, εὐτειχής— Εὐτείχης ὄνομα κύριον παρ’ Ἀλκμᾶνι «Εὐτείχη τ’ ἄνακτ’ Ἀρήϊον», τηλαυγής Τηλαύγη ς , Καλλισθένη ς , Δημοσθένη ς , Ἀντιγένη ς , Ἀριστομένη ς , Πυλαιμένη ς.

3,1 82 οὐ μάχεται τὸ Εὐμενή ς· οὐ γὰρ πάντως τὰ μὲν κύρια ἀεὶ βαρύνεται, τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, ἀλλ’ εἴ που βαρύνεται τὸ κύριον, τὸ ἐπιθετικὸν ὀξύνεται. Τὰ παρὰ τὰ εἰς η λήγοντα θηλυκὰ συντιθέμενα καὶ εἰς ης περατούμενα ἐπιθετικὰ τότε ὀξύνεσθαι θέλει, ὅταν ἔχῃ οὐδετέρου παρασχηματισμὸν καὶ τὴν γενικὴν εἰς ους περατουμένην, εὐτυχοῦς εὐτυχές εὐτυχεῖς, εὐρυπυλοῦς εὐρυπυλές εὐρυπυλεῖ ς. οὕτως οὖν ἐχρῆν καὶ τὸ νεήκης παρὰ τὸ ἀκή συντιθέμενον. ὅμως μέντοι ἡ παράδοσις τὸ νεήκης καὶ ταναήκης βαρύνει κατὰ συνεκδρομὴν τοῦ εὐμήκης, μεγακήτης. Τὰ δὲ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα μὴ ἔχοντα οὐδέτερον καὶ εἰς ου ἔχοντα τὴν γενικὴν βαρύνονται, ἀκειροκόμη ς , ἑλλανοδίκη ς , μισογύνη ς , κυανοχαίτη ς , κλυτοτέχνη ς. Τὰ εἰς ης παρὰ τὸ ἔργον ὀξύνεται, λεπτουργή ς , Ναξιουργή ς , Ἀττικουργή ς , Κορινθουργή ς. Τὰ εἰς ης ἀπὸ τῶν εἰς υς ὀξυτόνων μὲν ὀξύνονται, βριθύς ἐμβριθής, βαρύς ἀβαρής, ἡδύς ἀηδής, ἠΰς ἐνηή ς· οὕτως οὖν ὤφειλε καὶ τὸ ποδώκης ὀξυτονεῖσθαι, γινόμενον ἀπὸ τοῦ ὠκύς· ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι «ποδωκὴς δ’ Ἀταλάντη (catal. XXVI Marksch.). τί οὖν ἐπὶ τοῦ Δόλωνος κατὰ βαρεῖαν τάσιν ἀνεγνώκασι καὶ ἐπὶ τούτου; «ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης» (Il. Κ 316). τὰ δὲ ἀπὸ βαρυτόνων βαρύνονται, πῆχυς τριπήχη ς , τετραπήχη ς. Τὰ εἰς ης σύνθετα μὴ ἀπὸ μονοσυλλάβων τὴν πρωτοτύπων τάσιν φυλάττει, ἐρανιστής ἀρχιερανιστής, δανειστής μισοδανειστής, λῃστής ἀρχιλῃστής, κορυστής ἱπποκορυστής, Ἀπελλῆς Φιλαπελλῆς, σαφής ἀσαφή ς , ἀντεραστή ς , φιλαθλητή ς , φιλοψευδή ς. σεσημείωται ἀληθής φιλαλήθης —ἐπειδὴ τὰ διὰ τοῦ ηθης σύνθετα παρώνυμα βαρύνεται οἷον ἦθος εὐήθης, συνήθης, κακοήθης, τούτοις συνεξηκολούθησε καὶ τὸ φιλαλήθης παναλήθης — καὶ δικαιοκρίτη ς , ὀνειροκρίτης, ἐπειδὴ παράλογός ἐστιν ἐν τῇ ἁπλότητι ἡ ὀξεῖα τάσις, ὤφειλε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ βαρύνεσθαι τὸ κριτής· τὸ δὲ ὑποκριτή ς , προκριτή ς , παρακριτής οὐ παρὰ τὸ κριτής, ἀλλὰ τὸ ὑποκρίνομαι, προκρίνω, παρακρίνω.

3,1 83 τὸ δὲ Ἐτεόκρης καὶ ἑτερόγνης ἀπὸ μονοσυλλάβων συντέθειται· τὰ γὰρ μονοσύλλαβα ὀνόματα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον οἷον χθών αὐτόχθων, Θρᾷξ Σαμόθρᾳξ, παῖς εὔπαις χωρὶς τοῦ πτώξ πολυπτώξ. οὐκ ἀντίκειται ἡμῖν τὸ «Ποσειδάωνος ὑποδμώς» (δ 386)· παρέλκουσαν γὰρ ἔχει τὴν ὑπό πρόθεσιν. Τὰ εἰς της πολυσύλλαβα θηλυκὰ βαρύνονται, λογιότη ς , λευκότη ς , ποιότη ς , ἑνότη ς , ἰότη ς , ἰσότη ς , κουφότη ς , δανότη ς , ὀρσότη ς , λαμπρότη ς , ὁσιότη ς , γενναιότη ς , μεγαλειότη ς , κοσμιότη ς , κακότη ς , δασύτη ς , δριμύτη ς , γλυκύτη ς. σεσημείωται ταχυτή ς , βραδυτή ς , ἁδροτή ς , ἀνδροτή ς , δηϊοτή ς. καὶ τὰ παρ' Ἀττικοῖς ὀξύτονα τραχυτή ς , κουφοτή ς. τὸ μέντοι ποτής καὶ ἑστής καὶ ἐσθής δισύλλαβα. τὸ δὲ νημερτής καὶ ἀψευδής ἐπίθετα. Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα (Il. Σ 46). ΠΕΡΙ ΤΩΝ ΕΙΣ ις ΟΝΟΜΑΤΩΝ. ΒΙΒΛΙΟΝ δʹ. Τὰ εἰς ις συνεσταλμένον τὸ ι ἔχοντα ἀρσενικὰ καὶ θηλυκὰ καὶ κοινὰ βαρύνεται, ὄφι ς , ἔχι ς , Θέτι ς , ὄϊ ς , πάϊ ς , μάντι ς , Ἄλεξι ς , Πρύτανι ς. * Τὰ εἰς ις θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν ἁπλᾶ ἐκτείνοντα τὸ ι ἐπὶ τέλους ἔχουσι τὸν τόνον οἷον κνημί ς , κρηπί ς , σφραγί ς , ἁψί ς.

3,1 84 * Τὰ εἰς ις λήγοντα καθαρόν, μόνως θηλυκά, ὀξύνεσθαι θέλει, Θαΐ ς , Λαΐ ς , Ἀμυκλαΐ ς , Ἀργαΐς νῆσος πρὸς τῇ Λυκίᾳ, Πτολεμαΐ ς , Κωπαΐς λίμνη, Γερραΐ ς , Θηβαΐς καὶ χώρα καὶ γυνή, Κυρηναΐ ς , Ῥωμαΐ ς , Φωκαΐ ς , Δαναΐ ς , Θιβαΐς τόπος πρὸς τῷ Πόντῳ ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ὑφ' Ἡρακλέους ἀναιρεθεισῶν· πεσεῖν γάρ φησιν Ἀρριανὸς τὰς μάλιστα διαφερούσας Τράλλαν τε καὶ Ἰσοκράτειαν καὶ Θίβαν καὶ Πάλλαν καὶ Κοίαν καὶ Κοινίαν. Πλαταιΐ ς , Τυμφαιΐ ς , Ἀχαιΐ ς , Κυταιΐ ς , Ἀκταιΐ ς , ληΐ ς , Κιρφηΐ ς , Βρισηΐ ς , Νηρηΐ ς , Ἀλαλκομενηΐς, ὅπερ οὐ παρὰ τὸ ἀλαλκεῖν, ὡς Ἀρίσταρχος, ἦν γὰρ Ἀλαλκηΐς, ἀλλ' ὥσπερ Θησεύς Θησηΐς, οὕτως Ἀλαλκομενεύς Ἀλαλκομενηΐς, Αἰθιοπηΐ ς , Αἰγηΐς φυλὴ τῆς Ἀττικῆς, Ἰδηΐ ς , Ἀλυβηΐ ς. Εὐφορίων ἐν Ἀραῖς ἢ Ποτηριοκλέπτῃ «ὅστις μὲν κελέβην Ἀλυβηΐδα μοῦνος ἀπηύρα» τουτέστι τὴν ἀργυρᾶν διὰ τὰ μέταλλα. Ἀμυρηΐ ς , Παταληΐ ς , βασιληΐ ς , Οἰτηΐ ς , Βοιβηΐ ς , Καδμηΐ ς. ἐκαλεῖτο οὕτως ἡ Βοιωτία ὡς Θουκυδίδης (I 12), Βρυγηΐ ς , Παταρηΐ ς , Πελοπηΐ ς , Γολγηΐ ς , Μινυηΐ ς , Ῥοιτηΐ ς , Γρυνηΐ ς , Θυνηΐ ς , Δολοπηΐς ἡ χώρα τῶν Δολόπων, Λελεγηΐ ς. οὕτω πρῶτον Μίλητος ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων Λελέγων, ὡς Δίδυμος ἐν συμποσιακοῖς. Λιλυβηΐ ς , Λυκτηΐ ς , Δραγγηΐ ς , Ταμυνηΐ ς , Δρυοπηΐ ς , Δωτηΐ ς. Ῥιανὸς ἐν δʹ Μεσσηνιακῶν «αὐδὴν εἰσάμενος Δωτηΐδι Νικοτελείῃ». Μελανηΐ ς· οὕτως ἐκαλεῖτο Ἐρέτρια ἀπὸ Μελανέως τοῦ Εὐρύτου πατρός. Δρυηΐ ς , Τριοπηΐ ς , Μακριηΐ ς , Ὑλληΐ ς , Μεγαρηΐ ς , Φυλληΐ ς , Φιλυρηΐς πλεονασμῷ τοῦ η παρὰ τὸ Φιλυρίς, Πλατηΐς νῆσος παρὰ τῇ Λυκίᾳ. Ἐπειΐ ς , Τηλεβοΐς μοῖρα τῆς Ἀκαρνανίας ἀπὸ Τηλεβόου ἣ πρότερον Ταφίων ἐκαλεῖτο.

3,1 85 Εὐβοΐ ς , Τρωΐ ς , Ἀθωΐ ς , Ὁμολωΐ ς· Ὁμολωΐδες Θηβῶν πύλαι πρὸς τῷ ὄρει. Ἀχελωΐ ς. ὁ δὲ λόγος ἐπὶ Ἑλληνικῶν ὀνομάτων, μή τις τὸ Ξόϊς καὶ Σάϊς Αἰγύπτια ὄντα καὶ παρ' Ἡροδότῳ λεχθέντα παράθηται. ὡσαύτως δὲ καὶ Θμοῦις πόλις Αἰγύπτου, Σύϊς πόλις Αἰγύπτου, ὡς Ἑκαταῖος ἐν τῇ αὐτῆς περιηγήσει, καὶ Κρῶϊς Ἀράβων πόλις βαρύνονται. Τούτῳ τῷ λόγῳ καὶ δαΐς ἡ μάχη ὀξύνεται, χωρὶς εἰ μὴ λέγοι τις τοῦτο βεβαρυτονῆσθαι πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου ὥσπερ καὶ τὸ ἀκρίς. τὸ δὲ Κράταιϊς δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυτονῆσθαι διὰ τὴν αἰτιατικὴν «βωστρεῖν δὲ Κράταιϊν (Od. μ 124)· τάχα δὲ καὶ τοῦτο πρὸς διαστολήν. καὶ τὸ νηΐς μόνως θηλυκὸν ἐπὶ τῆς νύμφης ὀξύνεται, τὸ δὲ νῆϊς τὸ ἀρσενικὸν ἀντὶ τοῦ ἄπειρος οἷον «νῆϊς ἀέθλων» βαρύνεται. Τὰ εἰς ις βαρύτονα καὶ ἐν τῇ συνθέσει βαρύνονται, μῆτις πολύμητις, ἴδρις ἄϊδρις, πόλις φιλόπολις, χάρις εὔχαρι ς. Τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὰ γένοιτο καὶ ἀρσενικοῦ, μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τοῦ μὲν προτέρου,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, σκελίς περισκελίς, νυχίς παννυχίς, τοῦ δὲ δευτέρου, ἐλπίς δύσελπι ς. ταύτῃ οὖν τὸ μὲν καταιγίς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκλήϊς καὶ πολυκλήϊς καὶ μελαμψήφις βαρυνθήσεται· τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπι ς. καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. καὶ τὸ εὐκνήμις ἀμέλει ἐπὶ Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ Θεσσαλικοῖς «τοὶ δ’ ἤδη ἐπὶ νηὸν ἐϋκνήμιδος Ἰτώνης». * Τὰ εἰς ις παρώνυμα ὀξύνονται, δρυμός Δρυμίς «Δρυμίδες νύμφαι», λόγος « Λογίδες σεμναί», φορμός « φορμί ς· ἰσχάδιον» παρ’ Ἀλέξιδι. Κάδμος Καδμίς παρ’ Ἰβύκῳ «παρελέξατο Καδμίδι κούρᾳ», Παρνασσός Παρνασσίς, Μολοσσός Μολοσσίς, Κηφισός Κηφισίς, Τευμησσός Τευμησσί ς· τὸ ἄσις ἀντίκειται «τόσσην οἱ ἄσιν ἐφύπερθε καλύψω» (Φ 321)· ὑποπίπτει γὰρ ἑτέρῳ κανόνι· τὰ ἐπὶ τοῦ αὐτοῦ γένους παραλαμβανόμενα καὶ ταὐτὰ σημαίνοντα ὁμοτονεῖ φήμη φῆμις, ἄση ἄσι ς.

3,1 86 Τὰ εἰς ις πατρωνυμικὰ ἢ τύπον ἔχοντα πατρωνυμικῶν ὀξύνονται Πριαμί ς , Ταντάλί ς , Τυνδαρίς ἡ τοῦ Τυνδάρεω, Ἑλικωνί ς , Αὐσονί ς , Βιστονί ς , Ἀβαντί ς , Εὐξαντίς καθ’ ὕφεσιν τοῦ α ἐκ τοῦ Εὐξαντιάς. Τὰ εἰς ις ὑποκοριστικὰ ἔχοντα ἐν ἴσαις συλλαβαῖς τὴν παραγωγὴν ὀξύνεται, θεραπαινί ς , ἑταιρί ς , λυρί ς. τὸ δὲ Ἶφις ἀπὸ τοῦ ἶφι γενόμενον βαρύνεται. Τὰ εἰς ις ἐσχηματισμένα ἀπὸ βαρυτόνων μελλόντων ἢ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνονται καὶ συστέλλουσι τὸ ι , ποιήσω ποίησις, γνώσω γνῶσι ς , πράξω πρᾶξι ς , ἕξω ἕξι ς, μέμψω μέμψις, λέξω λέξι ς· οὕτω καὶ ἅψω ἅψις ὤφειλεν εἶναι· ὅθεν Ἡσίοδος ἀναλογώτερον εἶπεν ἅψις βαρυτόνως «τρισπίθαμον δ’ ἅψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ» (op. 424). ἔστιν οὖν εἰπεῖν ὅτι, ἐπειδὴ τὸ ἁψίς ἐκτείνει τὸ ι , ὡς δηλοῖ τὸ «μή πως ὡς ἁψῖσι λίνου ἁλόντε» (Il. E 487), τούτου χάριν καὶ ὀξύνεται. * Τὰ εἰς βις δισύλλαβα ὀξύνεται ἢ βαρύνεται· καὶ ὀξύνεται μὲν τὰ παρώνυμα οἷον λαβίς παρὰ τὸ λαβή καὶ ἐπιθετικὰ οἷον Λεσβίς καὶ ἐκτείνοντα τὸ ι οἷον βαλβί ς· τὰ δὲ μὴ οὕτως ἔχοντα βαρύνεται, ἶβι ς , Ἄρβις ποταμὸς Ἰνδικῆς καὶ ἔθνος· λέγεται δὲ καὶ Ἄραβις. Νίβις πόλις Αἰγύπτου, Φλέγων ρμ′ Ὀλυμπιάδι, Τάβις πόλις Ἀραβίας. Ἑκαταῖος περιηγήσει Αἰγύπτου. Νάρβις Ἰλλυρίας πόλις. Ζόμβις πόλις τῆς Μηδίας. Χέμβις νῆσος ἐν Βουτοῖ, ὡς Ἑκαταῖος ἐν περιηγήσει Αἰγύπτου «ἐν Βουτοῖ περὶ τὸ ἱερὸν τῆς Λητοῦς ἐστι νῆσος Χέμβις ὄνομα, ἱρὴ τοῦ Ἀπόλλωνος· ἔστι δὲ ἡ νῆσος μεταρσίη καὶ περιπλέει καὶ κινέεται ἐπὶ τοῦ ὕδατος». Τὰ εἰς βις ὑπερδισύλλαβα ὀξύνεται ἢ προπαροξύνεται· ὀξύνεται τὰ παρώνυμα καὶ ἐπιθετικά, Νιοβί ς , Λυκαμβί ς , Περραιβί ς , Κανωβί ς , Ἐρεμβί ς , Τορρηβίς «ἐν δὲ τῇ Τορρηβίδι ἐστὶν ὄρος Κάριος καλεόμενον καὶ τὸ ἱερὸν τοῦ Καρίου ἐκεῖ».

3,1 87 σεσημείωται τὸ κάνναβι ς. τὰ δὲ κύρια ἢ προσηγορικὰ βαρύνεται, Ἀθάρραβις πόλις Αἰγύπτου. Ἑκαταῖος δ’ ἐν δευτέρῳ περιηγήσεως δι’ ἑνὸς ρ καὶ τοῦ μ «Ἀθάραμβις πόλις». Ἄθλιβις πόλις Αἰγύπτου. Νικάνωρ δ’ ὁ Ἑρμείου ἐν τῇ πρὸς Ἀδριανὸν γραφῇ διὰ τοῦ ρ φησὶν Ἄθριβις. οὕτω καὶ Στράβων (p 802). ἔστι καὶ ἄλλη ἐν Ἀραβίᾳ. Ἴαβις πόλις τῆς Γαλαδίτιδος. Ἰώσηπος (A. I. 5, 2, 11 et 6, 14, 8). λέγεται καὶ Ἰαβισσός. Κάραμβις ἄκρα τοῦ Πόντου. Πνέβεβις πόλις Αἰγύπτου, Ψινέκταβις κώμη Αἰγυπτία. Νίσιβις πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι. Φίλων ἐν Φοινικικοῖς Νάσιβις φησὶ διὰ τοῦ α . σημαίνει δέ, ὥς φησι Φίλων, νάσιβις τὰς στήλας. Δάνουβις ἢ Δάνουσις Ἴστρος ὁ ποταμός. ἑρμηνεύεται δὲ ὥσπερ τοῦ ἁμαρτεῖν ἔχων αἰτίαν. Ἄνουβι ς , κάνναβι ς. σημείωσαι τὸ καλλαβί ς. Τὰ εἰς γις δισύλλαβα ὀξύνεται, εἰ μὴ ἄρχοιντο ἀπὸ τοῦ γ , αἰγί ς , μαγί ς , σφαγί ς , σφραγί ς , Βρυγί ς. τὸ μέντοι Γέργις βαρύνεται· ἀπὸ τοῦ γ γὰρ ὥσπερ καὶ τὸ γέλγις γίγγι ς. ἔστι δὲ Γέργις πόλις Τροίας. λέγεται καὶ ἡ Γέργιθος εὐθεῖα ἀπὸ γενικῆς ὡς Τροίζηνος Ἔτι τὰ εἰς γις πολυσύλλαβα, στρατηγί ς , ἁλουργί ς , ἀμοργί ς. τὸ δὲ ἄμοργις ἡ ὑποστάθμη βαρύνεται καὶ Μέσσωγις ὄρος Λυδίας. * Τὰ εἰς δις παρώνυμα ὀξύνεται, Μηδί ς , Ἀσπενδίς «Ἀσπενδίδα γαῖαν». Λαρανδί ς. τὰ δὲ ἄλλα βαρύνεται Βῖδις φρούριον ἐν τῇ τῶν Ταυρομενιτῶν χώρᾳ, Σάρδις πόλις Λυδίας, Βούσμαδις Ἰσαυρικὴ πόλις. * Τὰ εἰς ζις βαρύνεται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ῥίζις ἄκρα μεγάλη, ἣν οἰκοῦσι Τρωγλοδύται. Τὰ εἰς θις δισύλλαβα, εἰ μὴ μετάληψιν ἔχοι εἰς ἀρσενικὸν γένος, ὀξύνεται, πληθί ς , Ἀτθί ς , τηθίς ἡ πατρὸς ἀδελφή. Σκυθί ς· οὕτω Δῆλον κεκλῆσθαι Νικάνωρ φησίν. Τευθίς πόλις Ἀρκαδίας. Παρθίς χώρα Μακεδονίας. σεσημείωται τὸ Δένθις καὶ κόρθις καὶ Κρᾶθι ς. Λυκόφρων (v.

3,1 88 1021) «Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὄρος». καὶ Ὦφθις πόλις Λιβύης Αἰγύπτῳ περικειμένη. Τὰ εἰς θις ὑπερδισύλλαβα ὀξύνεται μὴ ὄντα ὀνόματα πόλεων Αἰγυπτίων, ἀκανθί ς , κολοκυνθί ς , ἀγαθί ς . Ἠμαθίς χώρα ἡ νῦν Μακεδονία. Ἀσπαλαθίς νῆσος Λυκίας. λέγεται οὕτω διὰ τὰς ἐν αὐτῇ πεφυκυίας ἀσπαλάθους. Ἀψυνθίς χώρα. Ἐρυμανθί ς , Οἰανθί ς , Τιρυνθί ς , Παρνηθί ς , Πεπαρηθί ς. τὸ δὲ Ταμίαθις καὶ Μένουθις κώμη πρὸς τῷ Κανώβῳ καὶ Τερένουθι ς , Θέρμουθι ς , Ἔλβονθις πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης, Φενέβηθι ς , Ἕρμωνθις πόλεις Αἰγύπτου βαρύνονται. Τὰ εἰς κις δισύλλαβα ὀξύνεται, Φωκίς χώρα περὶ τὸν Παρνασόν. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Φώκου τινός. κερκί ς , χαλκί ς. ἔστι καὶ πόλις Εὐβοίας. Ἑκαταῖος Εὐρώπῃ «Χαλκὶς πόλις ἐστίν, ἣ πρότερον Εὔβοια προσηγορεύετο». ἐκλήθη δὲ ἀπὸ Κόμβης τῆς Χαλκίδος καλουμένης, θυγατρὸς Ἀσωποῦ. Ἐπαφρόδιτος δὲ μαρτυρεῖ ἐκεῖ χαλκὸν πρῶτον εὑρεθῆναι «καὶ πρῶτοι χαλκὸν ἐκεῖ ἐνεδύσαντο οἱ Κούρητες οἱ μετὰ Διὸς ἐλθόντες, οὓς φύλακας τῆς νήσου καὶ τοῦ ἱεροῦ τῆς Ῥέας κατέλιπεν· ἀφ' οὗ οἱ Χαλκιδεῖς ὠνομάσθησαν». μέμνηται δ' αὐτῆς καὶ ὁ ποιητής «Χαλκίδα τ' Εἰρέτριάν τε πολυστάφυλόν θ' Ἱστίαιαν» (Il. B 537). καὶ τὸ θηλυκὸν τοῦ ἐθνικοῦ ὁμώνυμον τῇ πόλει ὡς Φωκίς, Λοκρίς, ἡ χώρα καὶ ἡ γυνή. Ἑλλάνικος ἱερειῶν Ἥρας δευτέρῳ «Ἡρακλέης ἐκ Χαλκίδος μετὰ Χαλκιδέων καὶ Ναξίων ἐν Σικελίῃ πόλεις ἔκτισε». ἔστι καὶ Χαλκίς πόλις Κορίνθου, Αἰτωλίας, ἀφ' ἧς Ἀχελῷος ῥεῖ, καὶ πόλις ἐν Συρίᾳ κτισθεῖσα ὑπὸ Μονικοῦ τοῦ Ἄραβος, καὶ ἐν Σκυθίᾳ· ἔστι καὶ νῆσος ἔχουσα πόλιν ὁμώνυμον πρὸς τῇ Λέσβῳ. ἔστι καὶ ἐν Ἄθῳ ἄλλη Χαλκίς, ὡς Εὔδοξος τετάρτῳ «μετὰ δὲ τὸν Ἄθω μέχρι Παλλήνης, ἣ ἐπὶ θάτερα πεποίηκε κόλπον βαθὺν καὶ πλατὺν Χαλκίδα ἐπονομαζόμενον». ἔστι δὲ καὶ Χαλκίς ποταμός, ἀφ' οὗ ἡ Χαλκῖτις νῆσος ἐκλήθη. φαρκί ς , κηκί ς . Γραικί ς , Σακί ς , Συκίς πόλις ἀπὸ τῶν συκῶν καλουμένη. οἱ τόποι γὰρ ἀπὸ τῶν ἐν αὐτοῖς ὄντων ὀνομάζονται, Κυπάρισσος, Ἐλαία, καὶ τύπῳ περιεκτικῷ Σικυών Μαραθών καὶ εἰς ους Δαφνοῦς, Κερασοῦς, Φηγοῦς, Μυρρινοῦς, Ἀχερδοῦς, Ἀγνοῦς, Σελινοῦς. οὐδὲν δὲ τῶν τοιούτων εἰς ις λήγει, Συκίς, ἀλλ' ἐχρῆν ἢ Συκᾶς ὡς καὶ λέγονται, ἢ Συκῆν, ὡς Στράβων αὐτὴν λέγει, ἢ Συκοῦντα ἢ Συκῶνα λέγεσθαι. τὸ δὲ Κίκις βαρύνεται. ἔτι καὶ τὰ ὑπερδισύλλαβα, παλλακί ς , πινακί ς , φαρμακί ς . Ὑποχαλκίς πόλις Αἰτωλίας. Ἑκαταῖος Εὐρώπῃ.

3,1 89 Ἀρσακί ς , Ἀτρακί ς , Φαιακί ς , Ῥυνδακί ς , Σαλμακίς πόλις Καρίας, Βυζακίς χώρα περὶ τὰς Σύρτεις ὡς Πολύβιος ἐν δωδεκάτῳ «σταδίων μὲν οὖσα τὴν περίμετρον δισχιλίων, τῷ δὲ σχήματι περιφερής». Ἰωλκί ς , Τεμμικί ς , Σελευκίς χώρα. ἔστι καὶ ποτηρίων εἶδος ἀπὸ Σελεύκου. Ναρθηκίς νησίδιον ἐγγὺς Σάμου ἐν δεξιᾷ τοῖς προσπλέουσι πρὸς τὴν πόλιν. Τὰ εἰς λις ἁπλᾶ ἔχοντα σύμφωνον κατ' ἐπιπλοκὴν ἢ διπλασιασμὸν τοῦ λ ὀξύνεται, εἰ μὴ διὰ τοῦ θ κλίνοιτο ἢ πόλιν σημαίνοι, φυλλί ς· ἔστι δὲ καὶ χώρα Θρᾴκης. Ἡρόδοτος ἑβδόμῃ (c. 113) «ἡ δὲ γῆ αὕτη περὶ τὸ Πάγγαιον ὄρος καλέεται Φυλλίς». ἔστι καὶ ποταμὸς Βιθυνίας Φυλλίς. κιγκλί ς , θυλλίς ὁ θύλακος. Ὑλλίς τὸ θηλυκὸν ἐθνικοῦ παρὰ Καλλιμάχῳ ἀπὸ Ὑλλίδος Ἀργείας μιᾶς τῶν νυμφῶν καὶ Ἀπολλόδωρος Ὑλλὶς πρόκειται χερρόνησος ἡλίκη μάλιστα Πελοπόννησος, ὥς φασι ..... ............ πεντεκαίδεκα πόλεις ἔχουσα παμμεγέθεις οἰκουμένας. ἔστιν Ὑλλίς καὶ φυλὴ Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων. Βυβλίς, ἀδελφὴ Καύνου, οὗ ἐρασθεῖσα φεύγοντος ἐκείνου ἀπήγξατο. οὕτω δὲ καὶ ἐκαλεῖτο Μῆλος μία τῶν Κυκλάδων ἀπὸ τῶν Βυβλίων Φοινίκων. Βρυλλίς χώρα ἐν τῇ Προποντίδι. τὸ δὲ Τράλλις πόλις Λυδίας πρὸς τῷ Μαιάνδρῳ ποταμῷ, καὶ τὸ Βύλλις πόλις Ἰλλυρίδος παραθαλασσία, τῶν μετὰ Νεοπτολέμου Μυρμιδόνων κτίσμα. καὶ τὸ δέλλις τὸ μικρὸν σφηκίον διὰ τοῦ θ κλίνεται. καὶ τὸ βάλλις δὲ βαρύνεται εἶδος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνθους, ὃ δοκεῖ ποιεῖν ἀναζῆν τὸν νεκρόν. Τὰ εἰς λις βραχείᾳ παραληγόμενα δισύλλαβα, εἰ μὴ ἀπὸ τοῦ π ἄρχοιτο μήτε ὑποκοριστικὰ εἴη, ὀξύνεται, βολί ς , φολί ς , σελί ς , ψαλί ς , πυλίς ὑποκοριστικόν. τὸ δὲ πρύλις βαρύνεται ἡ ἔνοπλος ὄρχησις ὥσπερ καὶ ἡ πόλις ἀπὸ τοῦ π ἀρχομένη. καὶ Τύλις πόλις Θρᾴκης τοῦ Αἵμου πλησίον, καὶ Σκόλις Ἀχαΐας πόλις καὶ Ψίλις ποταμὸς τῆς Βιθυνίας ἐκρέων εἰς τὸν Εὔξεινον πόντον.

3,1 90 Τὰ εἰς λις δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα, εἰ παραλήγοιτο φύσει μακρᾷ χωρὶς α μακροῦ, ὀξύνεται, μηλίς ἡ μηλέα καὶ Μηλίς ἡ χώρα, δουλί ς , Δαυλίς πόλις Φωκίδος. Ὅμηρος «Δαυλίδα καὶ Πανοπῆα» (B 520). δαύλον δὲ τὸ δασύ. δασεῖα δὲ ἡ πόλις. Παυσανίας δὲ δεκάτῳ «ἀπὸ νύμφης Δαυλίδος» (c. 4, 7). οἱ δὲ ὕστερον Δαύλειάν φασι προπαροξυτόνως καὶ διὰ διφθόγγου. ἐναντιοῦται τὸ μαῦλις ἡ μάχαιρα καὶ τὸ τῆλι ς. τὸ δὲ τᾶλις ἡ μελλόγαμος τὸ α μακρὸν ἔχει. Ἔτι βαρύνεται καὶ τὸ Βᾶλις πόλις Λιβύης πρὸς τῇ Κυρήνῃ, ἀπό τινος Βάλεως, οὗ καὶ ἱερὸν ἔχει. καὶ μᾶλι ς. καὶ Ἦλις πόλις πρὸς τῇ Ὀλυμπίᾳ ἀπὸ Ἠλίου τοῦ Ταντάλου παιδός. ἔστι καὶ ἄλλη Ἀρκαδίας καὶ τρίτη Ἱσπανίας. καὶ ὗλις ἡ ὑλία. καὶ Βοῦλις πόλις Φωκίδος ἀπὸ Βούλωνος οἰκιστοῦ, Πῶλις πόλις Αἰγύπτου. καὶ αὖλις ἡ ἔπαυλις αἰολικῶς, Αὐλίς δὲ ἡ πόλις Βοιωτίας ὀξύνεται «καὶ Αὐλίδα πετρήεσσαν» (B 496). ἡ δὲ αἰτιατικὴ «Αὖλιν τ’ ἔσφαγον» παρὰ τῷ Εὐφορίωνι (fr. 129 Mein.) ἀπὸ εὐθείας βαρυνομένης γέγονε· ἡ γὰρ εἰς ιν κατάληξις ἀπὸ βαρυτόνων ἐστίν, ἡ δὲ εἰς δα καὶ βαρυτόνων καὶ ὀξυτόνων. Τρύφων τὸ Αὐλίς παράγει παρὰ τὸ ἁλισθῆναι ἀλίς καὶ αὐλίς, ὅτι εἰς αὐτὴν ἠθροίσθησαν οἱ Ἕλληνες· βέλτιον ἀπὸ τῆς Αὐλίδος τῆς Εὐωνύμου τοῦ Κηφισσοῦ. Τὰ εἰς λις ὑπερδισύλλαβα εἰς α βραχὺ προπαραλήγοντα ἢ ὀξύνεται ἢ βαρύνεται. καὶ ὀξύνονται μέν, ὅσα τυγχάνει ἐπιθετικώτερα, ἢ ἔχει τὴν πρώτην συλλαβὴν καταλήγουσαν εἰς ν ἀφώνου ἐπιφερομένου, Ἀτταλίς φυλὴ τῆς Ἀττικῆς, ἣν Ἀττάλῳ ἀνέθηκαν Ἀθηναῖοι, Αἰγιαλίς παρ’ Ἀλκμᾶνι, Αἰθαλί ς , Οἰχαλί ς , Φαρσαλί ς , Δαιδαλί ς , Θετταλί ς· ἔστι καὶ θετταλίς ὑπόδημά τι ποιόν, ὡς Λύσιππος ἐν Βάκχαις, Ἀρδαλίς, Ἀρδαλίδες αἱ μοῦσαι ἐν Τροιζῆνι. Ἰταλί ς , Καβαλίς τὸ θηλυκὸν τοῦ ἐθνικοῦ ὡς Στράβων (p. 630) «ἀπόγονοι δὲ Λυδῶν οἱ Κιβυρᾶται τῶν κατασχόντων τὴν Καβαλίδα». ὁ δὲ πολυίστωρ Ἀλέξανδρος Καβάλισσαν φησὶ τὸ θηλυκόν. Ταντάλί ς , Πανθαλίς ἡ θεράπαινα Ἑλένης, ἀγκαλίς, τὸ γὰρ γ ἐκ τοῦ ν , δενδαλί ς. τὰ μέντοι προσηγορικὰ ἢ κύρια προπαροξύνονται, βούβαλι ς , δάμαλι ς , βαύκαλι ς . Νάρμαλις πόλις Πισιδίας, Κάβαλις πόλις πλησίον Κιβύρας πρὸς νότον Μαιάνδρου. Στράβων τρισκαιδεκάτῃ (p. 629). Κάραλις πόλις Λιβυκή, Σάδαλις Αἰγυπτία πόλις, Σύαλις πόλις Μαστιανῶν. σεσημείωται τὸ τροφαλίς ἐπὶ τυροῦ ὀξυνόμενον, ἧς χρῆσις παρὰ τῷ κωμικῷ Ἀντιφάνει ἐν τῷ «τροφαλίδας τε λινοσάρκους.

3,1 91 μανθάνεις; τυρὸν λέγω», ἵνα εἴη αἰνιγματωδῶς λέγων λινοσάρκους ἤγουν λεπτὰς καὶ ἁπαλὰς τροφαλίδας τὸν τοιοῦτον τυρόν. τροφαλίδα δὲ ῥητέον διὰ τοῦ ο , οὐ τρυφαλίδα διὰ τοῦ υ . ἡ γὰρ λέξις εἴρηται παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι, ἐξ οὗ καὶ τρόφι κῦμα εἴρηται. χρῆσις δὲ τοῦ εἰρημένου τρέφεσθαι παρὰ τῷ ποιητῇ ἐν τῷ «μάλα δ’ ὦκα περιτρέφεται κυκόωντι» (Il. E 903). Τὰ εἰς λις ὑπερδισύλλαβα παραληγόμενα η βαρύνεται, κάπηλι ς , κύβηλις ὁ πέλυξ, ἔπηλις τὸ πῶμα τῆς λάρνακος, τρόπηλις ἡ δέσμη τῶν σκορόδων. Μέτηλις πόλις πλησίον Ἀλεξανδρείας, Φασάηλις πόλις τῆς Ἰουδαίας ὑπὸ Ἡρώδου κτισθεῖσα τοῦ πρώτου βασιλέως τῆς χώρας, τῷ ὀνόματι τοῦ ἀδελφοῦ, ὡς Ἰώσηπος ἐν α′ τοῦ πρὸς Ῥωμαίους πολέμου (c. 16), Ὕψηλις κώμη Αἰγύπτου, Φάσηλις νῆσος Παμφυλίας. τὸ μέντοι ἀγγεῖον ὀξύνεται. Τὰ εἰς δύο λλ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εἰ μὴ ἐπιθετικὰ παρώνυμα εἴη γενόμενα ἀπὸ τῶν εἰς ης , κορυδαλλί ς , ἀναβαλλίς ἡ σφαῖρα, συκαλλί ς , μοιχαλλί ς , θρυαλλί ς . Ἀκακαλλίς ἡ Μίνω θυγατήρ, τὸ μέντοι κάβαλλις βαρύνεται. Τὰ εἰς λις ὑπερδισύλλαβα, εἰ ἔχοι ἕν τι τῶν φύσει βραχέων ἢ τὸ ι ἢ τὸ υ βραχύ, ὀξύνεται, κυψελί ς , βασιλί ς , Αἰολί ς , Ἐγχελί ς , Κυβελί ς· Πείσανδρος δεκάτῳ, Ἀργολί ς , Ὀζολίς ἡ χώρα, Δασκυλί ς , πηγυλίς «νὺξ γὰρ ἐπῆλθε κακὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βορέαο πεσόντος πηγυλίς» (Od. ξ 475), Θηγυλίς ἐπίθετον Ἀθηνᾶς, γογγυλί ς. τὸ μέντοι Ἄζιλις τὸ ζι μακρὸν ἔχει. ἔστι δὲ πόλις Λιβύης. τινὲς δὲ Ἄζιριν μετὰ τοῦ ρ λέγουσι τὸν χῶρον. Χάραξ δὲ Ἄζιρον λέγει αὐτήν. ὁμοίως καὶ τὸ Ἄγρυλις προπαροξύνεται διὰ τὸ τοῦ υ μῆκος. καὶ τὸ Σισίγυλις πόλις μεγάλη πλησίον Κελτικῆς. τὸ δὲ Παμφυλίς ἐθνικὸν καὶ Τριφυλίς ὀξύνεται ὡς Αἰολίς Αἰτωλίς καὶ τὰ ὅμοια. Τὰ εἰς λις παρώνυμα τῷ ω ἢ διφθόγγῳ παραληγόμενα ὀξύνεται, Πακτωλί ς , Αἰτωλί ς , Ἰουλίς πόλις ἐν Κέῳ τῇ νήσῳ ἀπὸ Ἰουλίδος κρήνης. τὸ Ἄδουλις πόλις Αἰθιόπων προπαροξύνεται καὶ τὸ ἀρτόπωλι ς. * Τὰ παρὰ τὸ πόλις συντεθέντα ὀνόματα προπαροξύνεται, Ἑρμούπολις Αἰγύπτου πόλις.

3,1 92 εἰσὶ δὲ δύο καὶ μεγάλη καὶ μικρά. Χρυσόπολις ἐν Βιθυνίᾳ. Ἔφορος εἰκοστῷ τρίτῳ «παραδοῦναι τὴν Καλχηδονίων Χρυσόπολιν τοῖς συμμάχοις». καὶ Θεόπομπος ἐν πρώτῳ Ἑλληνικῶν «ἀνήχθησαν εἰς Καλχηδόνα καὶ Βυζάντιον μετὰ τοῦ λοιποῦ στρατεύματος βουλόμενοι Χρυσόπολιν κατασχεῖν». ἔστι καὶ ἄλλη Κιλικίας, ὡς ὁ πολυίστωρ. Χυτρόπολις Θρᾴκης χωρίον. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ «παρῆλθεν εἰς Χυτρόπολιν, χωρίον ἀπῳκισμένον ἐξ Ἀφύτεως». Τρίπολις, πόλις Φοινίκης διὰ τὸ ἐκ τριῶν πόλεων ἔχειν ἀποικίας, Ἀράδου, Τύρου καὶ Σιδῶνος. ἔστι καὶ ἑτέρα Μακεδονίας καὶ ἄλλη Περραιβίας, καὶ ἄλλη Καρίας ἡ νῦν Νεάπολις, Μεσσηνίας καὶ Ἀρκαδίας καὶ Ἠπείρου καὶ ἄλλη Ποντική. Τετράπολις ἔχουσα δήμους καὶ πόλεις τέσσαρας Οἰνόην Προβάλινθον Τρικόρυνθον Μαραθῶνα. Ὑάμπολις πόλις Φωκίδος. Προξενούπολις περὶ Ναύκρατιν, Πυθόπολις Καρίας πόλις ἀπὸ Πυθοῦ περισπωμένως ὡς ἀπὸ τοῦ Ἑρμοῦ γενικῆς Ἑρμόπολις. ἔστι καὶ ἄλλη Πυθόπολις Μυσίας. Ὁδιούπολις χωρίον Ἡρακλείας πρὸς τῷ Πόντῳ. Δομίτιος Καλλίστρατος ἕκτῳ τῶν περὶ Ἡρακλείας. Ἡρακλεόπολις πόλις Αἰγυπτία. Παρθενόπολις Μακεδονίας πόλις ἀπὸ τῶν θυγατέρων Γραστοῦ τοῦ Μυγδόνος υἱοῦ. Ἱεράπολις μεταξὺ Φρυγίας καὶ Λυδίας πόλις, β′ Κρήτης, γ′ Συρίας, ἣ καὶ Ἱερόπολις διὰ τοῦ ο . Περσέπολις πόλις Περσίδος. ἔστι καὶ ὄνομα κύριον υἱοῦ Τηλεμάχου. Καλλίπολις πολίχνιον Λαμψάκου ἐν τῇ περαίᾳ τῆς Χερρονήσου ἐπ’ ἀκτῆς κείμενον, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Βιθυνίας. ἔστι καὶ Σικελίας καὶ Καρίας. Νεάπολις πόλις Ἰταλίας· ἔστι καὶ ἄλλη Λιβύης καὶ ἄλλαι. Νικόπολις πόλις Ἠπείρου· ἔστι καὶ Βιθυνίας καὶ ἄλλη τῆς μικρᾶς Ἀρμενίας. Πομπηϊούπολις πόλις Παφλαγονίας· τινὲς δὲ δίχα τοῦ υ Πομπηϊόπολις λέγουσι. Πονηρόπολις πόλις ἐν Θρᾴκῃ, Σκυθόπολις Παλαιστίνης πόλις, Σκυτόπολις πόλις Λιβύης, περὶ ἧς ὁ πολυίστωρ ἐν Λιβυκῶν τρίτῳ. Ταυρόπολις πόλις Καρίας. Φιλιππό πολις πόλις Μακεδόνων, Φιλίππου τοῦ Ἀμύντου κτίσμα ἐν τῷ Ἕβρῳ. Φινόπολις πόλις πρὸς τῷ Πόντῳ ἀπὸ Φινέως. Φαγρωριόπολι ς . Ἀμφίπολις πόλις Μακεδονίας κατὰ Θρᾴκην, ἥτις Ἐννέα ὁδοί ἐκαλεῖτο. κεκλῆσθαι δὲ Μυρίκην καὶ Ἠιόνα, Ἀμφίπολιν δὲ διὰ τὴν περίρροιαν τοῦ Στρυμόνος, ὡς Θουκυδίδης τετάρτῃ (c. 102). ἀκρόπολι ς. ἔστι καὶ Ἀκρόπολις πόλις Λιβύης. μητρόπολι ς. ἔστι καὶ Μητρόπολις πόλις Φρυγίας ὑπὸ τῆς μητρὸς τῶν θεῶν κτισθεῖσα, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Φρυγίας. ἔστι καὶ ἄλλη Φρυγίας ὁμώνυμος καὶ Λυδίας καὶ Θεσσαλίας καὶ Ἀκαρνανίας καὶ Δωριέων καὶ τῶν ἐν τῷ Πόντῳ Μοσσυνοίκων καὶ Σκυθίας καὶ Εὐβοίας.

3,1 93 Ἀδριανούπολις ἡ πρότερον Ἡράκλεια. Ἀνταιούπολις πόλις ἐν Αἰγύπτῳ. Ἀνώπολι ς. οὕτως ἐκαλεῖτο ἡ Ἀραδὴν ἐν Κρήτῃ διὰ τὸ ἄνω εἶναι. Ἀρχανδρούπολις πόλις ἐν Αἰγύπτῳ· Ἡρόδοτος δευτέρῳ (c. 97). Ἀφροδιτόπολις ἡ καὶ Ἀφροδίτης πόλις. ἔστι καὶ πόλις κατὰ Ἄθριβιν καὶ Αἰθιοπίαν καὶ Θρᾴκην. Βεργέπολις, Ἀβδηριτῶν, Βιθυόπολις, πόλις .... ἀπὸ Βίθυος. Γαβαούπολις πόλις τῆς Γαλιλαίας. Ἰώσηπος ἐν ἕκτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 7) «Σάουλος δὲ εἰς Γαβαούπολιν ἔχων ἑξακοσίους ἦλθεν». Γυναικόσπολις πόλις Φοινίκων, ἔστι καὶ ἄλλη Αἰγύπτου. Ἀρισταγόρας δέ φησιν, ὅτι οὕτως ὠνομάσθη διὰ τρεῖς αἰτίας, ἢ ὅτι πολεμίων ἐπιπεσόντων καὶ τῶν ἀνδρῶν ἐν γεωργίαις ἀπόντων τὰς γυναῖκας κρατῆσαι τοῦ πολέμου, ἢ ὅτι γυνή τις νομάρχου, περισπωμένων τῶν παίδων αὐτῆς ὑπὸ τοῦ βασιλέως, ἅμα τοῖς παισὶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁπλισαμένη κατεδίωξε τὸν βασιλέα καὶ ἐνίκησεν, ἢ ὅτι τῶν Ναυκρατιτῶν ἀναπλεόντων κατὰ τὸν ποταμὸν καὶ κωλυομένων ὑπὸ τῶν λοιπῶν Αἰγυπτίων ἀποβαίνειν, οὗτοι καταπλαγέντες ὑπὸ ἀνανδρίας οὐ διεκώλυσαν. ταῦτα καὶ Ἀρτεμίδωρός φησιν. Σεβαστόπολις νῆσος περὶ τὸν Πόντον ἡ καὶ Διοσκουριὰς καὶ πρότερον Αἶα. Διόσπολις ἡ μεγάλη πόλις τῆς Αἰγυπτίας Θηβαΐδος ἡ λεγομένη ἑκατόμπυλος, κτίσμα Ὀσίριδος καὶ Ἴσιδος. εἰσὶ δὲ καὶ ἄλλαι μικραὶ ἐν Αἰγύπτῳ τέσσαρες. ἔστι καὶ Λυδίας καὶ Παλαιστίνης. Δουλόπολις πόλις κατὰ Κρήτην. σημειωτέον δ᾽ ὅτι Κρατῖνος ἐν Σεριφίοις Πόλιν δούλων φησίν, Ἀπολλωνίου φήσαντος, μὴ δεῖ ταύτας τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι Κρατῖνος «εἶτα Σάκας ἀφικνῇ καὶ Σιδονίους καὶ Ἐρεμβούς, ἔς τε πόλιν δούλων ἀνδρῶν νεοπλουτοπονήρων». ἔστι καὶ Δούλων πόλις πόλις Λιβύης. Ἑκαταῖος ἐν περιηγήσει «καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίνεται κἂν ξένος ᾖ». Ἑλληνόπολις πόλις Βιθυνίας. Ἀπολλόδωρος «Ἄτταλος ἐκ τῶν Ἑλληνίδων πόλεων οἰκήτορας συναγαγὼν ἔκτισε πόλιν καὶ ὠνόμασεν αὐτὴν Ἑλληνόπολιν». Ζυγόπολις παρὰ Τραπεζοῦντα. Στράβων δωδεκάτῃ (p. 495). Ἡλιούπολις, πόλις Αἰγύπτου, ἣν ἔκτισεν Ἀκτὶς ὁ Ἡλίου καὶ Ῥόδης. Ἡρόδοτος δευτέρᾳ (c. 3). ἔστι καὶ Θρᾴκης. καὶ τῆς Ἀρωματοφόρου ἄποικος τῆς Αἰγυπτίας. καὶ δ′ ἐν Σάρδεσι. καὶ ἡ Κόρινθος Ἡλιούπολις ἐλέγετο· ἔστι καὶ ἐν Φοινίκῃ. Θεόπολις ἐν Αἰγύπτῳ. Κνωπούπολι ς· οὕτως ἐκαλεῖτο Ἐρυθραί πόλις Ἰώνων ἀπὸ Κνώπου. Καρόπολις πόλις Καρίας. Ἀλέξανδρος Καρικῶν πρώτῳ. Κουρόπολις πόλις Καρίας. Ἀλέξανδρος Καρικῶν πρώτῳ. Μαιανδρούπολις Μαγνησίας πόλις ὡς Φλέγων ἐν Ὀλυμπιάσι. Μεγαλόπολις διὰ τὸ μέγεθος ἐκλήθη Ἀφροδισιάς πόλις Καρίας ἡ πρότερον Λελέγων πόλις. Μεγάλη πόλις, πόλις Ἀρκαδίας, καὶ Ἰβηρίας, ὡς Φίλων. Μιλητούπολις πόλις μεταξὺ Κυζίκου καὶ Βιθυνίας περὶ τὸν Ῥύνδακα. ἔστι καὶ ἄλλη ἐν Περσίδι. Σώπολις ὄνομα κωμικοῦ, Ἀγησίπολις ὄνομα τοῦ στρατηγοῦ τῶν Ἀθηναίων, φυγόπολι ς , ἄπολι ς. * Τὰ εἰς μις δισύλλαβα βαρύνεται, μέρμι ς , θέμι ς , Χάρμις πόλις ἐν Σαρδοῖ, κτίσμα Καρχηδονίων.

3,1 94 Παυσανίας δέ φησι περὶ αὐτοῦ. Χέμμις πόλις Αἰγύπτου. Ἡρόδοτος (II 91) «ἔστι καὶ Χέμμις πόλις μεγάλη νομοῦ τοῦ Θηβαϊκοῦ, ἐγγὺς τῆς Νέης πόλιος». φησὶ δ᾽ ὁ αὐτὸς καὶ νῆσον εἶναι Χέμμιν ἐν αὐτῇ. Τὰ εἰς μις προσηγορικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, πυραμίς — ὠνομάσθησαν δὲ πυραμίδες ἀπὸ τῶν πυρῶν, οὓς ἐκεῖ συναγαγὼν ὁ βασιλεὺς ἔνδειαν ἐποίησε σίτου κατὰ τὴν Αἴγυπτον— σησαμί ς , καλαμί ς , πλοκαμί ς , κεραμί ς. τὰ δὲ κύρια βαρύνεται, Ἄρτεμις, ὃ Δωριεῖς διὰ τοῦ α προφέρονται Ἄρταμις, Σεμίραμι ς , Χρυσόθεμι ς , Θύαμις κώμη ὑπὸ Σεμιράμιδος κτισθεῖσα παρὰ τὴν Ἀραχωσίαν, Ψιττάχεμμις κώμη τῆς Αἰγυπτίας, Ψώχεμμις πολίχνιον Αἰγύπτου, Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων «καὶ Περίκερμις ἐκ δεξιῶν μερῶν καὶ Θαλαβαύδη καὶ Ψώχεμμις». Πάπρημις πόλις Αἰγύπτου, Ἄξουμις ἀρσενικῶς μητρόπολις Αἰθιόπων. τὸ δὲ Σαλαμίς ἡ πρὸς τῇ Ἀττικῇ νῆσος καὶ πόλις κύριον ὂν ὀξύνεται καὶ τὸ δύναμις προσηγορικὸν ὂν βαρύνεται. Τὰ εἰς νις διβράχεα προσηγορικὰ ὀξύνονται κατ᾽ οὐσίας κείμενα α ἢ ο παραληγόμενα, ῥανί ς , χλανί ς , σανί ς , ὀνί ς , κονίς τὸ ἐπὶ τῆς κεφαλῆς, κόνις δὲ τὸ χῶμα, σπάνις καὶ φρόνις οὐκ ἐπὶ οὐσίας. τὸ δὲ ὕνις βαρύνεται τὸ υ ἔχον ὥσπερ τὸ κύνις ἡ χεί ρ. τὰ δὲ κύρια βαρύνονται, Γλάνις ποταμὸς Κύμης ὡς Λυκόφρων (v. 718) «Γλάνις δὲ ῥείθροις δέξεται τέγγων χθόνα» καὶ ἀπ᾽ αὐτοῦ ἰχθῦς ὁ καλούμενος γλάνις ὁ καὶ γλάνιος. ἔστι καὶ Ἰβηρίας ποταμός. ἔστι καὶ Ἰταλίας τρίτος ποταμὸς περὶ τὸν Τίβεριν ποταμόν. Τάνις πόλις μεγάλη Αἰγύπτου. Τὰ εἰς νις δισύλλαβα παραληγόμενα φωνήεντι μακρῷ ἢ ἐκτεινομένῳ βαρύνεται, μὴ ὑποκοριστικὰ ὄντα, ὄρνι ς , Θῶνις πόλις Αἰγύπτου ἀπὸ Θῶνος βασιλέως τοῦ ξενίσαντος τὸν Μενέλαον. κεῖται δὲ κατὰ τὸ στόμα τὸ Κανωβικόν. Σαῦνις πόλις Ἀραβίας, μῆνι ς , ἶνι ς , ἧνι ς , νῆνις ἡ νεᾶνις. τὸ μέντοι φωνίς ὑποκοριστικόν ἐστι. τούτῳ δὲ ὁμοίως ὀξύνονται καὶ Ῥηνίς ἡ Ῥήνη νῆσος μικρὰ πλησίον Δήλου καὶ Κρηνίδες πόλις Μακεδονίας, ἃς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φίλιππος μετωνόμασε Φιλίππους, καὶ Κρανίδες συνοικία πρὸς τῷ Πόντῳ· Παρθένιος ἐν Ἀνθίππῃ.

3,1 95 τὸ δὲ Θυνίς ἐθνικὸν ὀξύνεται ὡς τὸ Βιθυνίς. Τὰ εἰς νις θηλυκὰ διφθόγγῳ παραληγόμενα ὀξύνεται, μαινί ς , δαυνί ς , ἐπιγουνί ς , θεραπαινί ς , λεαινί ς . Κιδαινί ς. οὕτως ὠνομάζετο Ἐλαία πόλις τῆς Ἀσίας Αἰολική. Μελιγουνίς μία τῶν Αἰόλου νήσων ἡ καὶ Λιπάρα. Καλλίμαχος ἐν τῷ Ἀρτέμιδος ὕμνῳ (v. 48). τὸ μέντοι εὖνις βαρύνεται καὶ βοῦνις καὶ χλοῦνις καὶ Κύραυνις νῆσος κατὰ τοὺς Γύζαντας τοὺς ἐν Λιβύῃ, ὡς Ἡρόδοτος τετάρτῃ (c. 195). Τὰ εἰς ανις θηλυκὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, Ὠκεανί ς , Τιτανί ς , στεφανί ς· ἔστι δὲ καὶ πόλις Μαριανδυνῶν. Ἑκαταῖος Ἀσίᾳ. Ἀνθανί ς. οὕτως ἐκαλεῖτο ἡ Τροιζήν πόλις Πελοποννήσου. ῥαφανί ς . Καρβανί ς , Καρμανί ς , Ἀτιντανί ς , Αἰνιανί ς , Ἀκαρνανί ς , Ἀλβανίς λίμνη, Δυμανίς «στέλλεο νῦν ἔτι τῆλε Δυμανίδος ἠπείροιο». Βρεττανίδες νῆσοι ἐν τῷ Ὠκεανῷ· καὶ ἄλλοι οὕτως διὰ τοῦ π Πρετανίδες νῆσοι, ὡς Πτολεμαῖος. Ἰστριανί ς . Καμπανί ς . Ὑρκανίς, ἐξ οὗ τὸ « εἰς Ὑρκανίδα λίμνην» ὡς Ἀλέξανδρος ἐν Ἀσίᾳ. τὸ δὲ νεᾶνις προπερισπᾶται καὶ τὸ Ἄδανις καὶ Θήβανις θηλυκὸν τὸν τόνον Αἰολίδος ἔσχεν. ἐπίσταμαι δὲ ὅτι καὶ ἀρσενικόν ἐστιν. οὕτως δὲ ἄνεμος καλεῖται ἀπὸ Θήβης πόλεως πνέων τῆς Ἠετίωνος τοῦ πατρὸς Ἀνδρομάχης. ὁμοίως καὶ Βούρχανις νῆσος ἐν τῇ Κελτικῇ, ὡς Στράβων (p. 291) προπαροξύνεται. τὸ δὲ Ὕπανις ποταμὸς καὶ πόλις τοῦ Πόντου καὶ Μαιώτιδος λίμνης ἐστὶν ἀρσενικόν. Ἀλέξανδρος δ’ ὁ πολυίστωρ φησὶν ὅτι ὁ Ὕπανις διχῇ σχιζόμενος τὸ μὲν ἓν μέρος εἰς τὴν Μαιῶτιν λίμνην βάλλει, τὸ δ’ ἕτερον εἰς τὸν Πόντον. Ἡρόδοτος δ’ ἐν τετάρτῳ (c. 77. 79) καὶ κρήνην τινὰ πικρὰν εἰς αὐτὸν ἐγχεῖσθαι καὶ ἄποτον ποιεῖν τὸν ποταμόν. Τὰ εἰς ενις καὶ ονις ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εὐμενί ς , εὐγενί ς , Λυκαονί ς , Ἀμαζονί ς , Ἀθμονί ς , Αὐσονίς ἡ ὕστερον Ἰταλία, Ἀντιγονίς φυλὴ τῆς Ἀττικῆς ἀπ’ Ἀντιγόνου, Ἰαονί ς , Βιστονίς, ἐκτέταται δὲ καὶ λέγεται Βιστωνίς διὰ τοῦ ω ποιητικῶς. Ἑρμιονί ς , Λαιστρυγονί ς , Μακεδονί ς , Στρυμονί ς , Φαρκηδονί ς , Χαλκηδονί ς. Στράβων δωδεκάτῃ (p. 541) «καλεῖται δὲ τὰ ἀριστερὰ τοῦ Πόντου Θρᾳκικά, τὰ δ’ ἐν δεξιᾷ Χαλκηδονίς». Μηονί ς· οὕτως ἐκαλεῖτο ἡ Κύπρος. Χαονί ς. * Τὰ εἰς ηνις καὶ ωνις ὑπὲρ δύο συλλαβὰς παρώνυμα ὀξύνεται, Ἀραφηνί ς , Ἑλληνί ς , Παλληνί ς , Γερηνί ς , Κυζικηνί ς , Μεσσηνί ς , Μυκηνί ς , Οἰζηνί ς· οὕτως ἐκαλεῖτο Τραπεζοῦς πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ, Προσεληνί ς , Πυληνί ς , Τιβαρηνί ς , Τροιζηνί ς .

3,1 96 Αὐξωνί ς , Ἀσκαλωνί ς , Αὐσωνί ς , Λευκωνί ς. οὕτως ἐλέγετο ἡ λίμνη Κωπαΐς. Βαβυλωνί ς , Ἁλωνίς νῆσος καὶ πόλις Μασσαλίας ὡς Ἀρτεμίδωρος. Γιγωνί ς. οὕτως Ἀρτεμίδωρος ὁ Ἐφέσιος Γιγωνίαν ἄκραν φησίν. Μυτωνί ς· οὕτω καλεῖ Λέσβον Καλλίμαχος ἐν τετάρτῳ, Παρθένιος δὲ Μυτωνίδας τὰς Λεσβικάς φησι. Δωδωνί ς. Ἀπολλώνιος «στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ (Argon. I 527, IV 583). καὶ Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι «τὰς θεσπιῳδοὺς ἱερίας Δωδωνίδας». Ἠδωνί ς· οὕτως Ἀριστοτέλης φησὶν Ἄντανδρον πόλιν ὠνομάσθαι διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι. Ἰτωνί ς , Ἰωνί ς , Κυδωνί ς , Κραννωνί ς , Καυκωνί ς· οὕτω Δύμην πόλιν Ἀντίμαχος καλεῖ ἀπὸ Καύκωνος ποταμοῦ ὡς τὰς Θήβας Διρκαίας. Μαρωνί ς , Σιδωνί ς , Σιρβωνίς λίμνη πλησίον Κασίου, ἣ καὶ Σίρβω ν , Σκιρωνίς πέτρα, Τριτωνίς λίμνη. Φρικωνί ς , Χαιρωνί ς. τὸ δὲ Πυῆνις πόλις Κόλχων καὶ Ἄθηνις καὶ Ἄδωνις καὶ τὸ ὄνωνις εἶδος ἀκάνθης βαρύνονται, οὐ γὰρ παρώνυμα. * Τὰ εἰς ινις καὶ υνις ὑπερδισύλλαβα ὀξύνεται, Μαντινί ς , Σολουντινί ς , Ἀργυννίς ἡ Ἀφροδίτη. λέγεται καὶ Ἀργουνίς. Βιθυνί ς , Ἑρκυνί ς , Μαριανδυνί ς. τὸ δὲ Ἄσδυνις βαρύνεται. ἔστι δὲ νῆσος κατὰ τὴν Μοίριδος λίμνην. Εὔδοξος δευτέρῳ «κατελαμβάνοντο ἐν Ἀσδύνει τῇ νήσῳ». * Τὰ εἰς νις ὑπερδισύλλαβα συμφώνῳ παραληγόμενα ὀξύνεται, Ἀβαρνίς πόλις καὶ χώρα καὶ ἄκρα τῆς Παριανῆς. Ἑκαταῖος δ’ ὁ Μιλήσιος ἐν Ἀσίας περιηγήσει Λαμψάκου ἄκραν εἶναί φησιν. Ἔφορος δ’ ἐν πέμπτῃ λέγει κληθῆναι αὐτὴν ἀπὸ τῆς ἐν Φωκαΐδι Ἀβαρνίδος ὑπὸ Φωκέων τὴν Λάμψακον κτιζόντων. Ἀπολλώνιος «Περκώτην δ’ ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν ἠϊόνα (Argon. I 932). τοῦτο δὲ Σοφοκλῆς ὑπομνηματίζων ἱστορεῖ τὴν Ἀφροδίτην ἄμορφον ἐν Λαμψάκῳ τεκοῦσαν τὸν Πρίαπον ἀπαρνήσασθαι καὶ τὴν χώραν Ἀπαρνίδα καλέσαι, ἣ κατὰ παραφθορὰν καὶ Ἀβαρνίς καλεῖται. εὕρηται δὲ καὶ διὰ τοῦ π , ὡς παρὰ Ἀρτεμιδώρῳ τῷ γεωγράφῳ. λέγεται δὲ καὶ Ἄβαρνος. Ἀταρνί ς , Καλυδνί ς.

3,1 97 τὸ δὲ Κάβαρνις βαρύνεται. οὕτω δὲ Πάρον Νικάνωρ κεκλῆσθαί φησιν ἀπὸ Καβάρνου τοῦ μηνύσαντος τὴν ἁρπαγὴν τῇ Δήμητρι τῆς θυγατρός. καὶ τὸ Θέογνις βαρύνεται. Τὰ εἰς ξις καὶ ψις ἀπὸ μελλόντων ἐσχηματισμένα βαρύνεται, ἕξω ἕξι ς, λέξω λέξις, ψύξω ψῦξις, σκήψω σκῆψι ς· ἔστι δὲ καὶ πόλις Τρωϊκή· Ξενοφῶν Ἑλληνικῶν τρίτῳ (c. 1, 25)· ἐκλήθη δὲ ἀπὸ τοῦ σκήψασθαι τὴν Ῥέαν ἀντὶ τοῦ παιδὸς λίθον τεκεῖν. σεσημείωται ἁψίς ὀξυνόμενον. τὰ μέντοι παρώνυμα ὀξύνεται, ἅμαξα ἁμαξίς, πύξος πυξί ς· ἔστι καὶ πόλις ἐν μεσογαίᾳ τῶν Οἰνωτρῶν. Ἑκαταῖος Εὐρώπῃ. ὄξος ὀξί ς. Τὰ εἰς πις διβράχεα ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα ὀξύνεται, πραπί ς , κοπί ς , λεπί ς. σεσημείωται τὸ τρόπι ς. ἔστι καὶ Τρόπις νῆσος ... Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων. καὶ Νάπις κώμη Σκυθίας. τὸ δὲ ὄπις ἀπὸ φωνήεντος ἄρχεται. * Ἔτι τὰ εἰς πις φύσει μακρᾷ παραληγόμενα ὀξύνεται, οἷον ῥιπίς, ὅπερ ἡ μὲν κοινὴ συνήθεια ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτος συστέλλει, Ἀπίς ἡ Ἀπία ὡς Ἐρατοσθένης ἐν Ἑρμῇ. τὸ δὲ Ἆπις υἱὸς Φορωνέως βαρύνεται, Ῥιανὸς ἐν Ἀχαϊκῶν δευτέρῳ ὑμετέρη τοι, τέκνα, Φορωνέος Ἰναχίδαο ἀρχῆθεν γενεή· τοῦ δὲ κλυτὸς ἐκγένετ' Ἆπις, ὅς ῥ' Ἀπίην ἐφάτιξε καὶ ἀνέρας Ἀπιδανῆας. Τὰ εἰς πις δισύλλαβα θέσει μακρᾷ παραληγόμενα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχοιτο, βαρύνεται μὴ ὄντα ἐθνικά, εἰ δὲ ἀπὸ φωνήεντος, ὀξύνεται μὴ ὄντα ὑποκοριστικά. βαρύνεται δὲ ταῦτα τράμπι ς· ἔστι δὲ βαρβαρικὴ ναῦς. σάλπι ς , ὄλπις ὑποκοριστικόν, κάλπι ς , θέσπις — τὸ δὲ Θεσπίς ἐθνικόν— πόρπι ς. ὀξύνεται δὲ ταῦτα μὴ διὰ φωνήεντος κλινόμενα, ἐλπί ς , ἀσπίς, ἔστι καὶ πόλις Λιβύης, ὡς Φίλων. ἔστι καὶ νῆσος πρὸς ταῖς Κυκλάσιν. ἔστι καὶ Μακεδονίας, κτίσμα Φιλίππου τοῦ πατρὸς Περσέως τὰς πόλεις ὀνομάσαντος ἀπὸ τῆς αὐτοῦ πανοπλίας Ἀσπίδα Περικεφαλαίαν. ἔστι καὶ νῆσος πρὸς τῇ Λυκίᾳ. ἔστι καὶ νῆσος ἄλλη μεταξὺ Λεβέδου καὶ Τέω, σταδίων ὡς δυοῖν, πρὸς μέν τινων Ἀρκόνησος, πρὸς δέ τινων Ἀσπίς ὀνομαζομένη. ἔστι καὶ νῆσος ἄλλη Ψύρων ἐγγύς. ἔστι καὶ ἄλλη, ὡς Κλέων ὁ Συρακούσιος ἐν τῷ περὶ λιμένων, ἄδενδρος οὖσα. ἔστι καὶ πέραν Πίσης, ὡς Πανύασις ἐν Ἡρακλείας ἑνδεκάτῃ.

3,1 98 ἐμπίς εἶδος κώνωπος. τὸ δὲ Ἄλπις βαρύνεται. * Ἔτι τὰ εἰς πις ὑπερδισύλλαβα θέσει μακρᾷ παραληγόμενα βαρύνεται οἷον ἴασπι ς. * Τὰ εἰς απις πολυσύλλαβα ὀξύνεται, Ἰαπίς χαράδρα Ἀττικὴ εἰς Μέγαρα ἀπάγουσα ὡς Καλλίμαχος Ἑκάλῃ. Πριαπίς χώρα. τὸ δὲ Σάραπις νῆσος ἐν Ἰνδικῷ κόλπῳ βαρύνεται. Τὰ διὰ τοῦ οπις πολυσύλλαβα μὴ ἔννοιαν ἔχοντα συνθέσεως ὀξύνεται, Κεκροπίς φυλή. ἔστι καὶ χώρα Θρᾴκης· ἔστι καὶ δῆμος Θεσσαλονίκης. Δρυοπί ς , Αἰθιοπί ς. Εὐριπίδης ἐν Ἀρχελάῳ «Αἰθιοπίδος γῆς ἡνίκ' ἂν τακῇ χιών». Μεροπί ς. οὕτως ἐκαλεῖτο ἡ Κῶς πόλις ἀπὸ γηγενοῦς Μέροπος. Ἰοπίς παρὰ Χάρακι. τὸ φύλοπις δὲ προπαροξύνεται. * Τὰ διὰ τοῦ ωπις πολυσύλλαβα ὀξύνεται, Σινωπί ς , Προσωπίς πόλις Αἰγύπτου. λέγεται καὶ Προσωπῖτις. Ἰωπίς Λακωνικὴ χώρα. Ἀσωπίς Κερκύρας μήτηρ. Ἀσωπίδας δὲ ἔνιοι τὰς Θήβας φασίν. Τὰ εἰς ρις δισύλλαβα ὑποκοριστικὰ ἢ πατρωνυμικῆς ἐννοίας ἐχόμενα ὀξύνεται, Τευκρίς ἡ Τροία, Δωρίς ἡ περὶ τὸν Παρνασσὸν καὶ ἡ ὕστερον Ἱστιαιῶτις, ἧς μέμνηται Χάραξ ἐν ζ' τῇδε γράφων περὶ Θεσσαλοῦ τοῦ Αἰάτου τοῦ νικήσαντος ἐν Ἄρνῃ Βοιωτούς «ὁ δὲ Θεσσαλὸς οὐδὲ τὴν τετάρτην μοῖραν τῆς ἐπωνυμίας μετέβαλεν, ἀλλ' Ἱστιαιῶτιν αὐτὴν ὡς πρὶν καλεῖσθαι εἴασε. κεῖται δὲ πρὸς δυσμῶν τῆς Πίνδου. Δῶρος δὲ αὐτὴν ὁ Ἕλληνος εἰλήχει τὰ πρῶτα καὶ Δωρὶς ἀπ' ἐκείνου ἐκαλεῖτο πρότερον, ὕστερον δὲ Ἱστιαιῶτις μετωνομάσθη». Νευρίς χώρα Σαρματίας. πατρί ς , χειρί ς , καρίς παρὰ τὸ κάρη καὶ Καρίς ἀπὸ τῆς Καρός γενικῆς. Καρίς δὲ ἐλέγετο ἡ Κῶς, ὡς Ἑλλάνικος. ἔστι δὲ καὶ Φρυγίας πόλις Καρίς καὶ Καρίδες. * Τὰ εἰς ρις δισύλλαβα ἑνὶ φωνήεντι ἢ διφθόγγῳ παραληγόμενα βαρύνεται, Πάρι ς , Βάρις πόλις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 99 λέγεται βάρις ἡ οἰκία, ὡς Ποσείδιππος, καὶ ἡ συνοικία ὡς Ἔφορο ς , χάρι ς , Φᾶρις πόλις τῆς Λακωνικῆς. Ὅμηρος «Φᾶρίν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην» (Il. B 582). ἔρι ς , δῆρι ς , νῆρι ς , Ἶρι ς , κῖρις εἶδος ὀρνέου, ξῖρις φυτὸν ἀρωματικόν, Σῖρις πόλις Ἰταλίας πλησίον τοῦ Μεταποντίου καὶ ποταμός· ἔστι καὶ Σῖρις ἐν Παιονίᾳ. καὶ ὁ Νεῖλος μετὰ Συήνην Σῖρις ὠνόμασται. Κύρις μητρόπολις Σαβίνων. Τύρις πόλις καὶ ποταμὸς ἐν Εὐξείνῳ πόντῳ. λέγεται καὶ Τύρας. Χαῖρι ς , Μοῖρις, ἀφ' οὗ ἡ Μοίριδος λίμνη, θοῦρι ς , Κοῦρις ὁ Ῥωμαῖος. ὀξύνονται δὲ Νηρίς πόλις Μεσσήνης. Νικόλαος τετάρτῳ, Ὑρίς ἄκρα. Ἀρτεμίδωρος ἐν ἑνδεκάτῳ Γεωγραφουμένων, μοιρί ς , κουρίς τὸ ἐργαλεῖον τοῦ κουρέως. Τὰ εἰς κρις κύρια μὲν ὄντα βαρύνεται, Μάκρι ς· οὕτως ἐκαλεῖτο Εὔβοια καὶ Ἑλένη νῆσος τῆς Ἀττικῆς καὶ Ἴκαρος νῆσος μία τῶν Κυκλάδων διὰ τὸ μῆκος. Πρόκρι ς , Ἄκρι ς. τὰ δὲ μὴ οὕτως, ὀξύνεται, ἀκρί ς , Λοκρί ς. Τὰ εἰς ρις μετ' ἐπιπλοκῆς μέσου ἢ δασέος ἢ τοῦ π βαρύνεται υ ἢ ι παραληγόμενα· εἰ δὲ μὴ οὕτως, ὀξύνεται, χωρὶς εἰ μὴ σύμφωνον εἴη δεδιπλασιασμένον, ὕβρι ς , Κύπρι ς . Θύμβρις ποταμὸς Ῥώμης, ὃς καὶ Τίβερις. ἔστι καὶ Θύμβρις ποταμὸς Τρῳάδος, ἀφ' οὗ Ἀπόλλωνος Θυμβραίου ἱερόν, ἐν ᾧ ἐτοξεύθη Ἀχιλλεύς. Τίγρις ποταμός. λέγεται δὲ καὶ Τίγρης. ὀξύνεται δὲ τὸ νεβρί ς. οὕτω δὲ λέγεται καὶ Ἁλώνη νῆσος πρὸς τῇ Κυζίκῳ. κεδρί ς. τὸ δὲ ἄγγρις δεδιπλασίασται. * Τὰ εἰς τρις δισύλλαβα παρώνυμα ὀξύνεται οἷον πατρίς, τὰ δὲ μὴ οὕτως βαρύνεται οἷον λάτρι ς. Τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ α βαρύνεται, κίθαρι ς , εὔμαρι ς , Σύβαρις πόλις Ἰταλίας καὶ ποταμός. κάππαρι ς . Ἵλαρις πόλις Λυκίας, Μάσαρις ὁ Διόνυσος παρὰ Καρσίν, εἰ μὴ εἴη ὡς ὑποκοριστικὰ ἢ πατρωνυμικὰ ἢ ἐν τῇ τρίτῃ τὸ ε ἔχοντα· τότε γὰρ ὀξύνεται, Μεγαρί ς , βλεφαρί ς , θεαρίς ἡ θεωρίς, ἐαρί ς . Γαργαρί ς , Γαδαρί ς , Ἰσμαρίς λίμνη. Ἡρόδοτος ζʹ (c. 199). Τὰ εἰς ερις ὑπὲρ δύο συλλαβὰς θηλυκὰ ὀξύνεται, Ἀστερίς πόλις Συρίας καὶ νησίον μεταξὺ Κεφαλληνίας καὶ Ἰθάκης.

3,1 100 Ὅμηρος (Od. δ 844) ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης, Ἀστερίς, οὐ μεγάλη. λέγεται δὲ καὶ Ἀστερία. νυκτερί ς . Ἐλευθερίς πόλις Βοιωτίας Ὠρωποῦ πλησίον Κότου καὶ Ἀΐκλου κτίσμα. Θεόπομπος μʹ. Ἑσπερίς ἢ Εὐεσπερίς πόλις Λιβύης, Φιλωτερίς πόλις περὶ τὴν Τρωγλοδυτικήν, ἡ καὶ Φιλωτέρα. Τὸ δὲ Πάστερις πόλις Αἰγυπτία καὶ Κελένδερις βαρύνεται, ὡς καὶ Τίβερις ποταμὸς Ἰταλίας, ἔνθα Ῥώμη καὶ ἡ τῶν Λατίνων ἐστὶ χώρα, ὡς Ἀπολλόδωρος. * Ἔτι τὰ εἰς ορις ὑπερδισύλλαβα θηλυκὰ ὀξύνεται, Χρυσαορίς πόλις Καρίας ἡ ὕστερον Ἰδριάς. Ἀπολλώνιος ἐν ἑβδόμῳ Καρικῶν »... καὶ πρώτη πόλις τῶν ὑπὸ Λυκίων κτισθεισῶν». Ἐπαφρόδιτος δὲ τὴν Καρίαν πᾶσαν Χρυσαορίδα λέγεσθαι. Νικατορίς πόλις Συρίας κτίσμα Σελεύκου τοῦ Νικάτορος· τὰ δὲ ἀρσενικὰ βαρύνεται οἷον Ἄορις Ἄραντος υἱός. Τὰ εἰς υρις μὴ κατὰ τροπὴν γινόμενα ὀξύνεται, ἁλμυρί ς , πορφυρί ς· οὕτω δὲ ἐκαλεῖτο καὶ Νίσυρος μία τῶν Κυκλάδων ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων. ἀργυρί ς , Ἰλλυρί ς , Φιλυρί ς , Ἀστυρίς ἡ Ἀθηνᾶ, Ἰδυρίς πόλις Παμφυλίας, ἣ καὶ Ἴδυρος. Κορκυρίς πόλις Αἰγύπτου. τὸ δὲ Θάμυρις προπαροξύνεται καὶ Ὤγυρις νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. μέμνηται δὲ αὐτῆς Ἀλέξανδρος ἐν Ἀσίᾳ λέγων ἀγχιβαθὴς δ' ἄρα νῆσος ἁλὸς κατὰ βένθος Ἐρυθρῆς Ὤγυρις, ἔνθα τε τύμβος ἁλὸς μεδέοντος Ἐρύθρα κέκληται. καὶ Κάσυρις νῆσος Λυκίας. Ἀρτεμίδωρος. καὶ Τίβυρις πόλις Ἰταλίας. λέγεται καὶ Τίβυρα. Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων «ἔστι δ' ἐν μεσογείῳ καὶ Τίβυρα πόλις Ἑλληνὶς τὴν ἀρχὴν γεγονυῖα, ἀπέχουσα ἀπὸ Ῥώμης σταδίους ρμζʹ». Νικάνωρ δ' ὁ Ἑρμείου Τίβουρα ταύτην καλεῖ. τὸ δὲ ἄγυρις καὶ πανήγυρις κατὰ τροπὴν ἐγένετο. * Τὰ εἰς ρις πολυσύλλαβα τῷ η ἢ τῷ ω ἢ τῇ ει διφθόγγῳ παραληγόμενα ὀξύνεται, Φαληρί ς , Ἰβηρίς «Ἑλληνίς, οὐκ Ἰβηρίς».

3,1 101 Μένανδρος Ἀσπίδι. Καφηρί ς , Κασωρί ς , θεωρί ς , Καβειρί ς. τὸ δὲ Ταπόσειρις πόλις Αἰγύπτου πλησίον Ἀλεξανδρείας βαρύνεται. * Τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς διφθόγγῳ τῇ διὰ τοῦ υ παραληγόμενα ἅπαντα ὀξύνεται οἷον Ἐπιδαυρί ς , Βαναυρί ς. Βαναυρίδες δέ εἰσι νῆσοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τυρρηνικαὶ ἀπὸ Βαναύρου υἱοῦ Αἴαντος, μολουρίς ἡ σιτοφάγος ἀκρίς, κυνοσουρίς καὶ Κυνοσουρί ς , Κυνουρί ς. σεσημείωται δὲ τρία λάμπουρις ἡ ἀλώπηξ, Τόμουρις ὄνομα πόλεως καὶ ἵππουρι ς. Τὰ εἰς ρις ἔχοντα πρὸ τοῦ ρ ἕν τι τῶν ψιλῶν ὀξύνεται, παλαιστρί ς , αὐληστρί ς , ἐπακτρί ς , Ἠλεκτρί ς , Ἐρετρί ς , Πανακρί ς , Ἀντιπατρίς πόλις Ἰουδαίας Ἡρώδου κτίσμα ἐπὶ Αὐγούστου Καίσαρος. τὸ δὲ Ἄμαστρις πόλις Παφλαγονίας ἡ πρότερον Κρῶμνα—ἀπὸ γυναικὸς Περσίδος, θυγατρὸς Ὀξυάθρου τοῦ ἀδελφοῦ Δαρείου, ἣ συνῴκησε Διονυσίῳ τῷ Ἡρακλείας τυράννῳ. Δημοσθένης δ’ ἐξ Ἀμαζόνος οὕτω λεγομένης—καὶ Νώνακρις πόλις Ἀρκαδίας. Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ—βαρύνεται. * Ἔτι τὰ εἰς ρις ἔχοντα πρὸ τοῦ ρ ἕν τι τῶν μέσων ὀξύνεται, Ἀλεξανδρί ς , Ταναγρί ς , Καλαβρί ς. τὸ δὲ Λίηβρις πόλις Φοινίκων βαρύνεται. Τὰ εἰς ρις Αἰγύπτια προπαροξύνεται, Βούσιρις πόλις Αἰγύπτου. «ἐν ταύτῃ Ἴσιος μέγιστον ἱερόν. ἵδρυται δ’ ἐν μέσῳ τῆς Αἰγύπτου ἐν τῷ Δέλτα. Ἶσις δ’ ἐστὶ κατὰ τὴν τῶν Ἑλλήνων γλῶσσαν ἡ Δημήτηρ» (Herodot. II 59). ὡς δ’ ἄλλοι, ἐκεῖ λέγεται θάψαι τὸν Ὄσιριν Ἶσις ἐμβαλοῦσα εἰς ξυλίνην βοῦν, ὥστε Βουσόσιριν εἶναι τὴν πόλιν. οἱ δ’ ὅτι τοπάρχης ἦν Βούσιρις ὑπὸ Ὀσίριδος κατασταθείς. Ὄσιρις Αἰγυπτιστὶ ὁ Διόνυσος. Ταφόσιρις πόλις Αἰγύπτου, ἐν ᾗ λέγεται Ὄσιρις τεθάφθαι. καλάσιρις λινοῦς χιτὼν ἱερατικὸς καὶ μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ οἱ καὶ Ἑρμοτυμβιεῖς. Ἡρόδοτος δευτέρῳ (c. 164) Ψένυρις κώμη. Τέντυρις πόλις Αἰγύπτου καθαρτικὴ τῶν κροκοδείλων.

3,1 102 λέγεται καὶ Τέντυρα ἡ πόλις, ὡς Ἀλέξανδρος ἐν τρίτῳ Αἰγυπτιακῶν. Ξενέφυρις κώμη Λιβύης πλησίον Ἀλεξανδρείας. Τὰ εἰς σις ἀπὸ μέλλοντος γινόμενα ἢ ἀπὸ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνονται, ποιήσω ποίησις, λύσω λύσις, κέκρισαι κρίσι ς , στάσι ς. ἔστι καὶ Στάσις πόλις Περσικὴ ἐπὶ πέτρης μεγάλης. τρῆσις καὶ Εὔτρησις κώμη Βοιωτίας. Ὅμηρος «Κώπας Εὔτρησίν τε» (Il. B 502). ἐκλήθη δὲ οὕτως διὰ τὸ πολλαῖς αὐτὴν πρότερον χρήσασθαι ῥύμαις, ὡς Ἐπαφρόδιτος. ἄνυσι ς. ἐστὶ καὶ πόλις Αἰγύπτου Ἄνυσι ς. Τὰ μέντοι παρώνυμα χαίρουσι τῇ ὀξείᾳ, Χρύσης Χρυσίς, νῆσος νησί ς. Κροῦσις ὁ Μυγδόνος υἱός, Κρουσίς μοῖρα τῆς Μυγδονίας. Στράβων ἑβδόμῃ. Βροῦσος Ἠμαθίου παῖς Βρουσίς μοῖρα Μακεδονίας. τινὲς γράφουσι διὰ τοῦ υ . Κρής καὶ ἀπὸ τῆς Κρητός γενικῆς Κρῆτις καὶ τροπῇ τοῦ τ εἰς ς Κρησί ς. Κόρση δούλη βουκόλος Κορσίς νῆσος ἐν τῷ Τυρρηνικῷ πελάγει. Πισίδης Πισίς πόλις καὶ ὄρος Ἀρμενίας ἢ Σουσιανῆς. Ἀρκασίδης Ἀρκασί ς . Γυμνησίς ἀπὸ Γύμνητος γενικῆς τροπῇ τοῦ τ εἰς ς . Μαγνησίς παρὰ Παρθενίῳ. Ἀμνισίς νύμφαι Ἀμνισίδες, Ἀνθεμουσίς λίμνη Μαριανδυνῶν, ἣν Ἀπολλώνιος διαλύσας ἐν τοῖς Ἀργοναυτικοῖς (II 726) Ἀνθεμοεισίδα φησίν. Δαφνουσίς λίμνη πλησίον τοῦ Ὀλύμπου τοῦ Βιθυνοῦ, Μαυρουσί ς , Μολοσσί ς , Μυγισσί ς , Ἰλισσίς «Μοῦσαι Ἰλισσίδες» ὡς Ἀπολλόδωρος, Μυκαλησίς Μυκαλησσίς, Κανδασί ς , Ὀδρυσί ς , Ἁλικαρνασσί ς , Παρνασσί ς , Τευμησσί ς , Παρρασίς «δέξονται Φολόης οὔρεα Παρρασίδος». Τελμισσί ς , Πειρασί ς , Ὑπερησίς παρ’ Ἡσιόδῳ, Ῥαμνουσί ς. σεσημείωται τὸ ἄσις ὁ ῥύπος ἀπὸ τοῦ ἄση γεγονός. τὸ δὲ Ἀσίς ἡ Ἀσιᾶτις ὀξύνεται. * Τὰ εἰς σις κύρια βαρύνεται, Κρεῦσις πόλις Βοιωτίας, κειμένη καταντικρὺ τῆς Μεγαρίδος, Κροῦσι ς , Τῖσις ὁ κτιστὴς καὶ ἡ πόλις Αἰγύπτου, Ἶσι ς , Φᾶσις πόλις τῆς Αἴας πρὸς τῷ Φάσιδι ποταμῷ ἐν Κόλχοις. ἐκτίσθη δὲ ὑπὸ Μιλησίων. ἔστι καὶ ἄλλος ποταμὸς Φᾶσις ἐν τῇ Ταπροβάνῃ. Αὔασις πόλις Αἰγύπτου· ταύτην δὲ καὶ Ὄασιν καὶ Ὕασιν καλοῦσιν. «ἔστι δ’ ἐοικυῖα παρδαλέᾳ· κατάστικτος γάρ ἐστιν ἐν ἀνύδρῳ γῇ καὶ ἐρήμῳ τὰς οἰκήσεις ἔχουσα. τὰ τοιαῦτα αὐάσεις Αἰγύπτιοί φασι» (Strabo II p. 130). Ἡρόδοτος δὲ (III 26) καὶ Δοῦρις Μακάρων αὐτὴν ὠνόμασαν νῆσον. Κύπασις πόλις περὶ Ἑλλήσποντον. Ἑκαταῖος Εὐρώπῃ. Καύκασις τὸ ὄρος ὃ καὶ Καύκασος λέγεται. Τὰ εἰς τις δισύλλαβα ἔχοντα τὸ ο μικρὸν ἤτοι μόνον ἢ σὺν ἑτέρῳ φωνήεντι ἢ ω μέγα πρὸ τοῦ τις μὴ ὄντα ἐπιθετικά, εἰ μὴ παράκειται ἀρσενικῷ τῷ εἰς της , ὀξύνεται, φορτί ς , νοτί ς , κοιτί ς , Προιτί ς , οὐτίς τὸ ζῷον παρ’ Ἀλκμᾶνι, Δωτί ς , ὠτίς καὶ φροντίς, εἰ μὴ ἄρα τοῦτο, ὅτε κύριόν ἐστι, καὶ βαρυτονηθήσεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 103 οὐ μάχεται τὸ πόρτι ς· καὶ γὰρ χωρὶς τοῦ τ «πόριες περὶ βοῦς ἀγελαίας» (Od. κ 410). μὴ ὄντα ἐπιθετικὰ πρόσκειται διὰ τὸ πότις, ᾧ παράκειται τὸ πότης. * Τὰ εἰς τις δισύλλαβα κύρια τῷ ε ἢ τῷ η ἢ τῇ αι διφθόγγῳ παραληγόμενα βαρύνεται, Θέτι ς , Βαῖτις ποταμὸς κατὰ Ἰβηρίαν, ὃς Πέρκης λέγεται ὑπὸ τῶν ἐγχωρίων, Ἧτις δῆμος Λακωνικῆς καὶ τῆς Κρήτης πόλις. * Τὰ εἰς τις ὑπὲρ δύο συλλαβὰς θηλυκὰ μὴ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γινόμενα ὀξύνεται, Βοιωτί ς , Θεσπρωτί ς , Εἱλωτί ς , Ἐνετί ς , Ἑλλωτί ς· οὕτω παρὰ Κρησὶν ἡ Εὐρώπη, ἀφ' ἧς πρότερον ἐκαλεῖτο Γόρτυν πόλις Ἑλλωτίς. Λαμωτίς ἡ Ἀντιόχεια Ἰσαυρίας. τὸ δὲ Ῥακῶτις —οὕτως ἡ Ἀλεξάνδρεια πρότερον ἐκαλεῖτο—καὶ Λιμενῶτις χερρόνησος Κελτικὴ προπερισπᾶται ὡς ἀπὸ ἀρσενικῶν εἰς ης γενόμενα. * Τὰ εἰς τις ὀνόματα πόλεων πολυσύλλαβα τῷ α ἢ ο παραληγόμενα βαρύνεται, Κάλλατις πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ Πόντου. Στράβων ἑβδόμῃ (p. 318, 319)· ὡς κάλαθος εὑρέθη ἐοικὼς τοῖς θεσμοφοριακοῖς. Ναύκρατις πόλις Αἰγύπτου ἀπὸ Μιλησίων τότε θαλασσοκρατούντων ὡς Στράβων ἑπτακαιδεκάτῃ (p. 801). Ὀνείβατις πόλις Αἰγύπτου Ἑκαταῖος περιηγήσει Λιβύης. Ἰαγξούατις πόλις Λιβύων. Ἑκαταῖος Ἀσίᾳ. Ἄβοτις πόλις Αἰγύπτου, ὡς Ἑκαταῖος. Κράμβοτις πόλις Αἰγύπτου, ἣν Ἑκαταῖος περιηγήσει Λιβύης Κράμβουτίν φησιν. Τὰ εἰς τις πρὸ τοῦ τις υ ἔχοντα, σπάνια ὄντα, τὰ μὲν βαρύνεται, Σύρτι ς , Ξύστις πόλις Καρίας. Βέρυτις Τρωϊκὴ πόλις. Ἄφυτις πόλις Θρᾴκης. Θουκυδίδης α′ (64) «ἐξ Ἀφύτιος ὁρμώμενος». λέγεται καὶ Ἄφυτος καὶ Ἀφύτη. Κάλυτις πόλις Συρίας. Ἡρόδοτος δευτέρᾳ (c. 159)· Κάνυτις πόλις Συρίων μεγάλη, ὡς Ἑκαταῖος Ἀσίᾳ. τὰ δὲ ὀξύνεται, ῥυτί ς , κυρτί ς . Καλυτίς τὸ ἐθνικόν. Ἀψυρτί ς. Ἀψυρτίδες νῆσοι πρὸς τῷ Ἀδρίᾳ ἀπὸ Ἀψύρτου παιδὸς Αἰήτου ἐν μιᾷ δολοφονηθέντος ὑπὸ τῆς ἀδελφῆς Μηδείας.

3,1 104 Τὰ εἰς τις πρὸ αὐτοῦ ψιλὸν ἔχοντα τὰ μὲν βαρύνεται, κλέπτι ς , ἴκτις ζῷον, λάκτις ἡ τορύνη. τὰ δὲ ὀξύνεται, φλυκτί ς , πηκτί ς. Τὰ εἰς δύο ττ σπάνια ὄντα τὰ μὲν βαρύνεται, Ἄττι ς , Ζήβυττις πόλις Λιβύης. Ἑκαταῖος Ἀσίᾳ. Ἀδράμυττις νῆσος ἐν τῇ Λυκίᾳ. τὰ δὲ ὀξύνεται, τριοττί ς , νεοττί ς. Τὰ εἰς στις δισύλλαβα βαρύνεται, εἰ μὴ ὑποκοριστικώτερα εἴη, πίστι ς , μνῆστι ς . Θέστις πόλις Ἀράβων καὶ ἄλλη Λιβύης. τὸ μέντοι κιστίς ὀξύνεται ὡς ὑποκοριστικόν. τὸ δὲ Νεστίς ἡ χώρα ἀπὸ Νέστου, πόλεως καὶ ποταμοῦ Ἰλλυρίας, ἐθνικόν ἐστιν. Ἔτι τὰ εἰς στις ὑπὲρ δύο συλλαβάς, εἰ μὴ ἐπίθετα εἴη, προπαροξύνεται, βούβρωστι ς , ἄγρωστι ς , Αὔγωστις πόλις Λοκρίδος ἢ τόπος ἢ χωρίον ἐντὸς τῆς πόλεως, ὡς Ἐπαφρόδιτος. Ζάγυστις χωρίον Λιβύης. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. ὀξύνεται τὸ Κεραστί ς· οὕτως ἐκαλεῖτο ἡ Κύπρος ἀπὸ τοῦ πολλὰς ἄκρας ἔχειν— Λιγυστί ς. Λιγυστίδες νῆσοι αἱ καὶ Στοιχάδες, Λιβυστί ς , Κυρρεστίς ἡ Ἀθηνᾶ, Γεραιστί ς , Ὀρεστίς ὡς ἐπιθετικά. * Τὰ εἰς τις δισύλλαβα ν πρὸ τοῦ τ ἔχοντα βαρύνεται, Σάντις πόλις Κελτική, Σίντις Θρᾳκικὸν ἔθνος, ὑφ' ὧν πρῶτον ᾠκίσθη ἡ Λῆμνος νῆσος, ὡς Στράβων. Τὰ εἰς τις πολυσύλλαβα ν πρὸ τοῦ τ ἔχοντα μὴ παρακείμενα τοῖς εἰς της ὀξύνεται, Προποντίς ἡ πρὸ τοῦ Πόντου τοῦ Εὐξείνου θάλασσα καὶ γῆ Βυζαντίων. Ἑλλησποντί ς . Ἀβαντίς ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου β′ περὶ Ἰοῦς νήσῳ ἐν Ἀβαντίδι δίῃ, τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες, τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς. ἐκλήθη δὲ ἀπὸ Ἄβαντος τοῦ Ἀργείου ἢ τοῦ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ὡς Ἀριστοκράτης. Ὑαντί ς. οὕτως πρότερον ἡ Αἰτωλία χώρα ἐκαλεῖτο. Ἀκαμαντί ς. οὕτως ἐκαλεῖτο ἡ Κύπρος. Παρθένιος δ' ἐν Ἀφροδίτῃ Ἀκαμαντίδα αὐτήν φησιν· ἐκαλεῖτο καὶ φυλὴ Ἀκαμαντίς τῆς Ἀττικῆς, ὡς Σιμωνίδης. Ἀθαμαντί ς· οὕτως Τέω πόλιν Ἰωνίας καλεῖ Ἀνακρέων ἀπὸ Ἀθάμαντος, ὃς πρῶτον αὐτὴν ἔκτισεν.

3,1 105 Μεταποντί ς. οὕτως πρότερον ἐκαλεῖτο Σύμη νῆσος. Γιγαντί ς. οὕτως τινὲς τὴν Ἀρκαδίαν φασίν. Ἐλεφαντί ς. οὕτως Παρθένιος Ἐλεφαντίνην νῆσον Αἰγύπτου φησίν. Ζυγαντίς πόλις Λιβύης. Ἑκαταῖος Ἀσίας περιηγήσει. Ἰπνουντίς ἡ Ἥρα, Ὀδομαντί ς , Σιμουντί ς , Σκιλλουντί ς , Σολουντί ς , Ταυλαντί ς , Τευθραντί ς , Φλιουντί ς . Τὸ δὲ Σάργαντις πόλις Αἰγύπτου βαρύνεται

ὡς καὶ Βούναρτις πόλις Λιβύης ρ παραληγόμενον. Τὰ εἰς ις θηλυκὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γινόμενα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, ὁ κυνηγέτης ἡ κυνηγέτις, ὁ δεσπότης ἡ δεσπότι ς , αἴτη ς , ἀΐτις, ὁ πολίτης ἡ πολῖτις, πολιήτης πολιῆτι ς. Γέτης Γέτι ς· οὕτως δὲ ἐκαλεῖτο ἡ γυνὴ τοῦ Φιλίππου τοῦ Ἀμύντου, Μακέτης Μακέτις, ἀγρότης ἀγρότις, ἀγροιώτης ἀγροιῶτις, Μασσαγέτης Μασσαγέτις καὶ Μασσαγῆτις, ἴσως διὰ τὸ μέτρον. πρεσβύτης πρεσβῦτις, ἀλείτης ἀλεῖτις, ἀγυιάτης ἀγυιᾶτις, ὡς καὶ τὰ προπύλαια τοῦ ἀγυιέως ἀγυιάτιδες θεραπεῖαι λέγονται, Αὐσονῖτις Λυκόφρων (v. 44) «ὁ τῆς θαλάσσης Αὐσονίτιδος μυχούς». Αἰανῖτις διὰ διφθόγγου. Σοφοκλῆς δὲ Ἀανῖτιν γράφει δίχα τοῦ ι . Ζεφυρῖτις Ἀφροδίτη καὶ Ἀρσινόη, ὡς Καλλίμαχος. Κυκνῖτις ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφοκλῆς ἐν Πηλεῖ. καὶ ἐν Ποιμέσι «βοὴν κυκνῖτιν». Ἀσκαλωνῖτι ς , Ναρβωνῖτι ς , Καρκινῖτις, πόλις Σκυθική, Λυχνῖτις Ἀρμενίας χώρα. Μενελαῖτις χώρα Αἰγύπτου, Ποταμῖτις γυνὴ Βήλου ἢ καὶ Ἀερία· οὕτω δ’ ἐκλήθη καὶ ἡ Αἴγυπτος. Πιτανῖτις χώρα καὶ νύμφη. Πορφυρῖτις πόλις Ἀραβίας κατὰ Αἴγυπτον, Προσωπῖτις πόλις Αἰγύπτου, Σκιρῖτις ἡ δωδεκάπολις τῆς Καρίας.

3,1 106 Σφραγῖτις ἄκρα Σκυθίας. Φαρκωνῖτι ς· οὕτως ἐκαλεῖτο ἡ Κύμη. Χαλκῖτις νῆσος ἀντικρὺ Χαλκηδόνος. Ἀρτεμίδωρος ἐν ἑνδεκάτῳ γεωγραφουμένων «ἀπὸ δὲ τοῦ Ἀκρίτου καταπλεύσαντι πρὸς εὖρον στάδια ἑκατὸν δέκα ἄκρα κεῖται Ὑρίς καλουμένη, καὶ νῆσος αὐτῇ παράκειται Πιτυώδης καὶ ἄλλη νῆσος καλουμένη Χαλκῖτις καὶ ἄλλη Πρῶτα λεγομένη· ἀπὸ δὲ ταύτης εἰς τὴν Χαλκῖτιν λεγομένην πόλιν στάδια τεσσαράκοντα». ἔστι καὶ πόλις Χαλκῖτις ἐν Μεσσαπίᾳ τῆς Ἰταλίας· ἔστι καὶ χώρα ἐν Σκυθίᾳ, ὡς Ἑρμείας ἐν περιηγήσει. Χατραμωτῖτις χώρα πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης, Στράβων ἑκκαιδεκάτῃ (p. 768) «Γερραῖοι δ’ εἰς τὴν Χατραμωτῖτιν». Ὠκεανῖτι ς , Μαρωνεῖτι ς , Σαλωνεῖτι ς , ἠεροφοῖτι ς , Ἀσιᾶτι ς , Ἀπολλωνιᾶτι ς , Δερεᾶτις Ἄρτεμις, Καρυᾶτι ς , Καυλωνιᾶτι ς , Κροτωνιᾶτι ς , Μαλεᾶτι ς , Μιδεᾶτι ς , Μυρλεᾶτις χώρα Βιθυνίας, Ναυκρατιᾶτι ς , Πισᾶτι ς , Πλαταιᾶτι ς , Πυλᾶτις «Πυλάτιδες ἀγοραί» (Sophocl. Trach. 638). Σπαρτιᾶτι ς , Τεγεᾶτι ς , Ὑσιᾶτι ς. Αἰγινήτης Αἰγινῆτις, κωμήτης κωμῆτι ς , Πειρῆτις «Πειρήτιδος ἱερὸς ὄρνις» ὡς ἀπὸ Πειρήτης ἀρσενικοῦ, πρωθῆβι ς. Μάγνης Μαγνῆτις παρὰ Σοφοκλεῖ, Κουρής Κουρῆτι ς . Μασῆτις λίμνη, κώμη καὶ νῆσος. νησιώτης νησιῶτι ς , Ἀρδαλιῶτι ς , Ἑστιαιῶτις ἡ Θεσσαλικὴ μοῖρα. Ἰταλιῶτι ς. Μαιώτης ἔθνος Σκυθικὸν καὶ Μαιῶτις λίμνη, ἥν φασι κληθῆναι ἀπὸ τοῦ μαῖαν εἶναι τοῦ Εὐξείνου πόντου. Μαρεῶτις λίμνη. Μασσαλιῶτι ς , Πελασγιῶτι ς , Φθιῶτι ς. χωρὶς τῶν ἀπὸ τῆς κοίτης καὶ πωλῶ· ταῦτα γὰρ προπαροξύνονται, ἄκοιτι ς , παράκοιτι ς , ἀρτόπωλι ς , λαχανόπωλι ς , ἀλφιτόπωλι ς. τὸ μέντοι δολόμητις οὐκ ἔστι θηλυκόν, ἀλλὰ καὶ ἀρσενικόν. καὶ ἴσως μῆτις ἔγκειται ὡς τὸ πολύμητις δολόμητις. καὶ ἔστι σύνθετον. τὸ Σκυθίς δὲ δισυλλαβοῦν ὀξύνεται ὡς τὸ Περσί ς. * Ἔτι τὰ νομιζόμενα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γεγενῆσθαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον οἷον ἡ πλευρῖτι ς , ἡ φρενῖτι ς , ἡ νεφρῖτι ς. ταῦτα ὡς ἀπὸ τῶν εἰς ης ἀρσενικῶν δοκοῦσιν εἶναι ὡς ἀπὸ τοῦ ὁ πλευρίτης καὶ ὁ φρενίτης καὶ ὁ νεφρίτης, εἰσὶ δὲ ὀνόματα νοσημάτων. Τὰ εἰς φις διβράχεα ὀξύνεται, ῥαφί ς , γλυφί ς , σταφί ς , στροφί ς. σεσημείωται τὸ ὄφι ς. εἰ δὲ ἡ παραλήγουσα εἴη φύσει ἢ θέσει μακρὰ ἐν δισυλλάβοις παροξύνεται ἢ προπερισπᾶται, Ἶφι ς , Μέμφις ἡ διασημοτάτη Αἰγύπτου μητρόπολις.

3,1 107 τὸ δὲ Κηφίς ὡς ἐθνικὸν ὀξύνεται, ὡς καὶ Δελφί ς. Τὰ εἰς φις ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εἰ μὴ κύρια εἴη, ἀσταφί ς , κροταφί ς , ἐλαφί ς . Κερκαφί ς· Κερκαφίδες δὲ ἀπὸ Κερκάφου αἱ Ῥόδιαι γυναῖκες. καὶ Ἀκραιφίς λίμνη ὡς ἐθνικά. τὸ δὲ Ὄνουφις ὡς κύριον προπαροξύνεται καὶ Μώμεμφι ς. Ἡρόδοτος δευτέρᾳ (c. 163). Πάρεμφι ς· εἰσὶ δὲ πόλεις Αἰγύπτου. Τὰ εἰς χις ὀξύνεται, εἰ μὴ ὀνόματα πόλεων ἢ νήσων εἴη, Κολχί ς . Ἀντιοχίς ἡ μήτηρ τοῦ Ἀντιόχου καὶ ἐθνικὸν τῆς πόλεως Ἀντιοχείας καὶ φυλῆς ὄνομα, παννυχί ς , Τραχίς πόλις Θεσσαλίας ὑπὸ τὴν Οἴτην ὑπὸ Ἡρακλέους κτισθεῖσα καὶ ὀνομασθεῖσα οὕτως διὰ τὴν τραχύτητα. Δουλιχί ς , Ἐρυσιχί ς· τὸ δὲ

ῥάχις καὶ ἔχις σεσημείωται. τὸ μέντοι Ζοῦχις πόλις Λιβύης περὶ τὴν Σύρτιν. Στράβων ἑπτακαιδεκάτῳ (p. 834). Τρῆχις πόλις Αἰγύπτου, Βῆχις πόλις Αἰγύπτου ἡ πρότερον Μέτηλις. Βῶγχις πόλις Αἰθιοπίας πρὸς τῷ τρίτῳ καταρράκτῃ. Ξοῦχις πόλις Λιβύης. Ἀρτεμίδωρος. Ἀτάρβηχις πόλις ἐν τῇ Προσωπίτιδι νήσῳ, Τεύωχις πόλις Αἰγυπτία. ἔστι καὶ λιμὴν ὁμώνυμος. Ὕδελχι ς· ἐπὶ πόλεων καὶ νήσων. Τὰ εἰς ις θηλυκὰ ἐπὶ τέλους ἔχοντα τὸν τόνον καὶ εἰς α ποιοῦντα τὴν αἰτιατικὴν ὀξύνονται, ῥανί ς , κρηπί ς , κνημί ς , ἀψί ς. Εἰ δὲ εἰς ιν ἔχουσι τὴν αἰτιατικήν, περισπῶνται, Βενδῖ ς , Μολῖ ς , Τοτῖ ς , Ἀταργατῖ ς. ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΕΙΣ ος ΟΝΟΜΑΤΩΝ.

3,1 108 ΒΙΒΛΙΟΝ ε′. Τὰ εἰς ος καθαρὰ δισύλλαβα τῷ α μακρῷ παραληγόμενα ὀλίγα εἰσίν, καὶ ὀξύνεται μέν, ὅσα οὐ κύρια, μὴ δὲ ἐπιθετικά, παός καὶ πηός «καὶ πηῷ περ ἐόντι» (Od. κ 441), ναός νηός «ἐν πίονι νηῷ» (Β 549), λαός ληός τῇ μεταγενεστέρᾳ Ἰάδι τραπέν «ληὸν ἀθρήσας» Ἱππῶναξ, παρ' Ὁμήρῳ δὲ τὸ λαός ἄτρεπτον ἔμεινεν. σημειωτέον δὲ ὅτι οὐχ ἁπλῶς τὸν ὄχλον σημαίνει, ἀλλὰ τὸν ὑποτεταγμένον. Ἑκαταῖος γὰρ «τὸν Ἡρακλέα τοῦ Εὐρυσθέως λαόν» λέγει καίτοι ἕνα ὄντα. γίνεται δὲ λαός, ὡς Χρύσιππος ὁ Στωϊκὸς ἐτυμολογεῖ, παρὰ τὸ λαλῶ λαλός καὶ λαός. παρὰ γὰρ τὴν φωνήν φησι ὡς καὶ μέροψ παρὰ τὴν ὄπα. καὶ ἄνθρωπος ὁ διωρθωμένην ἔχων τὴν ὄπα, διὸ καὶ αὐδήεντες «ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων» (Od. ζ 125). ἐγένετο δὲ ἔλλειψις, ὡς παρὰ τοῖς Ἀττικοῖς ἡ σίφη ἐκ τοῦ σίλφη παρ' ἡμῖν λεγομένη ὡς καὶ ὁ τάπης παρὰ τὸ θάλπη, εἴ γε παρὰ τὸ χλιαίνειν ἡ χλαίνη. καὶ ἔκτασις δὲ γίνεται ἀποβολῇ τοῦλ · ἄλλοι δὲ παρὰ τοὺς λᾶας ὠνομάσθαι «λαοὶ Δευκαλίωνος ὅσοι γενόμεθα». Καλλίμαχος. φέρεται δὲ ἱστορία, ὅτι ἡ Μῆτις δυστοκούσης τῆς Ῥέας αὐτὴ καὶ ἔτεκε τέκνον ὃ ἐκάλεσε Λάαν· τῇ δὲ Ῥέᾳ τεκούσῃ τὸν Δία ἀντικατήλλαξεν τὸν Λάαν αὐτῆς τὸν παῖδα, ἵνα ὁ Κρόνος ἀντὶ Διὸς τὸν Λάαν καταπίῃ. Ζεὺς οὖν ἡβήσας εἰς τιμὴν τοῦ ἀνθ' αὑτοῦ καταποθέντος λαοὺς ὠνόμασε τοὺς ἀνθρώπους. οἱ δὲ ὅτι Δευκαλίων λίθους ῥίπτων ἀνθρώπους ἐποίει. τινὲς δὲ ὅτι κατακλυσμοῦ ὄντος ἔφυγον οἱ ἄνθρωποι εἰς τὰ ὄρη. καὶ μετὰ ταῦτα ἐπέστησαν τῇ γῇ εὐδίας γινομένης, ὡς ἐκπλαγῆναι καὶ ἀπὸ λίθων νομισθῆναι εἶναι. Ἡσίοδος δὲ παρὰ τὸ ἁλές τὸ σημαῖνον τὸ ἀθρόον. τούς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς λεκτοὺς ἐκ γαίης ἁλεῖς πόρε Δευκαλίωνι. (fr. 11 Dindorf.) ἁλαός λαός ἀφαιρέσει τοῦ α , ὡς καὶ παρὰ Ἀριστοφάνει (Mein. fr. Com. ed. min. p. 341) σφόδελον ἐν χύτραισι μεγάλαις ἑψόμενον τινὲς δὲ καὶ Παφίην τὴν Ἀφροδίτην οὐ παρὰ τὴν Πάφον τὴν ἐν Κύπρῳ πόλιν, ἀλλὰ παρὰ τὸ ἀπαφίσκειν· καὶ παρ' Ἡσιόδῳ «ῥεῖά τέ μιν μαυροῦσι θεοί» (Op. 323). ἡ τοῦ μακροῦ α ἀφαίρεσις σπάνιος· καὶ ἴσως ἐν τῷ «βάλε δὴ βάλε κηρύλος εἴην» (Alcm. fr. 21). τὸ Δᾶος ὡς κύριον βαρύνεται. «Γέτας γὰρ τοὺς πρὸς τὸν Πόντον κεκλιμένους καὶ τὴν ἕω, Δάους δὲ τοὺς πρὸς τἀναντία πρὸς Γερμανίαν καὶ τὰς τοῦ Ἴστρου πηγάς» (Strab.
3,1 109 VII p. 304). καὶ παρ' Ἀττικοῖς δὲ τὰ τῶν οἰκετῶν ὀνόματα Δᾶοι καὶ Γέται. λέγεται δὲ καὶ Δᾶκος. ἔτι καὶ Λᾶος ποταμὸς καὶ πόλις Λευκανίας. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ. καὶ Λᾶοι οἱ οἰκοῦντες Λᾶν πόλιν Λακωνικῆς. Χνᾶος ἔθνος. καὶ τὸ πρᾷος δὲ ἐπίθετον. τὸ μέντοι ταός παρ' Ἀλεξανδρεῦσιν ἀντὶ τοῦ ταὧς σεσημείωται. τὸ δὲ λᾶος παρὰ Σοφοκλεῖ «ἐπ' ἄκρου λάου» (Oed. Col. 195) ἀπὸ γενικῆς τῆς λᾶος «λᾶος ὑπὸ ῥιπῆς (Μ 462) εἰς εὐθεῖαν μετεποιήθη. Τὰ εἰς αιος δισύλλαβα, εἰ μὴ εἴη κύρια, ὀξύνεται, λαιό ς , φαιό ς , βαιό ς , σκαιός τὸ ἐπίθετον. Σκαῖος δὲ τὸ κύριον, ὡς Βαῖος κυβερνήτης Ὀδυσσέως, Γραῖο ς , Παῖο ς. Τὰ διὰ τοῦ αυος δισύλλαβα βαρύνεται, ναῦο ς , αὗος ὁ ξηρός. Αὗος ποταμὸς Θεσπρωτίας, Τραῦος κύριον καὶ τὸ Ψαῦος παρ' Ἀλκμᾶνι. τὸ δὲ ἀγαυός τρισύλλαβον. Τὰ εἰς οιος δισύλλαβα ὀξύνεται, εἰ μὴ εἴη κύρια καὶ πυσματικὰ καὶ ἀναφορικὰ καὶ τὸ ο πλεονάζει ἐν τῇ ἀρχῇ, σμοιός ἐπίθετον, σκλοιός ὁ σκολιός, δοιό ς , γλοιός ἐπὶ κόπρου, βοιό ς , κλοιός, ὃ καὶ κλῳός λέγεται, φλοιό ς. τὸ ποῖο ς , τοῖο ς , κοῖο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ς , οἶος βαρύνεται ὡς πυσματικὰ καὶ ἀναφορικά, τὸ δὲ οἶος ὁ μόνος, ὅτι τὸ ο πλεονάζει ἐν τῇ ἀρχῇ.

3,1 110 καὶ τὰ κύρια δὲ ὁμοίως, Μοῖο ς , Βοῖος ἔθνος Κελτογαλατῶν, Κοῖο ς . Οἰός δὲ ὁ δῆμος τῆς Ἀττικῆς ὀξύνεται. ἔστι δὲ καὶ πόλις Κρητικὴ καὶ ὄνομα λιμένος καὶ ῥεῖθρον. Τὰ εἰς ειος δισύλλαβα ἐπιθετικὰ βαρύνεται, λεῖο ς , μεῖο ς , θεῖο ς , πλεῖο ς , ῥεῖο ς , χρεῖο ς , Κεῖος καὶ Τεῖος ἐκ τοῦ Κέϊος καὶ Τέϊος συναιρεθέντα. τὸ δὲ νειός ἐπὶ τῆς ἀνανεουμένης γῆς οὐκ ἀρσενικὸν καὶ μονογενές. * Τὰ εἰς ευος δισύλλαβα κύρια προπερισπᾶται, Βεῦος ποταμὸς Μακεδονίας. Τὰ εἰς ος καθαρὸν δισύλλαβα παραληγόμενα τῷ ι μακρῷ ἀρχόμενα ἀπὸ τοῦ ἑνὸς ἢ δύο συμφώνων βαρύνεται, πῖος καὶ Πῖος ὄνομα κύριον, Χῖος ὁ πολίτης τῆς Χίου. Θουκυδίδης ὀγδόῃ (c. 5) «Χῖοι καὶ Ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἕτοιμοι ὄντες». καὶ Ἡρόδοτος πρώτῃ (c. 142) «Χῖοι καὶ Ἐρυθραῖοι κατὰ τωὐτὸ διαλέγονται». τὸ ι μακρὸν ὡς τοῦ μήτι «μήτι δ' ἡνίοχος» (Il. Ψ 318) καὶ τοῦ Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν» (Il. Σ 407). τὸ δὲ πρωτότυπον βραχὺ ἔχει τὸ ι . δῖο ς . Θρῖος ὄνομα τόπου. Γρῖο ς , Φθῖος ἥρως καὶ ἔθνος «Λοκροὶ καὶ Φθῖοι» (Il. Ν 686). λέγονται καὶ Φθῖες. Φλῖος ὁ Διόνυσος καὶ ὄνομα πόλεως, ὃ διφορεῖται κατὰ τὴν γραφήν, τινὲς μὲν γὰρ διὰ τοῦ ι γράφουσι αὐτό, τινὲς δὲ διὰ τῆς ει διφθόγγου. τὸ κριός ὁ ἐξέχων τῆς ποίμνης παρὰ τὸ κεκρίσθαι τὰς τρίχας σεσημείωται ὀξυνόμενον. τὸ δὲ Κρῖος ὄνομα Τιτᾶνος προπερισπῶσι πρὸς διαστολὴν τοῦ προσηγορικοῦ, ὁ δὲ Ἀρίσταρχος καὶ τὸ κύριον ὀξύνει. γράφεται δὲ διὰ τοῦ ι τῷ κανόνι τῶν διὰ τοῦ ιος δισυλλάβων ἀρσενικῶν διὰ τοῦ ι γραφομένων. τὸ δὲ ἰός ἐπὶ τοῦ βέλους ἀπὸ φωνήεντος ἄρχεται. Τὰ εἰς ος δισύλλαβα τὸ δίχρονον ἔχοντα βραχὺ βαρύνεται, σάος καὶ Σάος ἡ τῶν Σαΐων νῆσος.

3,1 111 Ἴος νῆσος τῶν Κυκλάδων ἀπὸ Ἰώνων οἰκησάντων, ἔστι καὶ Λυδίας. Τίος πόλις Παφλαγονίας ἀπὸ Τιέως ἱερέως τὸ γένος Μιλησίου, ὡς Φίλων. Δημοσθένης δ' ἐν Βιθυνιακοῖς φησι κτιστὴν τῆς πόλεως γενέσθαι Πάταρον ἑλόντα Παφλαγονίαν καὶ ἐκ τοῦ τιμᾶν τὸν Δία Τίον προσαγορεῦσαι. μέμνηται καὶ Μένιππος ἐν Παφλαγονίας περίπλῳ «ἀπὸ Ψύλλης χωρίου ἐς Τίον πόλιν καὶ ποταμὸν Βιλλαῖον στάδιοι ϟ» καὶ «οἱ πάντες ἀπὸ Ἡρακλείας ἐς Τίον πόλιν καὶ ποταμὸν Βιλλαῖον στάδιοι το'». καὶ πάλιν «οἱ πάντες ἀπὸ Τίου εἰς Ἄμαστριν στάδιοι σκ'. Στράβων ἐν δωδεκάτῳ (p. 542) οὐδετέρως καὶ τρισυλλάβως τὸ Τίειόν φησιν. Χίος ἡ ἐπιφανεστάτη νῆσος τῶν Ἰώνων, ἔχουσα καὶ πόλιν ὁμώνυμον. Ἑκαταῖος Εὐρώπῃ «Χίος κατὰ Ἐρυθράς, ἐν δὲ πόλις Χίος». ἀπὸ Χίου τῆς Ὠκεανοῦ ἢ ἀπὸ τῆς χιόνος τῆς ἐκεῖ γενομένης πολλῆς ἢ ἀπὸ νύμφης τῆς Χιόνης. ἔστι καὶ ἑτέρα πόλις Καρίας Χίος κατὰ Τριόπιον κειμένη ἐν τῇ χερρονήσῳ. καὶ γ' ἐν Εὐβοίᾳ. Κίος ποταμὸς καὶ πόλις Βιθυνίας, Δρίος τὸ Φρίκειον ὄρο ς , ἴος ὁ μόνος, βίος ἡ ζωή, βιός δὲ τὸ τόξον. σεσημείωται τὸ μνιός ὁ ἁπαλός παρ' Εὐφορίωνι. Τὰ διὰ τοῦ υος δισύλλαβα ἀρσενικὰ βαρύνεται, Δρῦος ὄνομα κύριον υἱὸς Αἰγύπτου καὶ Φλῦο ς. σεσημείωται ὁ πυός ὀξυτόνως καὶ ἀρσενικῶς. τὸ δὲ νυός ἡ νύμφη θηλυκὸν ὀξύνεται. Τὰ διὰ τοῦ οος καὶ εος δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα καὶ μὴ μόνου τοῦ θ βαρύνεται, νόο ς , γόο ς , ῥόο ς , πλόο ς , θρόο ς , φλόο ς , κόο ς, ὃ λέγεται καὶ κῶος, καὶ Κόος ὄνομα τόπου, χνόο ς , φλέο ς , Κέο ς , Τέο ς , πλέο ς , νέο ς, διὸ καὶ τὸ ζόος παρ' Ἐπιχάρμῳ οἱ πλείους ἐβάρυναν «τρὶς ἀπεδόθη ζόος». ὁμοίως καὶ τὸ σόος τὸ κύριον καὶ τὸ προσηγορικόν, ὅπερ ἡ συνήθεια διὰ τοῦ ω γράφει, τινὲς δὲ καὶ σὺν τῷ ι . τὸ δὲ ἑός ὀξύνεται, ἀπὸ φωνήεντος γάρ. καὶ τὸ θοός καὶ θεός ὡς ἀπὸ τοῦ θ μόνου. Τὰ εἰς ωος μετὰ προσγεγραμμένου ι δισύλλαβα προπερισπᾶται, Κῷος ὁ πολίτης τῆς Κῶ, σῷο ς, ὃ διὰ τοῦ ι γράφεσθαί φησι Δίδυμος, ἡ δὲ παράδοσις ἄνευ τοῦ ι οἶδε, Λῷο ς , Πτῷος Ἀκραιφέως καὶ Εὐξίππης.

3,1 112 τὸ δὲ κλωός, ἀπὸ τοῦ κλοιός ὀξύνεται, καὶ ἔτι τὸ ζῳός καὶ τὸ Τρωό ς. Τὰ εἰς υιος σπάνια ὄντα ὀξύνεται, υἱός καὶ γυιό ς. ταῦτα δὲ οἱ Ἀττικοὶ ἄνευ τοῦ ι γράφουσιν. Τὰ εἰς ος τρισύλλαβα ἁπλᾶ τῷ α μόνῳ παραληγόμενα ὀξύνεται, εἰ μὴ ἡ τρίτη ἀπὸ τέλους φύσει ἢ θέσει μακρὰ εἴη ἢ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διάστασιν σύμφωνον ἔχοι, ἀγλαό ς , ἀλαός παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι· ἀλαός ὁ περιπλανώμενος. Σέλευκος δὲ παρὰ τὸ ἀλάσαι, ὃ σημαίνει τὸ ἐλαττῶσαι ἵν’ ᾖ τὸ ἐλαττωθεὶς τοὺς ὀφθαλμούς. ἄλλοι δὲ ὁ τυφλὸς καὶ ἐστερημένος τοῦ λάειν ἤτοι βλέπειν. Ἀρίσταρχος τὸ παρὰ τῷ ποιητῇ «ἀσπαίροντα λάων» (Od. τ 229) οὕτως ἐξηγεῖται ἀντὶ τοῦ βλέπειν. κεραό ς , ταναό ς . Δαναός ὁ πολίτης ὁμοφώνως τῷ οἰκιστῇ. Κραναός, ἀφ’ οὗ ἡ Ἀττικὴ ἐκαλεῖτο Κραναή. Μαλαός, ὃς ἔκτισε Τῆμνον πόλιν τῆς Αἰολίδος. τὸ δὲ ἵλαος καὶ Πίταος Φρὺξ Μίδου φίλος τὴν τρίτην ἀπὸ τέλους μακρὰν ἔχει. τὸ δὲ ...... σύμφωνον κατὰ διάστασιν ἔχει. τὸ δὲ γόαος ἐκ τοῦ γόης γέγονε. Τὸ δὲ Θήβαο ς , ἄρχαο ς , Ἄλκαο ς , πάλαο ς , Ἄχαος κατ’ ἔνδειαν τοῦ ι γινόμενα Αἰολικά εἰσιν. * Τὰ εἰς αος ὑπερτρισύλλαβα προπαροξύνεται οἷον Ἀμφιάραο ς , Μενέλαο ς· ἔστι καὶ πόλις Αἰγύπτου· Στράβων ἑπτακαιδεκάτῃ (p.

3,1 113 803). Οἰνόμαος υἱὸς Ἁρπίνης τῆς Ἀσωποῦ καὶ Ἄρεος. Τὰ διὰ τοῦ λεος τρισύλλαβα ἁπλᾶ ὀξύνεται, μὴ ὄντα κτητικὰ ἢ διαφόρως τονούμενα πρὸς διάφορον σημασίαν, εἰλεός ἡ κατάδυσις καὶ ἡ νόσος καὶ ἡ μαγειρικὴ τράπεζα, φωλεό ς , κολεό ς , Μαλεό ς , γαλεός ὁ ἀσκαλαβώτης. Φιλύλλιος Αἰγεῖ «ὁ πάππος ἦν μοι γαλεὸς ἀστερίας» καὶ Ἄρχιππος Ἰχθύσιν «τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάττιοι; γαλεοί γε πάντων μάντεων σοφώτατοι». ἀλεός καὶ Ἀλεός ὁ πολίτης Ἀλέας ὁμοφώνως τῷ οἰκιστῇ, παλεό ς . Κελεό ς , Πελεό ς , Ἐλεός δὲ τὸ κύριον καὶ ἐπίθετον, ἔλεος δὲ τὸ προσηγορικόν. τὸ δὲ μέλεος σύνθετόν ἐστι. τὸ δὲ τέλεος καὶ κήλεος κατὰ πάθος ἀπὸ τέλειος καὶ κήλειος κτητικά. * Τὰ εἰς νεος ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ἐνεό ς , Φενεός ἥρως καὶ πόλις Ἀρκαδίας· «οἳ Φενεόν τ’ ἐνέμοντο καὶ Ὀρχομενόν «(Β 605). λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς. κενεό ς , ἀφνεό ς , Ἐλινεός ὄνομα ἔθνους. Ἐρινεός πόλις Δωριέων ὑπὸ τὸν Παρνασσόν. λέγεται καὶ Ἐρινειός. ἔστι καὶ Θετταλίας ἄλλη καὶ Ἀχαΐας. τὸ δὲ λαΐνεος καὶ ἐλαΐνεος κατὰ πλεονασμὸν τοῦ ε ἐκ τοῦ λάϊνος καὶ ἐλάϊνος. τὸ δὲ κυάνεος κτητικὸν ἀποβολὴν ἔπαθε τοῦ ι ἀπὸ τοῦ κυάνειος γεγονός. * Τὰ εἰς ος λήγοντα ὀνόματα παρὰ ῥῆμα γινόμενα καθαρεύοντα καὶ τῷ ε παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω, φωλεός, ὀχεύω ὀχεός καὶ ἐν πλεονασμῷ τοῦ ς ὀσχεό ς. καὶ παρὰ σωρεύω δὲ ὁ σωρεό ς. τὸ δὲ σωρός κατὰ συγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεός ἔσται κατ’ ὀξεῖαν τάσιν «ὁ δ’ ἐκ λοχεοῖο πάϊς» (Hesiod.

3,1 114 theog. 178). ἀλλ’ οὖν γε βαρυτόνως οἱ πλείους ἀνέγνωσαν πλεονασμὸν ἐκδεξάμενοι τοῦ ε , ὥστε παρὰ τὴν λόχου γενικὴν «ἐκ λόχου ἀμπήδησε» (Il. Λ 379) λόχοιο γενέσθαι καὶ λοχέοιο. παρὰ κηδεύω δὲ κηδεός, κελεύω Κελεός ὄνομα κύριον. ὠρεύω Ὠρεός πόλις Εὐβοίας. τούτοις ἀκόλουθον καὶ τὸ θυρεός μὴ παρὰ ῥῆμα γενόμενον. Τὰ εἰς τεος παροξύνεται, εἰ μὴ ἐκ πλεονασμοῦ ἔχοι τὸ ε ἢ κτητικὰ εἴη, ῥητέο ς , πρακτέο ς , ἀθροιστέο ς , μεμπτέο ς , γραπτέο ς , λαλητέο ς , νοητέο ς , ποιητέο ς , γνωστέο ς. τὸ δὲ ἐτεός ὀξύνεται. ἀπὸ γὰρ τοῦ ἐτός ὀξυτόνου, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ἐν πλεονασμῷ τοῦ ι γέγονεν ἐτεός ὀξείᾳ τάσει. ἐπὶ γὰρ τῶν εἰς ος ὀνομάτων ὁ πλεονασμὸς τοῦ ε φυλάσσει τὴν ἐπὶ τέλους ὀξεῖαν, κενός κενεός, ἀδελφός ἀδελφεός, δαφοινός δαφοινεό ς. τὸ δὲ δρακόντεο ς , γερόντεος κτητικά ἐστι. Τὰ διὰ τοῦ αλεος παραγωγὰ ὑπὲρ τρεῖς συλλαβάς ἐστι καὶ παροξύνεται, χωρὶς εἰ μὴ ἔνδειαν ἔχῃ τοῦ ι ἀπὸ κτητικοῦ ὀνόματος οἷον νηφαλέο ς , αὐαλέο ς , σμερδαλέο ς , θαρσαλέο ς , σκωπαλέο ς , δειμαλέο ς , κερδαλέο ς , φρικαλέο ς , ἀργαλέο ς , φοιταλέο ς , γηραλέο ς , λευγαλέο ς , ὀπταλέο ς , ἰκμαλέο ς , ῥωμαλέο ς , ῥωγαλέο ς , καρφαλέο ς , ἁρπαλέο ς. πρόσκειται «εἰ μὴ ἔχῃ ἔνδειαν τοῦ ι ἀπὸ κτητικοῦ ὀνόματος» διὰ τὸ δαιδάλειος δαιδάλεος, ἔνθεν αἰτιατικὴ «δαιδάλεον θώρηκα» παρὰ τῷ ποιητῇ (Θ 195), κονισάλειος κονισάλεος παρὰ Ἀντιμάχῳ «τὼ δ’ αὖτ’ ἀμφὶ κονισάλεον πεπονήατο δίφρον». ὅσα δὲ ἀπὸ τῶν κτητικῶν ἐγένετο κατ’ ἔνδειαν τοῦ ι , καὶ προπαροξύνονται, Ἀγαμεμνόνεο ς , Ἑκτόρεο ς , Νεστόρεο ς , τέλεο ς , χάλκεο ς , χρύσεο ς , τέγεο ς , κήλεο ς . Ὑπερβόρεοι, ἔθνος, ὃ Ἑλλάνικος Ὑπερβόρειοι γράφει διὰ διφθόγγου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 115 Πρώταρχος τὰς Ἄλπεις Ῥίπαια ὄρη οὕτω προσηγορεῖσθαι καὶ τοὺς ὑπὲρ τὰ Ἄλπεια ὄρη κατοικοῦντας πάντας Ὑπερβορέους ὠνομάσθαι. Δαμάστης δ' ἐν τῷ περὶ ἐθνῶν, ἄνω τῶν Σκυθῶν Ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω Ἀριμασπούς, ἄνω δ' Ἀριμασπῶν τὰ Ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δὲ μήποτε αὐτὰ ἐκλείπειν· ὑπὲρ δὲ τὰ ὄρη ταῦτα Ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν. Καλλίμαχος δὲ τοὺς αὐτούς φησι εἶναι τοῖς Ἀριμασποῖς. Τὰ εἰς ος λήγοντα καθαρὰ ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς κατὰ τὴν κοινὴν διάλεκτον τῷ η παραληγόμενα οὐκ ἔστιν εὑρεῖν εἰ μὴ τὸ αἰζηός ὀξυνόμενον. καὶ τοῦτο ἐκ πάθους ἔχει τὸ η . παρὰ γὰρ τὸ ἀεὶ καὶ ζέω ὁ ἀεὶ ζέων καὶ ἀκμάζων κατὰ τὴν ἡλικίαν γίνεται αἰζεός καὶ κατ' ἐπαύξησιν τοῦ ε εἰς η αἰζηός. Ἀπολλώνιος μὲν ὁ τοῦ Ἀρχιβίου σὺν τῷ ι οἶδεν αὐτό, λέγων γεγονέναι ἐκ τοῦ αἰζήϊος. ἀλλ' εἰ ἦν ἀπὸ τοῦ αἰζήϊος, οὐκ ὤφειλεν ὀξύνεσθαι, ἀλλὰ προπερισπᾶσθαι. ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται οἷον Ἀχελώϊος Ἀχελῷος, ὑπερώϊον ὑπερῷον. καὶ δῆλον ὅτι ὥσπερ ἀπὸ τοῦ Αἰτωλός γίνεται Αἰτώλιος κατὰ παραγωγὴν τοῦ αὐτοῦ σημαινομένου φυλαττομένου καὶ ἀπὸ τοῦ κάπρος κάπριος, οὕτω καὶ ἀπὸ τοῦ αἰζηός αἰζήϊος. πρόσκειται κατὰ τὴν κοινὴν διάλεκτον· τὸ γὰρ ἀρχῆος καὶ Ἀχηός καὶ παληός Βοιώτιά εἰσι καὶ κατὰ τροπὴν τῆς αι διφθόγγου ἐγένετο καὶ προπερισπᾶται καὶ ὀξύνεται.

3,1 116 τὸ δὲ ὄρηος καὶ Λύκηος Λακωνικά εἰσι καὶ προπαροξύνεται καὶ αὐτὰ κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η γεγονότα. πρόσκειται ἁπλᾶ διὰ τὸ εὔνηος καὶ Ἐχένηος καὶ πολύνηος σύνθετα προπαροξυνόμενα. παρὰ γὰρ τὸ ναῦς νηός συνετέθη. τὸ δὲ πηός καὶ αὐτὸ ἐκ πάθους δισύλλαβον. Τὰ διὰ τοῦ διος προπαροξύνεται, εἰ μὴ τρισύλλαβα ὄντα τριβράχεα εὑρεθῶσι καὶ παροξύτονα πρὸς διαστολὴν κυρίων καὶ ἐπιθέτων, ὥσπερ ἔχει τὸ Ῥοδίος «Κάρησός τε Ῥοδίος τε» (Μ 20) καὶ Σχεδίος «Σχεδίον δ' ἕλε Λήϊτος ἥρως» (Ζ 35, Ο 515) καὶ Ὀδίο ς. Τὰ δὲ προπαροξύτονα ταῦτα, ἴδιο ς , ἀΐδιο ς , μαψίδιο ς , παυρίδιο ς , ἁρμόδιο ς , νυμφίδιο ς , φωρίδιο ς , ἐπιμαστίδιο ς , ῥηΐδιο ς , θνητάδιο ς , κρυπτάδιο ς , Μυσάδιο ς , Ὑσσάδιο ς , μινυνθάδιο ς , τυμβίδιο ς , Ἀρκάδιο ς , ὠμίδιος καὶ ἐπωμίδιο ς , Ἐξάδιο ς , Κνίδιο ς , Ἐχινάδιο ς , Ἐπιλευκάδιος τὸ ἐθνικὸν καὶ Ἐπιλευκάδιοι πόλις μετὰ Ἀκαρνανίαν· Ἑκαταῖος Εὐρώπῃ. Ἀράδιο ς , Τενέδιο ς , Λεβέδιο ς , Ψωφίδιο ς· Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ «κάπρος ἦν ἐν τῷ ὄρεϊ καὶ Ψωφιδίους κακὰ πολλὰ ἔοργεν». Αὐλίδιο ς , Δαυλίδιο ς , Βουλίδιο ς , Ἠλίδιο ς , Μιμνίδιο ς , Λυχνίδιο ς , Ἀσπαλαθίδιο ς , Ἀλγίδιο ς , Ἰσίνδιο ς , Σισίνδιο ς , Ἀλαρόδιος ἔθνος περὶ τὸν Πόντον ὡς Ἡρόδοτός φησιν (3, 94. 7, 79). σεσημείωται τὸ ἐρῳδιός ὀξυνόμενον. ἐξηκολούθησε δὲ τοῖς ἐπὶ ὀρνέων. τὰ γὰρ εἰς ος καθαρὰ τῷ ι παραληγόμενα ὑπὲρ τρεῖς συλλαβὰς ἐπὶ ὀρνέων ὀξύνονται, αἰγυπιός, χαραδριός, βομβυλιός. οὕτω καὶ ἐρῳδιός. λέγεται καὶ ῥῳδιός παρὰ Ἱππώνακτι «κνεφαῖος ἐλθὼν ῥῳδιῷ (?) κατηυλίσθην». καὶ ὡς μὲν πρὸς τὴν συνήθειάν ἐστιν ἀφαίρεσις, ὡς δὲ πρὸς τὸν σχηματισμὸν ἐντελές.

3,1 117 ὥσπερ γὰρ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιος τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ ῥοίζω γίνεται ῥοίδιος καὶ πλεονασμῷ τοῦ ε καὶ ἐκτάσει τοῦ ο εἰς ω ἐρῳδιός καὶ μένει τὸ ι προσγεγραμμένον. Τὰ εἰς ωνιος προπαροξύνονται, Κιθαιρώνιο ς , Μαραθώνιο ς , Ἀπολλώνιο ς , Ἑλικώνιο ς , ἐναγώνιο ς , Ἀμμώνιο ς , αἰώνιο ς , Πλευρώνιο ς , Σιδώνιος, ὃ κατὰ συστολὴν εἶπεν ὁ ποιητὴς «Σιδονίων βασιλεύς» (Od. δ 618), λαβρώνιος εἶδος ἐκπώματος, Τροφώνιο ς . Κυρτώνιος πόλις Ἰταλίας. Πολύβιος τρίτῳ. Σιρβώνιο ς , Ἀργανθώνιο ς , Ἀβυδώνιο ς , Ἀγκώνιο ς , Ἀντρώνιος ὄνος ἡ παροιμία, Βαβυλώνιο ς , Αἰσώνιο ς , Ἀλαβώνιο ς , Κολοφώνιο ς , Ἀλμώνιο ς , Ἀμυδώνιο ς , Αὐλώνιο ς , Σικυώνιο ς , Καλυδώνιο ς , Καυλώνιο ς , Κραννώνιος καὶ τὰ ὅμοια. Τὰ εἰς νιος καθόλου ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Ἐλευσίνιο ς , Σαλαμίνιο ς , Τιτάνιο ς , Γερήνιο ς , Ἑλλήνιο ς , Τροιζήνιο ς , παρθένιο ς. καὶ Παρθένιος ποταμὸς ἐν μέσῳ τῆς Ἀμαστριανῶν πόλεως ῥέων. ἐκλήθη δὲ ἐκ τοῦ συνεχῶς περὶ αὐτὸν τὴν παρθένον Ἄρτεμιν κυνηγετεῖν ἢ διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἠρεμαῖον καὶ παρθενῶδες τοῦ ῥεύματος «ὡς ἀκαλὰ προρέων, ὡς ἁβρὴ παρθένος εἶσιν». τινὲς ὅτι ἐν αὐτῷ ἔπεσεν παρθένος παλαιοῦ τινος βασιλέως θυγάτηρ· καὶ τὴν μὲν τελευτῆσαι ἐκεῖ, τῷ δὲ ποταμῷ Παρθένιον ὄνομα τοὺς προσχώρους θέσθαι ἐπὶ τῷ πάθει τῆς παρθένου. ἔστι καὶ ἀκρωτήριον πλησίον Ἡρακλείας, οὗ μέμνηται Ἀρτεμίδωρος ἐν ἕκτῳ γεωγραφουμένων. πυθμένιο ς , Λυκαόνιο ς , Μακεδόνιο ς , δαιμόνιο ς , Σαρπηδόνιο ς , Ζηράνιος ἔθνος Θρᾴκης. Θεόπομπος εἰκοστῷ πέμπτῳ. Ἀσκάνιος ποταμός. Εὐφορίων Χιλιάσι «καὶ Ψίλιν Ἀσκάνιόν τε Ναυαίθοιο». Βαρκάνιος ἔθνος τοῖς Ὑρκανοῖς ὅμορον. Τραυχένιος ἔθνος περὶ τὸν πόντον τὸν Εὔξεινον ὅμορον Σίνδοις. Τυρμένιος Σκυθικὸν ἔθνος ναυτικώτατον. ἑρμηνεύονται δὲ φυγάδες. ὠγένιος ὁ ἀρχαῖος. Παρθένιος ὁ Νικαεὺς Δήλῳ «σὺν τῇ ἐγὼ Τηθύν τε καὶ ὠγενίης Στυγὸς ὕδωρ». Ὀλβυσίνιος ἔθνος. Χαόνιο ς , Χαλκηδόνιο ς . Βεληδόνιος ἔθνος παρ᾽ Ὠκεανῷ. Παρθένιος ἐν Δήλῳ «οὐδ᾽ ἐπὶ τηλίστων ἄκρα Βεληδονίων». Βιστόνιος, ὅπερ καὶ ἐκτέταται ποιητικῶς Βιστώνιος. Χελιδόνιος ἔθνος Ἰλλυρικόν· Ἑκαταῖος Εὐρώπῃ «Σεσαρηθίων πρὸς βορέω οἰκέουσι Χελιδόνιοι». Ἑρκύνιο ς. Ἀλέξανδρος Εὐρώπῃ. τὸ δὲ Κλονίος παροξύνεται ὡς κύριον καὶ τρισύλλαβον ὄν, τὸ δὲ Ἄνιος καὶ Κρόνιος καὶ Ξένιος προπαροξύνεται. τὸ δὲ Μηνιός ὄνομα ποταμοῦ ὀξύνεται.

3,1 118 καὶ τὸ μονιός ὀξύνεται τρισύλλαβον, εἰ δὲ τὸ υ πλεονάσῃ, προπαροξύνεται. μούνιος γάρ. Ὅσα ἀπὸ τῶν εἰς ξ ἢ ψ ἢ ρ γίνεται διὰ τοῦ ι βραχέος, προπαροξύνεται, εἰ μὴ ἐπὶ κυρίου διαστολή τις γένηται ἐν τρισυλλάβοις τριβράχεσιν ὥσπερ ἔχει τὸ Φρυγίος καὶ Φλογίο ς. καὶ προπαροξύνεται δὲ ταῦτα· Θρῄκιο ς· λέγεται καὶ διὰ μακροῦ τοῦ ι «ἀνέρα δὲ Τροίη Θρηΐκιον οὔτι φορήσει». Κιλίκιο ς , Φαιάκιο ς , Ναρύκιο ς , Νυράκιο ς , Νωράκιο ς , Κοράκιο ς , Φοινίκιο ς , Ζαρήκιο ς , Ἀτράκιο ς , Ῥάγιο ς , Μηνίγγιο ς , Ἀράβιο ς , Κινύφιο ς , Αἰγιλίπιο ς , Αἰθιόπιο ς. Εὐριπίδης Ἐρεχθεῖ «Αἰθιοπίαν νιν ἐξέσως᾽ ἐπὶ χθόνα». μακάριο ς , σωτήριο ς , ἀέριο ς , αἰθέριο ς. τὸ δὲ Ἰλλυριός οὐκ ἀντίκειται. οὐ γὰρ τὸ Ἰλλυριός παρὰ τὸ Ἴλλυρ. Τὰ διὰ τοῦ ιος ἐθνικὰ ἢ τοπικὰ προπαροξύνονται, Ῥόδιο ς , Σάμιο ς , Κύπριο ς , Αἰγύπτιο ς , Δήλιο ς , Ἀψίνθιο ς , Πύλιο ς , οὐράνιο ς , θαλάσσιο ς , ἐντόπιο ς , ἐκτόπιο ς , ἐνδάπιο ς , ἐγχώριος καὶ ἐπιχώριος, τὸ χώριος μὲν οὐ λέγεται, ἀλλὰ τὰ σύνθετα. τὸ ἐγχώριος καὶ παρὰ Σοφοκλεῖ κεῖται (Oed. Col. 875). τὸ δὲ ἐπιχώριος καὶ ἐπιχωριάζειν ἐν τῷ περὶ ψυχῆς φησι Πλάτων (c. 1). ἐγκώμιο ς. Ἡσίοδος «εἰ γάρ τοι καὶ χρῆμ᾽ ἐγκώμιον ἄλλο γένοιτο». Ἄβιος ἔθνος Σκυθικόν. Ὅμηρος (Il. N 6) «Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων». Ἀλέξανδρος δὲ ἐν τῷ περὶ Εὐξείνου πόντου φησίν, ὡς Διόφαντος εἶπεν, οὕτω λέγεσθαι αὐτοὺς διὰ τὸ τὸν Ἀβιανὸν ποταμὸν κατοικεῖν. ἢ ὅτι βίῳ ἑδραίῳ οὐ χρῶνται οὕτω λέγονται, διὰ τὸ ἐφ᾽ ἁμαξῶν φέρεσθαι. Δίδυμος δὲ Θρᾴκιον ἔθνος φησίν. Αἰσχύλος δὲ Γαβίους διὰ τοῦ γ ἐν λυομένῳ Προμηθεῖ ἔπειτα δ᾽ ἥξεις δῆμον ἐνδικώτατον βροτῶν ἁπάντων καὶ φιλοξενώτατον, Γαβίους, ἵν᾽ οὔτ᾽ ἄροτρον οὔτε γατόμος τέμνει δίκελλ᾽ ἄρουραν, ἀλλ᾽ αὐτοσπόροι γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς. ὁμοίως καὶ Φιλοστέφανός φησι καὶ ἄλλοι.

3,1 119 Θίβιος ἔθνος πρὸς τῷ Πόντῳ βασκαντικὸν καὶ φθοροποιόν, ὡς Δίδυμος ἐν δευτέρῳ συμποσιακῶν «θανατοῖ δὲ τὸ πνεῦμα αὐτῶν οἷς ἂν πλησιάζῃ. καὶ τὰ σώματα αὐτῶν εἰς θάλασσαν ῥιφέντα οὐ καταδύουσιν». Εὔβιος ἔθνος Λιγυστικόν. Γάβιοι πόλις Λατίνων καὶ ἐθνικόν, ὡς Διονύσιος ἐν τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Τάβιοι πόλις Ἰταλίας, ἐν ᾗ οἱ περὶ Ῥέμον ἐπαιδεύθησαν. καὶ τὸ ἐθνικὸν ὁμοίως. Τολοστόβιος ἔθνος Γαλατῶν ἑσπερίων μετοικησάντων ἐκ τῆς Κελτογαλατίας εἰς Βιθυνίαν. Ἐρατοσθένης δ᾽ ἐν πρώτῳ Γαλατικῶν Τολιστοβωγίους αὐτούς φησιν. Ἀράζιο ς , Σαβάζιο ς , Ἀκάνθιος, ἀφ᾽ οὗ «Ἀκάνθιος τέττιξ» ἐπὶ τῶν ἀφώνων, τοιοῦτοι γὰρ οἱ τῆς χώρας τέττιγες, ὡς Σιμωνίδης. Σαλάμιος ἔθνος Ἀράβων. σάλαμα δὲ ἡ εἰρήνη. ὠνομάσθησαν δὲ ἀπὸ τοῦ ἔνσπονδοι γενέσθαι τοῖς Ναβαταίοις. Κράνιοι πόλις ἐν Κεφαλληνίᾳ τῇ νήσῳ. Δανδάριος ἔθνος περὶ τὸν Καύκασον, ὡς Ἑκαταῖος Εὐρώπῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σαγγάριος ἔθνος τῆς κάτω Φρυγίας ὁμωνύμως τῷ ποταμῷ. Ψυκτήριος τόπος ἐν Θρᾴκῃ, ἀπὸ Ἡρακλέους ἀναψύξαντος τὸν ἱδρῶτα ἐν τῷ καταπαλαῖσαι τὸν Ἀδραμύλην, καθώς φησιν Ἀπολλώνιος ἐν Κνίδου κτίσει. καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Βάντιος ἔθνος Θρᾴκης. Ἑκαταῖος. Μαράφιος ἔθνος ἐν Περσίδι ἀπὸ Μαραφίου βασιλέως. Τηλέφιος δῆμος Λυκίας. Μέναιχμος γάρ φησιν ὅτι «ἀπὸ ἑπτὰ σταδίων Πατάρων Τηλέφου κρήνη δείκνυται διὰ τὸ Τήλεφον ἀπονίψασθαι ἐκεῖ τὸ τραῦμα, θολερὰν δὲ εἶναι. ἔστι καὶ δῆμος Τηλέφιος». Ὑπαιλόχιοι ἔθνος Μολοσσικόν. Ῥιανὸς ἐν τετάρτῳ Θεσσαλικῶν. Αἰδήψιο ς. Καλλίμαχος Ἑκάλῃ «ἄρκιος ἢ χείρεσσιν ἑλὼν Αἰδήψιον ἄορ». Λυκάψιο ς , Γαλήψιο ς. τὸ δὲ χαραδριός ὀξύνεται καὶ θαλαμιός ὁ κωπηλάτης. Τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος προπαροξύνεται συνεσταλμένου τοῦ ι , εἰ μὴ τριβράχεα ἐπὶ κυρίων εἴη, πολέμιο ς , ποτάμιος καὶ παραποτάμιος ὡς Παρακηφίσιος καὶ προσωκεάνιο ς. Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῇ ιθʹ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας «Λιβύην χειρωσάμενος μέχρι καὶ τῶν παρωκεανίων ἐθνῶν». παρηγμένα ἐκ δύο εἰς ἕν. μίσθιο ς , ῥύθμιο ς , φίλιο ς , ξένιο ς , δήμιο ς . Κλυτίος δὲ τὸ κύριον παροξύνεται. Τὰ διὰ τοῦ σιος καὶ τιος προπαροξύνονται, εἰ μὴ κύρια εἴη καὶ τριβράχεα, ἀσπάσιο ς , πρυμνήσιο ς . Ταυλάντιος Ἰλλυρικὸν ἔθνος. Εὐφορίων δὲ μετὰ τοῦ ν Ταυλαντίνους αὐτούς φησι. θαλάττιο ς , διπλάσιο ς , Ταράσιο ς , ἀμβρόσιο ς , ἱκέσιο ς , ἀνάρσιο ς , Ἐφέσιο ς. εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου· οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς.

3,1 120 Συρακόσσιος διὰ δύο σς καὶ διὰ τοῦ ο , δημόσιο ς , διαπρύσιο ς , διακόσιο ι , τριακόσιο ι , πεντακόσιο ι , Ὑπάτιο ς , Εὐστράτιο ς , Ἀέτιο ς , Φιλοίτιο ς , Μενοίτιο ς , ὑστάτιο ς , ὀσσάτιο ς , Μελέτιο ς , Ἀχερόντιο ς , Ἀθανάσιο ς , Θριάσιο ς , Τιθράσιο ς , Ἀναγυράσιος ἀπὸ Ἀναγυροῦντος δήμου. ἐζήτηται δὲ πῶς ἔχει τὸ α , ἔδει γὰρ ὡς Ῥαμνούσιος. ἀλλ' ἔοικε τὸ ρ αἴτιον εἶναι, φιληδοῦν τῇ συντάξει τοῦ α . Ἄσιος ὁ Ζεὺς παρὰ Ἄσον πολίχνιον Κρήτης. Αὐγάσιος ἔθνος Μασσαγετῶν. Στράβων ἑνδεκάτῃ (p. 513). Βουπράσιο ς . θαυμάσιος καὶ Θαυμάσιος ἔθνος Ἀρκαδίας. Θηράσιο ς , Θάσιο ς , Ἰάσιο ς , Ἰμβράσιο ς , Καυκάσιο ς , Κορυφάσιο ς , Κραβάσιο ς , Νικάσιος τὸ ἐθνικὸν καὶ τὸ κύριον. Νυμφάσιο ς , Ὀρεστάσιο ς , Παρράσιο ς , Πτελεάσιο ς , Ταμάσιο ς , Φυλάσιο ς , Φλιάσιο ς· οὕτω Λακεδαιμόνιοι τῶν μηνῶν ἕνα καλοῦσιν, ἐν ᾧ τοὺς τῆς γῆς καρποὺς ἀκμάζειν συμβέβηκεν. ὤφειλε δὲ ἀπὸ τῆς Φλιοῦντος Φλιούσιος, πλεονασμῷ δὲ τοῦ α Φλιάσιος. Γέσιος κύριον ὄνομα ἐπιχωριάζον ἐν Πέτραις Ἀραβίας. ἔοικε δὲ Γεήσιος προϋπάρχειν ὡς τὸ Ἰθακήσιος καὶ κατὰ συγκοπὴν Γέσιος. Ἐρέσιο ς , Ἀκακήσιο ς , Ἀκελήσιος, ὡς Μενδήσιο ς , Ἀκυλήσιο ς . Ἀλήσιος «οὐ γὰρ Ἀλήσιοί ἐστε» Εὐφορίων. Ἁλοννήσιο ς , Προκοννήσιο ς , Ἁλωνήσιο ς , Χερσονήσιο ς. Ἑκαταῖος Εὐρώπῃ «Ἀψινθίοισι πρὸς μεσημβρίην ὁμορέουσι Χερσονήσιοι», οὗ τὸ θηλυκὸν Εὐριπίδης «ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα» (Hec. 8). Φαγρήσιο ς , Ἀρήσιο ς , Βερήσιο ς , Ἀδρυμήσιο ς , Γαλλήσιο ς , Ἑλικήσιο ς . Εὐθρήσιοι πόλις Ἀρκαδίας καὶ οὐκ ἐθνικόν. Ἰθακήσιο ς , Καρπήσιος ἔθνος Ἰβηρικόν. Κορήσιο ς , Κρεμήσιο ς , Κρήσιο ς , Κυνήσιο ς , Λιθήσιος ὁ Ἀπόλλων ἐν τῷ Μαλέα λίθῳ προσιδρυμένος ἐκεῖ. Ῥιανὸς ἐν Ἠλιακῶν τρίτῳ. Μαραθήσιο ς , Μιλήσιος ὃ σεσημείωται ἐν τοπικοῖς, ὅτι ἐτράπη τὸ ι . Μυήσιο ς , Μυκαλήσιο ς , Νεδεήσιο ς , Πολυήσιοι πόλις καὶ οἱ πολῖται ὡς Λοκροί Δελφοί. Ποτιολήσιο ς , Πυδήσιο ς , Μαγνήσιο ς , Σαλλήσιοι μοῖρα Παιόνων. Στρυμήσιο ς . Τιταρήσιος ποταμὸς Θεσσαλίας καὶ τὸ ἐθνικὸν ὁμοφώνως. χαρίσιο ς , Προβαλίσιο ς , Χαδίσιο ς , Χαλίσιο ς , Ἐπικηφίσιο ς , Ἀρτεμίσιο ς , Θεοδόσιο ς , Ὀλοβύσιος ἔθνος περὶ Ἡρακλείων στηλῶν. Νύσιο ς , Ἀμαρύσιος ὡς Τρικορύσιο ς. οὕτω γὰρ Παυσανίας ἐν πρώτῃ (31, 5). λέγεται καὶ Ἀμαρύνθιος.

3,1 121 Ἀμφρύσιο ς. Λυκόφρων «Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων» (v. 900). Ἰαλύσιο ς , ἐτώσιο ς , Ῥώσιο ς , Ἀραχώσιο ς , Περκώσιο ς , Κριθώσιο ς , Γεδρώσιος ἔθνος Ἰνδικόν. Παίσιο ς , Νεμαύσιο ς , Ὀποείσιο ς , Ἀρκέσιος καὶ Ἀρκείσιο ς , Σιμοείσιο ς , Ἀγνούσιο ς , Ῥαμνούσιος ἀπὸ τῆς γενικῆς προσόδῳ τοῦ ι τοῦ τ οὐ φυλασσομένου ὡς ἐν τῷ Σελινούντιο ς , Ὀπούντιο ς , Ἱεριχούντιο ς ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τραπεζούντιος, τρεπομένου δὲ εἰς ς καὶ τοῦ πρὸ αὐτοῦ ν ὑφαιρουμένου, Ἁλιμούσιο ς , Φηγούσιο ς , Ἀχερδούσιο ς , Ἀχραδούσιος Ἀριστοφάνης Ἐκκλησιαζούσαις (v. 362) «νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ὅστις πότ᾽ ἐστ᾽ ἄνθρωπος Ἀχραδούσιος». Καλαθούσιο ς , Καρδούσιο ς , Λαμούσιο ς , Μαραθούσιο ς , Μαυρούσιος ἔθνος μέγα Λιβύης, ὃ καὶ Μαῦροι. Καδούσιος ἔθνος μεταξὺ τῆς Κασπίας θαλάσσης καὶ τοῦ Πόντου. Στράβων ἑνδεκάτῃ (p. 507). Βαργούσιος ἔθνος δυτικὸν πρὸς τῷ Ἴβηρι ποταμῷ, Πολύβιος ἐν τρίτῳ. Δηρούσιος ἔθνος Περσικόν. Ἡρόδοτος α′ (c. 125) «Πέρσαι δ᾽ οἱ μὲν Πενθιάδαι οἱ δὲ Δηρούσιοι οἱ δὲ Καρμάνιοι». Φαρούσιος ἔθνος Λιβυκόν. μέμνηται αὐτῶν Διονύσιος καὶ Ἀρτεμίδωρος. Ἀμαθούσιο ς . Αἰδούσιοι σύμμαχοι Ῥωμαίων πρὸς τῇ Κελτικῇ Γαλατίᾳ, Ἀπολλόδωρος ἐν χρονικῶν δ′. Ἁλικαρνάσσιο ς , Παρνάσσιο ς , Ποιηέσσιο ς , Ἤσσιο ς , Ἀγήσσιο ς , Ἀσσήσιο ς , Καρδήσσιο ς , Λυρνήσσιο ς , Μαρπήσσιο ς , Μερμήσσιο ς , Μυκαλήσσιο ς , Σαρδήσσιο ς , Σαλμυδήσσιο ς , Ταρτήσσιο ς , Τελμήσσιο ς , Τεγήσσιο ς , Τυλήσσιο ς. Λυκόφρων «ἄλλοι δὲ πρῶνας δυσβάτους Τυλησσίων» (v. 993). Βολίσσιο ς , Μυρμίσσιο ς , Μυγίσσιο ς , Ἐλαιούσσιος παρὰ τὸ Ἐλαιοῦσσα, Ἐλαιούσιος δὲ παρὰ τὸ Ἐλαιοῦς. Πιτυούσσιο ς . Ἄκτιος Αἰγεύς, ὡς Εὐφορίων Διονύσῳ. Βυζάντιο ς , Ἀκαμάντιο ς , Ἀλλάντιο ς , Παλλάντιο ς , Ἀλυβάντιο ς , Γλισάντιο ς . Τευθράντιος Εὐριπίδης Λικυμνίῳ «Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός» ἀπὸ τῆς γενικῆς Τεύθραντος, Τευθράνιος δὲ ἀπὸ Τευθρανίας ὡς ἀπὸ Παρρασίας Παρράσιος. Περγάντιο ς , Προσπάλτιο ς , Ἁλιάρτιο ς , Σαγάρτιο ς , Αἰγύπτιο ς , Κυπαρισσηέντιο ς , Συρρέντιο ς , Σίντιο ς . Σκίρτιος ἔθνος Παιονίας ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε′. Ἑλλησπόντιο ς , Εὐρυμεδόντιο ς , Μεσοπόντιος ὁ Ἐρέσιος Ποσειδῶν. οὕτω γὰρ ἐν Ἐρέσῳ τιμᾶται, πόλει τῆς Λιβύης. Καλλίμαχος Αἰτίων α′. Ἀναφλύστιο ς , Βυβάστιος ὡς Ἔφορος. Γεραίστιο ς , Φαίστιο ς , Βουβάστιος παρὰ Θεοπόμπῳ. Ὀγχήστιο ς , Τυφρήστιο ς. Παρθένιος «Τυφρήστιον αἶπος». Λιβύστιος ὡς ἀπὸ τοῦ Λίβυστος τοῦ ἀπὸ τοῦ Λίβυος ὄντος κατὰ πλεονασμόν. Σήστιο ς , Ἐλβέστιος ἔθνος Λιβύης. Φίλιστος η′ «περὶ δὲ τοὺς Λίβυας ...» Ἑκαταῖος Εὐρώπῃ «Ἐλβέστιοι καὶ Μαστιηνοί». Βηρύτιο ς , Ἀζώτιο ς , Βούτιο ς , Καρδύτιο ς , Κορδύτιο ς , Μισήτιο ς , Βουθρώτιο ς , Βοιώτιο ς , Στράτιο ς , Μυτιστράτιο ς , Μαδύτιο ς , Σαββάτιο ς , Συβότιο ς , Φοίτιος υἱὸς Ἀλκμέωνος τοῦ Ἀμφιαράου καὶ τὸ ἐθνικόν, ὡς Ἑλλάνικος ἐν τοῖς Τρωϊκοῖς.

3,1 122 Ἐλεύτιος ἔθνος τῆς Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ. Πευκέτιος ἔθνος περὶ τὸ Ἰόνιον πέλαγος. Ἡρόδωρος δὲ καὶ Πευκετεῖς αὐτοὺς καλεῖ. Αἰπύτιος «Αἰπύτιον παρὰ τύμβον» (Il. B 604). Ἀκύτιο ς , Βρέττιο ς , Βρούττιο ς. τὸ δὲ πλησίος καὶ ἀντίος σεσημείωται. Σκοτίο ς , Κλυτίος κύρια καὶ τριβράχεα καὶ τὸ Φρασίο ς. Τὰ διὰ τοῦ ιος καθαρὰ πρὸ τοῦ ι η ἢ ω ἔχοντα προπαροξύνονται. καὶ τὰ μὲν κατὰ διάλυσιν ἀπὸ τῶν διὰ τοῦ ειος καὶ ἔκτασιν τοῦ ε εἰς τὸ η γίνονται, νήϊο ς , δήϊος ἐκ τοῦ δέϊος, γήϊο ς , Τήϊος, ἀφ᾽ οὗ «Πρωταγόρας ὁ Τήϊος». Κήϊο ς , βασιλήϊο ς , Ἰλιήϊο ς , χαλκήϊο ς , Ὀδυσσήϊο ς , ἀρχήϊο ς , Παταρήϊο ς , Πυθήϊο ς , Λυρκήϊο ς , Αἰολήϊο ς , Μινυήϊο ς , Τριχωνήϊο ς , Ἁλήϊος «Ἀλήϊον πεδίον». τὰ δὲ ἀπὸ πλεονασμοῦ ἔχει τὸ η κατὰ τὴν τρίτην συλλαβήν, πολεμήϊο ς , ποιμνήϊο ς , ταφήϊο ς. τὸ δὲ Νυσήϊον (Il. Z 133) ἀμφίβολον· εἰ μὲν γὰρ παρὰ τὸ Νύσιον, πλεονασμὸς τοῦ η . εἰ δὲ παρὰ τὸ Νῦσα, ὤφειλεν εἶναι Νύσειον, ἀλλ᾽ ὥσπερ παρὰ τὸ ἄρειον ἀρήϊον αὐξήσει γέγονεν, οὕτως Νυσήϊον· ὥστε δύναται διαίρεσις εἶναι καὶ ἐπέκτασις, ἀλλ᾽ οὐ πλεονασμός. τὸ δὲ αἰζήϊος ἐπλεόνασε τὸ ι , οὐ τὸ η . τὰ δὲ εἰς ιος τὸ ω κατὰ τὴν τρίτην συλλαβὴν ἔχοντα ἀπὸ τῶν διὰ τοῦ ῳος κατὰ διάλυσιν γίνονται, Κῷος καὶ Κώϊος, Μινῷος καὶ Μινώϊο ς , λώϊο ς , πατρώϊο ς , ἡρώϊο ς , Τρώϊο ς , Λητώϊο ς. τὸ δὲ Ὁμολώϊος «Ζεὺς Ὁμολώϊος» ἐστὶ κατὰ πλεονασμὸν τοῦ ω . Ἔτι τὰ εἰς ιος μὴ καθαρὰ τῷ η ἢ τῷ ω παραληγόμενα βαρύνεται, ἤπιο ς , Ἀλμώπιο ς , Συώπιος ἔθνος προσεχὲς τοῖς Λιβυρνοῖς, ὡς Ἑκαταῖος Εὐρώπῃ.

3,1 123 τὸ δὲ Ἀσκληπιός ὀξύνεται. τὸν δὲ παραλόγως ὀξύνεσθαι δοκοῦντα Ἀσκληπιόν ὁ Δημοσθένης ἐθεράπευσεν, Ἀσκλήπιον προπαροξυτόνως τολμήσας προφέρειν αὐτόν, ὡς καὶ Πλούταρχος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱστορεῖ. Τὰ εἰς λιος ὑπερτρισύλλαβα προπαροξύνεται, εἰ μὴ ὀρνέου κατηγοροίη, ἐνάλιο ς , Παράλιο ς , Δενθάλιος καὶ Δενθάλιοι πόλις μία τῶν περιμαχήτων Μεσσηνίοις καὶ Λακεδαιμονίοις, Κυάλιο ς , Φαρσάλιος καὶ Φαρράλιος διὰ δύο ρρ ὡς Μυρρίνη καὶ κόρρη καὶ «ἐπὶ κόρρης». Μαινάλιο ς , Οἰχάλιο ς , Πατάλιο ς , Δασάλιος ὁ Διόνυσος, θεμέλιο ς , ἠέλιο ς , νυκτέλιο ς , ἀεικέλιο ς , κειμήλιο ς , γαμήλιο ς , Ταργήλιο ς , ἀπατήλιο ς . Τήλιος ὄνομα ἔθνους· Ἀνδροτίων ἕκτῳ Ἀτθίδος. Ὀλβήλιο ς , Ῥακήλιο ς , Αἰγίλιο ς , Πραξίλιο ς , ἐμφύλιο ς· λέγεται καὶ φύλιος ἄνευ τοῦ ἐν, Παμφύλιο ς , Τριφύλιο ς , Μασύλιος, ἔθνος Λιβυκόν. Ἀπολλόδωρος β′. Πολύβιος ἐν τῷ ἑβδόμῳ Μασυλεῖς αὐτούς φησι. Οἰτύλιο ς , Αἰτώλιο ς , ἀποφώλιο ς , Ὀκώλιο ς. τὸ μέντοι λαλιό ς , πελιός ὁ πολιός, σκολιό ς , φαλιός ὁ λευκομέτωπος, βαλιός ὡς τρισύλλαβα ὀξύνεται. τὸ δὲ Βαλίος ἐπὶ κυρίου παροξύνεται, τὸ δὲ Ἅλιος κύριον προπαροξύνει ἡ συνήθης ἀνάγνωσις. τὸ δὲ Κώλιος αὔλιος ἐστὶ τοπικά. τὸ δὲ αἰγωλιός ὁ ἐρῳδιός, ἑδωλιό ς , βομβυλιός ὡς ἐπὶ ὀρνέων κατηγορούμενα ὀξύνεται. Τὰ ἀπὸ ἐνεστώτων γενόμενα εἰς ιος προπαροξύνεται, αἰτῶ αἴτιος, ἁρμόζω ἁρμόδιος, ἀρκῶ ἄρκιος, ἀρτῶ ἄρτιο ς. τὸ δὲ ἀντῶ ἀντίος σεσημείωται παροξυνόμενον. ὤφειλε δὲ καὶ διὰ τῆς ει διφθόγγου γράφεσθαι.

3,1 124 ὅσα γὰρ μὴ μονογενῆ πρὸ μιᾶς ἔχουσι τὸν τόνον καὶ ἐν τῇ τρίτῃ τὸ α καὶ δύο σύμφωνα ἢ κατ’ ἐπιπλοκὴν ἢ κατὰ διάστασιν, διὰ τῆς ει διφθόγγου γράφεται, ἀστεῖος, Καδμεῖος, ἀνδρεῖος, Ἀργεῖος, Βακχεῖος. πρόσκειται «μὴ μονογενῆ» διὰ τὸ Βάκχιος κύριον. τὸ δὲ ἀντίος σεσημείωται. ἐξηκολούθησε δὲ κατὰ τὴν γραφὴν τοῖς εἰς ιος ἀπὸ ἐνεστώτων γινομένοις. Ἔτι καὶ τὰ εἰς ιος ἀπὸ μέλλοντος γινόμενα προπαροξύνεται, ὀρθώσομαι ὀρθώσιος, ἀσπάσομαι ἀσπάσιος, φυλάξομαι φυλάξιος, ἀλέξω ἀλέξιος, κτήσω κτήσιος, μνήσω μνήσιος, αἰνήσω Αἰνήσιος, ἀρκέσω Ἀρκέσιος καὶ πλεονασμῷ τοῦ ι Ἀρκείσιος, ἄρσω ἄρσιος καὶ ἀνάρσιος, ἄξω ἄξιος, θαυμάζω θαυμάσιο ς. ἅζω τὸ σέβομαι ἅσιος καὶ τροπῇ τοῦ α εἰς ο ὅσιο ς. ὀξύνεται δὲ τὸ δέξομαι δεξιός καὶ ἕψομαι ἀνεψιό ς. τοῦ δὲ πλησίος ἀπὸ τοῦ πλητός ἔχομεν τὴν χρῆσιν· ὁ γὰρ ἄπλητος ὁ ἀπροσπέλαστος, πλητός πλησίος ὡς ἄμβροτος ἀμβρόσιος τροπῇ τοῦ τέλους. οὐ γέγονε δὲ τὸ πλησίος παρὰ μέλλοντα. οἱ γὰρ Λάκωνες τὰ παρὰ μέλλοντα εἰς τ οὐ τρέπουσιν, ἀλλὰ ἀπὸ τοῦ τ εἰς τὸς · ἐνιαυτός ἐνιαύσιος ἐνιαύτιος λέγουσιν ὑπόμνησιν διδόντες τοῦ προτέρουτ · πλοῦτος πλούσιος πλούτιος. τὸ δὲ πλησίος πλατίος λέγουσιν, ὥστε οὐ παρὰ μέλλοντα. παρὰ τὸ πέλω παραγωγὸν πελάζω τὸ προσεγγίζω, ῥηματικὸν ὄνομα πλατός καὶ πλητός καὶ κατὰ τροπὴν τοῦ τ εἰς ς καὶ κατὰ παραγωγὴν πλησίος ὡς ἄμβροτος ἀμβρόσιος. Πλήσιος δὲ κύριον ὄνομα ἀνδρὸς ἱεροῦ προπαροξύνεται. Τὰ διὰ τοῦ ιος τρισύλλαβα εἰ ἔχοιεν υ ἐν τῇ πρώτῃ συλλαβῇ, προπαροξύνεται, εἰ μή τις διαστολὴ εἴη ἢ κύριον ὑπάρχοι τρίβραχυ, κύριο ς , Κύπριο ς , Τύριο ς , μύλιος καὶ Μύλιος ἔθνος Φρυγίας.

3,1 125 Ἑκαταῖος Ἀσίᾳ. Πύλιο ς , Φρύγιο ς , Κύρνιο ς , Λύκιο ς , Λύγκιο ς , Λύττιο ς , Λύκτιο ς , Πύξιο ς , Μύνδιο ς , Πύρνιο ς , Ξύλιο ς , Ῥύβδιο ς , Σύριο ς , νύχιο ς , Στύγιο ς , Μύσιο ς , Πύθιο ς , βύθιο ς , δύϊο ς , κύκλιο ς. τὸ Τυχίο ς , Φρυγίο ς , Πλυτίο ς , Κλυτίο ς , Σκυφίος παροξύνεται ὡς κύρια. μύριος ὁ ὡρισμένος ἀριθμός, μυρίος ἀόριστος. ἑκάτερα δὲ καὶ ὁ μύριος καὶ τὰ μυρία ὤφειλεν ὀξυτονεῖσθαι κατὰ τὴν τρίτην ἀπὸ τέλους. τὸ γὰρ ἀρσενικὸν προπαροξύνεται κατὰ τὸ Λύδιος καὶ τὸ μύριον δὲ ὁμοίως, ἐπεὶ τὰ παρεσχηματισμένα οὐδέτερα ἀρσενικοῖς ὁμότονα αὐτοῖς ἐστιν. καὶ νύμφιος οἶκος προπαροξύτονον, νυμφίος δὲ ὁ γαμετής παροξύτονον. Ὅσα ἀπὸ ἐπιρρημάτων παρῆκται διὰ τοῦ ιος , προπαροξύνεται, πρωΐ πρώϊος, ὀψέ ὄψιος, νόσφιν νοσφίδιος, ἶφι ἴφιος, ἀεί ἀΐδιος, ῥέα ῥηΐδιος, ἐκτάδην ἐκτάδιος, ἀμφαδόν ἀμφάδιος, ἐνθάδε ἐνθάδιος, σταδόν στάδιο ς , ὀπίσθιο ς , μαψίδιο ς. σεσημείωται ἄντην ἀντίος, σχεδόν Σχεδίος ὡς κύριον. * Τὰ διὰ τοῦ ιος τριβράχεα ἐπὶ κυρίων παροξύνεται οἷον Σχεδίο ς , Χρομίο ς , Κλυτίο ς , Ὁδίο ς , Δολίο ς , Τυχίο ς. ἀντιπίπτουσι δὲ κατὰ παράδοσιν τὸ Ἅλιο ς , Ἄνιο ς , Ξένιο ς , Κρόνιο ς , Ὕπιος ποταμὸς καὶ πόλις ὑπὸ τὴν Ποντικὴν Ἡράκλειαν, ὡς Δομίτιος Καλλίστρατος ἐν ἕκτῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν περὶ Ἡρακλείας. λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς. γίνεται δὲ παρὰ τὴν ὑπό πρόθεσιν ὡς Ἄνιος παρὰ τὴν ἀνά καὶ Ἄμφιος ὁ τοῦ Σελάγου υἱὸς παρὰ τὴν ἀμφί ἐκτάσεως γενομένης τοῦ ι ποιητικῆς. Τὰ εἰς ιος τρισύλλαβα κύρια ἔχοντα τὴν τρίτην μακρὰν προπαροξύνεται, Μούλιο ς , Βάκχιο ς .

3,1 126 Αἴνιος ποταμὸς Περραιβίας. Φήμιος καὶ Εὐφήμιος, Λάϊο ς , Ἄγριο ς , Μάντιο ς , Αἴλιο ς . Κάλβιος κρήνη Λυκίας, ἣν καὶ Κελαινόν φασι. τινὲς δὲ αὐτὴν καὶ διὰ τοῦ μ φασίν. Τίβιος ἀφ' οὗ Τίβειον τόπος Φρυγίας. ἐκ τούτου καὶ Τιβίους τοὺς δούλους καλοῦσιν. « Κάριος Διὸς παῖς καὶ Τυρρηβίας, ὡς Νικόλαος τετάρτῳ, ὃς πλαζόμενος περί τινα λίμνην, ἥτις ἀπ' αὐτοῦ Τυρρηβία ἐκλήθη, φθογγῆς Νυμφῶν ἀκούσας, ἃς καὶ Μούσας Λυδοὶ καλοῦσι, καὶ μουσικὴν ἐδιδάχθη καὶ αὐτὸς τοὺς Λυδοὺς ἐδίδαξε καὶ τὰ μέλη διὰ τοῦτο Τυρρήβια ἐκαλεῖτο». Μάσπιος ἔθνος Περσικόν. Θούριοι πόλις Ἰταλίας ἡ πρότερον Σύβαρις ἀπὸ Θουρίας πηγῆς. λέγεται καὶ Θουρία καὶ Θούριον. Κούριος ἔθνος Σαβίνων πολεμῆσαν Ῥωμαίοις. Χάραξ ιβ'. τὸ δὲ Ἑρχίος ὁ ξενίσας Δήμητραν, ἀφ' οὗ Ἑρχιὰ δῆμος, παροξύνεται. Τὰ εἰς ιος ὑπερτρισύλλαβα ἐπὶ ἀλόγων ζῴων ὀξύνεται, αἰγυπιό ς , χαραδριό ς , ἐρῳδιό ς , βομβυλιό ς , ἀδρυφιός παρὰ Πέρσαις ὁ ἀετός. τὸ δὲ σκορπίο ς , κωβίος παροξύνεται ὡς τρισύλλαβα. Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῷ ο μόνῳ παραλήγοντα προπαροξύνονται. τὰ πολλὰ δὲ σύνθετα παροξύτονά τε καὶ προπαροξύτονα. καὶ παροξύτονα μὲν θυοσκόο ς , λαοσσόο ς , βροτοσσόο ς , δορυξόο ς , λαξόο ς , βοηθόος, προπαροξύτονον δὲ πρόχοο ς , δυσήκοο ς , δίκροο ς. τὸ δὲ ἀθρόος παροξύτονον ἐπὶ τοῦ ἀθροίζειν, προπαροξύτονον δὲ ἐπὶ τοῦ αἰφνιδίου ὡς καὶ ἄθροος ὁ ἄφωνος κατὰ στέρησιν τοῦ θρόος· «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς» (Δ 437). νῦν δὲ περὶ τῶν ἁπλῶν διαληψόμεθα. Τὰ εἰς πλοος ἐντελῆ τῶν εἰς πλους ληγόντων ἁπλᾶ ὄντα παροξύνονται, διπλόο ς , τριπλόο ς , ἁπλόο ς. ταῦτα δὲ ἁπλᾶ εἰσι καὶ οὐ σύνθετα, ὡς ὑπενόησάν τινες. πρῶτον μὲν γὰρ τὸ διπλοῦς καὶ τριπλοῦς οὐδὲν ἐφύλαξαν τοῦ σημαινομένου τοῦ πλοῦς, ἵνα εἴπωμεν αὐτὰ σύνθετα ἐξ αὐτοῦ. δεύτερον δέ, εἰ ἦσαν σύνθετα, ἤμελλον βαρυτονεῖσθαι. ἔχομεν γὰρ ὅτι τὰ εἰς ους ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπῶνται οἷον βοῦς, νοῦς, πλοῦς, χροῦς, θροῦς, θυγατριδοῦς, ἀδελφιδοῦς, χαλκοῦς, χρυσοῦς, πλακοῦς, Σιμοῦς χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνονται.

3,1 127 σύνθετα ὄντα βαρύνονται οἷον εὔπλους, εὔχρους, ἀλκίνους εἰ ἄρα οὖν τὸ διπλοῦς καὶ τριπλοῦς οὐ βαρύνονται, ἀλλὰ περισπῶνται, δηλονότι οὐκ εἰσὶ σύνθετα, ἀλλ' ἁπλᾶ. Τρίτον δ' εἰ ἦσαν σύνθετα, κοινὰ ἤμελλον εἶναι τῷ γένει, ὥσπερ ὁ εὔνους καὶ ἡ εὔνους, ὁ εὔπλους καὶ ἡ εὔπλους, ὁ εὔχρους καὶ ἡ εὔχρους· νυνὶ δὲ τὸ θηλυκὸν λέγομεν ἡ διπλῆ καὶ τριπλῆ (Il. A 128) «τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν» ὥσπερ ὁ χαλκοῦς καὶ ἡ χαλκῆ, ὁ χρυσοῦς καὶ ἡ χρυσῆ, δηλονότι οὐκ εἰσὶ σύνθετα, ἀλλ' ἁπλᾶ παραγωγά, παρὰ γὰρ τοῦ δίς παρήχθη τὸ διπλόος καὶ ἀπὸ τοῦ τρίς τοῦ σημαίνοντος τὸ τρίτον τριπλόος καὶ ἀπὸ τοῦ τετράκις τετραπλόος καὶ ἀπὸ τοῦ πεντάκις πενταπλόος, συγκοπῆς γενομένης τῆς κις συλλαβῆς καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. καὶ τὸ ἁπλόος ἀπὸ τοῦ ἅπαξ παρήχθη. τὸ δὲ πρωτόπλοος καὶ ἁλίπλοος προπαροξύνεται, ὅτι μὴ ἁπλᾶ. Τὰ διὰ τοῦ οος κύρια προπαροξύνεται, Σίστοο ς , Πείροο ς , Ἄθοος ὁ καὶ Ἀθόως. λέγεται δὲ καὶ Ἄθους κατὰ συναίρεσιν καὶ Ἄθως. Γένοος ἄρχων, ἀφ' οὗ Γενοαῖοι ἔθνος Μολοσσίας. τὸ δὲ ὄγδοος, εἰ καὶ ἐπίθετον, προπαροξύνεται, ἐπειδὴ τὰ εἰς ος τακτικὰ βαρύνεται ὑπεσταλμένων τῶν εἰς στος , ἕβδομο ς , ὄγδοο ς , ἔννατο ς , δέκατο ς. τὸ δὲ εἰκοστό ς , τριακοστός καὶ τἆλλα ὀξύνεται. καὶ τὸ ὀλοός ὀξύνεται ἀπὸ τοῦ ὀλῶ. Τὰ εἰς ος ὑπερδισύλλαβα παραληγόμενα υ συνεσταλμένῳ προπαροξύνεται, σίκυο ς , Πέρυος ὄνομα ποταμοῦ, Φόγγυο ς . Αἴγυος ἐθνικόν, οὗ τὸ θηλυκὸν Λυκόφρων λέγει οὕτως «καὶ πάντα πλήσεσθ' οὕνεκ' Αἰγύας κυνός, τῆς θηλύπαιδος καὶ τριάνορος κόρης» (v. 850). Θεόπομπος δὲ Αἰγυέας αὐτούς φησι, Παυσανίας δὲ Αἰγύτας. Πατράσυο ς , Κάνδυο ς , Ἀλάσυο ς , Ἐρύγυο ς , Νώγυος ὄνομα ποταμοῦ. Μίνυος, ἀφ' οὗ

Μινύα πόλις Θεσσαλική. Σίλλυος πόλις Ἰωνίας πρὸς τῇ Σμύρνῃ. τὸ δὲ Τιτυός καὶ εἰλυός ἡ κατάδυσις τοῦ θηρίου ὀξύνεται καὶ τὸ υ οὐκ ἔχει συνεσταλμένον. Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῷ ω μετὰ ι προσγεγραμμένου παραληγόμενα προπερισπᾶται, πατρῷο ς , ἡρῷος καὶ Ἡρῷο ς , ἠῷο ς , Ἀχελῷος ποταμὸς Ἀκαρνανίας ἀπὸ Ἀχελῴου ἐλθόντος ἐκ Θετταλίας μετὰ Ἀλκμαίωνος καὶ τὸ ἐθνικὸν ὁμοφώνως, αἰδῷο ς , Μινῷο ς , Ἐλβῷο ς , Σαρδῷο ς , Πυθῷο ς , Ληθῷο ς , Ἰνδῷο ς , Γελῷος ὁ οἰκῶν Γέλαν πόλιν Σικελίας ἴσως ἀπὸ τοῦ γέλως.

3,1 128 ὀρεσκῷος ἀπὸ τοῦ κείω τοῦ σημαίνοντος τὸ κοιμῶμαι καὶ τὸ ὄρος γέγονεν ὀρέσκειος καὶ τροπῇ τοῦ ε εἰς ο ὀρέσκοιος καὶ ἐκτάσει τοῦ ο εἰς ω καὶ μεταθέσει τοῦ τόνου ὀρεσκῷος καὶ μένει τὸ ι προσγεγραμμένον. προπερισπᾶται δὲ διὰ τὸν χαρακτῆρα. τὸ δὲ κολῳός ὀξύνεται ἀπὸ τοῦ κολοιός. τὸ μέντοι λαγωός καὶ πατρωός ὁ ἐν τῇ συνηθείᾳ πατρυιός ὀξύνονται, ὅτι οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον. τὸ δὲ Ἄθωος τοπικὸν χωρὶς τοῦ ι προπαροξύνεται καὶ τὸ Ἀκρόθωοι πόλις ἐπὶ τῆς ἄκρας τοῦ Ἄθω καὶ ἔθνος. τὸ δὲ δηλοῦν τὸ ἀζήμιον προπερισπᾶται καὶ διὰ τοῦ ι , ἐκ τῆς θῳῆς. Πᾶν εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῇ αι διφθόγγῳ παραληγόμενον, εἰ ἀπὸ ὀξυτονουμένου θηλυκοῦ γένοιτο, προπερισπᾶται, ἀρχή ἀρχαῖος, κορυφή κορυφαῖος, πηγή πηγαῖος, ἀμοιβή ἀμοιβαῖος, σπουδή σπουδαῖος, τροπή τροπαῖος, εὐνή εὐναῖο ς.

3,1 129 ἔστι δὲ καὶ Εὐναῖος ποταμὸς Καρίας. τὸ μέντοι ἐπιπόλαιος οὐκ ἀπὸ τοῦ ἐπιπολῆς παρῆκται, ἀλλὰ παρὰ τὸ ἐπιπολάζω· πλὴν οἱ πλείους αὐτὸ περισπῶσιν. Ἐπιπολαῖος δὲ τὸ ἐθνικόν. * Τὰ ἀπὸ τῶν εἰς α ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αιος προπερισπᾶσθαι θέλει, μοῦσα Μουσαῖο ς , γενναῖο ς , Πισαῖο ς , ἑρσαῖο ς , Ἀσαῖο ς· παρὰ γὰρ τὸ αἶσα γέγονεν καὶ ἐξέστη πρότερον τὸ ι . οὐ μάχεται τὸ Ἥραιος προπαροξυνόμενον· πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ προπερισπωμένου ἐπιθετικοῦ ἐγένετο· ὅθεν Ἥραιον πόλις Θρᾴκης. Ἡρόδοτος τετάρτῃ (c. 90), τὸ δὲ τεῖχος Ἡραῖον. τὸ μέντοι Πείραιος προπαροξυνόμενον παρὰ ῥῆμα τὸ πειρῶ ὡς παρὰ τὸ φιλῶ Φίλαιος καὶ παρὰ τὸ βέβηκα βέβαιος. τὸ δὲ Πειραιός —οὕτως ἐκαλεῖτο ὁ λιμὴν τῆς Ἀττικῆς καὶ τὸ ἐθνικὸν ὁμοφώνως. ὕστερον δὲ Πειραιεύς. ἔστι δὲ καὶ τῆς Κορινθίας λιμήν— πρὸς ἀντιδιαστολὴν ὀξύνεται. * Καὶ καθόλου τὰ ἀπὸ τῶν εἰς α ἢ η ἢ εἰς ος παραγόμενα προπερισπᾶται, ὥρα ὡραῖος, θύρα θυραῖος, Πέλλα Πελλαῖος, Γάζα Γαζαῖος, ὕλη ὑλαῖος, πύλη πυλαῖος, Δίκτη Δικταῖος, Οἴτη Οἰταῖο ς. Σοφοκλῆς «ἐγὼ μὲν ὦ γένεθλον Οἰταίου πατρός» (Phil. 453), ἀγέλη ἀγελαῖο ς. τὸ δὲ Ἀγέλαιος κύριον προπαροξύνεται, δρόμος δρομαῖος, χέρσος χερσαῖος, ἤπειρος ἠπειραῖο ς , νησαῖος, Ἄμυμνος Ἀμυμναῖος, Ἄμυρος Ἀμυραῖος, Ἄπρος Ἀπραῖο ς. τὸ δὲ φύλαιος καὶ δείλαιος προπαροξύνονται. καὶ τὸ δίκαιος δὲ καὶ βίαιος προπαροξύνονται, ἐπειδὴ τὰ ἀπὸ θηλυκῶν παραγόμενα καὶ τὸ ι ἐν τῇ ἀρχῇ ἔχοντα προπαροξύνεσθαι θέλει. Τὰ παρώνυμα παρ' οὐδετέρων γινόμενα ὀξύνεται, γῆρας γηραιός, γέρας γεραιός, κράτος κραταιός, εἰ μὴ ἔχοι κτητικὴν σημασίαν ὡς τὸ κνέφας κνεφαῖος, οὖδας οὐδαῖο ς.

3,1 130 τὸ δὲ ἁραιός ὁ μὴ πυκνὸς παρὰ τὸ ῥαιός ἐν πλεονασμῷ τοῦ α , μετελθούσης τῆς δασείας τοῦ ρ εἰς τὸ α , καθὼς καὶ ἐπὶ τοῦ ῥέζω καὶ ἔρδω, τὸ δὲ ῥαιός ἀπὸ τοῦ ῥαίω ῥήματος, ὃ δηλοῖ τὸ φθείρω. τὸ δὲ ἀραῖος ἀπὸ τῆς ἀρᾶς. καὶ τὸ ἠβαιός παρὰ τὸ βαιός πλεονασμῷ τοῦ η , τὸ δὲ βαιός ἀπὸ τοῦ βῆναι βαός καὶ πλεονασμῷ τοῦ ι βαιός ὁ ἐπ' ὀλίγον χρόνον βεβηκώς. Τὰ διὰ τοῦ αιος ἐθνικὰ προπερισπᾶται, Ἀθηναῖο ς , Θηβαῖο ς , Ῥωμαῖο ς , Αἰγαῖο ς , Ἀγραῖος ἔθνος Ἀράβιον ὡς ἐν ἑκκαιδεκάτῳ (p. 767) Στράβων. ἔστι δὲ καὶ ἕτερον ἔθνος Ἀκαρνάνων ὡς Θουκυδίδης ἐν τρίτῃ (c. 106. 111. 114). λέγονται καὶ Ἀγραεῖς, ὡς Ἐρατοσθένης. Βακκαῖος Ἱσπανίας ἔθνος. Γαλιλαῖος ἔθνος Ἰουδαίας. Γενοαῖος ἔθνος Μολοσσίας ἀπὸ Γενόου ἄρχοντος αὐτῶν, Ῥιανὸς τετάρτῃ Θεσσαλικῶν. Δερραῖος Θρᾴκιον ἔθνος. Ἡρόδοτος Δερσαίους αὐτούς φησι (7, 110). Δυρβαῖος ἔθνος καθῆκον εἰς Βάκτρους καὶ τὴν Ἰνδικήν. Κτησίας ἐν Περσικῶν ι' «χώρη δὲ πρὸς αὐτὸν πρόσκειται Δυρβαῖοι, πρὸς τὴν Βακτρίην καὶ Ἰνδικὴν κατατείνοντες. οὗτοι εὐδαίμονες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνδρες καὶ πλούσιοι καὶ κάρτα δίκαιοί εἰσι, οὔτε ἀδικέοντες οὔτε ἀποκτιννύοντες ἄνθρωπον οὐδένα. ἐὰν δέ τι εὕρωσι ἐν τῇ ὁδῷ ἢ χρυσίον ἢ ἱμάτιον ἢ ἀργύριον ἢ ἄλλο τι, οὐδὲν ἀποκινήσειαν. οὗτοι οὔτε ἀρτοποιέουσι οὔτε ἐσθίουσι οὔτε νομίζουσι ἐὰν μὴ ἱρῶν οὕνεκεν. ἄλφιτα δὲ ποιέουσι λεπτότερα κατάπερ οἱ Ἕλληνες καὶ ἐσθίουσι μάζας ποῶν». Ἑβραῖο ς. οὕτως Ἰουδαῖοι ἀπὸ Ἀβράμωνος, ὥς φησι Χάραξ. Θαμαναῖος ἔθνος Πέρσαις ὑπήκοον. Ἡρόδοτος τρίτῃ (c. 93). Ἰβαῖος ὁ καὶ Ἰβηνός ἔθνος Κελτικῆς. Λαιαῖος ἔθνος Παιονικόν. Θουκυδίδης δευτέρᾳ (96). Παναῖος ἔθνος Ἠδωνικὸν οὐ πόρρω Ἀμφιπόλεως. Μιναῖος ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Παρθυαῖοι ἔθνος πάλαι μὲν Σκυθικόν, ὕστερον δὲ φυγὸν ἢ μετοικῆσαν ἐπὶ Μήδους, κληθὲν δὲ οὕτως παρὰ Μήδοις διὰ τὴν φύσιν τῆς αὐτοὺς δεξαμένης γῆς ἑλώδους καὶ ἀγκώδους οὔσης, ἢ διὰ τὴν φυγήν, καθότι οἱ Σκύθαι τοὺς φυγάδας πάρθους καλοῦσι. λέγονται δὲ καὶ Πάρθοι καὶ Πάρθιοι. Πλαδαραῖος ἔθνος πρὸς ἄρκτον κείμενον. Πλαραῖος ἔθνος Ἠπείρου. λέγονται δὲ καὶ Πλάριοι. Ῥονδαῖος ἔθνος Θρᾳκικόν. Σινδοναῖος Θράκιον ἔθνος, ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ. Χωραμναῖος ἔθνος Περσικὸν ἀγρίων ἀνθρώπων. Κτησίας ἐν Περσικῶν δεκάτῳ «οὕτω δὲ ταχύς ἐστιν ὁ ἄγριος ἄνθρωπος, ὡς καὶ διώκων τὰς ἐλάφους καταλαμβάνειν». σεσημείωται τὸ Ἀχαιός τὸ ἐθνικὸν καὶ τὸ κύριον ὀξυνόμενον καὶ τὸ Ἐρυσίχαιος προπαροξυνόμενον.

3,1 131 ἀλλὰ μήποτε τὸ χαῖον ἔγκειται, ὅ ἐστιν ἡ βουκολικὴ ῥάβδος, καὶ ὁ ἐρύσω μέλλων. διχῶς οὖν ἔσται, ὥς ἐστι δῆλον παρ' Ἀλκμᾶνι ἐν ἀρχῇ τοῦ δευτέρου τῶν παρθενείων ᾀσμάτων. φησὶ γὰρ οὐκ ἦς ἀνὴρ ἄγροικος οὐδὲ σκαιὸς οὐδὲ παρὰ σοφοῖσιν, οὐδὲ Θεσσαλὸς γένος, οὐδὲ Ἐρυσιχαῖος οὐδὲ ποιμήν. εἰ γὰρ τῷ «Θεσσαλὸς γένος» συναπτέον, ἐθνικόν ἐστι καὶ προπερισπάσθω· εἰ δὲ τῷ «οὐδὲ ποιμήν» συνάψειέ τις λέγων «τὸ οὐδὲ ποιμήν ἢ ἐρυσίχαιος», πρόδηλον ὡς προπαροξυνθήσεται καὶ δηλοῖ τὸν βουκόλον ἢ τὸν αἰπόλον, πρὸς ὃ τὸ ποιμήν ἁρμόδιον ἐπαχθήσεται. Τὰ διὰ τοῦ αιος ὑπερτρισύλλαβα προπερισπᾶται, εἰ μὴ διαστολή τις εἴη ἢ σύνθετον ὑπάρχοι, Ἀθηναῖο ς , Εἰρηναῖο ς , ἀρουραῖο ς , ἀγοραῖο ς , Ἀμυκλαῖο ς , κορυφαῖο ς , Δερκεταῖο ς , Ἀριδαῖο ς , Ἱμεραῖο ς , ἡμεραῖο ς , ταλαντιαῖο ς , πηχυαῖο ς , ὀργυιαῖο ς , εἰκοσταῖο ς , τριακοσταῖο ς , πολλοσταῖος παρ' Εὐβούλῳ «καὶ μὴν οἴκαδέ τι πολλοσταῖος ἀποτρέχω, γύναι». ἀγυιαῖο ς· Σοφοκλῆς Ἑρμιόνῃ «ἀλλ' ὦ πατρῴας γῆς ἀγυιαίου πέδον». Δωδωναῖο ς. Ἑκαταῖος Εὐρώπῃ «Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι Δωδωναῖοι» καὶ Κρατῖνος Ἀρχιλόχοις «Δωδωναίῳ κυνὶ βωλοκόπῳ τίτθη γεράνῳ προσεοικώς». καὶ Ὅμηρος «Ζεῦ ἄνα Δωδωναῖε» (Il. Π 233). Ζηνόδοτος δὲ γράφει Φηγωναῖε, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο καὶ Σουίδας δέ φησι Φηγωναίου Διὸς ἱερὸν εἶναι ἐν Θεσσαλίᾳ καὶ τοῦτον ἐπικαλεῖσθαι. ἕτεροι δὲ γράφουσι «Βωδωναῖε». πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. Ἀπολλόδωρος δὲ ἐν α' περὶ θεῶν τὸν Δωδωναῖον οὕτως ἐτυμολογεῖ «καθάπερ οἱ τὸν Δία Δωδωναῖον μὲν καλοῦντες ὅτι δίδωσι ἡμῖν τὰ ἀγαθά, Πελασγικὸν δὲ ὅτι τῆς γῆς πέλας ἐστίν». Κλεωναῖος «Κλεωναίοιο χάρωνος». βωμιαῖο ς. Σοφοκλῆς Αἰχμαλωτίσι «καὶ βωμιαῖον ἐσχάρας λαβὼν λίθον». Ναβαταῖος ἔθνος τῶν εὐδαιμόνων Ἀράβων ἀπὸ Ναβάτου τινός. Παραυαῖοι ἔθνος Θεσπρωτικόν. Ῥιανὸς ἐν τετάρτῳ Θεσσαλικῶν «σὺν δὲ Παραυαίους καὶ ἀμύμονας Ὀμφαλιῆας». καλοῦνται δὲ ἀπὸ τοῦ παρὰ τὸν Αὖον ποταμὸν οἰκεῖσθαι. Τιλαταῖος ἔθνος Θρᾴκης. Θουκυδίδης δευτέρᾳ (c. 96). Τραγασαῖο ς· Ἀριστοφάνης Ἀχαρνεῦσι (v. 853). Φελεσσαῖος ἔθνος ὅμορον τοῖς Ὀμβρικοῖς πρὸς τῇ Ἰαπυγίᾳ, ὡς Εὔδοξος ἕκτῳ. τὸ ἐρυσίχαιος ὁ βουκόλος ἢ αἰπόλος προπαροξύνεται ὡς καὶ τὸ ὑμέναιο ς.

3,1 132 τὸ δὲ Ἀθήναιος κύριον προπαροξύνεται εἰς διαστολὴν ὡς καὶ τὸ ἀγόραιο ς. Τὰ τρισύλλαβα ἀπὸ α ψιλουμένου ἀρχόμενα προπερισπᾶται, Ἀλκαῖο ς , ἀκμαῖο ς , Ἀνταῖο ς , Ἀρναῖος —γέγονε δὲ παρὰ τὴν ἀρὰν ἀραῖος καὶ πλεονασμῷ τοῦ ν ἀρναῖος ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος — ἀρχαῖο ς , ἀντραῖο ς. Εὐριπίδης ἐν Αἰγεῖ. * Τὰ διὰ τοῦ αιος τρισύλλαβα ἔχοντα τὴν πρώτην συλλαβὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς σύμφωνον καταλήγουσαν προπερισπᾶσθαι θέλει, χερσαῖο ς , ὀρφναῖο ς , ἑρσαῖο ς , ἀρχαῖο ς , Ἀρναῖο ς , Τρικκαῖο ς , Ἑρμαῖο ς , Ὀρθαῖο ς , Τυμφαῖος ὄνομα ἔθνους, Μενδαῖο ς , βαρκαῖος εἶδος ἰχθύος, Βυσναῖος ἔθνος Βεβρύκων ἀπὸ Βύσνου βασιλέως αὐτῶν ὑπὸ Ἴλου φονευθέντος. τὸ δὲ Ἕρμαιος πρὸς ἀντιδιαστολὴν διάφορον τόνον ἀνεδέξατο. * Τὰ διὰ τοῦ αιος τρισύλλαβα ἔχοντα τὴν πρώτην διὰ τοῦ υ προπερισπῶνται οἷον ὑλαῖο ς , χυδαῖο ς , Λυαῖο ς , λυγαῖος καὶ Τρυγαῖος ὄνομα κύριον, ὅ τινες προπαροξύνουσιν ὡς ἀπὸ τοῦ τρυγῶ ῥήματος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. * Τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ ι μὴ ἀπὸ ῥημάτων, προπερισπῶνται, Βιλλαῖος ὄνομα ποταμοῦ, Ἰμαῖος ὄνομα κύριον. Νισαῖο ς , Πισαῖο ς , Κρισαῖο ς , Θιαῖο ς. τὸ δὲ βίαιο ς , δίκαιος προπαροξύνονται, τὸ δὲ Φίλαιο ς , Τίμαιο ς , Νίκαιος ἀπὸ ῥημάτων. Τὰ διὰ τοῦ δαιος προπερισπᾶται, Ἰουδαῖο ς , χυδαῖο ς , Χαλδαῖος οἱ πρότερον Κηφῆνες. Ἑλλάνικος ἐν πρώτῳ Περσικῶν «Κηφέως οὐκέτι ζῶντος στρατευσάμενοι ἐκ Βαβυλῶνος ἀνέστησαν ἐκ τῆς χώρας καὶ τὴν γῆν ἔσχον .... οὐκέτι ἡ χώρη Κηφηνίη καλέεται, οὐδὲ οἱ ἄνθρωποι οἱ ἐνοικέοντες Κηφῆνες, ἀλλὰ Χαλδαῖοι». εἰσὶ δὲ καὶ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σοφοκλῆς Τυμπανισταῖς «Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος». σπουδαῖο ς , ῥαγδαῖο ς , σταδαῖο ς , Ἀριδαῖο ς , Ὀρδαῖο ς , Ἐορδαῖο ς .

3,1 133 Ἰδαῖο ς , Λαδαῖο ς , Μενδαῖο ς. τὸ δὲ Πήδαιος προπαροξύνεται ὡς παρὰ ῥῆμα γεγονός. Τὰ διὰ τοῦ λαιος προπερισπᾶται, ὑλαῖο ς , βουλαῖο ς , ζηλαῖο ς. τὸ δὲ δείλαιος καὶ φύλαιος προπαροξύνεται. ἔτι σημειοῦνται τὰ ἐν ἀρχῇ πρόθεσιν ἔχοντα, ἐπιπόλαιος ἢ ἀπὸ ῥήματος ὥσπερ τὸ Φίλαιος ἀπὸ τοῦ φιλῶ, ἢ ἀπὸ ἐπιρρήματος ὥσπερ τὸ παλαιός ἀπὸ τοῦ πάλαι καὶ τὰ κατὰ διαστολὴν γινόμενα Παλαῖος τὸ κύριον, παλαιός δὲ τὸ ἐπίθετον, Πύλαιος τὸ κύριον καὶ ὁ Ἑρμῆς ὁ Πύλαιος πρὸς ἀντιδιαστολὴν τοῦ τοπικοῦ. Τὰ εἰς μαιος προπερισπᾶται, εἰ μὴ διαστολὴ γένοιτο κυρίου ἢ εἴη σύνθετον, πυγμαῖος καὶ Πυγμαῖος, υἱὸς Δώρου τοῦ Ἐπάφου, ἀφ' οὗ Πυγμαῖοι ἔθνος, δρομαῖο ς , ἀκμαῖο ς , ἱμαῖος ἡ ἐπιμύλιος ᾠδή. δηλοῖ δὲ καὶ ὄνομα κύριον. ἐρημαῖο ς . Πτολεμαῖο ς . Ἰδουμαῖος ἔθνος Ἑβραίων ἀπὸ ἀδώμου (ἄδωμα γὰρ οἱ Ἑβραῖοι τὸ ἐρυθρὸν καλοῦσιν), ὅτι ξανθὸν βρῶμα δοὺς αὐτῷ ὁ ἀδελφὸς τὰ πρωτεῖα εἰλήφει. Ῥωμαῖο ς , Δαλμαῖος ἔθνος παρὰ τοῖς Ἰχθυοφάγοις, ὡς Ἀπολλόδωρος. Ἑρμαῖος, ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Σοφοκλεῖ. τὸ δὲ Ἕρμαιος κύριον πρὸς ἀντιδιαστολὴν προπαροξύνεται καὶ τὸ «ὅθι θ' Ἕρμαιος λόφος ἐστίν» (Od. π 471) καὶ τὸ φιλορώμαιος σύνθετον ὄν. Τὸ δὲ Τίμαιος σεσημείωται. ἔχει δὲ ἀφορμήν, ὅτι ῥῆμα αὐτοῦ προκατάρχει. καὶ τὸ Εὔμαιος δέ ἐστιν σύνθετον. Τὰ διὰ τοῦ χαιος προπερισπῶνται, ἀρχαῖο ς , τροχαῖο ς , λοχαῖο ς , λεχαῖο ς , νυχαῖο ς , ἡσυχαῖο ς , Παγχαῖο ς. τὸ δὲ Ἀχαιός ὀξυνόμενον καὶ τὸ ἐρυσίχαιος προπαροξυνόμενον σεσημείωται. * Τὰ διὰ τοῦ αιος ἔχοντα πρὸ τῆς αι ἕν τι τῶν διπλῶν ἢ τὸ ς περισπῶνται, κοραξαῖο ς , Γαζαῖο ς , Στρεψαῖος ὁ Ἑρμῆς παρὰ τῷ Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις, καὶ ἔθνος Μακεδονίας. Νισαῖο ς , χερσαῖο ς , Πισαῖο ς , Μουσαῖο ς , Δερσαῖος Θρᾴκιον ἔθνος. Ἡρόδοτος. Τὰ ἀπὸ ἐπιρρημάτων προπερισπῶνται, χύδην χυδαῖος, ἄντην ἀνταῖο ς .

3,1 134 ῥαγδαῖο ς , σταδαῖο ς , ἀδαῖο ς , Ἀγκαῖος παρὰ τὸ ἀγκάς. τὸ μέντοι μάτην μάταιος, τὸ δήν δηναιός, τὸ πάλαι παλαιό ς. Τὰ ἀπὸ ῥημάτων περισπῶνται, βέβαιος παρὰ τὸ βέβηκα, Φίλαιο ς , Νίκαιο ς , Τίμαιο ς , Λύαιο ς , Πείραιο ς , Πήδαιο ς· οὐ γὰρ τοῦτο, ὡς οἴεται ὁ Ἅβρων, παρὰ τὴν πῆδον (?)· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθαι. Τὰ εἰς ειος καθαρὸν τρισύλλαβα ἔχοντα ἐν τῇ τρίτῃ η προπαροξύνεται, θήρειο ς , μήλειο ς , χήνειο ς , κήλειος ὁ καυστικός, Κρήτειο ς. τὸ μέντοι Ἠτεῖος —ἦν δὲ Ἠτεῖος εἷς τῶν ἑπτὰ σοφῶν, ὡς Δίδυμος συμποσιακῶν δεκάτῳ, Πλάτων δὲ ἐν Πρωταγόρᾳ Χηνέα τοῦτον εἶπεν— Ἠλεῖο ς , ἠθεῖος προπερισπᾶται οὐκ ἀπὸ συμφώνου ἀρχόμενα. καὶ τὸ μὲν Ἠλεῖος οὕτω γίνεται· ἀπὸ τῆς Ἤλιδος γενικῆς ἀναλόγως Ἠλίδειος ὡς Ἀδωνίδειος καὶ Εὐπολίδειος κτητικῷ τύπῳ καὶ καθ' ὕφεσιν τοῦ δ Ἠλίειος καὶ Ἠλεῖος, ἀφ' οὗ «Ἀλεῖος Ζεύς» (Callim. fr. 99). Τρύφων δέ φησιν, ὅτι Ἠλίεος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Ἠλέϊος καὶ Ἠλεῖος. τὸ δὲ ἠθεῖος ἴσως παρὰ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεονασμὸν τοῦ η ἐγένετο. Τὸ δὲ Κητειό ς , Πηνειός ὀξύνεται ὡς κύρια. καὶ τὸ Μήδειος κύριον—ἔστι δὲ ἔθνος ὃ καὶ Μῆδοι—προπαροξύνεται καθάπερ Βούδειοι ἔθνος Μηδικόν. Τὰ εἰς ειος ἐπιθετικὰ τρισύλλαβα ἔχοντα τὴν πρώτην φύσει ἢ θέσει μακρὰν πλὴν τῶν ἐχόντων τὸ η , περὶ ὧν εἴρηται, καὶ τῶν ἐχόντων ἔννοιαν τοπικὴν προπαροξύνονται, γλαύκειο ς , δούλειο ς , χρύσειο ς , δούρειο ς , χοίρειο ς , Κούρειο ς , ἄρνειο ς , κνίδειο ς , σίδειο ς.

3,1 135 τὸ μέντοι Ὀλμειό ς , Ὀρνειό ς , Σπερχειό ς , Σπονδειό ς , Ἀζειός ἔθνος τῆς Τρῳάδος, ὃ καὶ Ἀζειῶται, ὡς κύρια ὀξύνεται. τὸ δὲ παιδεῖος ὁ παιδικὸς προπερισπᾶται. τὸ δὲ ἀρνειός κατὰ πλεονασμὸν ἔσχε τὴν ει δίφθογγον· ἡ γὰρ ἀρνός γενικὴ μετάγεται εἰς εὐθεῖαν ὡς ἀρνός καὶ κατὰ πλεονασμὸν τῆς ει γίνεται ἀρνειός ὡς ἀμνός ἀμνειός. καὶ τὸ ἀφνειός δὲ ὀξύνεται. τὸ δὲ οἰκεῖο ς , ἀστεῖο ς , ἀγρεῖος τοπικὴν ἔχουσιν ἔννοιαν. Τὰ εἰς ειος τρισύλλαβα κύρια καὶ τὰ πλείω ὀνόματα ποταμῶν ὀξύνεται, Σπερχειό ς , Ἀλφειό ς , Πηνειό ς , Κητειό ς , Ἐπειός βασιλεὺς καὶ ἔθνος. οὕτως Ὅμηρος τοὺς Ἠλείους φησί. οὕτως δὲ ἐλέγοντο καὶ οἱ ἐν τῷ Δουλιχίῳ ὡς Ἐπαφρόδιτος παρατιθεὶς τὸν Ἀρίσταρχον ἐκδεχόμενον οὕτως. τὸ δὲ Ἀρνεῖος καὶ Δαρεῖος προπερισπῶνται. Τὰ εἰς ειος τριγενῆ μὴ ἐθνικὰ προπαροξύνεται, εἰ ἀπὸ βραχείας ἄρχοιτο, βρότειο ς , τέλειο ς , φλόγειο ς , λύκειο ς , βόειο ς , γέγειος πλεονασμῷ τοῦ γ ἀπὸ τοῦ γέα. τὸ δὲ Ἐπειός κύριον. τὸ δὲ φατειός κατὰ πλεονασμὸν ἔσχε τὴν δίφθογγον. * Τὰ εἰς ειος ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ α μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μὴ σημαίνοντα μέρος σωματικὸν προπερισπᾶται, ἀνδρεῖο ς , Ἀργεῖο ς , Καδμεῖο ς , Βακχεῖο ς. τούτοις ὁμοίως καὶ τὸ ἀχρεῖος παρὰ τῷ ποιητῇ περιεσπάσθη. Διονύσιος μέντοι καὶ Τυραννίων τὴν πρώτην ὀξύνουσιν, ὥσπερ καὶ παρὰ τοῖς Ἀττικοῖς καὶ ἀναλόγως.

3,1 136 παρὰ γὰρ τὸ χρεία τὸ κατὰ στέρησιν ἄχρειος ὡς μοῦσα ἄμουσος. τοὺς δέ γε ἄλλως προπερισπῶντας τὸ ἀχρεῖος, ἐπεὶ ἀχρήϊος λέγεται παρ’ Ἡσιόδῳ, ἡ δὲ ὀξεῖα καὶ ἡ βαρυνομένη συνίζουσαι περισπωμένην ποιοῦσιν, παραιτητέον, ὡς οὐκ ἀεὶ τοῦτο, καθὰ δῆλον ἐκ τοῦ Ἀρήϊος Ἄρειος, βασιλήϊος βασίλειος, αὐλιζομενάων αὐλιζομένων. διὸ τὸ ἀχρεῖος εἴτε παρὰ τὴν χρείαν εἴτε παρὰ τὸ χρέος προπαροξύνεσθαι θέλει. * Τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων παραγόμενα διὰ τῆς ει γράφεται καὶ προπαροξύνεται, εἰ μὴ τὸ α παραλήγοι ἐν τῷ εἰς ος λήγοντι οὐδετέρῳ ἢ δύο σύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆς πρώτης συλλαβῆς, τὸ δὲ ἀρκτικὸν τῆς δευτέρας οἷον ἕλος ἕλειο ς. διὰ τῆς ει διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸα · τέλος τέλειος, ὄρος ὄρειος, ὄνειδος ὀνείδειο ς. παρεφυλαξάμην δὲ τὰ δύο σύμφωνα διὰ τὸ Ἀργεῖος καὶ τὸ ἑρκεῖος, καὶ τὸ α , ἐπεὶ φιλεῖ διὰ τοῦ ι γράφεσθαι ἡ παραγωγή, πελάγιος, ἅγιος, Θάλπιος. Τὰ εἰς ειος ὑπερτρισύλλαβα μὴ πλεοναζούσης τῆς ει διφθόγγου προπαροξύνεται, Αἰάντειο ς , Ὁμήρειο ς , γαλήνειο ς , Ἱππάρχειο ς . Ἀλεξάνδρειο ς , Ἀντιόχειο ς , Ἑλένειος τόπος πρὸς τῷ Κανώβῳ, Ἑκαταῖος περιηγήσει Λιβύης· Βοσπόρειο ς. Σοφοκλῆς ἐν Φινεῖ πρώτῳ «οὐδ’ ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ». Ἰνάχειος ὡς Αἰσχύλος Προμηθεῖ δεσμώτῃ (v. 589) πῶς δ’ οὐ κλύω τῆς οἰστροδονήτου κόρης τῆς Ἰναχείης, ἣ Διὸς θάλπει κέαρ καὶ (v. 705) οὔτ’ Ἰνάχειον σπέρμα τοὺς ἐμοὺς λόγους. Ταρτάρειος παρ’ Εὐριπίδῃ ἐν Εὐρυσθεῖ σατυρικῷ. Ὑγάσσειος «Ὑγάσσειον πεδίον». « Σολύγειος λόφος». Ἀπέννειο ς , Ἀριμάσπειο ς , Λυκόζειος ὡς Πείσανδρος τεσσαρεσκαιδεκάτῃ. Λυκώρειος Ζεύς. Ἀκρώρειοι πόλις Τριφυλίας καὶ τὸ ἐθνικὸν ὁμόφωνον. γερόντειο ς , λεόντειο ς , δρακόντειο ς , Ἀνακρεόντειο ς , Λαομεδόντειο ς , Ξενοφώντειο ς , Δημοφώντειο ς , Θεώνειο ς , Τρυφώνειο ς , Ἀργανθώνειο ς , Κιθαιρώνειος «λέπας Κιθαιρώνειον». Αὐσόνειο ς. Λυκόφρων (v. 1047) «ὁ δ’ Αὐσονείων ἄγχι Κάλχαντος τόπων». Ἀχερόντειος, ὃ διὰ τὸ μέτρον Ἀριστοφάνης ἔφη «Ἀχερόντιός τε σκόπελος αἱματοσταγής» (Ran. 471). Ἠετιώνειο ς , Ἀβάντειο ς , Θοάντειο ς , Ἀχίλλειο ς , Διομήδειο ς ,

Ἀριστοφάνειο ς , Αἰόλειο ς , Ἰορδάνειο ς , Αἰσχίνειο ς , Δημοσθένειο ς , Ἀριστοτέλειο ς , Ἀσκληπιάδειο ς , Τεμμίκειο ς.

3,1 137 Μενέλαος δὲ διὰ τοῦ ι «Τεμμίκιον ἄστυ» ἐν πρώτῳ Θηβαΐδος φησίν. Πελόπειο ς , Μοψόπειο ς . θεμίστειο ς , ἐπιτήδειο ς . Νυττέρειο ς. ἔστι δὲ ὄνομα λιμένος. τὸ δὲ ἀδελφειός ἀπὸ τοῦ ἀδελφός πλεονάζει τὸ ει καὶ τὸ Δαρδανειός δὲ ὀξύνεται. τὰ μέντοι προπερισπώμενα μὴ σημαίνοντα μέρος σώματος εὑρεθέντα ταῦτά εἰσι, πρυτανεῖο ς , ἑταιρεῖο ς , μεγαλεῖο ς , γυναικεῖο ς , ἀκατεῖο ς. τὸ δὲ ἑταίρειος ἀναλογώτερόν ἐστι προπαροξύνεσθαι, ὡς γὰρ ἡμέτερος ἡμετέρειος κτητικῶς δηλαδὴ καὶ ἀβέλτερος ἀβελτέρειος ὁ μωρός, οὕτω καὶ ἑταίρειος Ζεὺς ὁ ἔφορος τῆς ἐν τῇ ἑταιρίᾳ κοινωνίας. Τὰ εἰς οιος ὑπερδισύλλαβα προπερισπῶνται, εἰ ἐπιθετικὰ εἴη ἢ κύρια, ὁμοφωνοῦντα τοῖς ἐπιθέτοις, ἀλλοῖο ς , αἰδοῖο ς , ὁμοῖο ς , γελοῖο ς , παντοῖο ς , ἠοῖο ς. οἱ δὲ μεταγενέστεροι τῶν Ἀττικῶν τὸ γελοῖος καὶ ὁμοῖος προπαροξύνουσιν. τὸ δὲ φλοιός δισύλλαβον καὶ τὸ κολοιός προσηγορικόν. ὀξύνεται δὲ καὶ τὸ ψοθοιός ὁ ἀκάθαρτος. τὸ δὲ Ζάτοιο ς , Ἄθοιος κύρια ὄντα προπαροξύνονται, οἷς ὅμοιον καὶ τὸ τραπέζοιος, Βοιωτιακὸν ὄν. οἱ γὰρ Βοιωτοὶ τὸ ω καὶ ι εἰς τὴν οι δίφθογγον τρέπουσι, τὸ πατρώϊος πατροῖος λέγοντες καὶ τὸ ἡρώϊος ἡροῖο ς. Τὰ εἰς ος καθαρὸν ἔχοντα δίφθογγον τὴν διὰ τοῦ υ ὀξύνεται, ἐπιθετικὰ ὄντα ἢ κύρια ὁμοφωνοῦντα τοῖς ἐπιθέτοις, ἀκουός καὶ ἐπακουό ς , ἀγαυός καὶ τὸ κύριον καὶ τὸ ἐπίθετον.

3,1 138 πρόσκειται «εἰ μὴ ἐπιθετικὰ εἴη, ἀλλὰ κύρια», ὅτι ταῦτα βαρύνεται, Ἀκάλαυο ς , Πείραυο ς , Ἄρευο ς. ΠΕΡΙ ΤΩΝ ΕΙΣ βος , ΕΙΣ γος ΚΑΙ ΤΩΝ ΚΑΘΕΞΗΣ ΜΕΧΡΙ ΤΩΝ ΕΙΣ μος . ΒΙΒΛΙΟΝ ϛʹ. Τὰ εἰς βος δισύλλαβα κύρια ἢ προσηγορικὰ βαρύνεται, ὄλβο ς , λίβο ς , Λέσβος καὶ ὁ κτιστὴς καὶ ἡ νῆσος, φλοῖσβο ς , θάμβος τὸ μονογενές, τάρβο ς . λέμβο ς , βόμβο ς , τύμβο ς , ῥύμβο ς , στίβο ς , τρίβο ς . Στρόβος πόλις Μακεδονίας. Τάβος ἥρως, ἀφ’ οὗ Τάβαι πόλις Λυδίας. Θράμβος ἀκρωτήριον Μακεδονίας. Ἴσβος Ἰσαυρίας πόλις, Κύβος ἢ καὶ Κυβώ, πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων, Ὄμβοι πόλις Αἰγύπτου πρὸς τῇ Λιβύῃ. Ἀλέξανδρος ἐν πρώτῳ Αἰγυπτιακῶν. Σάβοι ἔθνος Φρυγίας. λέγονται καὶ ἀντὶ τοῦ βάκχοι παρὰ Φρυξίν. Σάμβος πόλις Ἀράβων καὶ οἱ πολῖται Σάμβοι. Βοῖβος Γλαφύρου υἱός, ἀφ’ οὗ Βοίβη πόλις Θεσσαλίας. Στροῖβος ὁ ἀδελφὸς Γύζαντος. σεσημείωται τὸ Βόλβος παροξυνόμενον, ὅτε κύριον, βολβός δὲ τὸ προσηγορικόν, ὥσπερ λοβός μέρος τοῦ ἥπατος. Τὰ εἰς βος δισύλλαβα ἐπιθετικὰ ὀξύνεται, στραβό ς , ῥαιβός ὁ μὴ ὀρθός, καὶ κωβό ς. Τὰ εἰς βος κύρια ἢ προσηγορικὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ἄραβο ς , κόναβο ς , ἴαμβο ς , κάραβο ς , σάραβο ς , ἀττέλαβος, ὅπερ οἱ Ἀττικοὶ παραλόγως ὀξύνουσι.

3,1 139 Νήραβος πόλις Συρίας. Νικόλαος τετάρτῳ. Ἄμολβος πόλις Μαγνήτων, ὡς Βάλακρος Μακεδονικῶν βʹ, Ἄρισβος ποταμὸς Θρᾳκῶν. Βατάναβος Ἀραβίας σταθμός. Πράσσαιβος ἔθνος Θεσπρωτικόν, Κάνδυβος παῖς Δευκαλίωνος, Μέταβος ἥρως, ἀφ’ οὗ Μεταπόντιον. τὸν γὰρ Μεταπόντιον οἱ βάρβαροι Μέταβον ἔλεγον. Πόλυβο ς . Χάλυβος παρ’ Ἑκαταίῳ οἱ Χάλυβες. Καλλάτηβος πόλις Λυδίας. Ἡρόδοτος ἑβδόμῃ (c. 31). Τύρρηβος πόλις Λιβύης ἀπὸ Τυρρήβου τοῦ Ἄτυος. Κάνωβος, ὅπερ ἔδει γράφεσθαι διὰ τοῦπ · οὐδὲν γὰρ εἰς βος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ω παραλήγεται. γράφεται δὲ ὅμως διὰ τοῦ β . Στράβων ἑπτακαιδεκάτῃ (p. 801) «Κάνωβος δ’ ἔστι πόλις ἐν εἴκοσι καὶ ἑκατὸν σταδίοις ἀπὸ Ἀλεξανδρείας πεζῇ ἰοῦσιν, ἀπὸ Κανώβου κυβερνήτου Μενελάου, ἀποθανόντος αὐτόθι». Τὰ εἰς βος ἐπιθετικὰ ὑπὲρ δύο συλλαβάς, εἰ μὴ τὸ η παραλήγοι ἢ σύνθετα εἴη ἀπὸ τῶν εἰς βος ληγόντων, ὀξύνεται, ἐρεμβός καὶ Ἐρεμβοί ἔθνος Ἀραβίας. Ὅμηρος «καὶ Σιδονίους καὶ Ἐρεμβούς» (Od. δ 84), τούτους δέ φησι τοὺς Τρωγλοδύτας ἀπὸ τοῦ εἰς ἔραν βαίνειν. λέγονται καὶ Ἐρεμβαῖοι. τούτῳ δὲ ὁμοίως καὶ Περραιβός ἐθνικόν, οὗ θηλυκὸν κατὰ κοινότητα ἡ Περραιβός καὶ Περραιβή. κολοβό ς , βουφορβό ς , ἱπποφορβό ς. τὸ δὲ ἔφηβο ς , ἄνηβος παραλήγουσι τῷ η . τὸ δὲ φιλόκυβος σύνθετον. Τὰ εἰς γος δισύλλαβα

ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν προσηγορικὰ ὄντα ἢ κύρια βαρύνεται, πύργο ς· εἰσὶ δὲ καὶ Πύργοι πόλις Μεσσήνης. σπόγγο ς , φθόγγο ς , Γόργος τὸ κύριον, γοργός δὲ τὸ ἐπίθετον. Ἔλγος πόλισμα Λυδίας, ὡς Ξάνθος ἐν Λυδιακοῖς. Λίγγος φρούριον Κασσανδρέων. Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. Σίγγος πόλις παρὰ τῷ Ἄθῳ. τὸ δὲ σαργός ὁ ἰχθῦς ὀξύνεται. Τὰ εἰς γος ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν ἐπιθετικὰ ὄντα, εἰ μὴ ἔννοιά τις ὑπάρχοι συνθέσεως, ὀξύνεται, γοργό ς , ἀργό ς. τὸ μέντοι Ἄργος βαρύνεται, καὶ τὸ μάργος σύνθετον ὂν ἀπὸ τοῦ μα στερητικοῦ καὶ τοῦ ἔργον· ὁ γὰρ μάργος οὐδὲν ἀγαθὸν ἐργάζεται.

3,1 140 Τὰ εἰς ογος διβράχεα βαρύνεται, λόγο ς , μόγο ς , ψόγο ς. Τὰ διὰ τοῦ αγος διβράχεα ἐπιθετικὰ καὶ μὴ ἐθνικὰ ὀξύνεται, φαγό ς , κραγός ὁ κραυγαστικός. τὸ δὲ κράγος ὁ κραυγασμὸς βαρύνεται καὶ τὸ Κράγος ὄρος Λυκίας. Ἀλέξανδρος δευτέρῳ Λυκιακῶν. ἀπὸ Κράγου τοῦ Τρεμίλητος υἱοῦ, μητρὸς δὲ Πραξιδίκης νύμφης. καὶ τὸ Μάγος ἐθνικόν. εἰσὶ δὲ Μάγοι ἔθνος περὶ Μηδίαν. * Τὰ εἰς γος δισύλλαβα εἰ ἔχοι πρὸ τέλους δίχρονον συνεσταλμένον, κύρια ἢ προσηγορικὰ ὄντα βαρύνεται οἷον κράγο ς , πάγο ς , τράγος, χωρὶς εἰ μὴ μεταπλάσσοιτο εἰς γένος οὐδέτερον, ὡς ἔχει τὸ ζυγός εὑρημένον παρὰ τῷ ποιητῇ καὶ οὐδέτερον. τὸ δὲ ζυγός παρ’ Ὁμήρῳ οὐ σύνηθες ἐπὶ σταθμοῦ. ζυγὸν γὰρ ἐκεῖνος οἶδεν ἅρματος καὶ ἁμάξης καὶ ζυγόδεσμον ἱμάντα (Ω 270) τὸν ζυγὸν τῶν ζῴων ζευγνύντα. ὅθεν ὑψίζυγος οὐχ ὁ ἄνω σταθμίζων τὰ κατ’ ἀνθρώπους δύναται εἶναι. ἔστι δὲ ζυγός καὶ καθέδρα τῶν ἐρεσσόντων, ὅθεν ὑψίζυγος ὁ ὕψι καθέδραν ἔχων κατὰ τὸ «ἐπὶ ζυγοῖς καθέζετο ἀρχῆς» τὸ τοῦ τραγικοῦ (Eurip. Phoen. 72) καὶ τοῦτο δὲ ἀπὸ τῆς κυβερνητικῆς μετενήνεκται καταστάσεως. καὶ τὸ ζυγομαχεῖν ἀπὸ τῶν ἐν πλοίοις ζυγῶν δύναται εἶναι, ὅτε περὶ τὰς καθέδρας διαφέρονται ἐρέσσοντες οἱ ἐρέται. εἰσὶ καὶ Ζυγοί πόλις πρὸς τῷ τῆς Ἀσίας Βοσπόρῳ. Τὰ εἰς γος δισύλλαβα φύσει μακρᾷ παραληγόμενα ὀξύνεται, εἰ μὴ κύρια εἴη, λοιγό ς , φηγό ς , πηγό ς. τὸ δὲ Λᾶγος κύριον. εἴρηται καὶ τρισυλλάβως «Λάαγος φίλος υἱὸς ἀρίζηλος Πτολεμαῖος». οὐ φύσει οὖν δισυλλαβεῖ, ἀλλ’ ἐκ τοῦ τρισυλλάβου γέγονεν. Τὰ εἰς γος ὑπερδισύλλαβα βραχείᾳ παραληγόμενα προπαροξύνεται, πάταγο ς , ἔλεγος ὁ θρῆνος.

3,1 141 Τεκτόσαγο ς . Ὤγυγος υἱὸς Τερμέρας, ἀφ’ οὗ Λύκιοι Ὠγύγιοι λέγονται. ἀσπάραγος κυρίως ὁ ἐπὶ τοῦ ἑλείου ἢ ὀρείου ὁ μὴ σπειρόμενος. ἀσφάραγος ὁ λεγόμενος φάρυγξ. Τὰ εἰς γος τρισύλλαβα ἀρσενικὰ φύσει ἢ θέσει μακρᾷ παραληγόμενα, μὴ διπλασιαζομένου τοῦ γ , χωρὶς εἰ μὴ κύρια εἴη καὶ ἔννοιαν συνθέσεως ἔχοι, ὀξύνεται, ἀρηγό ς , πελαργό ς , ἀμολγό ς , βροτολοιγό ς , ἀρρωγό ς . Πελασγός ἐθνικὸν ὁμώνυμον τῷ κτίστῃ, Ἀβασγός ἔθνος Σκυθίας. Χολαργό ς. οὕτω Δίδυμος καὶ Διόδωρος τὸν δῆμον τῆς Ἀκαμαντίδος φυλῆς καλοῦσι, Διονύσιος δὲ Χολαργεῖς. Ἱππημολγός ἔθνος Σκυθικὸν παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν. τὸ δὲ Ἄμολγος προπαροξύτονον ἐπὶ τῆς νήσου οὐκ ἀρσενικόν. λέγεται δὲ καὶ Ἄμοργος, ὡσαύτως καὶ Σολόγοργος πόλις Ἀρκαδίας ἡ καὶ Ἥραια. τὸ δὲ Σύναγγος πόλις Φοινίκης καὶ Σάλαγγος ἔθνος Ἰταλίας—ἔστι δὲ καὶ ἕτερον ἔθνος Ἰνδικόν—διπλασιαζόμενον ἔχει τὸ γ . καὶ τὸ Ὅμαργος σύνθετον ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ ἀργός. ἔστι δὲ ὄνομα κυνός. * Τὸ ὀλίγος προπαροξύνεται. ἔστι δὲ μονῆρες. οὐδὲν γὰρ εἰς γος ὑπὲρ δύο συλλαβὰς τῷ ι παραλήγεται, ἀλλὰ μόνον τὸ ὀλίγος. Μήτι οὖν Ταραντῖνοι χωρὶς τοῦ γ προφερόμενοι τὴν λέξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δούλῳ Μελεάγρῳ ὀλίοισιν ὑμῶν ἐμπέφυκ’ εὐψυχία καὶ ἐν Ἰοβάτῃ χρήζω γὰρ ὀλίον μισθὸν αὐτὸς λαμβάνειν. Πλάτων μέντοι ὁ κωμικὸς διαπαίζει τὴν λέξιν ὡς βάρβαρον. Τὰ εἰς δος διβράχεα ἀρσενικὰ καὶ θηλυκὰ κύρια βαρύνονται. εἰ δέ τι ὀξυνθῇ, τοῦτο θηλυκὸν προσηγορικὸν εὑρέθη τῷ ο παραλῆγον, κλάδο ς , Ἄδος πόλις Κιλικίας, κάδος καὶ Κάδοι πόλις Μυσίας. Στράβων ιβʹ (p. 576) «καὶ Δορυλάειον πόλις καὶ Κάδοι». Ῥόδος νῆσος. τὸ μέντοι ὁδός καὶ σποδός ὀξύνεται ὡς θηλυκὰ προσηγορικὰ τῷ ο παραλήγοντα.

3,1 142

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὰ εἰς δος δισύλλαβα ο ἢ ου ἢ οι διφθόγγῳ ἢ η παραληγόμενα, εἰ μὴ σύνθετα ὑπάρχοι ἢ ἐθνικά, ὀξύνεται, ὁδό ς , σποδό ς , οὐδό ς· τὸ δὲ φροῦδος ἀπὸ τοῦ πρόοδος σύνθετον καὶ τὸ Μῆδος ἐθνικόν. σεσημείωται τὸ σκοῖδος παρὰ Μακεδόσιν ὁ οἰκονόμος καὶ τὸ χλῆδος προπερισπώμενα καὶ τὸ Ῥόδος παροξυνόμενον. Τὰ εἰς δος ἀρσενικὰ φύσει μακρᾷ παραληγόμενα βαρύνεται Μῆδος υἱὸς Μηδείας καὶ τὸ ἐθνικὸν ὁμοφώνως τῷ πρωτοτύπῳ, νῖδος (? ) ζεῦδος (?) . Βλαῦδος πόλις Φρυγίας. τὸ μέντοι καυδός θηλυκὸν ὥσπερ καὶ τὸ μαυδό ς. σεσημείωται τὸ Μαιδός ἔθνος Θρᾴκης πλησίον Μακεδονίας καὶ Ἠδός ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ καὶ Λυδό ς. Τὰ εἰς δος δισύλλαβα ἔχοντα πρὸ τοῦ δ σύμφωνον κατ' ἐπιπλοκὴν βαρύνεται, Σόγδος ὁ οἰκήτωρ Σογδιανῆς. λέγεται καὶ Σόγδιος. ῥάβδο ς . ἄσδος στήλη λιθίνη, λύγδο ς , Ῥύβδος φρούριον Σικελίας. Τὰ εἰς δος δισύλλαβα ἔχοντα πρὸ τοῦ δ σύμφωνον κατὰ διάστασιν βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη, Λίνδος πόλις ἐν Ῥόδῳ κτίσμα Λίνδου τοῦ Κερκάφου, τοῦ Ἡλίου καὶ Κυδίππης, τῆς Ὀχίμου θυγατρός. ἔστι καὶ Σικελίας πόλις Λίνδος. Σίνδος ἔθνος ἀπὸ μεσημβρίας τῆς Μαιώτιδος λίμνης. τινὲς δὲ ὀξυτονοῦσιν, οὐκ εὖ, Πίνδο ς , νάρδο ς , μάρδος αὐλοῦ εἶδος καὶ ἔθνος Ὑρκάνιον. Ἀπολλόδωρος περὶ γῆς δευτέρῳ. πάρδο ς . Σάρδος πόλις Ἰλλυρίας, Βάλδος πόλις Φοινίκης, Χάλδος ἔθνος τῆς Ἀρμενίας. οὕτως γὰρ λέγεσθαι ἐπεκράτησεν ἡ συνήθεια δισυλλάβως, οὐ Χαλδαίους. Μύνδος πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Γόρδος ἔθνος, ὃ καὶ Γορδυαῖος καὶ Γόρδοχος καλεῖται. σεσημείωται τὸ Ἰνδός ποταμὸς καὶ ἐθνικὸν καὶ Ὀρδός ἔθνος Μακεδονίας. λέγονται καὶ Ὀρδαῖοι, ὡς Νίκανδρος. τὸ δὲ λορδός ἐπίθετον καὶ ὁ μυνδός ὁ ἄφωνος, ἀφ' οὗ «μυνδότεροι νεπόδων» παρὰ Καλλιμάχῳ. Τὰ εἰς δος ὑπερδισύλλαβα βραχείᾳ παραληγόμενα προπαροξύνεται, ὅμαδο ς , κέλαδο ς , Ἄραδος νῆσος Φοινίκης.

3,1 143 ἔστι καὶ ἑτέρα τῆς Ἐρυθρᾶς θαλάσσης. τρίτη Κρήτης. Μασανώραδος Κινδαψοῦ παῖς, ἀφ' οὗ Μασανώραδα πόλις Καρίας. Τένεδος νῆσος τῶν Σποράδων, ὡς Ἑκαταῖος, ἐν Ἑλλησπόντῳ. ἔστι καὶ πόλις Τένεδος πρὸς τῇ Λυκίᾳ. Ἀπολλόδωρος δὲ Παμφυλίας αὐτήν φησιν. Λέβεδο ς , Κάπεδο ς , Ἄλγιδος πόλις Ἰταλίας, Νάγιδος πόλις μεταξὺ Κιλικίας καὶ Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ «μετὰ δὲ Νάγιδος πόλις, ἀπὸ τοῦ Νάγιδος κυβερνήτου καὶ νῆσος Ναγιδοῦσσα». κόρυδος, ὅπερ οἱ Ἀττικοὶ ὀξύνουσιν. Τὰ εἰς δος ὑπερδισύλλαβα ἔχοντα κατ' ἐπιπλοκὴν σύμφωνον κύρια ἢ προσηγορικὰ βαρύνεται, μόλυβδο ς , σμάραγδο ς , Κύαρδος βασιλεὺς Καρῶν, υἱὸς Βαργάσου. Λίχανδος πόλις Σικελίας. Φίλιστος Σικελικῶν τρίτῳ. Ληψίμανδος πολίχνιον Καρίας. Κύλλανδος πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Ἄσπενδος πόλις Παμφυλίας, Ἀσπένδου κτίσμα, ὡς Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. Βενέβενδος πόλις Καμπανίας. Ἴσινδος πόλις Ἰωνίας. λέγεται καὶ Ἴσινδα. Πύρινδος πόλις Καρίας. Ἄλινδο ς . Ἄρινδος ὄνομα ποταμοῦ, Βερέκινδο ς. τὸ δὲ ὀρυμαγδός καὶ Ἐορδός ὀξύνεται ὡς καὶ τὸ Ἀμαρδός ἔθνος Ὑρκανῶν ἐγγύς. Στράβων ια' (p. 507). Τὰ εἰς δος ὑπερδισύλλαβα φύσει μακρᾷ παραληγόμενα κύρια προπαροξύνεται, Ἄβυδος πόλις καθ' Ἑλλήσποντον καὶ ἄλλη κατ' Αἴγυπτον ἀπὸ Ἀβύδου τινὸς κληθεῖσα. Ἔνουδο ς . Ἴσσηδο ς . Ὄροιδος βασιλεύς, οὗ μέμνηται Θουκυδίδης (II, 80). τὸ ἀοιδός ἐπίθετον ὡς καὶ τὸ ὀπηδό ς. τὸ δὲ κίναιδος προπαροξύνεται τῷ λόγῳ τῆς συνθέσεως. Τὰ εἰς ζος πάντα βαρύνεται, ὄζο ς , ῥοῖζο ς , Γάζος πόλις Ἰνδική, Τόπαζος νῆσος Ἰνδικὴ καὶ λίθος ὁμώνυμος τῇ νήσῳ. Ἀλέξανδρος ὁ πολυίστωρ. διὰ τοῦ ξ δ' ἐγράφετο πρότερον. Λάζος Σκυθῶν ἔθνος, Ἄραζος πόλις πρὸς τῷ πόντῳ ἀπὸ Ἀράζου τοῦ ἡγησαμένου. Βύμαζος πόλις Παιόνων. Ἔφορος κζ'. Τρίζος ἔθνος πρὸς νότον τοῦ Ἴστρου.

3,1 144 Ἑκαταῖος Εὐρώπῃ. Τίριζος ἔθνος Παφλαγονίας. Κτησίας δὲ Τιριζιβανοὺς αὐτούς φησιν ἐν τῷ δευτέρῳ «ἐκ δὲ τῶν Ὀδρυσῶν εἰς Τιριζιβανοὺς οἰκοῦντας ἐν Παφλαγονίᾳ». Κρόβυζος ἔθνος πρὸς νότου ἀνέμου τοῦ Ἴστρου. Ἑκαταῖος Εὐρώπῃ. Λόκοζος πόλις Φρυγίας. Ξάνθος δὲ ὁ Λυδὸς διὰ τοῦ ξ γράφει. Κάττουζος ἔθνος Θρᾴκης. τὰ δὲ τριγενῆ καὶ τὰ ἀπὸ ἐπιρρημάτων ὀξύνεται, πεζό ς , χθιζό ς , πρωϊζό ς. σεσημείωται τὸ μαζός, ὅτι μονογενὲς ὂν ὀξύνεται. μήποτε οὖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναλογώτεροι οἱ Ἴωνες μαστὸν λέγοντες. Τὰ εἰς θος λήγοντα καθαρὰ μονογενῆ δισύλλαβα παραληγόμενα φύσει μακρᾷ βαρύνεσθαι θέλει, κῶθος, οὕτως ὁ κωβίος, μῦθο ς , Ζῆθο ς , Σῆθος ποταμὸς Σκυθίας ὡς Φιλοστέφανος, Ξοῦθος τὸ κύριον «Δῶρός τε Ξοῦθός τε» (Hesiod. fr. XXXII Goettl.). Βοῦθος Πύθια νικήσας. παροιμία Βοῦθος περιφοιτᾷ, Κρατῖνος Χείρωσι. τάττεται δὲ ἐπὶ τῶν εὐήθων καὶ παχυρίνων. Νοῦθος κύριον, καὶ ψόφος, ἣν οἶδεν Ἡσίοδος ἐν τρίτῳ νοῦθος δὲ ποδῶν ὑπόδουπος ὀρώρει· Λῆθος ὄνομα κύριον. σημειῶδες ἄρα τὸ στρουθός ὀξυνόμενον· Χαῖρις δέ φησιν Ἀττικοὺς βαρύνειν τὸ ὄνομα, ὡς καὶ Τρύφων μέμνηται ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἴσως μέντοι παρήλλαξε τῶν προκειμένων, ἐπεὶ καὶ ἀρσενικῶς λέγεται καλοὶ δέ ς’ ἆγον ὠκέες στρουθοί καὶ θηλυκῶς αὐτὰρ ἐπεὶ κατὰ τέκν’ ἔφαγε στρουθοῖο καὶ αὐτήν (Β 326). Τὰ εἰς θος δισύλλαβα μονογενῆ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν βαρύνεται. πτόρθο ς , γόνθος ὁ κόγχος, γρόνθος τὸ ἐπὶ τῆς αὐλήσεως, σμίνθος ὁ μῦς.

3,1 145 Πάρθος ἔθνος Σκυθικὸν οἱ καὶ Πάρθιοι καὶ Παρθυαῖοι. ἔστι δὲ καὶ Πάρθος πόλις Ἰλλυρική. Ἀπολλόδωρος ἐν χρονικῶν ..... Κύνθος ὄρος Δήλου, παρ’ Ἀντιμάχῳ ἐν πρώτῃ Θηβαΐδος. οὕτως δὲ ἐκαλεῖτο καὶ Δῆλος ἀπὸ Κύνθου τοῦ Ὠκεανοῦ. Ξάνθος ἔθνος Θρᾴκιον. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ «παρ’ ἣ Ξάνθος ἐξίησι ποταμός». ἐκλήθη δὲ ἀπὸ Ξάνθου Αἰγυπτίου ἢ Κρητὸς οἰκιστοῦ. ἔστι καὶ Ξάνθος πόλις ἐν Λέσβῳ. Σίνθος πόλις παρὰ τῷ Θερμαίῳ. Ἡρόδοτος ἑβδόμῃ (c. 123). Ὄρθος τὸ μονογενές. τὸ δὲ ξανθός καὶ τυτθός καὶ ὀρθός τριγενῆ. Τὰ εἰς θος διβράχεα παροξύνεται, εἰ μὴ τόπον δηλοῖεν, νόθο ς , πόθο ς , ψόθο ς , ῥόθος ὁ ψόφος, μόθο ς , Κόθος ὄνομα κύριον, λίθο ς , πίθος καὶ Πίθος δῆμος τῆς Κεκροπίδος φυλῆς ἀπὸ Πίθου τινὸς ἢ πίθων αὐτόθι γινομένων. ζύθος ὁ ἐκ κριθῆς οἶνος. γνύθος τὸ κοῖλον τῆς πέτρας καὶ ὁ βόθρος. τὸ μέντοι βυθός τοπικόν. Τὰ εἰς θος δισύλλαβα τριγενῆ παραληγόμενα φύσει μακρᾷ ἢ θέσει, μὴ προηγουμένου τοῦ ς , ὀξύνεται, ἀφθό ς , τυτθό ς , ξανθό ς , αἰθός ὁ διάπυρος. τὸ δὲ λοῖσθος ἔχει τὸ ς . σεσημείωται τὸ Πάρθος, πόλις Ἰλλυρίας, λέγεται καὶ ἀρσενικῶς, ὡς Πολύβιος, καὶ τὸ ὄνθο ς. Τὰ εἰς αθος μονογενῆ τρισύλλαβα ἀπὸ βραχείας ἀρχόμενα προπαροξύνεται, ἄμαθο ς , ψάμαθο ς , κύαθο ς , κάλαθο ς , λάπαθο ς , Σκίαθος νῆσος Εὐβοίας, Κράπαθος νῆσος πλησίον τῆς Κῶ. Ὅμηρος (Β 676) «Κράπαθόν τε Κάσον τε καὶ Κῶν», Μάραθος πόλις Ἀραδίας, ψίαθο ς. τὸ μέντοι ἀγαθός τριγενές. τὸ δὲ ὁρμαθός καὶ γυργαθός ὀξύνεται ἀπὸ μακρᾶς ἀρχόμενα. Τὰ εἰς θος ὑπὲρ δύο συλλαβὰς παραλήγοντα ι ἢ υ ἢ καὶ φύσει μακρᾷ προπαροξύνεται· εἰ δέ τι ὀξύνεται, ἐπιθετικόν ἐστιν.

3,1 146 Λάπιθος ἀφ’ οὗ Λαπίθης, λέκιθο ς , ἔριθο ς , Μίκυθο ς , ἄκυθος ἡ μὴ τίκτουσα, μαμμάκυθος ὁ μωρός, Αἴνηθος ὄρος. Αἰσχύλος. Λάπηθος πόλις Κύπρου. Ἀλέξανδρος Ἐφέσιος «Βήλου δ’ αὖ Κίτιόν τε καὶ ἱμερόεσσα Λάπηθος». Πεπάρηθος νῆσος τῶν Κυκλάδων ὁμώνυμον ἔχουσα πόλιν. Σεσάρηθος πόλις Ταυλαντίνων, ὥς φησιν Ἑκαταῖος. Κάνηθο ς , Ὄρηθο ς , Σέβηθος ὄνομα ποταμοῦ. ἐπίληθος «νηπενθές τ’ ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων» (Od. δ 221). Ναύαιθος ποταμὸς Ἰταλίας. Φάρβαιθος πόλις Αἰγύπτου. Κέλαιθος ἔθνος Θεσπρωτικόν. Ῥιανὸς δ′. λέγονται καὶ Κελαιθεῖς. Δάμαιθο ς , Κύναιθος εἷς τῶν Λυκάονος παίδων. Ὀλίγαιθο ς , Σίμαιθος ὄνομα ποταμοῦ. Ἀρίαιθο ς. τὸ δὲ βοηθός καὶ κακηθός ὁ κακιστός ὀξύνεται. Τὰ εἰς θος ὑπερδισύλλαβα ἔχοντα κατὰ τὴν παραλήγουσαν δύο σύμφωνα μὴ ὄντα ἐπιθετικὰ προπαροξύνονται, Ἐρύμανθος ὄρος καὶ ποταμός «ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον» (Od. ζ 103). Ἄκανθος πόλις Θρᾴκης ἀκάνθαις πεφραγμένη, ὅθεν κέκληται, ἢ ἀπό τινος Ἀκάνθου, ὡς Μνασέας. β′. ἔστι καὶ ἐν Αἰγύπτῳ Ἄκανθος. γ′. ἄλλη ἐν τῇ χερρονήσῳ περὶ τὴν Κνιδίαν. δ′. ἔστι καὶ ἡ Ἀθαμανίας. Φάλανθος ὄρος καὶ πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ (c. 35, 9) ἀπὸ Φαλάνθου. Πύρανθος πόλις μικρὰ ἢ κώμη Κρήτης περὶ Γόρτυνα. Ψίναφθος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰγύπτου πολίχνιον ὡς Ἀλέξανδρος ἐν Αἰγυπτιακῶν δευτέρῳ. Μέλανθο ς , Λαβύρινθο ς , Ὑάκυνθο ς , Λέβινθο ς , Προβάλινθος δῆμος Πανδιονίδος φυλῆς.

3,1 147 θηλυκῶς δὲ λέγεται. Σύρινθος πόλις Κρήτης, Πέρινθος πόλις Θρᾴκης ἀπὸ Περίνθου Ἐπιδαυρίου τοῦ μετὰ Ὀρέστου στρατευσαμένου. Κόρινθος καὶ ὁ κτίστης καὶ ἡ πόλις ἔσω τοῦ ἰσθμοῦ τῆς Πελοποννήσου. Ἑκαταῖος Εὐρώπῃ. Ἀκροκόρινθος ἀρσενικῶς. Ἀμάρυνθος νῆσος Εὐβοίας. ὄλυνθος τὸ μὴ πέπειρον καὶ Ὄλυνθος πόλις Θρᾴκης ἀπὸ Ὀλύνθου τοῦ Ἡρακλέους. Ἀράκυνθος ὄρος Βοιωτίας, ἀφ’ οὗ ἡ Ἀθηνᾶ Ἀρακυνθιὰς ὡς Ῥιανὸς ἐν τῇ Φήμῃ «κλῦθί μοι εὐχάων Ἀρακυνθιὰς εὐπατέρεια». Ἄψυνθος πόλις Θρᾴκης. ἔστι καὶ εἶδος φυτοῦ. διχῶς δ’ ἡ γραφὴ καὶ διὰ τοῦ υ καὶ διὰ τοῦ ι . Ζήρυνθος πόλις καὶ ἄντρον Ἑκάτης ἐν Θρᾴκῃ. Λυκόφρων (v. 77) «Ζήρυνθον ἄντρον τῆς κυνοσφαγοῦς θεᾶς». Ζάκυνθος ὁ Δαρδάνου καὶ ἀπ’ αὐτοῦ πόλις. ἀρσενικῶς Ὅμηρος καὶ θηλυκῶς «καὶ ὑλήεσσα Ζάκυνθος» (Od. ι 24) καὶ «ὑλήεντα Ζάκυνθον» (Od. α 246). δευτέρα Ἰβηρίας. τρίτη Λιβύης. Τρικόρυνθος δῆμος τῆς Αἰαντίδος φυλῆς. Διονύσιος ἀρσενικῶς, Εὐφορίων θηλυκῶς, Δίδυμος καὶ Διόδωρος οὐδετέρως. τὸ δὲ ὀλισθός ὁ ὀλισθηρός ὀξύνεται ἐπίθετον ὄν. Τὰ εἰς κος μονογενῆ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται φῶκος καὶ Φῶκος κύριον, σῶκος καὶ Σῶκος κύριον. Τυραννίων μὲν ἀξιοῖ ὀξύνειν τὸ «σῶκος ἐριούνιος Ἑρμῆς» (Υ 72), ἵνα ἀποφύγῃ τὸ κύριον βαρυνόμενον «ὦ Σῶχ’ Ἱππάσου υἱέ» (Il. Λ 450) ὥσπερ ἐπὶ τοῦ λευκός, γλαυκός. οὐκ ἔστι δὲ ὅμοιον τοῖς προκειμένοις κοινοῖς ἐπίθετον, ἀλλ’ ἴδιον τοῦ Ἑρμοῦ, ὥσπερ καὶ τοῦ Ἀπόλλωνος βαρυνόμενον τὸ Φοῖβος· διὸ βαρυτονητέον ὁμοίως καὶ αὐτῷ τῷ κυρίῳ. εἰσὶ δὲ οἳ ἀξιοῦσι καὶ καθότι σύνθετόν ἐστι βαρύνεσθαι αὐτό. ἐκ γὰρ τοῦ σάοικος γεγενῆσθαι τὴν κρᾶσιν. οὕτω δὲ δώσουσι καὶ προσκείμενον τῷ ω τὸ ι , τῆς παραδόσεως οὐχ οὕτως ἐχούσης. θῶκο ς . Ῥαῦκος πόλις ἐν μεσογείῳ τῆς Κρήτης. Δᾶκος ἔθνος, ὃ καὶ Δᾶος καλεῖται. οἶκο ς . Γλαῦκος, ἀφ’ οὗ Γλαύκου δῆμος ἐν Λυκίᾳ, ὡς Ἀλέξανδρός φησιν. Λεῦκος «ὁ δὲ Λεῦκον Ὀδυσσέος ἐσθλὸν ἑταῖρον» (Δ 491). τὸ δὲ σηκός ὀξύνεται. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται γλαυκό ς , λευκό ς , Γραικός ὁ Ἕλλην, τὸ δὲ Γραῖκος κύριον βαρύνεται. Τὰ εἰς κος δισύλλαβα κύρια, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, βαρύνεται, Μάκκο ς , Ὄγκος τὸ κύριον.

3,1 148 Λύγκος πόλις Ἠπείρου. Στράβων ἑβδόμῃ (p. 326). ἐκλήθη ἀπὸ Λυγκέως. Φόρκο ς . Σύλκοι πόλις ἐν Σαρδοῖ, Καρχηδονίων κτίσμα. λέγεται καὶ Σόλκοι, ὡς Ἀρτεμίδωρος ἐν ἐπιτομῇ «ἀπὸ δὲ Καράλεως ἐπὶ Σόλκους». Τὰ εἰς κος δισύλλαβα προσηγορικὰ μὴ παρασχηματιζόμενα εἰς θηλυκὸν γένος, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, πλὴν τοῦ λ , βαρύνεται, λάκκο ς , σάκκο ς , ἄρκο ς , κέρκο ς , ὅρκο ς. σεσημείωται τὸ θριγκό ς. τὸ δὲ χαλκός ἔχει τὸ λ . καὶ τὸ φολκός ἐστι τριγενὲς ἔχον καὶ τὸ λ . Τὰ εἰς κος δισύλλαβα μετ’ ἐπιπλοκῆς συμφώνου τοῦ ς ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, δίσκο ς , Φύσκος υἱὸς τοῦ Αἰτωλοῦ τοῦ Ἀμφικτύονος τοῦ Δευκαλίωνος. Ἑκαταῖος «ἐὼν δὲ πρεσβύτερος Λοκρὸς ἦν Φύσκου παῖς». «Φύσκος δὲ ἀφ’ οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί ....» καὶ τὸ ἔθνος ὁμοφώνως. Ῥιανὸς δὲ Φυσκέας αὐτοὺς καλεῖ. ἔστι καὶ ποταμὸς Φύσκος, καθά φησι Σοφαίνετος ἐν Κύρου ἀναβάσει. ἔστι καὶ Φύσκος πόλις Λοκρίδος καὶ ἑτέρα τῆς Καρίας. ἔστι δὲ λιμὴν Ῥόδου. ἔστι καὶ ἄλλη Μακεδονίας. μύσκο ς . Ζύσκος ποταμὸς Μακεδονίας, ὡς Ἀντιγενίδης φησί. Κέσκο ς. τὸ δὲ ἀσκός ἀπὸ φωνήεντος ἄρχεται. Τὰ εἰς κος διβράχεα μονογενῆ, εἴτε ἀρσενικὰ εἴτε θηλυκά, βαρύνεται, εἰ μὴ διαστολή τις σημαινομένου γένοιτο, οἷον λύκος καὶ Λύκος υἱὸς Πανδίονος, Πλάκος «ὑπὸ Πλάκῳ ὑληέσσῃ» (Ζ 396), πόκο ς , τόκο ς , Μύκος ἔθνος Περσίδος, περὶ οὗ Ἑκαταῖος ἐν Ἀσίᾳ «ἐκ Μύκων εἰς Ἀράξην ποταμόν». Ἴκος νῆσος τῶν Κυκλάδων προσεχὴς τῇ Εὐβοίᾳ, κρίκο ς. τὸ δοκός πρὸς ἀντιδιαστολὴν τοῦ δόκος τοῦ σημαίνοντος τὴν δόκησιν. καὶ παρὰ Ἀριστοφάνει ἐν Ταγηνισταῖς σημαίνει τὴν ἀγχόνην. σεσημείωται τὸ φακός ὀξύτονον. τὸ δὲ Φάκος κύριον ὄνομα ὄρους. Ἑκαταῖος «πρὸς μὲν νῶτον Πακτωλὸς καὶ Φάκος». Τὰ εἰς κος δισύλλαβα τριγενῆ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀξύνεται οἷον λευκό ς , γλαυκό ς , μικκός «τοῖς μικκοῖς μικκὰ δίδωσι θεός» πλὴν τῶν παραληγόντων τῷ ω .

3,1 149 Τὰ εἰς κος ὑπὲρ δύο συλλαβὰς α παραληγόμενα, οὗ προηγεῖται σύμφωνον ἢ σύμφωνα, κύρια ὄντα βαρύνεται, Λάβδακο ς , Πίνακο ς , Ἀσσάρακο ς , Ἴθακος ἥρως. τὸ ἐθνικὸν ὁμοφώνως τῷ οἰκιστῇ «Ἴθακος Ὀδυσσεύς». Φύλακο ς , Ὕλακο ς , Νώρακος πόλις Παννονίας. Γάζακος κώμη μεγάλη τῆς Μηδίας. Ἀρριανὸς ἐν Παρθικῶν τετάρτῃ «τῆς Γαζάκου» Θάψακος πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ. Θεόπομπος ἐν Φιλιππικῶν τρίτῳ. σεσημείωται τὸ Ἀστακός —πόλις Βιθυνίας ἀπὸ Ἀστακοῦ τοῦ Ποσειδῶνος καὶ νύμφης Ὀλβίας, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς ἱστορεῖ. ἔστι καὶ Ἀκαρνανίας πόλις—καὶ Ναννακός καὶ Θημακός δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς. * Τὰ εἰς ακος λήγοντα τρισύλλαβα, τὴν πρώτην συλλαβὴν εἰς ἀμετάβολον καταλήγουσαν ἔχοντα προπαροξύνεται, Λάμψακος πόλις κατὰ τὴν Προποντίδα ἀπὸ Λαμψάκης, ἐπιχωρίας τινὸς κόρης. Ῥύνδακος πόλις καὶ ποταμὸς μεταξὺ Φρυγίας καὶ Ἑλλησπόντου «Ῥύνδακον ἀμφὶ βαθύσχοινον». λέγεται καὶ Ῥύνδαξ. Ὕρτακος ἥρως καὶ πόλις Κρήτης. Σπάρτακος πόλις Θρᾴκης. Ἐρατοσθένης ἐν Γαλατικῶν δευτέρῳ. Φάρνακο ς , Ἄρτακος ἔθνος Θρᾴκιον. Ἄμβρακος πολίχνιον τῆς Ἠπείρου. * Τὰ δὲ εἰς ακος λήγοντα τὴν πρώτην συλλαβὴν εἰς ἄφωνον τὸ αὐτό, ἀφ' οὗ ἄρχεται ἡ δευτέρα, καταλήγουσαν ἔχοντα ὀξύνεται, Πιττακός καὶ τὰ ὅμοια. * Τὰ εἰς κος ὑπὲρ δύο συλλαβὰς α παραληγόμενα, οὗ προηγεῖται φωνῆεν, ὀξύνεται, Καλλιακό ς , Αἰακό ς , Πιακός πόλις Σικελίας. Τὰ εἰς κος ὑπερδισύλλαβα παραληγόμενα τῷ α προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται, λιθιακό ς , μαλθακό ς , ψιττακό ς , ἀστακό ς , ἀνακό ς , φυλακός ὁ φύλαξ, Φύλακος δὲ τὸ κύριον, φαρμακός ὁ ἐπὶ καθαρμῷ τῆς πόλεως τελευτῶν, φάρμακος δὲ ὁ γόης.

3,1 150 σεσημείωται τὸ θύλακο ς , ὕσσακο ς , αἴσακος προπαροξυνόμενα καὶ τὸ μαίμακος ἐπίθετον ἀπὸ γενικῆς. Τὰ διὰ τοῦ ακος κτητικὰ ὀξύνεται, Δηλιακό ς , Φρυγιακό ς , Ἰλιακό ς , Αἰνιακό ς , Ἀκτιακό ς , Ἀλαβανδιακός, ἐξ οὗ καὶ Ἀλαβανδιακὸς σολοικισμός, ὡς Φιλόξενος τὴν Ὀδύσσειαν ἐξηγούμενος, ὅταν ἡ μή ἀπαγόρευσις ἀντὶ τῆς οὐ κεῖται, ὡς τὸ «μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων» (Il. Ο 41). Βαργυλιακό ς , Βυζαντιακό ς , Διακό ς , Ἐλευσινιακό ς , Θεσπρωτιακό ς , Θουριακό ς , Κυνοσουριακό ς , Ἰκιακό ς , Κοσσυριακό ς , Κυπριακό ς , Μαλιακό ς , Μαραθωνιακό ς , Μερουσιακό ς , Μηλιακό ς , Νισυριακό ς , Ὀλβιακό ς , Παλληνιακό ς , Παμφυλιακό ς , Βοιωτιακό ς , Παρνασσιακό ς , Πελασγιακό ς , Πελοποννησιακός, Πελοποννησιακὸν δὲ πόλεμον φυλάττονται λέγειν. Πηλουσιακό ς , Ποτνιακό ς , Ῥοδιακό ς , Σαμιακό ς , Στειριακό ς , Σιγειακό ς , Χιακό ς. Τὰ εἰς εκος ἕν ἐστιν, Ἀλώπεκος ἀπὸ γενικῆς. Τὰ εἰς οκος ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται σπάνια ὄντα Καππάδοκος ὁ κτίστης, ὡς Ἀλέξανδρος, καὶ τὸ ἔθνος. λέγεται γὰρ τὸ ὄνομα τριχῶς, ὁ Καππάδοκος, ὁ Καππάδοξ, ὁ Καππαδόκης. Σπόρδοκος Θρᾴκιον ὄνομα. Ἀμάδοκος Σκυθικὸν ἔθνος. Ἑλλάνικος ἐν Σκυθικοῖς. Δόλογκος ἔθνος Θρᾴκης ἀπὸ Δολόγκου τοῦ ἀδελφοῦ Βιθυνοῦ. Δημόδοκος ὄνομα κύριον. Λαόδοκο ς. τὸ δὲ ξενοδόκος καὶ ἰοδόκος βαρύνεται· καὶ τὸ αἰγοβοσκός ὀξύνεται. Τὰ εἰς κος ὑπὲρ δύο συλλαβὰς μακρᾷ παραλήγοντα σπάνια ὄντα βαρύνεται, Ἄτρηκος πόλις Κρητική, μάληκος ὄνομα· ὀρνέου, μαληκός δὲ ἀπὸ τοῦ μαλακός τροπῇ τοῦ α εἰς η ὀξύνεται, πίθηκο ς .

3,1 151 Πήληκος πόλις ἐν Λιβύῃ, Ζάληκος ὄνομα ποταμοῦ, Ἀμάληκος, ἀφ' οὗ Ἀμαληκῖτις ἐκλήθη. Κόθωκος ὄνομα ἥρωος. τὸ δὲ Ἰωλκός πόλις Θεσσαλίας «Βοίβην καὶ Γλαφυρὰς καὶ ἐϋκτιμένην Ἰαωλκόν» (Il. Β 712) ἀπὸ Ἰωλκοῦ τοῦ Ἀμύρου, καὶ Ἀρδησκός ὀξύνεται. Τὰ εἰς κος παραληγόμενα αι ἢ οι μὴ ἐπιθετικὰ προπαροξύνεται, Πάταικο ς , Φάλαικο ς , Μίθαικο ς , σόλοικο ς , μόνοικος τὸ κατὰ συναλοιφήν. ἔστι καὶ πόλις Λιγυστική. Ἑκαταῖος Εὐρώπῃ. Μοσσύνοικος ἔθνος καλούμενον παρὰ τὰς οἰκήσεις, περὶ οὗ Εὔδοξος ἐν πρώτῳ γῆς περιόδου. τὸ δὲ Εὐβοικός ὀξύνεται ἐπιθετικὸν ὄν. τὸ δὲ ἄγροικος σύνθετον καὶ προπαροξύνεται καὶ προπερισπᾶται. Τὰ εἰς κος ὑπερδισύλλαβα εἰ παραλήγοιτο ι μακρῷ βαρύνεται, Εὔνικος κύριον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κάϊκος ποταμός, ὅθεν ἄνεμος Καικίας ὡς ἐκεῖθεν πνέων, Γρήνικος ποταμός. Φιλόνικο ς , Ἑλλάνικο ς , Ἀριστόνικο ς. εἰ δὲ τῇ ει διφθόγγῳ, ὀξύνεται, δαρεικό ς , βοεικός «βοεικὰ ζεύγη» ι ἡ παράδοσις, ἀλλὰ διὰ διφθόγγου δεῖ γράφεσθαι, ἀπὸ γὰρ τοῦ βοειακός κατὰ συγκοπὴν ὡς καὶ Δεκελεικός ἀπὸ τοῦ Δεκελειακός. Κεραμεικό ς. σεσημείωται τὸ Καμικός καὶ ὁ κτίστης καὶ ἡ πόλις Σικελίας ὀξύτονον καὶ ἔχον τὸ ι μακρὸν ὡς τὸ Παλικό ς. εἰσὶ δὲ Παλικοί δαίμονές τινες οὓς Αἰσχύλος ἐν Αἴτναις γενεαλογεῖ Διὸς καὶ Θαλείας τῆς Ἡφαίστου, κληθῆναι δὲ τοὺς Παλικοὺς διὰ τὸ ἀποθανόντας πάλιν εἰς ἀνθρώπους ἱκέσθαι. * Τὰ εἰς κος λήγοντα καθαρὰ ὑπὲρ δύο συλλαβάς, προσηγορικὰ ἢ κύρια, ὁπότε τῷ ι παραλήγει συνεσταλμένῳ προπαροξύνεται, ἀνθέρικο ς , Κύζικος πόλις τῆς Προποντίδος, Ὤρικος πόλις ἐν τῷ Ἰονίῳ κόλπῳ.

3,1 152 Ἑκαταῖος λιμένα καλεῖ Ἠπείρου τὸν Ὤρικον ἐν τῇ Εὐρώπῃ «μετὰ δὲ Βουθρωτὸς πόλις, μετὰ δὲ Ὤρικος λιμήν». Ἀπολλόδωρος δὲ πόλιν αὐτὴν οἶδε. λέγεται ἀρσενικῶς, ὡς Πολύβιος ἑβδόμῳ «οἱ δὲ τὸν Ὤρικον κατοικοῦντες, οἳ καὶ πρῶτοι κεῖνται περὶ τὴν εἰσβολὴν πρὸς τὸν Ἀδρίαν ἐκ δεξιῶν εἰσπλέοντι». Ἀσφόδικο ς , Ὅρικος κύριον, Σίνδικος πόλις προσεχὴς τῇ Σκυθίᾳ, Νήρικος πόλις Ἀκαρνανίας, ἣν Ὅμηρος (Od. ω 377) ἀκτήν φησι ἠπείροιο. Ὄμβρικος ἔθνος Ἰταλικόν. τὸ δὲ Θορικός οἱ πλείους ὀξύνουσιν. ἔστι δὲ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. Ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν. Τὰ εἰς ικος κτητικὰ ἐπιθετικὰ καὶ θηλυκὸν ἔχοντα ὀξύνεται, Γαλατικό ς , Ἰταλικό ς , Πυθαγορικό ς , Ὁμηρικό ς , δουλικό ς , βασιλικό ς , δεσποτικό ς , κλωπικό ς , Τρωϊκό ς . Ἀττικός κατὰ τροπὴν διὰ τὴν εὐφωνίαν. Ταυρικό ς , βαρβαρικό ς , Γαδειρικός Εὔπολις ἐν Μαρικᾷ «πότερον ἦν τὸ τάριχος Φρύγιον ἢ Γαδειρικόν». Ἑλληνικό ς , Ἑλλαδικό ς . Καρικό ς. Ἡρόδοτος ἐν πρώτῃ (c. 171) «τὸ Καρικὸν ἔθνος δοκιμώτατον». Λιβυστικός «Λιβυστικὰς πλάκας» Λυκόφρων (v. 648), ὅ τινες διὰ τοῦ γ γράφουσι κακῶς. Μηδικός «ὁ Μηδικὸς ὀπός». Στράβων (11 p. 525) «φέρει δὲ σίλφιον ἡ χώρα, ἀφ' ἧς ὁ Μηδικὸς καλούμενος ὀπός, οὐ πολὺ λειπόμενος τοῦ Κυρηναϊκοῦ». Πελασγικός «Πελασγικὸν Ἄργος ἔναιον» (Β 681). ἔστι δὲ καὶ ἐν Ἀθήναις τεῖχος «Πελαργικόν» ἤτοι Πελασγικόν ὡς ὁ κωμικὸς δηλοῖ ἐν τοῖς Ὄρνισιν (v. 832). « Ῥωσικὸς σκόπελος». Χαλυβδικός μετὰ τοῦ δ . Λυκόφρων «Χαλυβδικῷ κνώδοντι» (1109) καὶ ἡ χώρα Χαλυβική. Σινδικό ς . Ταναγρικό ς. Ἡρόδοτος πέμπτῃ (c. 57) «Ταναγρικὴ μοῖρα» καὶ Μένανδρος «Ταναγρικὴ γυνή». Χαιρωνικό ς. Ἀπολλόδωρος ἐν χρονικῶν δευτέρῳ «κατὰ δὲ μάχην, ὥς φασι, τὴν Χαιρωνικήν». Χαονιτικό ς. Λυκόφρων «φθογγὴν ἐδώλων Χαονιτικῶν ἄπο» (v. 1320). καὶ Χαονικό ς. Ἑκαταῖος Εὐρώπῃ «ὁ δὲ κόλπος Κιρραῖος καὶ τὸ πεδίον ἐν τῇ Χαονικῇ». Ψυλλικό ς. Ἑκαταῖος περιηγήσει Λιβύης «ὁ Ψυλλικὸς κόλπος μέγας καὶ βαθύς, τριῶν ἡμερέων πλόος».

3,1 153 Ἀγριανικός, ὡς Χάραξ ἐν δευτέρῳ χρονικῶν. Ληναϊκό ς , Σμυρναϊκό ς , Πειραϊκός συστολῇ τοῦ α . Ἀκαδημαϊκό ς , Γαλαδραϊκό ς. Πολύβιος δὲ ἐν τῷ ιγ' Γαλαδρικόν φησι. τὸ δὲ ἄδικος οὐ κτητικόν. τὸ δὲ ἡλίκος καὶ πηλίκος καὶ τηλίκος παρὰ ποιηταῖς καὶ ὁπηλίκος παροξύνονται· οὐ γὰρ κτητικά. Τὰ εἰς υκος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ μὴ ἔχοντα κατ' ἰδίαν θηλυκὰ κτητικῆς ἐννοίας ἐχόμενα βαρύνεται, Ἴβυκο ς , Ἄμυκο ς , Κώρυκος πόλις Κιλικίας. Παρθένιος προπεμπτικῷ. ἔνιοι δὲ τὴν πόλιν Κωρύκειαν φασίν. ἔστι καὶ Κώρυκος ὄρος ἀρσενικῶς λεγόμενον πλησίον Τέω τῆς Ἰωνίας καὶ Ἐρυθρῶν, ὡς Ἑκαταῖος Εὐρώπῃ. καὶ λιμὴν ὁμώνυμος καὶ νησίον ὁμώνυμον. Ἴνυκος πόλις Σικελίας. Ἄλυκος πόλις Πελοποννήσου «εἰς Ἀσίνην Ἄλυκόν τε καὶ ἂμ πόλιν Ἑρμιονήων». Καλλίμαχος. Ἐλίσυκος ἔθνος Λιγύων. Ἑκαταῖος Εὐρώπῃ. Πάτυκος πόλις Οἰνωτρῶν ἐν μεσογείᾳ. Ἁρπάλυκος ὄνομα κύριον, Εὔτυκο ς . Κήρυκος ὄνομα κύριον. Σίμυκο ς , Σίτυκο ς. τὸ δὲ Λιβυκός καὶ θηλυκός καὶ ἁλυκός ὀξύνεται θηλυκὰ ἔχοντα. Τὰ εἰς σκος ι ἢ υ παραληγόμενα παροξύνεται, σατυρίσκο ς , νεανίσκο ς , παιδίσκο ς , ἀστερίσκο ς , ὀβελίσκο ς , πανίσκο ς , Κωραλίσκο ς , οὐρανίσκο ς , Βορμίσκος πόλις Μακεδονίας. Δορίσκος πόλις Θρᾴκης καὶ πεδίον. Φαλίσκος πόλις Ἰταλίας καὶ ὁ οἰκήτωρ ὁμοφώνως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἱππουρίσκος νῆσος Καρίας. Σκορδίσκος ἔθνος Παιονίας ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε′. Τριποδίσκος καὶ Τριποδίσκοι κώμη τῆς Μεγαρίδος. λέγεται καὶ Τριποδίσκη. Ἐλευθερίσκος πόλις Μακεδονίας. Ταυρίσκος ἔθνος περὶ τὰ Ἄλπεια ὄρη. λέγονται καὶ Ταυρῖνοι, ὡς Πολύβιος τρίτῳ (c. 60, 8). Ἐρατοσθένης Τερίσκους αὐτούς φησι διὰ τοῦ ε , οἳ καὶ Ταῦροι λέγονται. τὸ μέντοι Δαμασκός —ἔστι δὲ πόλις Συρίας—καὶ Ἀρδησκός καὶ Δραβησκός Θρᾴκης χωρίον, Θουκυδίδης α′ (c. 100), ὀξύνεται ι οὐκ ἔχοντα. Τὰ εἰς λος διβράχεα βαρύνεται· εἰ δέ τι ὀξύνεται, διαστολὴν πέπονθεν ἢ ἕνεκα τριγενείας, Ἄλος πόλις Ἀχαΐας καὶ Φθιώτιδος ὑπὸ τῷ πέρατι τῆς Ὄθρυος. ὁ ποιητὴς «οἵ τ' Ἄλον οἵ τ' Ἀλόπην» (B 682). εἴρηται δ' ἀπὸ τῆς Ἀθάμαντος ἄλης περὶ τοὺς τόπους ἐκείνους γενομένης καὶ ὑπ' αὐτοῦ κτισθεῖσα.

3,1 154 Θέων δέ φησιν ὅτι Ἄλος θεράπαινα ἦν Ἀθάμαντος ἡ μηνύσασα τὴν Ἰνὼ φρύγειν τὰ σπέρματα, ἧς εἰς τιμὴν τὴν πόλιν ὠνόμασεν. δύο δὲ Παρμενίσκος ἱστορεῖ, τὸν μὲν Μαλιακὸν ὑπὸ Ἀχιλλεῖ, τὸν δὲ ὑπὸ Πρωτεσιλάῳ. Ἀπολλόδωρος δὲ ἀρσενικῶς λέγεσθαι τὴν πόλιν φησίν. πάλο ς , σάλο ς , λάλο ς , φάλο ς , μύλο ς , τύλο ς , Πύλος πόλις ἐν Μεσσήνῃ. Ξύλος πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. φίλο ς , κτίλος, ὃ κατ' ἀφαίρεσιν ἐκ τοῦ ἰκτίλος γέγονεν. πόλο ς , στόλο ς , ψόλο ς , ὅλο ς , Φόλος ὁ Κένταυρος, χόλο ς , δόλο ς , κόλο ς , βόλο ς , μόλος καὶ Μόλος «Μηριόνη Μόλου υἱέ» (N 249) σόλος καὶ Σόλοι Κιλικίας πόλις. Ἑκαταῖος Εὐρώπῃ. κέκληται δὲ ἀπὸ Σόλωνος ὡς Εὐφορίων. θόλο ς. «μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς» (Od. χ 442). τὸ μέντοι θολός τὸ μέλαν τῆς σηπίας ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστι. τὸ δὲ αὐτὸ λέγεται ὀλό ς. καὶ τὸ ὀλός δὲ ὁ ὀλέθριος ὀξύνεται. τὸ γὰρ Ἀλκμανικὸν «ἔχει μ' ἄχος ὦ ὀλὲ δαῖμον» ἐὰν μὲν ὀλός ἡ εὐθεῖα, οὐκ ἔστι συγκοπή. ἐὰν δὲ ἐκ τοῦ ὀλοός ἡ κλητικὴ ὀλοέ, συγκοπή ἐστιν. Τὰ εἰς λος μονογενῆ δισύλλαβα μὴ ἀπὸ τοῦ χ ἀρχόμενα ἔχοντα δίχρονον ἐκτεταμένον, εἰ μή τις εἴη διαστολή, βαρύνεται, Μᾶλος Ἀμφικτύονος υἱὸς ἢ Ἀμύρου τοῦ Βοιωτοῦ, κᾶλος «ἐν δ' ὑπέρας τε κάλους τε» (Od. ε 260). Ἶλος τὸ κύριον, ἰλός δὲ ὁ διεστραμμένος, πῖλο ς , μῖλο ς , σπῖλο ς , Βρῖλος ὄνομα κύριον, τῖλος τὸ φορτικόν, στῦλο ς , γρῦλο ς , θρῦλο ς. τὸ δὲ χυλός καὶ χιλός ἡ τροφὴ ὀξύνεται ἀπὸ τοῦ χ ἀρχόμενα. τὸ δὲ ψιλός τριγενὲς ὡς καὶ τὸ καλός παρὰ τῷ ποιητῇ ὑγιῶς ἐκτεταμένον. τὸ δὲ βαλός, οὕτως ὁ βαθμός καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ κωμῳδίᾳ, Δωρικῶς τέτραπται. καὶ τὸ δαλός δὲ κατὰ πάθος.

3,1 155 καὶ τὸ Νεῖλος βαρύνεται. ἔστι δὲ ποταμὸς Αἰγύπτου. Ἑκαταῖος περιηγήσει αὐτῆς «καὶ ἱρὸν Νείλου τοῦ ποταμοῦ». λέγεται δὲ κατὰ διάλεκτον Νῆλος. καὶ τὸ δειλός ὀξύνεται. Τὰ εἰς λος δισύλλαβα κύρια τῷ η παραληγόμενα περισπᾶται, οἷον Μῆλος Μαντοῦς υἱός, ἀφ' οὗ Μαλόεις τόπος ἐν Λέσβῳ, ὡς Ἑλλάνικος ἐν Λεσβιακῶν πρώτῳ καὶ Μῆλος μία τῶν Κυκλάδων ὁμώνυμον ἔχουσα πόλιν. ἔστι καὶ κώμη τῆς Ἀκαρνανίας. Βῆλος ὁ Ζεύς καὶ Βῆλος ἡ καὶ Μῆλος πρὸς ταῖς Ἡρακλέους στήλαις ἀμφοτέρων ἐτύμως λεγομένων τῷ τοὺς ἀρχαιοὺς βηλὸν λέγειν τὸν οὐδὸν τῆς θύρας καὶ ταύτην κεῖσθαι παρὰ τὸν οὐδὸν τοῦ Ὠκεανοῦ. Μῆλος δὲ καὶ Μηλαρία δύο πόλεις ἐπὶ τοῖς πέρασι, τὴν αὐτὴν ἔμφασιν ἔχουσιν ἀπὸ τῆς κλήσεως τῶν μήλων, ἃ χρύσεα λέγεται Ἡρακλῆς ἐκ τῆς Λιβύης ἀγηοχέναι. Δῆλος μία τῶν Κυκλάδων. ἢ παρὰ τὰς γονάς· ἱερὸν γὰρ Δῆλος τοῦ Ἀπόλλωνος τοῦ θεοῦ πρῶτον ἐν αὐτῇ γενομένου. ἢ διὰ τὰς μαντείας· δηλοῦσα γὰρ τὰ δυσεύρετα. Σφῆλος ὄνομα κύριον. Τῆλος νῆσος τῶν Κυκλάδων ὁμοφώνως τῷ οἰκιστῇ. Ζῆλος πόλις τῶν ἑσπερίων Αἰθιόπων. Ἧλος κύριον. Ἔτι τὰ εἰς λος δισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ τῷ η παραληγόμενα, εἰ ἔχοι ἄφωνον πρὸ τοῦ η , ὀξύνεται, πηλό ς , βηλός ὁ οὐδός, χηλό ς , φηλό ς. τὸ μέντοι ἧλος καὶ ζῆλος βαρύνεται, οὐδὲ γὰρ ἄφωνον ἔχει. τὸ δὲ δῆλος ἐπιθετικὸν ἀπὸ δέελος κατὰ συναίρεσιν τῶν δύο εε εἰς η γέγονεν. * Τὰ εἰς λος δισύλλαβα εἴτε κύρια εἴτε προσηγορικὰ τῷ ω παραληγόμενα περισπᾶται, Κῶλος ἔθνος πρὸς τῷ Καυκάσῳ.

3,1 156 Ἑκαταῖος Ἀσίᾳ. Σκῶλος πόλις Βοιωτίας. Στῶλος πόλις ἐν Θρᾴκῃ. Τμῶλος, ὃς κατὰ ποιητικὸν μετασχηματισμὸν Τύμωλος. Πῶλος τὸ κύριον καὶ τὸ προσηγορικόν, μῶλο ς , βῶλο ς , κῶλο ς .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χῶλος τὸ κύριον. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, χωλό ς , ψωλό ς. Τὰ εἰς αυλος δισύλλαβα μονογενῆ μὴ κύρια ὀξύνεται, αὐλό ς , δαυλό ς , καυλό ς , γαυλός ἐπὶ τοῦ ἀγγείου. «γαυλοί τε σκαφίδες» (Od. ι 223), ἐπὶ δὲ τοῦ πλοίου βαρυτόνως. Καλλίμαχος (fr. 217) «Κυπρόθε Σιδόνιός με κατήγαγεν ἐνθάδε γαῦλο ς». τὸ δὲ Βαῦλο ς , Παῦλο ς , Γαῦλος νῆσος πρὸς τῇ Καρχηδόνι. Ἑκαταῖος περιηγήσει—κύρια περισπᾶται καὶ τὸ ναῦλος μὴ ὂν κύριον. τὸ δὲ φαῦλος ἐπίθετον. Τὰ εἰς λος ἐπιθετικὰ ἔχοντα πρὸ τοῦ λος δίφθογγον τὴν διὰ τοῦ υ βαρύνεται οἷον φαῦλο ς , δοῦλο ς , οὖλο ς. τὸ δὲ τραυλός ὀξύνεται καὶ τὸ δαυλό ς. * Τὸ κοῖλος μόνον εἰς λος λῆγον δισύλλαβον τῇ οι διφθόγγῳ παραληγόμενον βαρύνεται. λέγεται δὲ καὶ κόϊλος. Τὰ εἰς δύο λλ κύρια ἀρσενικὰ βαρύνονται, Ὕλλος υἱὸς Ἡρακλέους, ἀφ' οὗ Ὑλλεῖς ἔθνος Ἰλλυρικόν, οὓς Ἀπολλόδωρος Ὕλλους γράφει ἐν τῷ περὶ γῆς δευτέρῳ «ὑπὲρ δὲ Ὕλλους Λιβυρνοὶ καί τινες Ἴστροι λεγόμενοι Θρᾶκες». Τέλλος ὁ Ἀθηναῖος Ἡρόδοτος α' (c. 30), Μύλλος ποιητὴς κωμικός, Γάλλος ὁ ποταμὸς Φρυγίας· —λέγει δὲ ὁ Πολυίστωρ ἐν τῷ περὶ Φρυγίας τρίτῳ, τὸν Γάλλον καὶ τὸν Ἄττιν ἀποκόψαι τὰ αἰδοῖα καὶ τὸν μὲν Γάλλον ἐλθεῖν ἐπὶ τὸν Τηρίαν ποταμὸν καὶ οἰκῆσαι καὶ ποταμὸν Γάλλον καλέσαι.

3,1 157 ἀπ' ἐκείνου γὰρ τοὺς τεμνομένους τὰ αἰδοῖα γάλλους καλοῦσιν—καὶ ἔθνος. Ψύλλος τὸ κύριον. Ἀγροίτας α' Λιβυκῶν· «ἀνδρωθέντα δὲ τὸν Ἀμφίθεμιν πλησιάσαι ταῖς νύμφαις καὶ γεννῆσαι παῖδας Ἀδυρμαχίδαν, Ἀραραύκηλα, Ἀσβύταν, Βάκαλα, Μάκαν, Ψύλλον». ἀφ' οὗ Ψύλλοι τὸ ἔθνος, περὶ οὗ Ἡρόδοτος τετάρτῃ (c. 173) «Νασαμῶσι προσόμουροί εἰσι Ψύλλοι». Σκύλλος ὁ κολυμβητής, Φέλλος τὸ κύριον, Ἡσίοδος «Φέλλον ἐϋμμελίην τηλεκλειτὴ Μελίβοια», Γρύλλος καθάρας τοὺς Διοσκούρους ὡς Φιλοστέφανος, Κόλλο ς· Δημόγνητος ἐν τῷ περὶ Κνίδου· «καὶ Κόκκυγα τὸν Τελέστορος καὶ Κόλλον τὸν Σκίρου καὶ Λώγασον τὸν Αὐτονόμου καὶ Κτῆσιν τὸν Μνησιθέου». Γίλλο ς. Ἡρόδοτος γ' (c. 138). Φύλλος πόλις ἐν Θετταλίᾳ. Στράβων θ' (p. 435) ἀρσενικῶς. Ῥιανὸς δὲ Φύλλον θηλυκῶς ἐν θ' Θεσσαλικῶν «οἱ δ' ἄφαρ ὁπλισθέντες ἴσαν κραναὴν ποτὶ Φύλλον». Τράλλος ἔθνος Ἰλλυρίας, οἳ καὶ Τράλλεις παρὰ Θεοπόμπῳ. Μάλλος ὁ κτίστης πόλεως Μαλλοῦ. Κύλλος τὸ κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς. τὸ δὲ κολλός ὀξύνεται ὡς ἐπιθετικόν. καὶ τὸ Μαλλός θηλυκὸν ὄνομα πόλεως Κιλικίας. Καλλίμαχος Αἰτίων πρώτῳ. καὶ τὸ Φελλός πόλις Παμφυλίας. Ἀλέξανδρος ὁ Πολυίστωρ ἐν τῷ περὶ Λυκίας Φελλὸν καὶ Ἀντίφελλον Λυκίας εἶναί φησι. σεσημείωται τὸ Ἑλλός ἢ Σελλός «ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίους' ὑποφῆται» (Il. Π 234). Τὰ εἰς δύο λλ προσηγορικά, εἰ μὴ παραλήγοιεν ι , καὶ πάντα τὰ τριγενῆ ὀξύνεται, μαλλό ς , φαλλό ς , θαλλό ς , φελλό ς , σκελλό ς , πολλό ς , μυλλό ς , ἰλλός «ἰλλοί τε πόδες».

3,1 158 τὸ ἴλλο ς , σίλλος καὶ βίλλος τὸ ἀνδρεῖον αἰδοῖον τὸ κοινῶς βιλλίν παρ' Ἐφεσίοις βαρύνεται. τὸ δὲ κιλλός εἶδος χρώματος ἐν Στεφανοπώλισιν Εὐβούλου «εὔχρων τε κιλλὸν μανθάνεις θερίστριον» ὀξύνεται. σεσημείωται τὸ ψύλλος, τὸ δὲ Ψύλλος τὸ ἐπ' ἔθνους κύριον. τὸ δὲ ἄλλος ὡς ἐπιμεριζόμενον βαρύνεται. Τὰ εἰς λος μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται· εἰ δέ τι εἴη ὀξύτονον, ἐπιθετικὸν ὑπάρχει, ὅτλο ς , βύβλος καὶ Βύβλος πόλις Φοινίκης. ἔστι καὶ Βύβλος ἐν τῷ Νείλῳ πόλις. βίβλος καὶ Βίβλος ποταμὸς Νάξου· ὄχλο ς , κόχλο ς , κύκλο ς , Ἄσκλος πόλις Ἰταλίας. Διονύσιος ἐν κ' Ῥωμαϊκῆς ἀρχαιολογίας. ἔστι καὶ οὐδέτερον. Τύσκλος πόλις Ἰταλίας. λέγεται καὶ Τυσκλανόν. Ὕβλος βασιλεύς, ἀφ' οὗ Ὕβλα πόλις Σικελίας. Ζάγκλος ὁ γηγενής, ἀφ' οὗ τινες Ζάγκλην πόλιν Σικελίας. τὸ δὲ τυφλός ὀξύνεται, ἐπιθετικὸν ὄν, ὥσπερ καὶ τὸ στρεβλός καὶ ἐσθλός καὶ σιφλός ὁ κεκακωμένος, σίφλος δὲ ὁ μῶμος. σεσημείωται τὸ μοχλός ὀξυνόμενον. Τὰ εἰς αλλος τρισύλλαβα μὴ ἐθνικὰ προπαροξύνεται, κρύσταλλο ς , Δίαλλο ς , ὄκταλλος ὁ ὀφθαλμὸς παρὰ Βοιωτοῖς. τὸ δὲ Τριβαλλός ἐθνικόν. Ἀριστοφάνης Ὄρνισιν (1528) «ὄνομα δὲ τούτοις τῶν θεῶν τῶν βαρβάρων τί ἔστι; μανθάνω. Τριβαλλοί». καὶ τὸ προβαλλός ἡ ἀσπίς ὀξυνόμενον. Τὰ ὑπὲρ τρεῖς συλλαβὰς ἐκφερόμενα παραληγόμενα τῷ α βαρύνεται, εἰ μὴ ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ κ ἄρχοιτο, ἀρύβαλλος τὸ μαρσύπιον, περίαλλος τὸ ἰσχίον, αἰγίθαλλο ς . κραπαταλλός δὲ εἶδος νομίσματος καὶ κορυδαλλός προσηγορικὸν καὶ ὄνομα δήμου Ἀττικοῦ ὀξύνεται. Τὰ εἰς λλος πολυσύλλαβα, ὁποίῳ φωνήεντι παραλήγει πλὴν τοῦ α , προπαροξύνεται, Μύσκελλος ὁ Κρότωνος οἰκιστής, Μάρκελλο ς , Ἀντίφελλος χωρίον Λυκίας, Κύριλλο ς , Σόφιλλο ς , δόριλλο ς , Μέγιλλο ς , Τήριλλο ς , Πέριλλο ς , Ἄϊλλο ς , Ἔπιλλο ς , ἀνάσιλλο ς , Γράστιλλος ἀρσενικῶς πόλις Μακεδονίας, ὃ καὶ διὰ τοῦ π γράφεται κατὰ τὴν πρώτην συλλαβὴν Πράστιλλος ὡς Εὔπολις.

3,1 159 Ῥήγιλλος Σαβίνων πόλις. Ἀρίστυλλο ς , Ἥρυλλο ς , Θράσυλλο ς , Βάθυλλος ὑποκοριστικά, Μελάμφυλλος οὕτως ἐκλήθη πρότερον ἡ Σάμος. Ἄβυλλος ἔθνος πρὸς τῇ Τρωγλοδυτικῇ ἔγγιστα τῷ Νείλῳ, ὡς Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. τὸ δὲ ὀπτίλλος παροξύνεται. καὶ τὸ νεογιλλός ἔχει θηλυκόν. Τὰ εἰς αλος , εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλους μακράν, προπαροξύνεται, Κώδαλο ς , Τάνταλος, ἀφ’ οὗ καὶ Τάνταλος ὄρος Λέσβου, Ἅρπαλο ς , ἴξαλο ς , δαίδαλος καὶ Δαίδαλο ς , ἤκαλο ς , πάσσαλο ς . Μαίναλος ὁ Λυκάονος καὶ πόλις Ἀρκαδίας. Μάνταλος πόλις Φρυγίας, ὡς ὁ πολυίστωρ Ἀλέξανδρος, ὁμοφώνως τῷ κτίστῃ. Κώκαλο ς , Ἄσκαλος, ἐξ οὗ Ἀσκάλης ὡς δάμαλος «δαμάλης ἔρως» (Anacr. fr. 2). Ἄραξος Ἀράξης, Χάραξος Χαράξης, Λάπιθος Λαπίθης. Ψύτταλος, ἀφ’ οὗ Ψυττάλεια νῆσος. σεσημείωται τὸ ὀμφαλός καὶ τὸ Θεσσαλός τὸ ἐθνικὸν ὁμοφώνως τῷ οἰκιστῇ. Τὰ εἰς αλος ἔχοντα τὴν τρίτην συνεσταλμένην θηλυκῶν ἐστερημένα, εἰ μὴ περιεκτικῇ σημασίᾳ ἐκφέρηται, προπαροξύνεται, Κέφαλος πατὴρ Πρόνου, Σάμου, Πηλέως, Κρανίου, ἀφ’ ὧν τετράπολις ἡ νῆσος Κεφαλληνία, Μακροκέφαλος ἔθνος πρὸς τοῖς Κόλχοις. ἐγκέφαλο ς , σίαλο ς . Φίαλος, ἀφ’ οὗ Φιάλεια, δάμαλο ς , Ῥόπαλο ς . Πάραλος ἐν Θεσσαλίᾳ πόλις τῶν Μηλιέων· Πάραλος δὲ καὶ ὁ οἰκήτωρ Παραλίας τῆς Ἀττικῆς. Πάταλος νῆσος παρακειμένη τῇ Καρίᾳ, Κύαλος πόλις Λυδίας κτισθεῖσα ὑπὸ Κυάλου τοῦ Διός. Κρωβίαλος πολίχνιον πρὸς τῇ Ποντικῇ. Ἀπολλώνιος δευτέρῳ (v. 942) «Κρωβίαλον Κρῶμνάν τε καὶ ὑλήεντα Κύτωρον». Ἀμφίαλο ς , Εὐρύαλο ς , Ἀστύαλο ς , ὕφαλο ς , ἀγχίαλο ς. τὸ δὲ Ἰταλός ὁ οἰκιστής καὶ τὸ ἐθνικὸν ὀξύνεται καὶ τὸ αἰγιαλός περιεκτικόν. ἔστι δὲ καὶ Αἰγιαλός μεταξὺ Σικυῶνος καὶ τοῦ Βουπρασίου καλούμενος τόπος ἀπὸ Αἰγιαλέως τοῦ Ἰνάχου, ὡς Ἴστρος ἐν ἀποικίαις τῆς Αἰγύπτου.

3,1 160 ἔστιν ἕτερος Αἰγιαλός προσεχὴς τῷ Πόντῳ μετὰ τὴν Κάραμβιν ἄκραν, ὡς Ἀπολλώνιος. ἔχει δὲ καὶ κώμην ὁμώνυμον. Ὅμηρος «Κρῶμνάν τ’ Αἰγιαλόν τε» (B 855). γράφεται δὲ «Κρῶμναν Κωβίαλόν τε». ἔστι καὶ Θρᾴκης Αἰγιαλὸς παρὰ τῷ Στρυμόνι, ὡς Ἑκαταῖος. ἔστι καὶ ἄλλος Αἰγιαλὸς μέγας καλούμενος ἐν Αἰθιοπίᾳ κατ’ Αἴγυπτον. Τὰ εἰς αλος τριγενῆ ἔχοντα τὴν τρίτην βραχεῖαν ὀξύνεται, ἁπαλό ς , χθαμαλό ς , τροχαλό ς , ἀταλό ς , ὁμαλό ς , ἀκαλό ς , γυαλός τὸ ἐπίθετον. σεσημείωται τὸ μεγάλος παροξύτονον. ἐξέλειψε δὲ ἡ μεγάλος εὐθεῖα διὰ τὸ ἀχαρακτήριστον τοῦ τόνου. Τὰ διὰ τοῦ αλος ὑπερδισύλλαβα μετὰ τοῦ α ἐκτεταμένου βαρύνεται, Φάρσαλος πόλις Θεσσαλίας ἀπὸ Φαρσάλου τοῦ Ἀκρισίου. ἔστι καὶ Παμφυλίας πόλις. Τάβαλο ς , Στύμφαλος πόλις Ἀρκαδίας καὶ πεδίον ὁμώνυμον καὶ πηγή. ἡ πόλις ἀρσενικῶς καὶ θηλυκῶς. Τὰ διὰ τοῦ ελος μονογενῆ προπαροξύνεται, εἰ μὴ πάθος τι γένοιτο, ἄμπελο ς. ἔστι καὶ πόλις τῆς Λιγυστικῆς. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄκρα Τορωναίων Ἄμπελος λεγομένη. ἔστι καὶ ἑτέρα ἄκρα τῆς Σάμου. καὶ ἄλλη ἐν Κυρήνῃ, Ἀγροίτας δὲ δύο πόλεις εἶναί φησι, τὴν μὲν ἄνω, τὴν δὲ κάτω. ἔστι καὶ Ἰταλίας ἄκρα καὶ λιμὴν καὶ πόλις. Σθένελο ς , πύελος καὶ πτύελο ς , Κύψελο ς , Δέκελο ς , Ἔχελος ἥρως, Πάνελος ἀρσενικῶς πόλις περὶ τὸν Πόντον. ἐκλήθη δὲ ἀπό τινος τῶν Ἡρακλεωτῶν, ὃς ἀφίκετο ἐκ Βοιωτίας ἀπόγονος ὢν Πηνέλεω τοῦ στρατηγήσαντος ἐπὶ Τροίαν. ἄγγελο ς , σκόπελο ς , σφάκελο ς , ἀσφόδελος ἡ βοτάνη, ἀσφοδελός ὁ τόπος ὁ περιέχων.

3,1 161

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δειελός τὸ δειλινόν ὀξύνεται καὶ τὸ ὀβελός καὶ μυελό ς. Τὰ διὰ τοῦ ελος ἐπιθετικὰ ὑπερδισύλλαβα ἔχοντα τὴν τρίτην μακρὰν προπαροξύνεται, ἀείδελο ς , εἴκελο ς , εὐτράπελο ς , πέμπελος ὁ παλαιός. εἰ δὲ τριβράχεα εἴη ἐπιθετικὰ μὴ ὄντα σύνθετα, ὀξύνεται, Σικελός τὸ ἐθνικὸν ἀπὸ τοῦ οἰκιστοῦ καὶ ἀρχηγέτου τῆς χώρας, ἀφ' οὗ καὶ Σικελία ἡ χώρα, ὡς Κίλικες τοῦ Κίλικος, οὗ καὶ ἡ Κιλικία, ὡς Θετταλοί ἀπὸ Θετταλοῦ, οὗ ἡ Θετταλία, καὶ Φρύγες Φρυγός, οὗ ἡ Φρυγία. «τῶν δὲ νησιωτῶν οἱ μὲν ἰθαγενεῖς πάλαι Λίγυες ἐξ Ἰταλίας Σικελοὶ λέγονται, οἱ δὲ ἐπήλυδες Ἕλληνές εἰσι Σικελιῶται ὡς Ἰταλιῶται.» στροβελό ς , κεφελός (?). τὸ δὲ ζάφελος σύνθετον ὂν παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω προπαροξύνεται. τὸ δὲ δέελος ταὐτόν ἐστι τῷ δῆλος. Τὰ διὰ τοῦ ηλος ὑπερδισύλλαβα προσηγορικὰ ἢ κύρια ἢ ἐπιθετικὰ μὴ ἔχοντα ἴδια θηλυκὰ προπαροξύνεται, εὔκηλο ς , τράχηλο ς , κάπηλο ς , κάμηλο ς , φάσηλο ς , Στύμφηλο ς , βέβηλο ς , κίβδηλο ς , ἐρύγμηλος, ὃ οὐ δεόντως Τυραννίων ὀξύνει· ἐγένετο δὲ παρὰ τὸ ἐρύγω, ἔνθεν παρατατικὸς «ἤρυγεν ἑλκόμενος ἕλικι» (Il. Υ 404), ἐρύγηλος καὶ ἐν πλεονασμῷ τοῦ μ ἐρύγμηλος. Πάμηλο ς , Εὔζηλος φρουρίον Σικελίας.

3,1 162 Εὐρύηλο ς· οὕτως ἡ ἀκρόπολις τῶν Ἐπιπολῶν. Κάρμηλος ὄρος. Ὄλβηλος πόλις Μακεδονίας. Βάλακρος Μακεδονικῶν .... Ῥάκηλος πόλις Μακεδονίας. Σελευκόβηλος πόλις Συρίας. Φάρβηλος πόλις Ἐρετριέων. Ἄρβηλος ὁ Ἀθμονέως, ἀφ' οὗ Ἄρβηλα πόλις Περσική. τὸ δὲ ῥιγηλός ἔχει θηλυκόν. Τὰ διὰ τοῦ ηλος ὑπερδισύλλαβα ἁπλᾶ ἐπιθετικὰ ἔχοντα θηλυκὰ ὀξύνεται, σιγηλό ς , μιμηλό ς , ἀπατηλό ς , ὑψηλό ς , ὑδρηλό ς , χαμηλό ς , ὀμβρηλό ς , ὀκνηλό ς , ἀτυζηλό ς. Τὰ διὰ τοῦ ιλος ἀρσενικὰ ἔχοντα τὸ ι βραχὺ παροξύνεται· εἰ δέ τι προπαροξύτονον εἴη, ἢ πάθει γέγονεν ἢ γένει διαφέρει, ναυτίλο ς , Τρωΐλο ς , Ζωΐλο ς , Πενθίλο ς , ὀργίλο ς , Μυρτίλο ς , Χοιρίλο ς , Πορσίλο ς , Βανδίλο ς , φρυγίλο ς . Σποργίλος δῆμος Ἀττικός, Κορπίλος Θρᾳκῶν ἔθνος. Στράβων ζ' (p. 87). τὸ δὲ αἴγιλος θηλυκὸν προπαροξύνεται. τὸ δὲ κόϊλος ἀπὸ τοῦ κοῖλος κατὰ πάθος καὶ τὸ μύτιλος ὁ ἔσχατος καὶ τὸ πύτιλος προπαροξύνεται. σεσημείωται δὲ καὶ τὸ Νύκτιλος προπαροξυνόμενον. Τὰ εἰς ιλος ὑπερδισύλλαβα, εἰ ἔχοι τὸ ι ἐκτεταμένον, προπαροξύνεται, εἰ μὴ ἡ τρίτη ἔχοι τὸ α , ὃ προκατάρχει συμφώνων ἐν συλλήψει ὄντων, στρόβιλος εἶδος ὀρχήσεως, στροβιλός δὲ ἡ συστροφὴ τοῦ ἐχίνου, ἔσβιλο ς , ὅμιλο ς , Πάμμιλος, ἀλλ' οὐκ ἐν συλλήψει τὰ σύμφωνα. τὸ δὲ Καδμῖλος ὁ Ἑρμῆς προπερισπᾶται ἔχον τὸ α ἐπιφερομένων δύο συμφώνων ἐν συλλήψει. * Τὰ διὰ τοῦ ειλος πολυσύλλαβα σύνθετα ἀπὸ ὀνόματος προπαροξύνεται, τρίχειλο ς , ἀγκυλόχειλο ς , κροκόδειλο ς , εὔειλο ς.

3,1 163 Τὰ εἰς ολος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ κύρια ἢ προσηγορικὰ προπαροξύνεται, Αἴολος τὸ ἐθνικὸν ὁμοφώνως τῷ οἰκιστῇ ὡς Θετταλός, Ἰταλός, ἄσβολο ς , εὔκολο ς , διάβολο ς . Ὅμολος ὄρος Θετταλίας, ὃ καὶ Ὁμόλη. Νάκολο ς , Ποτίολοι πόλις Τυρρηνίας, ἥτις καὶ Δικαιάρχεια. αὐτόμολος καὶ Αὐτόμολος ἔθνος Αἰθιοπικόν ὡς Ἡρόδοτος δευτέρᾳ (c. 30) «τοῖσι δὲ Αὐτομόλοισι τούτοισιν ὄνομα Ἀσμάχην, ὅ ἐστιν οἱ ἐξ ἀριστερῆς χειρὸς παριστάμενοι βασιλέϊ». Ἀμφίδολοι πόλις τῆς Τριφυλίας καὶ οἱ πολῖται ὁμοίως ὡς Θούριοι καὶ Θαύμακοι καὶ Λεοντῖνοι καὶ Δελφοί. τὸ δὲ αἰόλος εἴτε κύριον εἴτε ἐπίθετον παροξύνεται. καὶ τὸ βουκόλος παροξύνεται, ὅτι ἀπὸ ῥήματος. τὸ δὲ ὀβολός ὀξύνεται. Τὰ διὰ τοῦ υλος τρισύλλαβα προσηγορικὰ ἢ κύρια, εἰ ἄρχοιτο ἀπὸ φύσει μακρᾶς, παροξύνεται, κρωβύλος καὶ Κρωβύλο ς , κηρύλος ὁ τῶν ἀλκυόνων ἄρρην, Αἰσχύλο ς , Ῥωμύλο ς , Σιμύλο ς , Ἡδύλο ς , Τουσσύλο ς· οὕτως οἱ Κάττουζοι ὑπὸ Καρῶν ἐκαλοῦντο. βαιτύλος ὁ λίθος ὃν ὁ Κρόνος κατέπιεν, Δημύλο ς , βηθύλο ς. σεσημείωται τὸ Οἴτυλος, ἥρως καὶ πόλις Λακωνικῆς «ἠδ' Οἴτυλον» (Β 585). ἄρχεται τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου, κακῶς δὲ Τυραννίων οἰόμενος ἄρθρον εἶναι τὸ οι καὶ παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱστορίαν, εἴγε οὕτως φησὶ καὶ Φερεκύδης «τοῦ δὲ γίνεται Ἀμφιάναξ, τοῦ δ' Οἴτυλος, ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται». καὶ Ὤγυλος νῆσος μεταξὺ Πελοποννήσου καὶ Κρήτης. τὸ δὲ αἴσυλος ἐπίθετόν ἐστιν. Τὰ διὰ τοῦ υλος τρισύλλαβα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιθετικὰ ὄντα ἁπλᾶ ἔχοντα τὴν τρίτην μακρὰν παροξύνεται, στωμύλο ς , αἱμύλος ὁ πρᾷος, στρογγύλο ς , « γογγύλος ἐστὶ λίθος» Καλλίμαχος, ἀγκύλο ς , καμπύλο ς.

3,1 164 τὸ δὲ αἴσυλος προπαροξύνεται ὡς σύνθετον ἀπὸ τοῦ α καὶ τοῦ συλῶ ὁ πολλὰ συλῶν «ὅδ' οὐκ ὄθετ' αἴσυλα ῥέζων» (Ε 403). Τὰ εἰς υλος τρισύλλαβα κύρια ὄντα ἔχοντα τὴν πρώτην συλλαβὴν μηκυνομένην παροξύνεται, προσηγορικὰ δὲ ὄντα προπαροξύνεται. παροξύνεται δὲ Δερκύλο ς , Βακχύλο ς , Χαρμύλο ς. προπαροξύνεται δὲ κόνδυλο ς , σφόνδυλο ς , δάκτυλο ς , γόγγυλο ς. τὸ δὲ Ἄξυλος καὶ Ὄξυλος κύρια ὄντα τοῖς προσηγορικοῖς κατὰ τὸν τόνον ἠκολούθησαν. Τὰ διὰ τοῦ υλος τριβράχεα, εἰ ἔχοι ἐν τῇ τρίτῃ συλλαβῇ ι , προπαροξύνεται, τὰ δὲ μὴ οὕτως ἔχοντα παροξύνεται, εἰ μὴ εἴη παρώνυμον ἐν ἰσοσυλλάβοις, Τίτυλο ς , Ἴτυλος τὸ κύριον. Σίπυλος πόλις Φρυγίας· Ἑλλάνικος ἐν Ἱερειῶν πρώτῳ. τὸ μέντοι Χρεμύλος καὶ Κρατύλος παροξύνονται οὐκ ἔχοντα ι ἐν τῇ πρώτῃ. τὸ δὲ σταφυλός παρώνυμόν ἐστι παρὰ τὸ σταφυλή. τὸ δὲ Ἄγυλος κύριον προπαροξύνεται. Τὰ εἰς υλος ὑπερτρισύλλαβα παροξύνεται, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως οἷον ἐρωτύλο ς , ἰαμβύλο ς , Ὀνησύλο ς , Νικασύλο ς. τὸ μέντοι εὐρύπυλος σύνθετον ὡς καὶ Ἑκατόμπυλος πόλις Παρθίας. Τὰ διὰ τοῦ ωλος μονογενῆ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, εἰ μὴ ἔχοι πρὸ τοῦ ω δύο σύμφωνα κατ' ἐπιπλοκήν, ὧν τὸ δεύτερόν ἐστι τ οἷον Κίμωλος ἥρως καὶ νῆσος, Ἐρίγμωλο ς , φάσκωλος ὁ θύλακος, Μαύσωλος ὁ Κάρ ἀπὸ Μαυσώλου. Δημοσθένης δεκάτῳ Βιθυνιακῶν «Δαίδαλα Μαυσώλων», Ἄνωλος πόλις Λυδίας ἀπὸ Ἀνώλου τοῦ Ἀσίου παιδὸς καὶ ὁ πολίτης ὁμωνύμως, Ἴωλος ἔθνος Περραιβίας.

3,1 165 Ὅμηρος «τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί» (Β 749), ταῦτά τινες μετέγραψαν «τῷ δ' ἄρ' Ἴωλοι ἕποντο μενεπτόλεμοί τε Περαιβοί», Μάγδωλος πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει. Τύμωλος ὁ Τμῶλος κατὰ ποιητικὸν μετασχηματισμόν. Ἐτέωλος ὄνομα λιμένος. Ἄρρωλος ὄνομα πόλεως. Καστωλὸς δὲ—ἦν δὲ πόλις ἐν Λυδίᾳ—ἐκλήθη δὲ ὅτι Καστωλοὺς τοὺς Δωριεῖς οἱ Λυδοί φασιν—ὀξύνεται ἔχον δύο σύμφωνα, ὧν τὸ ἓν τ ἐστίν, ὡς καὶ τὸ Πακτωλό ς. τὸ μέντοι Σπάρτωλος βαρύνεται. ἔστι δὲ πόλις Μακεδονίας, ὡς Θουκυδίδης ἐν δευτέρᾳ (c. 79). τὰ γὰρ δύο σύμφωνα οὐκ εἰσὶν ἐν συλλήψει, ἀλλ' ἐν διαστάσει. τὸ δὲ Αἰτωλός τριγενές. Τὰ διὰ τοῦ ωλος ὑπερδισύλλαβα ἁπλᾶ ῥηματικὰ ἔχοντα τὴν τρίτην μακρὰν ὀξύνεται, φειδωλό ς , αἰτωλός τὸ ἐπίθετον παρὰ τὸ ῥῆμα τὸ αἰτεῖν, ἁμαρτωλό ς. τὸ μέντοι ἕωλος ὁ χθεσινός προπαροξύνεται ὡς παρώνυμον καὶ τὴν τρίτην βραχεῖαν ἔχει. * καὶ ἄλλως· Τὰ εἰς ωλος ἀρσενικὰ πρὸ τοῦ ω τὸ τ ἔχοντα ὀξύνεται, Καστωλό ς , Πακτωλό ς , ἁμαρτωλό ς , Αἰτωλός ὁ Ἐνδυμίωνος, ὃς ἐκπεσὼν ἀπὸ Πίσης ὑπὸ Σαλμωνέως συνῴκισε τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Αἰτωλίαν, καὶ τὸ ἐθνικὸν ὁμοφώνως. τὸ Σπάρτωλος θηλυκόν ἐστι καὶ τὸ Μαύσωλος οὐκ ἔχει τὸ τ . Τὰ εἰς λος ὑπερδισύλλαβα παραληγόμενα τῇ διὰ τοῦ υ διφθόγγῳ προπαροξύνεται. δίαυλο ς , θύραυλο ς , ἴουλο ς , Κάμουλο ς , ὕπουλο ς , Γαίτουλος ἔθνος Λιβύης, ὃ Ἀρτεμίδωρος Γαιτουλίους φησί. Τούρδουλος ἔθνος τῆς Ἰβηρίας, οἳ καὶ Τουρδητανοί. Ἀρτεμίδωρος δὲ Τούρτους αὐτοὺς καλεῖ καὶ Τουρτυτανούς. ΠΕΡΙ ΤΩΝ ΕΙΣ μος , νος , ξος , πος .

3,1 166 ΒΙΒΛΙΟΝ ζ'. Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ τὸ γ ὀξύνεται προσηγορικὰ ὄντα, νυγμό ς , φραγμό ς , ἀγμό ς , ψυγμό ς , λυγμό ς , ῥωγμό ς· εἰσὶ καὶ Ῥωγμοί Κιλικίας ἐπίνειον, δραγμός καὶ Δραγμός πόλις Κρήτης ὡς Ξενίων ἐν τοῖς Κρητικοῖς, τιναγμό ς , ἀλαλαγμό ς , ὑλαγμό ς , διωγμό ς , παιγμός ἐμπαιγμό ς , κηρυγμός ἐκκηρυγμό ς . κυνυλαγμός παρὰ Στησιχόρῳ «ἀπειρεσίοιο κυνυλαγμοῖο». καὶ παρὰ τῷ ποιητῇ «ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ» (Φ 575) Ἀρίσταρχός τινάς φησι γράφειν κυνυλαγμόν· οὕτω καὶ Ζηνόδοτος. οὐχ ὁρῶ δέ τι πλέον ἐκ τῆς συνθέσεως· ὁ γὰρ ὑλαγμός καὶ χωρὶς τοῦ προσκεῖσθαι τὸ ὄνομα ἰδίως ἐπὶ τῶν κυνῶν ἀκούεται ὡς ὁ χρεμετισμὸς ἐπὶ τῶν ἵππων. ἄλλως τε τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι τῆς αὐτῆς τάσεως μενούσης, μετ' ἄλλου δὲ οὐδενός, καὶ τὸ ὑλαγμός οὖν παρὰ τὸ ὑλάσσω γεγονὸς οὐ συντεθήσεται μετ' ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστιν ὁ κέν. σεσημείωται τὸ ὄγμος ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάξις βαρυνόμενον. ἔστι δὲ κανὼν ὁ λέγων· τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλείονα βαρύνεσθαι θέλει οἷον ὄκνος, ὄμβρος, ὄρρος, ὄσσος, Ὄρθος τὸ μονογενές, ὄρφος, οὕτω καὶ ὄγμος. καὶ τὸ Ῥίγμος οὐ προσηγορικὸν εἰς ἰδιότητα βαρύνεται. Τὰ εἰς μος πρὸ τοῦ μ δ ἔχοντα ὀξύνεται προσηγορικὰ ὄντα, εἰ δὲ κύρια εἴη, βαρύνεται. ὀξύνεται δὲ ταῦτα ἀρδμό ς , σκιαδμός, βαρύνεται δὲ ταῦτα Κάδμο ς , Κύδμο ς. Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ θ ἢ χ ὀξύνεται, βαθμό ς , ἰσθμό ς. καλεῖται δὲ καὶ Ἰσθμός ἡ Ἁλικαρνασσός, τῆς Καρίας πόλις. ἔστι καὶ Κορίνθου Ἰσθμός. ἔστι δὲ καὶ ἰσθμός στενὸς τόπος, δι’ οὗ ἵενται τὰ ἐσθιόμενα καὶ πινόμενα ἢ παρὰ τὸ ἰέναι τὴν πνοήν. σταθμό ς , αὐχμό ς , μηνιθμό ς , πορθμό ς , σκαρθμό ς , ἰωχμό ς , πλοχμός, εἴτε συγκέκοπται εἴτε καὶ ἐντελές ἐστι, δοχμό ς.

3,1 167 τὸ δὲ κρίθμος βαρύνεται εἰς ἰδιότητα. Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ κ σπάνια μέν εἰσι καὶ βαρύνεται οἷον Λάκμο ς , Δέκμο ς. τὸ μέντοι Τρωκμός ἔθνος Γαλατικόν— ἐκαλοῦντο δὲ καὶ Τροκμηνοί—ὀξύνεται. Τὰ εἰς μος λήγοντα ἔχοντα πρὸ τοῦ μ τὸ τ βαρύνονται, οἷον πότμο ς , Πάτμο ς , Λάτμο ς. σεσημείωται τὸ ἀτμός ὀξυνόμενον. Τὰ εἰς μος λήγοντα ἁπλᾶ ἔχοντα πρὸ τοῦ μ τὸ ς προσηγορικὰ ὄντα ὀξύνεται, μὴ ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ ο μόνον εἰς ς καταλῆγον, ῥυσμό ς , δεσμό ς , δασμό ς , θεσμό ς , χρησμό ς , σπασμό ς. πρόσκειται «προσηγορικά» ἵνα φύγωμεν τὰ βαρύτονα κύρια τὸ Κροῖσμος καὶ Κάσμο ς. τὸ δὲ Βρυσμός (ἔστι δὲ ὄνομα βασιλέως) ὀξύνεται. «οὐκ ἔχοντα τὸ ο μόνον». τὸ γὰρ κόσμος βαρύνεται, τὸ δὲ κρουσμός ὀξύνεται. καὶ τὸ σύνδεσμος προπαροξύνεται σύνθετον ὄν. Τὰ εἰς μος προσηγορικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς λ καταλήγουσαν ὀξύνεται, ὀφθαλμό ς , τιλμό ς , ψαλμό ς , παλμό ς , ἰνδαλμό ς. τὸ δὲ Ἄλμος τὸ κύριον (ἔστι δὲ πόλις Βοιωτίας, ὡς Ἑλλάνικος· καὶ Σάλμον αὐτήν φησι ἐν δευτέρῳ Δευκαλιωνείας) καὶ τὸ Ὅλμος τὸ κύριον καὶ τὸ προσηγορικὸν βαρύνεται. * Τὰ εἰς μος προσηγορικὰ καὶ ἐπιθετικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν ὀξύνεται, κορμό ς , φορμό ς , θερμό ς . τὸ δὲ ὅρμος βαρύνεται. τὸ δὲ Θέρμος πολίχνιον Αἰτωλίας, ὡς Πολύβιος, καὶ τὸ Σκύρμος πόλις Κυζίκου πλησίον, καὶ Ἕρμοι δῆμος τῆς Ἀκαμαντίδος φυλῆς ὁ καὶ Ἕρμος οὐδετέρως κύρια. Τὰ εἰς μος ἔχοντα τὴν πρὸ τέλους εἰς μ καταλήγουσαν ἀρσενικὰ προσηγορικά, εἰ ἀπὸ τῆς πρώτης εἴη συζυγίας, ὀξύνεται, γράφω γραμμός, τρίβω τριμμός, θλίβω θλιμμός, κόπτω κομμό ς.

3,1 168 τὸ δὲ ἄμμος καὶ ψάμμος θηλυκά. ἔτι καὶ τὸ μάμμος ὁ ἔκγονος βαρύνεται ἐπιθετικὸν ὄν. Τὰ εἰς μος δισύλλαβα τῷ η παραληγόμενα κύρια ὄντα βαρύνεται, Κνῆμο ς , Σῆμο ς , Ῥῆμος ὄνομα ποταμοῦ. τὰ δὲ προσηγορικὰ ὀξύνεται, εἰ μὴ διαστολή τις εἴη, κημός ἡ χώνη, τὸ ἐπιτιθέμενον ἐπὶ τῇ ὑδρίᾳ ἐξ ἧς αἱ ψῆφοι φέρονται. καὶ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημός ὁ καλούμενος φιμός, ὡς Ξενοφῶν ἐν τοῖς περὶ ἱππικῆς (10, 8). δηλοῖ δὲ καὶ πλέγμα τι ἐκ σχοινίων γενόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ, ὡς Σοφοκλῆς ἐν Ποιμέσιν «κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος». Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων «καὶ τοῦσδε κημοὺς στόματος». κνημός ὁ τραχὺς τόπος τῶν ὀρέων, δημός τὸ λίπος, δῆμος δὲ ὁ ὄχλος, ὡς ἐν Σφηξὶν (v. 41) «τὸν δῆμον ἡμῶν βούλεται διϊστάνειν». «θεὸς δ’ ὣς τίετο δήμῳ» (Il. N 218). «εὐνήν τ’ αἰδομένη πόσιος δήμοιό τε φῆμιν» (Od. π 75) καὶ ὁ εἷς δημότης «οὐ μὲν ἔοικε δῆμον ἐόντα» (Il. M 212) καὶ ὁ τόπος «δήμῳ ἐνὶ Τρώων» (Od. ν 266) καὶ τόπος ἐν Ἰθάκῃ, ὃς καὶ Κροκύλειον, καὶ παρ’ Ἀθηναίοις ἡ κώμη. καὶ ὁ Ἀσκαλωνίτης λέγει τὸ μὲν ἐπὶ τοῦ πλήθους παρὰ τὸ δέμας γεγενῆσθαι οἱονεὶ σῶμά τι τυγχάνον ἢ παρὰ τὸν δασμόν. τὸ δὲ ἐπὶ τοῦ λίπους παρὰ τὸ δαίω· εὔκαυστον γὰρ τὸ λίπος. δύναιτο δ’ ἄν τις καὶ ἄλλως ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο δέεμος καὶ ἐν συναλοιφῇ δῆμος, τὸ συνδεδεμένον πλῆθος. τὸ γὰρ ἐναντίον λύη ἀπὸ τῆς διαλύσεως. Τὰ εἰς αμος μονογενῆ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δισύλλαβα βαρύνεται, πράμο ς , γάμο ς , Σάμος ἐπιφανὴς πρὸς τῇ Καρίᾳ νῆσος, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας δευτέρῳ.

3,1 169 Ἄμος πόλις Καρίας. Λάμος υἱὸς Ἡρακλέους καὶ ποταμὸς Κιλικίας, Πλάμος πόλις Καρίας. τὸ μέντοι ἀμός ὁ ἡμέτερος καὶ τὸ τίς, ὅθεν μηδαμός καὶ μηδαμινός, τριγενὲς ὂν ὀξύνεται. Τὰ εἰς μος δισύλλαβα παραληγόμενα τῷ ο ἢ ε μὴ ὄντα τριγενῆ βαρύνεται ἀρχόμενα ἀπὸ συμφώνου ἢ συμφώνων, βρόμο ς , γόμο ς , τρόμο ς , δρόμο ς , ῥόμος ὁ σκώληξ, δόμο ς , τόμος ὁ τετμημένος, τομός δὲ ὁ τέμνων, νομός δὲ ἡ νέμησις πρὸς ἀντιδιαστολὴν τοῦ νόμος ὁ θεσμός. τὸ δὲ ὁμός ἐπὶ τοῦ ὁμοίου ἐστὶ τριγενές. * Τὰ εἰς ιμος καὶ ὀξύνεται οἷον φιμό ς , λιμό ς , σιμός καὶ βαρύνεται οἷον μῖμο ς , τῖμο ς , βρίμο ς. Τὰ εἰς υμος ἔχοντα τὸ υ ἐκτεταμένον δισύλλαβα ὀξύνεται, κρυμό ς , ῥυμό ς , χυμό ς , θυμό ς . θύμος δὲ τὸ μόριον ἢ ἡ βοτάνη. τὸ δὲ Δρυμός καὶ ἐπὶ τοῦ κυρίου καὶ προσηγορικοῦ ὀξύνεται. Τὰ εἰς ωμος δισύλλαβα προσηγορικὰ ἀρχόμενα ἀπὸ συμφώνου μὴ τοῦ μ , εἰ ἐπὶ οὐσίας τάττοιτο, ὀξύνεται, βωμό ς· εἰσὶ καὶ Βωμοί λόφοι Αἰτωλίας. ψωμό ς , ζωμό ς , θωμός ὁ σωρός, βλωμός τὸ δῆγμα. τὸ μέντοι κῶμος ἡ ᾠδή βαρύνεται καὶ τὸ μῶμος ἀπὸ τοῦ μ ἄρχεται, καὶ τὸ βρῶμος ὁ χόρτος καὶ Κρῶμος κύριον βαρύνεται, ὥσπερ τὸ ὦμος εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. ἄλλως τε τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω , μὴ προσκειμένου τοῦ ι βαρύνεται, ὧρος, ὦμος, ὦχρος.

3,1 170 πρόσκειται μὴ ἔχοντα τὸ ι διὰ τοῦ ᾠδός. Τὰ εἰς μος δισύλλαβα διφθόγγῳ παραλήγοντα ἀπὸ συμφώνου ἀρχόμενα ὀξύνεται, λοιμό ς , λαιμό ς. τὰ δὲ μὴ ἀπὸ συμφώνου ἀρχόμενα βαρύνονται οἷον Αἷμος ὄρος Θρᾴκης. λέγεται καὶ οὐδετέρως, ὡς οἱ πολλοί. ἐγένετο δὲ ὁ Αἷμος υἱὸς Βορέου καὶ Ὠρειθυίας, ἀφ' οὗ καὶ τὸ ὄρος. καὶ οἶμο ς. σεσημείωται τὸ Δεῖμο ς. Τὰ διὰ τοῦ αμος τριβράχεα προπαροξύνεται, εἰ μὴ προηγεῖται τῷ α τὸ τ , πλόκαμο ς , κέραμο ς , κάλαμο ς , θάλαμο ς , κύαμο ς , Πρίαμος ἐκ τοῦ πρίαμαι. ἐπράθη γὰρ καὶ ταύτης τῆς ἐπωνυμίας ἔτυχε ὡς ἱστορεῖ Λυκόφρων (v. 338) «ὠνητὸς αἰθαλωτόν». Ὕλαμοι πόλις Λυκίας ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν δευτέρῳ περὶ Λυκίας. Ὑλάμους δὲ τοὺς καρπούς φασι. τὸ μέντοι ἰταμός ἐπιθετικὸν καὶ ποταμός παρὰ τὸ ποτασμός καθ' ὑφαίρεσιν τοῦ ς γινόμενον ὀξύνεται ὡς ἔχοντα τὸ τ πρὸ τοῦ α . Τὰ διὰ τοῦ αμος , εἰ ἔχοι τὴν πρώτην φύσει μακράν, εἰ μὲν κύρια εἴη, προπαροξύνεται, Πύραμος ποταμὸς ἐν Μαλλῷ τῆς Κιλικίας, Σήσαμο ς , Τεύταμο ς , Ἴαμος Σκυθίας ἔθνος ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Εὐξείνου πόντου. εἰ δὲ μή, ὀξύνεται, οὐλαμό ς , χηραμός ἡ κατάδυσις. τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ φωριαμός τὸ κιβώτιον, εἴτε παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὰ φάρη φυλάσσειν παρῆκται, ἔσται κατ' ὀξεῖαν τάσιν. ἔστι γὰρ φωραμός καὶ πλεονασμῷ τοῦ ι φωριαμός.

3,1 171 εἰσὶ καὶ Φωριαμοί τόπος Ἤλιδος μεταξὺ Παρθενίου τοῦ ποταμοῦ καὶ Ἀρκαδίας ἐπιτήδειος εἰς ἐνέδραν ἐν στενῷ κείμενος. Τὰ διὰ τοῦ αμος , εἰ ἄρχεται ἀπὸ δύο συμφώνων, κύρια ὄντα ἢ ἐπίθετα προπαροξύνεται, ἄρταμος ὁ μάγειρος, ὄρχαμος, παρὰ τὴν ἀρχὴν ἄρχαμος καὶ ὄρχαμος. Πέργαμος πόλις Ἀσίας, ἐμπέραμο ς , Ἴμβραμο ς. οὕτως Ἑρμῆν λέγουσιν οἱ Κᾶρες, Τύρταμο ς. τὸ μέντοι σχινδαλαμός ὁ σχισμός ὀξύνεται προσηγορικὸν ὄν. Τὰ εἰς μος ὑπερδισύλλαβα παραληγόμενα τῷ ε προπαροξύνεται, Τήλεμο ς , Ἔχεμο ς , πόλεμο ς , ἄνεμο ς . Ἰάλεμο ς , ἤρεμο ς , κοάλεμο ς , Φάλεμο ς , ἄργεμο ς , ἄνθεμο ς. τὸ δὲ θελεμός ἀπὸ τοῦ θελημός ὀξύνεται. Τὰ εἰς μος ἁπλᾶ τῷ η παραληγόμενα σπάνια ὄντα προπαροξύνεται, ἔρημος Ἀττικῶς, ἐρῆμος δὲ παρὰ τῷ ποιητῇ «ὡς ἴδε χῶρον ἐρῆμον» (K 520), Κέημος ὄνομα νήσου· ἔτι καὶ τὰ σύνθετα Εὔδημο ς , εὔφημο ς , εὔσημο ς , ἄσημο ς , ἐπίσημο ς , βλάσφημο ς , πάνδημο ς , Νικόδημο ς , ἐπίδημο ς. Τὰ εἰς ιμος ὑπερδισύλλαβα προπαροξύνεται, ἀγώγιμο ς , ὄψιμο ς , πρώϊμο ς , ὠφέλιμο ς , ἄλκιμο ς , νόμιμο ς . σπόριμο ς , ἐπήτριμος, τοῦτο ὁ Ἀσκαλωνίτης ὀξύνει ὡς πολεμικός. οὐκ εὖ. κύδιμο ς , φαίδιμο ς , δόκιμο ς , ὤκιμο ς , Ἄριμο ς , Ὄχιμος πατὴρ Κυδίππης. Τὰ εἰς ομος ὑπερδισύλλαβα προπαροξύνεται, κέρτομο ς , ἄνδρομος ὁ ἀνδρώδης, ἔβδομο ς , Δίομος Κολυττοῦ υἱὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρακλέους ἐρώμενος. πλὴν τοῦ καρατόμο ς , ἀγρονόμος ἀπὸ ῥημάτων συντεθέντων. Τὰ εἰς υμος ἔχοντα τὸ υ βραχὺ πρὸ τοῦ μος προπαροξύνεται, ἔλυμος καὶ Ἔλυμος ἥρως, ἀφ’ οὗ Ἐλυμία πόλις Μακεδονίας.

3,1 172 ἔτυμος καὶ ἐτήτυμο ς , δίδυμο ς , ἥδυμο ς , νήδυμο ς , σκόλυμος εἶδος βοτάνης, Σόλυμος ἔθνος οἱ νῦν Πισίδαι ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Χαλδήνης «Σολύμους καλουμένους παρελθὼν Μαυσώλου». Ἴδυμος ποταμὸς Καρίας, Σίδυμος, ἀφ’ οὗ Σίδυμα πόλις Λυκίας. Εὔρυμο ς. τοῦ μέντοι κωλυμός καὶ ἐρυμός τὸ υ μακρόν. Τὰ εἰς μος τρισύλλαβα παραληγόμενα τῇ οι διφθόγγῳ μὴ παρεσχηματισμένα θηλυκῷ γένει ὀξύνεται, κυδοιμός ἡ ταραχή, ἀλοιμό ς , ἀμοιμός κατὰ ἐναλλαγὴν στοιχείων ἀπὸ τοῦ ἀμοιβός. τὸ δὲ ἕτοιμος Ἀττικόν, τὸ δὲ ἑτοῖμος κοινόν ἐστι τριγενές. καὶ τὸ ἀλύδοιμος ὁ οἰκτρός προπαροξύνεται. * Τὰ εἰς μος λήγοντα ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ μ τὸ ς ὀξύνεσθαι θέλει, μερισμό ς , ὁπλισμό ς , ἀθροισμό ς , ἀφλοισμό ς. τοῦτο δὲ ἔνιοι παρὰ τὸ ἀφρισμός μεταβολῆς γενομένης τοῦ ρ εἰς λ καὶ πλεονάσαντος τοῦ ο . οἱ δὲ παρὰ τὸ φλέω καὶ φλύω, φλοισμός καὶ ἀφλοισμός ἐν πλεονασμῷ τοῦ α . διὸ οὐ δεόντως Τυραννίων προπαροξύνει. * Τὰ εἰς ωμος ὑπερδισύλλαβα προπαροξύνεται, Εὔρωμος πόλις Καρίας ἀπὸ Εὐρώμου τοῦ Ἰδριέως Καρός, Ἴθωμος, ἀφ’ οὗ Ἰθώμη πόλις Θεσσαλίας, Τετράκωμος ἔθνος οἱ καὶ Τετραχωρῖται. ὁμοίως δὲ καὶ τὰ διὰ τοῦ ουμος ὑπερδισύλλαβα Πάτουμος πόλις Ἀραβίας. Τὰ εἰς νος ἔχοντα πρὸ τοῦ ν ἕν τι τῶν μέσων στοιχείων ἔχοντα θηλυκὸν γένος ὀξύνεται, στεγνό ς , στυγνό ς , ἁγνό ς , κεδνό ς , ἀλαπαδνό ς , ἀκιδνό ς , ὀλοφυδνό ς. τὸ μέντοι λάγνος βαρύνεται· οὐκ ἔχει γὰρ ἴδιον θηλυκόν. ἔχει δὲ καὶ ἔννοιαν συνθέσεως. ὡσαύτως καὶ ἄγνος ἡ βοτάνη καὶ τὰ κύρια, Κύδνος ποταμὸς Κιλικίας, Πύδνο ς , Κάλυδνος παῖς Οὐρανοῦ, ἀφ’ οὗ Κάλυδνα πόλις Θήβης, ἣ καὶ Κάλυδνος.

3,1 173 Τὰ εἰς νος ἁπλᾶ ἔχοντα πρὸ τοῦ ν ἕν τι τῶν ἀντιστοίχων ὀξύνεται, ἐπιθετικὰ ὄντα καὶ μὴ ἔχοντα πρὸ τέλους ορ , πυκνό ς , κραιπνό ς , τερπνό ς , στρυφνός —ὁ λόγος τοῦτο διὰ τοῦ υ ἀπαιτεῖ, ὡς γὰρ τέρπω τερπνός, στέγω στεγνός, οὕτω καὶ στύφω στυφνός. καὶ καθάπερ κέντον κέντρον, οὕτω πλεονασμῷ τοῦ ρ στυφνός καὶ στρυφνός, ὅμως εὕρηται καὶ διὰ τοῦ ι προφερόμενον στριφνός. σημειῶδες καὶ τὸ στρυφνός ἐκτεῖνον τὸ υ . Ἀριστοφάνης ἐν Σφηξί (v. 877) παῦσον τ’ αὐτοῦ τοῦτο τὸ λίαν στρυφνόν. Τὰ γὰρ ἄλλα τοιαῦτα τῷ υ παραληγόμενα συνεσταλμένον αὐτὸ ἔχει γυμνός, συχνός, πυκνός, στυγνός— ἰσχνό ς , θαλπνό ς , στιλπνό ς , συχνό ς , περκνός ὁ μέλας «μόρφνον θηρητῆρ’ ὃν καὶ περκνὸν καλέουσιν» (Ω 316). ὁ μέντοι Ἀρίσταρχος ἀετοῦ εἶδος καὶ βαρύνει, ἀλλ’ ἐπείσθη ἡ παράδοσις τοῖς ὀξύνουσιν. σεσημείωται τὸ λίχνος βαρύτονον ὡς σύνθετον. παρὰ τὸ λίαν χαίνειν. τὸ δὲ μόρφνος ὁ μέλας ἔχει τὸ ορ . τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων οἷον χόρτος, φόρτος, ὅρκος, Ὄρθος τὸ μονογενές, πόρνος, οὐ γὰρ θηλυκὸν αὐτοῦ τὸ πόρνη. οὕτω θέλει καὶ τὸ πτόρθος. οὕτως μόρφνος. παρεφύλαξα δὲ τὰ εἰς μος διὰ τὸ κορμός, φορμός. ἐσχημάτισται δὲ τὸ μόρφνος ἢ παρὰ τὸ μόρφονος ἢ παρὰ τὴν ὄρφνην πλεονάσαντος τοῦ μ κατὰ τὴν ἀρχήν, ἵνα σημαίνηται ὁ μέλας, ἢ παρὰ τὸ μάρπτω μάρφνος ἐστὶ καὶ μόρφνος ὁ συλλαμβάνων, ἐξ οὗ σημαίνεται ὁ ταχύς. καὶ τὸ ὄκνος προσηγορικὸν βαρύνεται. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλείονα βαρύνεσθαι θέλει οἷον ὄμβρος, ὄρρος, ὄσσος, Ὄρθος, ὄγμος. οὕτως καὶ ὄκνος. Τὰ εἰς νος μονογενῆ δισύλλαβα ἔχοντα πρὸ τοῦ νος ἕν τι τῶν ἀντιστοίχων, προηγουμένου φωνήεντος πλὴν τοῦ α βαρύνεται, ὄκνο ς , κύκνος καὶ Κύκνος ἥρως, Κύθνος ἥρως καὶ νῆσος πρὸς τῇ Δρυοπίδι τῶν Κυκλάδων, Πέφνος πόλις Λακωνική.

3,1 174 Ἀπολλόδωρος δὲ νῆσον αὐτήν φησι· λέγεται δὲ καὶ θηλυκῶς καὶ οὐδετέρως. ὕπνο ς . Σίφνος περὶ τὴν Κρήτην νῆσος ἀπὸ Σίφνου τοῦ Σουνίου, ὡς Νικόλαος πέμπτῳ. Ἴπνος, ἣν Ἰπνέαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινές, Λοκρῶν τῶν Ὀζολῶν. τὸ δὲ προσηγορικὸν ἰπνός ὀξύνεται. Θῶκνος ἥρως. τὸ δὲ καπνός ὀξύνεται ὡς ἔχον τὸ α . * Τὰ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου δισύλλαβα μονογενῆ ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ υ βαρύνεσθαι θέλει, ὕμνο ς , κύκνο ς , λύχνο ς , Κύθνο ς , Βύσνος βασιλεὺς Βεβρύκων· οὕτως καὶ σκύμνο ς. τὸ δὲ ἀνδρωνυμικὸν ὀξύνεσθαι ἀξιοῖ ὁ Ἀσκαλωνίτης. ὁ μέντοι λόγος συναγωνίζεται τῇ βαρείᾳ τάσει. Τὰ εἰς μνος δισύλλαβα, εἰ παραλήγοι α μετὰ συμφώνου, βαρύνεται, θάμνο ς , ῥάμνο ς. τὸ δὲ ἀμνός ὀξύνεται. ἀπὸ γὰρ τοῦ α καὶ ἐπιθετικώτερον· ἄμενος γὰρ παρὰ τὸ μὴ ἔχειν μένος. Τὰ εἰς μνος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους μὴ φύσει μακράν, μονογενῆ μὲν ὄντα, βαρύνεται, ὕμνο ς , σκύμνο ς , Τύμνος πόλις Καρίας. τριγενῆ δὲ ὀξύνεται, γυμνό ς , σεμνό ς , στυμνός ὁ σκληρός, πρυμνό ς. * Τὰ εἰς μνος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους φύσει μακρὰν βαρύνεται, Κρῶμνος ὁ Λυκάονος καὶ πόλις Πελοποννήσου, Λῆμνος νῆσος πρὸς τῇ Θρᾴκῃ, Τῆμνος πόλις τῆς Αἰολίδος. Τὰ εἰς μνος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ μὴ ἔχοντα ἴδια θηλυκὰ προπαροξύνεται, Ἄμυμνος ἔθνος Ἠπειρωτικόν, Λύκαμνο ς , Ἐπίδαμνος πόλις Ἰλλυρίας ἀπὸ Ἐπιδάμνου, Αἴσυμνο ς . Ἴαμνο ς , Λεπέτυμνος, τὸ μέντοι ἐρεμνός ἔχει θηλυκὸν τὸ ἐρεμνή, ὥσπερ καὶ τὸ ἐρυμνός ὁ κεκαλυμμένος. Τὰ εἰς δύο νν βαρύνεται ἀπαρασχημάτιστα ὄντα θηλυκῷ γένει, βλέννο ς , θύννο ς , Κύννος ὁ ἀδελφὸς Κοίου, Σάννος ἔθνος. Βοῦννος πόλις Ἰλλυρίας. Γόννοι πόλις Περραιβίας ἀπὸ Γουνέως κληθεῖσα τοῦ ἀπογόνου Κύφου. οὕτως φησὶν Ὅμηρος (Β 748). Αἰολεῖς ὄντες οἱ Περραιβοὶ τὰ σύμφωνα ἐδίπλουν καὶ Περραιβοὺς ἑαυτοὺς καλοῦντες καὶ Γόννοι διὰ δύο νν τὴν πόλιν.

3,1 175 γόννα γὰρ οἱ Αἰολεῖς τὰ γόνατα. Σίγυννο ς· πόλις Αἰγύπτου, ὡς Κτησίας ἐν πρώτῳ περίπλων. καὶ ὁ πολίτης ὁμοφώνως. Ἄργυννος υἱὸς Πεισιδίκης τῆς Λεύκωνος τοῦ Ἀθάμαντος τοῦ Σισύφου τοῦ Αἰόλου ἐρώμενος Ἀγαμέμνονος, Βοιωτός, ὃς ἀνιὼν εἰς τὸν Κηφισσὸν τελευτᾷ. ἀφ' οὗ Ἀργυννίδα τὴν Ἀφροδίτην ἐτίμησαν. τύραννο ς· ἐγένετο δὲ οὕτως. ἔστι Τυρρηνός καὶ Τυρρανός κατὰ Δωρίδα διάλεκτον, ἀφ' οὗ κατὰ ἀφαίρεσιν καὶ γράμματος προσθέσει τύραννος ἐκλήθη. Φάλαννος πόλις Περραιβίας, ὡς Ἔφορος ἐν τῷ θ'. Ἔραννος πόλις ἡ ὕστερον Κυπάρισσος. Βίεννος πόλις Κρήτης. οἱ μὲν ἀπὸ Βιέννου τοῦ τῶν Κουρήτων ἑνός, οἱ δὲ ἀπὸ τῆς περὶ τὸν Ἄρη γενομένης βίας, ὃν ἐνταῦθα δεδέσθαι φασὶν ὑπὸ Ὤτου καὶ Ἐφιάλτου τῶν παίδων Ποσειδῶνος. ἔστι καὶ ἑτέρα πόλις ἐν Γαλλίᾳ. Πέλιννος ὁ Οἰχαλέως. τὰ μέντοι ἔχοντα θηλυκὰ ὀξύνεται, ἐραννός ὁ ποθεινός, ἀργεννό ς , κελαδεννό ς , ἐρεβεννό ς. * Τὰ εἰς νος ἔχοντα πρὸ τοῦ νος τὸ ρ βαρύνεται, Κάρνος ὁ Φοίνικος, ἀφ' οὗ Κάρνη πόλις Φοινίκης ἡ καὶ Κάρνος παρ' Ἀρτεμιδώρῳ. ἔστι καὶ νῆσος Ἀκαρνανίας. Ἀρτεμίδωρος β' γεωγραφουμένων, Ἄρνος ὁ καταπολεμήσας Πρωτόγονον, ἀφ' οὗ ἡ Ξάνθος πόλις Λυκίας Ἄρνα ἐκαλεῖτο, Νάρνος ποταμός, Κύρνος ὁ κτίστης καὶ ἡ νῆσος πρόσβορρος Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ. Πύρνος πόλις Καρίας. Σάμορνο ς· ἡ Ἔφεσος οὕτως ἐκαλεῖτο. Ἄορνος πόλις Βακτρίων ἀρσενικῶς καὶ θηλυκῶς. ὀξύνεται δὲ τὸ Λιβυρνός Ἀττικός τις καὶ ἔθνος προσεχὲς τῷ ἐνδοτέρῳ μέρει τοῦ Ἀδριατικοῦ κόλπου. Ἑκαταῖος Εὐρώπῃ. Ἀχαρνός ἔθνος πρὸς τῇ Σκυθίᾳ παρὰ Θεοπόμπῳ τὸ καὶ Ἀχανός. Τὰ εἰς ερνος Ἰταλιωτικὰ παροξύνεται, Φαλέρνο ς , πατέρνο ς , Ἰουέρνος ἔθνος ἐν τῷ πόντῳ τῷ Πρετανικῷ, Ἀροέρνος ἔθνος μαχιμώτατον τῶν πρὸς τῇ Κελτικῇ Γαλατῶν. Ἀπολλόδωρος τετάρτῃ χρονικῶν «Κελτῶν Ἀροέρνους». Πριουέρνος πόλις Ἰταλίας. Τὰ εἰς ανος δισύλλαβα κύρια ὄντα ἢ προσηγορικὰ μὴ ἔχοντα διαστολὴν βαρύνεται, Τάνος πόλις Κρήτης, ὡς Ἀρτεμίδωρος ἐν τετάρτῳ γεωγραφουμένων, Φᾶνος τὸ κύριον, θρᾶνος ὁ δίφρος. τὰ μέντοι ἐπιθετικὰ ἢ προσηγορικὰ ἔχοντα διαστολὴν ὀξύνεται, φανό ς.

3,1 176 τὸ δὲ πλάνος βαρύνεται καὶ τὸ νᾶνος ὁ μικρός. Τὰ εἰς ενος δισύλλαβα τινὰ μὲν βαρύνονται, ἕνος ὁ ἐνιαυτός, ξένο ς , Τένος ὁ Κύκνου, τινὰ δὲ ὀξύνονται, κενό ς , στενό ς. Τὰ εἰς ηνος κύρια ἢ προσηγορικὰ βαρύνεται, Τῆνος, νῆσος Κυκλὰς ὁμοφώνως τῷ οἰκιστῇ. ἔστι καὶ πόλις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λακωνικὴ μία τῶν ἑκατὸν Τῆνος λεγομένη, Φῆνος ὄνομα ποταμοῦ, Ῥῆνος ὁ ποταμὸς καὶ ἔθνος παροικοῦν. Στρῆνος πόλις Κρητική, Λῆνος ὁ τόπος τῶν Πισατῶν. Φλέγων μη′ Ὀλυμπιάδι. Σῆνος πόλις Αἰγύπτου. Ἑκαταῖος ἐν αὐτῆς περιηγήσει, Ἧνο ς , Σφῆνος ὄνομα τόπου, Σμῆνος ὄνομα ποταμοῦ, Γλῆνος ὄνομα πόλεως Κρητικῆς, Μῆνο ς , θρῆνο ς. τὰ δὲ ἐπίθετα ὀξύνεται, φηνός ὁ λαμπρός, στρηνό ς , πτηνό ς , ψηνό ς. ἔτι καὶ τὸ ληνός μὴ ὂν ἐπίθετον. Τὰ εἰς ινος δισύλλαβα βαρύνεται, Νίνος πόλις Ἀσσυρίων, ἣν ἔκτισε Νίνος Σεμιράμιδος ἀνήρ, ἐν τῇ Ἀτουρίᾳ. πίνος ὁ ῥύπος, δῖνος ἡ συστροφή, σχῖνο ς , λίνος ὃ σημαίνει εἶδος ὕμνου ὡς παιάν, διθύραμβος, σπίνος εἶδος ὀρνέου «καὶ σπίνος ἠῷα σπίζων καὶ ὄρνεα πάντα» παρ’ Ἀράτῳ (Dios. 292). Σπῖνος ποταμός, γρῖνο ς , πρῖνο ς. μόνον τὸ ῥινός ὀξύνεται «ἕσσατο δ’ ἔκτοσθεν ῥινόν» (Κ 334). τὸ δὲ κλεινό ς , αἰνό ς , δεινός ὀξύνεται μὴ ἔχοντα τὸ ι μόνον. τὸ δὲ αἶνος ἐπὶ τοῦ ὕμνου ἐπί τε τῆς πόλεως βαρύνεται. Τὰ εἰς υνος δισύλλαβα, εἰ μὴ κύρια εἴη, ὀξύνεται, θυνό ς , ξυνό ς , γρυνός ἡ ῥίζα τῶν ξύλων ἡ ξηρὰ καὶ παχεῖα, πλυνό ς , φρυνός ὁ βάτραχος. τὰ δὲ κύρια βαρύνεται, Κῦνος ἐπίνειον Ὀποῦντος, ὡς Φίλων καὶ Παυσανίας.

3,1 177 Ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν. Ὅμηρος «οἳ Κῦνόν τ’ ἐνέμοντ’ Ὀπόεντά τε Καλλίαρόν τε» (Β 531). Γρῦνοι πολίχνιον Μυριναίων. Ἑκαταῖος δὲ τὴν πόλιν Γρύνειαν καλεῖ. Θῦνος ἐθνικὸν ὁμοφώνως τῷ οἰκιστῇ ὡς Θετταλός Ἰταλός. Φρῦνος ἔθνος Σκυθικόν. * Τὰ εἰς ονος δισύλλαβα μονογενῆ ἀπαρασχημάτιστα βαρύνεται, χρόνο ς , Κρόνο ς , δόνο ς , φθόνο ς , κλόνο ς , πόνο ς , Πρόνος υἱὸς Κεφάλου. τὸ ὄνος ἔχον θηλυκὸν συνέπεσε τοῖς εἰρημένοις ὡς ἀπαρασχημάτιστον. τὸ γόνος, ὅπερ σημαίνει τὸ γεγενημένον, βαρύνεται, ὁ δὲ γεννητικὸς γονός ὀξύνεται, πλεονασμῷ τοῦ υ γουνός ὁ γεννητικὸς τόπος, ὁ γόνιμος καὶ κάρπιμος. Τὰ εἰς ωνος βαρύνεται, Πρῶνος πόλις Κρητική, κῶνο ς , ὦνος ἡ τιμή, στῶνοσ (?) , χῶνος ἡ χώνη, φῶνος ὁ μεγαλόφωνος. Τὰ εἰς αινος καὶ οινος μονογενῆ βαρύνεται, αἶνο ς· ἔστι δὲ καὶ Αἶνος πόλις Θρᾴκης. Στράβων ζ′ (p. 88) «ἐν δὲ τῇ ἐκβολῇ τοῦ Ἕβρου διστόμου ὄντος πόλις Αἶνος, κτίσμα Μιτυληναίων καὶ Κυμαίων». β′ ἔστι καὶ πόλις Θεσσαλίας, κληθῆναι δὲ αὐτὴν ὅτι πλησίον τῆς Ὄσσης ἦν Αἴνιος ποταμὸς καὶ κώμη ἐπώνυμος. οἱ δὲ ἀπὸ τοῦ Αἴνου τοῦ Γουνέως ἀδελφοῦ. γ′ ἔστι καὶ Λοκρῶν τῶν Ὀζολῶν. δ′ κατὰ Θάψακον καὶ τὸν Εὐφράτην. ε′ ἔστι καὶ νῆσος παρακειμένη τῇ εὐδαίμονι Ἀραβίᾳ. ἔστι καὶ τόπος Αἶνος ἐν τῇ καταντικρὺ Ῥοδίων ἠπείρῳ. Αὔαινο ς , Κόλαινος ὄνομα κύριον, ἀφ’ οὗ καὶ Κολαινία Ἄρτεμις, Κρύσταινο ς , Λέαινος ὄνομα κύριον. Μύραινο ς , Τάλαινος ἀπὸ τοῦ τάλας. Μακαρίαινο ς , Περίτταινο ς , Ἀρίσταινο ς . Μάζαινο ς . Δρύαινο ς , Μελάγχλαινος ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. κέκληνται ἀφ’ ὧν φοροῦσιν ὡς Ἱππημολγοὶ παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν καὶ Μοσσύνοικοι παρὰ τὰς οἰκήσεις. οἶνο ς , σχοῖνο ς. τὸ μέντοι κοινός τριγενὲς ὥσπερ τὸ δαφοινό ς , κελαινό ς , καινό ς , αἰνό ς.

3,1 178 Τὰ εἰς νος διφθόγγῳ παραληγόμενα τῇ διὰ τοῦ υ μονογενῆ ὀξύνονται, καυνός καὶ Καυνός πόλις Καρίας ὁμοφώνως τῷ οἰκιστῇ. ἔστι καὶ ἄλλη πόλις ἐν Κρήτῃ. γλαυνός (?) , βαυνός, ὅπερ οἱ Ἀττικοὶ βαρύνουσι, κρουνό ς· εἰσὶ καὶ Κρουνοί πόλις ἐν τῷ Πόντῳ ἀπὸ τῆς τῶν ὑδάτων καταρροῆς. βουνό ς , κεραυνό ς. τὸ μέντοι χαῦνος τριγενές. καὶ Χαῦνος ἔθνος Θεσπρωτικὸν—Ῥιανὸς τετάρτῳ Θεσσαλικῶν «Κεστρῖνοι Χαῦνοί τε καὶ αὐχήεντες Ἔλινοι»—βαρύνεται. τὸ δὲ πύραυνος ὁ χυτρόπους προπαροξύνεται ὡς καὶ Λούγδουνος πόλις Κελτογαλατίας. Πτολεμαῖος ἐν περίπλῳ, καὶ Βέρουνος Ἰταλικὴ πόλις μεταξὺ τῶν Νωρικῶν. Τὰ εἰς ανος τοῦ α βραχέος ὄντος, εἰ μὴ θηλυκὰ ἔχοι, εἰ μὴ πρὸ τοῦ α τὸ δ ἢ ε ἢ υ ὑπάρχοι, προπαροξύνεται, στέφανο ς , κλίβανο ς , λίβανο ς. ἔστι καὶ Λίβανος ὄρος τῆς Συρίας, χόανο ς , γέρανο ς , πλάτανο ς· ἔστι δὲ καὶ Πλάτανοι πόλις Φοινίκης, Ὄλγανος υἱὸς Βέρητος, ἀφ’ οὗ ποταμὸς ἐπώνυμος, Κάντανος πόλις Κρήτης ὡς Ξενίων. Ἴτανος πόλις ἐν Κρήτῃ ὁμοφώνως τῷ οἰκιστῇ, κοίρανο ς· ἔστι καὶ κύριον ὄνομα μάντεως. σεσημείωται τὸ πελανό ς , οὐρανό ς. Ἀλκαῖος δὲ καὶ εἰς ω ἀποφαίνεται τὸ ὄνομα, ὠρανός λέγων κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς τὸ ω καὶ ἄνευ τοῦ υ ὀρανός. καὶ

Σαπφώ «ψαύην δ’ οὐ δοκίμωμ’ ὀράνω δυσαπάχεα». Σικανός ἔθνος· ἔστι καὶ ποταμὸς Ἰβηρίας, ὥς φησιν Ἀπολλόδωρος. τὸ δὲ πιθανός ἔχει θηλυκόν. τὸ δὲ « δ πρὸ τοῦ α » διὰ τὰ ἀπὸ τοῦ δανος , ὅτι πάντα ὀξύνεται, χωρὶς εἰ μὴ ὀφθείη πρὸ τοῦ δ τὸ ρ καταλῆγον, οἷον ἑδανός ὁ ἡδύ ς , οὐτιδανός —οἱ δὲ οὔτις οὐτίδανος ὡς οὐδάμινος— ἐλλεδανός ὁ συστρέφων, ῥιγεδανό ς , πευκεδανό ς , ληθεδανό ς , σφεδανό ς , Ἀπιδανός ποταμὸς τῆς Τρωάδος «ἐκβάλλων εἰς τὴν ἑσπέριον θάλασσαν» ὡς Δημήτριός φησι κατὰ Τιμοσθένην, Ῥοδανός ποταμός, Ἠριδανός ποταμός, Ἐδδανός, ἀφ’ οὗ Ἔδδανα πόλις πρὸς τῷ Εὐφράτῃ.

3,1 179 ἐφυλάξατο δὲ ὁ κανὼν «τὸ ρ πρὸ τοῦ δ ὑπάρχον» διὰ τὸ Δάρδανος πόλις Τρωάδος. Μνασέας «Δάρδανος ἐξιὼν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τὸ παλλάδιον ἀράμενος ἀφίκετο εἰς Σαμοθρᾴκην μετὰ Ἁρμονίας καὶ Ἰασίωνος ἑνὸς τῶν ἀδελφῶν, κἀκεῖ διάγοντα Κάδμος ὁ Ἀγήνορος ἐφιλοποιήσατο, καὶ ἀποθανούσης Τηλεφάης γαμεῖ τὴν Ἁρμονίαν ὁ Κάδμος καὶ ἀποστέλλει τὸν Δάρδανον εἰς τὴν Ἀσίαν μετὰ τῶν ἑταίρων πρὸς Τεῦκρον τὸν Τρῶα· ὁ δὲ Τεῦκρος ἀναγνωρίσας τὸν Δάρδανον δίδωσιν αὐτῷ τὴν θυγατέρα Βάτειαν καὶ ἀποθνήσκων τὴν βασιλείαν. καὶ πόλιν ᾤκισε Δάρδανον καὶ Δαρδανίαν τὴν χώραν ὠνόμασεν, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο». Ἰάρδανος ποταμὸς Λυδίας. Ὅμηρος «Ἰαρδάνου ἀμφὶ ῥέεθρα» (Il. Η 135), ἃ προπαροξύνονται. «τὸ δὲ ε πρὸ τοῦ α » διὰ τὸ ὠκεανός ὁ ποταμὸς ὁ περιέχων τὴν γῆν. Φαβωρῖνος ἐν ταῖς παντοδαπαῖς ἱστορίαις «προσαγορεύουσι δὲ τὴν ἔξω θάλατταν ἐκεῖ μὲν οἱ πολλοὶ τῶν βαρβάρων Ὠκεανόν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες μεγάλην θάλασσαν, οἱ δὲ Ἕλληνες Ἀτλαντικὸν πέλαγος». ἐκλήθη δὲ οὕτως παρὰ τὸ ὠκέως νάειν, ὅ ἐστι ῥεῖν. καὶ «τὸ υ πρὸ τοῦ α » διὰ τὸ πυανός καὶ κυανό ς. Τὰ διὰ τοῦ ανος τριγενῆ ὀξύνεται, στεγανός ὁ πυκνός, πιθανός ὁ πρᾶος, ἱκανό ς , ὀρφανό ς , ἀγανό ς , τραγανό ς , ἰδανός «σὰς ἰδανὰς χάριτας» ὁ Καλλίμαχος, ἑδανό ς , πεδανό ς , ῥοδανό ς. * Τὰ διὰ τοῦ ανος τοῦ α ἐκτεταμένου ὀξύνεται, Ἀγκυρανό ς , Ἀσιανό ς , Καρδιανό ς , Ὀλβιανό ς , Φασιανό ς , Τραλλιανό ς , Σαρδιανό ς , Παριανό ς , Βοσποριανό ς , Κιανό ς , Τιανό ς , Ζυγιανό ς , Ταυριανό ς , Σκορπιανό ς . Τοξιανός ἔθνος Ταυρικὸν τὸ καὶ Τόξιοι. Ἱσπανό ς , Καρμανό ς , Καμπανό ς , Γερμανό ς , Βρεττανό ς , Ὠρετανό ς , Ἀφρικανό ς , Ἀλβανό ς , Ὑρκανό ς . Ἀλαμανός ἔθνος Γερμανοῖς πρόσχωρον. Ἀλανός ὄρος Σαρματίας. Ἀμενανός ποταμὸς Σικελίας. Ἀρβαξανός ἔθνος Λιγυστικόν «παρέπλεον δὲ τὴν χώραν τὴν μὲν πρώτην ἔρημον, ἣν ἐνέμοντο πρότερον Ἰψίκουροι καὶ Ἀρβαξανοί» Θεόπομπος τεσσαρακοστῷ τρίτῳ.

3,1 180 Ἀγριανός ἔθνος προσεχὲς τοῖς Καδουσίοις. Ἀπολλόδωρος δευτέρῳ. Ἀσπουργιανός ἔθνος τῶν περὶ τὴν Μαιῶτιν λίμνην. Στράβων ἑνδεκάτῃ (p. 495) «τούτων δ’ εἰσὶ καὶ Ἀσπουργιανοὶ μεταξὺ Φαναγορείας οἰκοῦντες καὶ Γοργιππίας». Βελιτανοί οἱ αὐτοὶ τοῖς Λουσιτανοῖς ὡς Ἀρτεμίδωρος ἐν τρίτῃ γεωγραφουμένων. Σινοεσσανοί ἔθνος Ἰταλικόν, ὡς Πολύβιος ἐν τρίτῳ. Φρουρεντανός ἔθνος Ἰταλίας. Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. Φωρμανοί πόλις Ἰταλίας καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Μυρλεανό ς , Τεανό ς , ἀκεανό ς. τὸ δὲ Κάρβανος ἀπὸ γενικῆς εὐθεῖα παραγομένη βαρύνεται. * Τὰ εἰς ενος μὴ ὄντα μετοχικὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Ἕλενος ὄνομα κύριον, ἔβενος εἶδος ξύλου, Ὤγενος ἀρχαῖος θεός, Ὤλενος πόλις Ἀχαΐας καὶ Αἰτωλίας θηλυκῶς λεγομένη. Αἰσχύλος Καρσίν «τὴν αἰπεινὴν ζαθέαν Ὤλενον». Σοφοκλῆς ἐν Ἱππόνῳ «ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι». Ἀπολλόδωρος δὲ ἀρσενικῶς αὐτήν φησιν ἐν τῇ η′ τοῦ νεῶν καταλόγου «τὸν Ὤλενον καὶ τὴν Πυλήνην νῦν μὲν οὐκέτι εἶναι συμβέβηκε». κέκληται δὲ ἀπὸ Ὠλένου τοῦ Διός, ὡς Ἴστρος ἐν Αἰγυπτίων ἀποικίαις «τῶν δὲ Δαναΐδων Ἀναξιθέας καὶ Διὸς Ὤλενον γενέσθαι τὸν ἄρξαντα τῶν Ὠλενίων». ἔστιν οὖν καὶ ἄλλη Αἰτωλίας, ἧς Ὅμηρος μνημονεύει «οἳ Πλευρῶν’ ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην» (Il. B 639). Τήμενος, ἀφ’ οὗ Τημένιον χωρίον Μεσσήνης. ἄφενο ς , Ἴσχενο ς , τέρενος, ὅπερ ἀπὸ τῆς τέρενος γενικῆς εὐθεῖα γίνεται. σεσημείωται τὸ παρθένος μόνον παροξυνόμενον. Τὰ διὰ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μενος μετοχικὰ ὀξύνονται, εἰ μὴ πάθος τι γένηται παρὰ τὴν φωνήν, τότε γὰρ προπαροξύνεται. τὰ δὲ ὀξύτονα ταῦτα· Στησαμενό ς , Ἀκεσαμενός «Ἀκεσσαμενοῖο θυγατρῶν» (Φ 142). Φαμενό ς. Σοφοκλῆς Μάντεσι ξυνετὸς Φαμενὸς Τειρεσίου παῖς. Ἰαμενό ς , Σωζομενό ς , Δεξαμενός, Μεσόλου παῖς, ἀφ’ οὗ Δεξαμεναί, Τισαμενό ς· λέγεται δὲ ὁ Ὀρέστης. Κλαυσαμενό ς. καταλέγεται δὲ ἐν μαλακοῖς. Ἀγχομενός γενναία, Βοιωτὶς δ’ ἦν ἐξ Ἀγχομενοῦ Ἀριστοφάνης Ταγηνισταῖς.

3,1 181 τὸ Ἰάλμενος προπαροξύνεται ὡς παθόν, ὥσπερ καὶ Ὄρμενο ς , κλύμενο ς , ἵκμενο ς , Ἄρμενος, ἀφ’ οὗ Ἀρμενία χώρα. Τὰ εἰς ηνος ὑπερδισύλλαβα μὴ σύνθετα ὀξύνεται, εἰ μὴ παρώνυμα εἴη κατὰ τροπὴν γένους θηλυκοῦ εἰς τὴν εἰς ος κατάληξιν γενόμενα ἢ παρὰ γενικῆς ἀναπεμφθέντα, ἢ παρὰ Συρακουσίοις παράγοιτο καθ’ ὁμοιωματικὴν σημασίαν. ὀξύνονται δὲ ταῦτα· Τυρσηνό ς , Ἀβυδηνό ς , Ἀσσακηνός ἔθνος Ἰνδικόν. Ἀρριανὸς τετάρτῃ τῆς Ἀλεξάνδρου ἀναβάσεως (25, 6) «ᾔει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς». Ἀταφηνός ἔθνος μέγα Ἀραβίας, περὶ οὗ Γλαῦκος ἐν δευτέρῳ. Δαχαρηνός ἔθνος Ἀραβίας. Εὐαληνός ἔθνος Ἀραβίας, περὶ οὗ φησι Γλαῦκος ἐν δευτέρῳ περὶ Ἀραβίας. Ἰβηνός ὁ καὶ Ἰβαῖος ἔθνος Κελτικῆς. Ἰβηνοὶ δ’ εἰσὶ καὶ Λιβύης, οἳ καὶ Ἰαονῖται λέγονται. Σαμηνός νομάδων Ἀραβίων ἔθνος. Σαλμηνός ἔθνος νομαδικόν, ὡς Γλαῦκός φησιν ἐν … Ἀραβικῆς ἀρχαιολογίας. Σακχηνός ἔθνος Ἀράβιον. Σκυθηνός ἔθνος οὐ πόρρω τῶν Μακρώνων, ὡς Ξενοφῶν ἐν ἀναβάσεως τετάρτῳ (7, 18). Χαβαρηνός ἔθνος. Εὔδοξος πρώτῳ γῆς περιόδου «ὀνομάζονται γὰρ καὶ Χαβαρηνοὶ οἱ περὶ Χαλύβων οἰκοῦντες, οἳ τῶν ξενικῶν γυναικῶν, ὧν ἴσως γένωνται κύριοι, τοὺς τίτθους ὠμοὺς ἐσθίουσι, τὰ δὲ παιδία κατευωχοῦσι». Ἐδεσσηνό ς , Σαρακηνό ς , Δαμασκηνό ς , Περγαμηνό ς , Λαμψακηνό ς . Ἀλπηνοί κώμη πλησίον Θερμοπυλῶν. Ἡρόδοτος. ἔστι καὶ μητρόπολις Λοκρῶν. τὸ ἐθνικὸν ὁμοίως. Καμαρηνοί νῆσοι Ἀραβίων. Ἑκαταῖος ἐν περιηγήσει· καὶ οἱ κατοικοῦντες ὁμοίως. Ταβηνός Ἀργεῖος, ἀφ’ οὗ κατ’ ἐνίους Τάβαι πόλις Λυδίας, καὶ ἔθνος κατὰ τὴν ἔρημον Καρμανίας οἰκοῦντες. Γαληνός κύριον, Ἀκεσηνός ποταμός, Εὐηνός ποταμὸς Αἰτωλίας, ὃς καὶ Λυκόρμας καλεῖται, Σιληνό ς , ποτηνό ς , ὠγηνό ς , ἀμενηνό ς , γαλαθηνό ς , πετηνό ς , ἀκμηνό ς , Ἰσμηνός ποταμὸς Βοιωτίας. τὸ δὲ πανσέληνος σύνθετον ὥσπερ καὶ τὸ προσέληνος —ὁ Ἀρκάς. Ἵππυς δὲ ὁ Ῥηγῖνος λέγεται πρῶτος καλέσαι προσελήνους τοὺς Ἀρκάδας—καὶ τὸ δύστηνο ς , δίμηνο ς , τρίμηνο ς , διχόμηνο ς. προσέθηκα δὲ «εἰ μὴ παρώνυμα εἴη κατὰ τροπὴν γένους θηλυκοῦ εἰς τὴν εἰς ος κατάληξιν γενόμενα» διὰ τὸ Ὑπήνη Ὕπηνος, Μυκήνη Μύκηνος, Κυλλήνη Κύλληνο ς. «ἢ παρὰ γενικῆς ἀναπεμφθέντα» διὰ τὸ Τροίζηνος «υἱὸς Τροιζήνοιο» (Β 847).

3,1 182 ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ· οὕτω καὶ ὁ Γέρην τοῦ Γέρηνος ὁ Γέρηνο ς· Ἡσίοδος ἐν α′ καταλόγων «κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ ξεῖνος ἐὼν ἐτύχησε παρ’ ἱπποδάμοισι Γερήνοις». καὶ αὖθις «Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμοέντι Γερήνῳ». πρόσκειται δὲ «εἰ μὴ παρὰ Συρακουσίοις παράγοιτο καθ’ ὁμοιωματικὴν σημασίαν» διὰ τὸ τοσσῆνο ς , τοιῆνο ς. Τὰ εἰς ινος ὑπερδισύλλαβα τὸ ι βραχὺ ἔχοντα σημαίνοντα μετουσίαν προπαροξύνεται, κρίθινο ς , δάφνινο ς , φήγινο ς , πύρινο ς , ξύλινο ς , λίθινο ς , δρΰϊνο ς , πέτρινο ς , γήϊνο ς , δερμάτινο ς , βύσσινο ς. τούτοις ὅμοια καὶ τὸ κότινος καὶ κόφινος προσηγορικὰ καὶ τὰ κύρια, Σίκινος νῆσος περὶ τὴν Κρήτην. Στράβων δεκάτῃ (p. 484). Μύρσινος πόλις Ἤλιδος «καὶ Μύρσινος ἐσχατόωσα» (Β 616) καὶ τὰ κτητικὰ Βίβλινος «Βίβλινος οἶνος» ἀπὸ Βιβλίνης χώρας Θρᾴκης. Βολβίτινος «Βολβίτινον ἅρμα» ἀπὸ Βολβιτίνης πόλεως Αἰγύπτου. τὰ μέντοι ἐπὶ καιροῦ ἢ ἀπὸ ἐπιρρήματος ὀξύνεται οἷον θερινό ς , χειμερινό ς , ἐαρινό ς , ἑσπερινό ς , νυκτερινό ς , ἑωθινό ς , δειλινό ς , μετοπωρινό ς , πρωϊνό ς , ὀψινό ς , χθεσινό ς , περυσινό ς , αὐρινό ς. παρὰ μέντοι ποιητῇ κατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκτασιν ἀναγινώσκομεν τοῦτο ἐπιζητοῦντος τοῦ μέτρου «ὡς δ’ ὅτ’ ὀπωρινὸς βορέης» (Φ 346) καὶ πάλιν «ἀστέρ’ ὀπωρινῷ ἐναλίγκιον» (Ε 5).

3,1 183 ταχινό ς , ἀληθινό ς , λεπτακινό ς , οὐδαμινό ς , φυζακινό ς , πυκινό ς , ῥαδινό ς , πεδινό ς. Τὰ εἰς ινος μακρὸν ἔχοντα τὸ ι ὅσα ἐν ὕδατι διαιτᾶται, προπερισπᾶται, ἐχῖνο ς· ἔστι καὶ μάντεως ὄνομα· ἔστι καὶ Ἐχῖνος πόλις Ἀκαρνανίας Ἐχίνου κτίσμα. ἔστι καὶ Θεσσαλίας. Ῥιανὸς «’Εχίονος ἄστυ» ταύτην εἶπεν. τινὲς δὲ καὶ Ἐχινοῦντά φασι τὴν αὐτήν. κορακῖνο ς , φοξῖνο ς. σεσημείωται τὸ καρκίνος παροξυνόμενον ἐπί τε τοῦ ζῳδίου τοῦ ἐν οὐρανῷ ὁμοίως καὶ τοῦ θαλασσίου ἢ ἐπιγείου ἢ καὶ κυρίου καὶ τοῦ ἐργαλείου· οὐ γὰρ ὑγιῶς τινες τοῦτο προπαροξύνουσιν. ἐχρῆν δὲ προπερισπᾶσθαι τὸ καρκίνος. καὶ τὸ γυρῖνος προπερισπᾶται ὁ μικρὸς βάτραχος. τούτοις δὲ ὁμοίως καὶ τὸ ἰκτῖνος ὁ ὄρνις καὶ τὸ κύριον. Ἰκτῖνος δὲ παρὰ Ἀττικοῖς οὐκ ἄσημος δημιουργός. Τὰ εἰς ινος ἔχοντα τὸ ι μακρὸν προσηγορικὰ βαρύνεσθαι θέλει, κάμινο ς , κύμινο ς , κυκλάμινο ς. σπάνια δὲ τὰ ὀξύτονα ἐρινός ὁ ἐρινεός καὶ ὁ χαλινό ς. Τὰ εἰς ινος τὸ ι μακρὸν ἔχοντα κύρια, ἐθνικὰ ἢ ἐπιθετικὰ ἢ ὑποκοριστικῶν ἔννοιαν ἔχοντα προπερισπῶνται, Φιλῖνο ς , Κρατῖνο ς , Ἐχῖνος τὸ κύριον, Γεντῖνος πόλις Τρωάδος, Γρησῖνος πόλις Χερρονήσου, Στουῖνος πόλις Λιγύρων καὶ ὁ πολίτης ὁμοφώνως. Ὑρτακῖνος πόλις Κρήτης, ἣ καὶ Ὑρτακός, καὶ ὁ πολίτης ὁμωνύμως. Φαιστῖνος πόλις Κρήτης, ἣ καὶ Φαῖστος, Κεστρῖνος ἥρως καὶ ἔθνος, Ῥιανὸς τετάρτῳ Θεσσαλικῶν «Κεστρῖνοι Χαῦνοί τε καὶ αὐχήεντες Ἐλινοί». Ἐρυθῖνος πόλις Παφλαγονίας· λέγεται δὲ παρὰ τὸ ἔρευθος. Ἀπολλώνιος «αἰπεινούς τε παρὲξ ἐνέοντ’ Ἐρυθίνους» (Argonaut. 2, 941). καὶ Ὅμηρος «καὶ ὑψηλοὺς Ἐρυθίνους» (Β 855) καὶ τὸ ἐθνικὸν ὅμοιον. Λαμητῖνος πόλις Ἰταλίας ἀπὸ Λαμήτου ποταμοῦ πρὸς Κρότωνι. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Λάμητος ποταμός, ἐν δὲ Λαμητῖνοι». καὶ ὁ πολίτης Λαμητῖνος. Λατῖνο ς , Λεοντῖνο ς , Ῥηγῖνο ς , Μαμερτῖνο ς , Ἀκραγαντῖνο ς , Ἰναχῖνο ς , Ταραντῖνο ς , Σαβῖνο ς , Νουκερῖνο ς. Πολύβιος τρίτῳ. Νεπεσῖνος ἀπὸ τοῦ Νέπετος κατὰ τροπὴν τοῦ τ εἰς ς .

3,1 184 Ἀργυρῖνος ἔθνος Ἠπειρωτικόν, ὡς Τίμαιος καὶ Θέων καὶ Λυκόφρων «εἰς Ἀργυρίνους καὶ Κεραυνίων νάπας» (v. 592). Βουδῖνος ἔθνος Σκυθικόν, παρὰ τὸ δινεύειν ἐπάνω ἁμαξῶν ὑπὸ βοῶν ἑλκομένων. ἁμαξόβιοι γὰρ οἱ Σκύθαι. Παρμένων ὁ Βυζάντιος ἐν ἰάμβων πρώτῳ. Βουλῖνος ἔθνος περὶ Ἰλλυρίαν. Ἀρτεμίδωρος δὲ οὐκ ἔθνος, ἀλλὰ Βουλίνην πόλιν φησίν, ἧς τὸ ἐθνικὸν Βουλῖνος. Δωνεττῖνος, ἔθνος Μολοσσικόν. Ῥιανὸς δ′ Θεσσαλικῶν «αὐτὰρ Δωνεττῖνοι ἰδ’ ὀτρηροὶ Κεραῗνες» καὶ ἐν τῇ ζ′ «ἑπτὰ δὲ Δωνεττῖνοι, ἀτὰρ δυοκαίδεκα Κᾶρες». Λιβυστῖνος ἔθνος παρακείμενον Κόλχοις, ὡς Διόφαντος ἐν πολιτικοῖς. Ἀγαθῖνο ς. Ἅβρων ἐν τῷ περὶ παρωνύμων τοῖς ἐθνικοῖς καὶ τοῦτο συνέμιξεν. εἰ δὲ καὶ κύριον εἴη τὸ Ἀγαθῖνος, οὐκ ἀπεικὸς σημαίνειν ἀμφότερα. Σχοινεύς γὰρ καὶ κύριον καὶ ποταμοῦ καὶ ἐθνικὸν καὶ Λίξος, ὁμοίως Θεσσαλός καὶ Σικανός καὶ Σικελός καὶ μυρία. Ἀμοργῖνος τὸ ἐθνικόν, τὸ δ’ ἀμόργινος χιτὼν χρώματος ἴδιον ἀγρωστῖνο ς , ἀγχιστῖνο ς , προμνηστῖνος ἐπιθετικά. παλλακῖνος ὑποκοριστικόν. τὸ δὲ λαρινός «λαρινῷ βοΐ» (Aristoph. Pac. 925) ὀξύνεται ὡς ἀληθινός. Τὰ εἰς εινος ὑπερδισύλλαβα ἁπλᾶ παρώνυμα ὀξύνεται, φαεινό ς , σκοτεινό ς , ἀλγεινό ς , βορεινό ς , ταπεινός τὸ ἐπίθετον. ἐλεεινό ς , αἰπεινό ς , ὀρεινό ς , ποθεινό ς , φωτεινός καὶ τὸ κύριον ὁμοίως. τὸ δὲ εὔξεινος σύνθετον ὂν προπαροξύνεται. * Τὰ διὰ τοῦ ονος ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Μύκονος υἱὸς Ἀνίου τοῦ Καρυστοῦ καὶ Ῥοιοῦς τῆς Ζάρηκος καὶ ἀπ’ αὐτοῦ Μύκονος μία τῶν Κυκλάδων. Θουκυδίδης τρίτῃ (c. 29) καὶ Στράβων δεκάτῃ (p.

3,1 185 487) «Μύκονος δ’ ἐστίν, ὑφ’ ᾗ μυθεύουσι κεῖσθαι τῶν Γιγάντων τοὺς ὑγιεινοτάτους ὑφ’ Ἡρακλέους καταλυθέντας, ἀφ’ ὧν ἡ παροιμία ‘πάντα ὑπὸ μίαν Μύκονον‘ ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν ἀγαγόντων τὰ διῃρημένα τῇ φύσει· καὶ τοὺς φαλακροὺς δέ τινες Μυκονίους καλοῦσιν ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν τῇ νήσῳ». Ἤδονος ποταμός. τὸ δὲ ἡμίονο ς , ἔγγονο ς , πρόγονο ς , ἄτονος σύνθετά εἰσιν. Τὰ εἰς υνος ὑπερδισύλλαβα προπαροξύνεται· εἰ δέ τι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀξυτονηθῇ, ἐθνικὸν εὑρέθη, κίνδυνο ς , Πάχυνος ἀκρωτήριον Σικελίας, πίσυνο ς , βόθυνο ς . Ῥόσχυνο ς . Ὄρδυνος ὄνομα ποταμοῦ, κόρυνο ς , εὔθυνο ς , γηθόσυνος «γηθόσυνος δ’ οὔρῳ» (Od. ε 269), δεσπόσυνο ς , θάρσυνο ς , Λάβυνο ς. τὸ μέντοι Βιθυνός καὶ Μαριανδυνός ἐθνικά. Μαριάνδυνος δὲ βαρυτόνως κατὰ τοὺς Αἰολεῖς. τὸ μόσυνος βαρυνόμενον σημειῶδες καὶ μακρὸν ἔχει τὸ υ (τὰ γὰρ ἔχοντα τὸ ς βραχὺ ἔχει τὸ υ ). ἀπὸ γενικῆς γὰρ μετήχθη. αἱ δὲ γενικαὶ αἱ διὰ τοῦ νος ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι εἰ παραλήγοιντο τῷ υ , ἐκτεταμένῳ παραλήγονται, Φόρκυνο ς , Πόλτυνο ς· καὶ τὸ γέρυνος ὁ μικρὸς βάτραχος. Τὰ εἰς ωνος ἁπλᾶ ὑπερδισύλλαβα ὀξύνεται, κοινωνό ς , οἰωνό ς , Γελωνός πόλις Σαρματίας τῆς ἐν Εὐρώπῃ ἀπὸ Γελωνοῦ τοῦ Ἡρακλέους, τοῦ Ἀγαθύρσου ἀδελφοῦ. ἔστι δὲ ἡ πόλις ξυλίνη, κειμένη ἐν Βουδίνοις, ὡς Ἡρόδοτος (IV 108). καὶ ὁ οἰκήτωρ ὁμοφώνως. υἱωνό ς , Τιθωνό ς , Κολωνό ς , μελεδωνό ς , Ἠδωνός ἔθνος Θρᾴκης ἀπὸ Ἠδωνοῦ τοῦ Μύγδονος ἀδελφοῦ, Ἐτεωνός πόλις Βοιωτίας. Ὅμηρος «πολύκνημόν τ’ Ἐτεωνόν» (Il. Β 497). καλεῖται δὲ νῦν Σκάρφη. Καννωνό ς , Ὀθρωνός πόλις, οἱ δὲ νῆσον πρὸς νότον Σικελίας. «ἄλλοι δὲ Μελίτην νῆσον Ὀθρωνοῦ πέλας» (Lycophr. 1027). Βωδωνός ἥρως, ἀφ’ οὗ Βωδώνη πόλις Θεσσαλίας. τὰ δὲ σύνθετα προπαροξύνεται, τετράγωνο ς , εὔφωνο ς , εὔωνο ς. τὸ δὲ Κόρωνος κύριον, τὸ δὲ κορωνός ἐπίθετον. βαρύνονται δὲ καὶ Γίγωνος πόλις Θρᾴκης προσεχὴς τῇ Παλλήνῃ, Ἴτωνος ἥρως καὶ πόλις Θεσσαλίας ἢ καὶ Ἴτων, Ἄλπωνος πόλις καὶ ὄρος ἐν Μακεδονίᾳ, ὡς Εὐφορίων, τινὲς δὲ Θετταλίας αὐτήν φασιν.

3,1 186 ἔστι καὶ ἄλλη Λοκρῶν Ἐπιζεφυρίων ὡς Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. Τρίτωνος πολίχνιον Μακεδονίας, Τρικόλωνος παῖς Λυκάονος καὶ ἀπ’ αὐτοῦ πόλις Ἀρκαδίας. Τὰ εἰς ξος εἴτε δισύλλαβα εἴτε ὑπὲρ δύο συλλαβὰς βαρύνονται, Λίπαξος πόλις Θρᾴκης. Ἑκαταῖος. Ἄραξος ἀκρωτήριον. ἔστι δὲ καὶ ἔθνος Ἰλλυρίας, ὃ καὶ Ἀράξης, Ἀλέξανδρος Κορνήλιος ἐν τῷ περὶ τῶν παρ’ Ἀλκμᾶνι τοπικῶς εἰρημένων, Πύξος ἡ πόλις καὶ τὸ φυτόν, μύξο ς , Βύξος ὄνομα κύριον. Σίξος πόλις Μαστιηνῶν. Ἑκαταῖος «μετὰ δὲ Σίξος πόλις». Φρίξος ἥρως καὶ πόλις Λυκίας, Λίξος ποταμὸς Λιβύης καὶ Μαυριτανίας καὶ ἔθνος. Λάκοξο ς , Ῥοῖξος ἐπίνειον Κιλικίας ἐπὶ ταῖς ἐκβολαῖς τοῦ Σάρου ποταμοῦ. Κρόξο ς , Βόξο ς , Λάοξος ὁ ποταμός. Ὦξος ὁ ποταμός. Ἄξος πόλις Κρήτης ὡς Ἡρόδοτος ἐν τετάρτῃ (c. 154), Νάξος νῆσος τῶν Κυκλάδων ἀπὸ τοῦ Νάξου Καρῶν ἡγεμόνος, ἄλλοι δὲ ἀπὸ Νάξου τοῦ Ἐνδυμίωνος. Εὐφορίων δὲ παρὰ τὸ νάξαι, ὅ φασι θῦσαί τινες. ἔστι καὶ πόλις Σικελίας. καὶ ἄλλοι τόποι Νάξοι. Ὄαξος πόλις Κρήτης Ἐλευθέρνης οὐ πόρρω, καθὰ Ξενίων ἀπὸ Ὀάξου τοῦ Ἀκακαλλίδος τῆς θυγατρὸς τοῦ Μίνω. τινὲς δὲ διὰ τὸ καταγῆναι τὸν τόπον καὶ κρημνώδη ὑπάρχειν. καλοῦσι γὰρ τοὺς τοιούτους τόπους ἄξους, καθάπερ καὶ ἡμεῖς ἀγμούς. Χάραξος ἀπὸ τοῦ χαράξω, ἀφ’ οὗ Χαράξης. Ὀλόφυξος πόλις ἐν Θρᾴκῃ περὶ τὸν Ἄθω. Ἴξος λιμὴν τῆς Ῥόδου. τὸ μέντοι ἰξός τὸ προσηγορικὸν ὀξύνεται, καὶ τὸ λοξό ς , φοξός ὡς ἐπίθετα καὶ τὸ κοραξός ὡς ἐπίθετον ὀξύνεται, βαρύνεται δὲ ὡς ἐθνικόν. ἔστι δὲ ἔθνος Κόλχων πλησίον Κώλων. Ἑκαταῖος Εὐρώπῃ. τὸ δὲ λαξός καὶ φυλλοξός κατὰ συγκοπὴν ἀπὸ τοῦ λαοξόος καὶ φυλλοξόος γέγονεν. Τὰ εἰς πος δισύλλαβα μὴ ὄντα ἐπιθετικὰ παραλήγοντα διχρόνῳ ἢ μακρῷ φωνήεντι βαρύνεται, ἶπος παρὰ τὸ ἴπτω καὶ ἰάπτω ὡς κόπτω κόπος.

3,1 187 ἔστι δὲ εἶδος παγίδος. ῥῖπο ς , γρῖπο ς , τρίπο ς , ῥύπο ς. τὸ δὲ παρὰ τῷ ποιητῇ «καθήραντες ῥύπα πάντα» (Od. ζ 93), εἰ μή ἐστι πληθυντικὸν οὐδέτερον, μεταπέπλασται ἐκ τῆς ῥύπον αἰτιατικῆς ὡς ἡ λῖτα ἐκ τῆς λιτόν. τύπο ς , κτύπο ς , στύπος τὸ στέλεχος τοῦ δένδρου. Κρῶπος καὶ ῥῶπος ὁ παντοδαπὸς φόρτος. κῆπο ς . Κνῶπος κύριον, ἀφ’ οὗ Κνωπούπολις, Σκοῦποι πόλις Θρᾴκης. τὸ δὲ γρυπός —ῥυβός ἐστι παρὰ τοῖς Αἰολεῦσι τὸ ἐπικαμπὲς ἤτοι ῥαιβόν καὶ τροπῇ τοῦ β εἰς π ῥυπός καὶ πλεονασμῷ τοῦ γ γρυπός—καὶ λοιπός ἐπίθετά εἰσιν. Τὰ εἰς πος δισύλλαβα παραλήγοντα διχρόνῳ καταλήγοντι εἰς μ ἢ εἰς π βαρύνεται, ἵππος καὶ Ἵππος νῆσος Ἐρυθραίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θεόπομπος τεσσαρακοστῷ δευτέρῳ· ἔστι καὶ Σικελίας· ἔστι καὶ Παλαιστίνης. πάππο ς . κάμπος καὶ Κάμπος τόπος περὶ Κύμην κτίσμα Καμπανῶν. Λάμπος κύριον, λαμπός δὲ τὸ ἐπίθετον. τὸ δὲ καρπός ὀξύνεται. οὐ γὰρ ἔχει τὸ δίχρονον λῆγον εἰς μ ἢ εἰς π . πρὸς ἀντιδιαστολὴν δὲ ἐβαρύνθη τὸ Κάρπος κύριον ὄνομα ὡς Ἄρποι πόλις Δαυνίας ἡ καὶ Ἀργύριππα. Τὰ εἰς πος δισύλλαβα μὴ ἐπιθετικὰ ἔχοντα ο ἐν τῇ παραληγούσῃ ἢ μόνον ἢ μετὰ συμφώνου ἢ συμφώνων, εἰ μὴ διαφοράν τινα ποιοίη ἢ ὑποστρέφει εἰς ῥῆμα τῷ ε παραληγόμενον, βαρύνεται, τρόπος ὁ τρέπων, τροπός ὁ τετραμμένος, κόμπος τὸ προσηγορικόν, κομπός τὸ ἐπίθετον, τόπο ς , κόπο ς , πόπο ς· Σκύθαι γὰρ τὰ παρ' αὐτοῖς ἀγαλμάτια πόπους καλοῦσι. κόλπο ς , δόρπο ς. τὸ μέντοι σκοπός καὶ ὀπός καὶ λοπός ὀξύνεται ὥσπερ τὰ ἐπίθετα λοιπό ς , γρυπό ς , πομπό ς , χαλεπό ς. Τὰ διὰ τοῦ δαπος πάντα παρηγμένα ὀξύνεται, ἡμεδαπό ς , ποδαπό ς , παντοδαπό ς , ἀλλοδαπό ς , τηλεδαπό ς.

3,1 188 Ἔτι τὰ ἐπιθετικὰ σύνθετα τῷ ω παραληγόμενα ὀξύνεται αἱματωπό ς , κελαινωπό ς , πολυωπό ς , εὐωπό ς , τηλωπό ς , χαρωπό ς , μελανωπό ς , πελιωπό ς. Τὰ εἰς πος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ ἀρσενικὰ ὄντα καὶ θηλυκὰ μηδὲ ἐπιθετικά, εἰ μὴ παραλήγοιτο τῷ ω , προπαροξύνεται, Ἄροπο ς , Τρίοπος ὁ πατὴρ Ἐρυσίχθονος. Ἑλλάνικος δὲ καὶ Τριοπά φησιν αὐτὸν ἀπὸ τοῦ Τρίοψ. Δουρίοπος πόλις Μακεδονίας. Στράβων ἑβδόμῃ (p. 326). οὕτως καὶ ἡ χώρα. Ἄναπο ς , Ὕαπος, ἀφ' οὗ Ὑάπεια πόλις Φωκίδος. Μέσσαπος ὁ μετοικήσας εἰς Ἰταλίαν, ἀφ' οὗ Μεσσαπία. Πρίαπος υἱὸς Ἀφροδίτης καὶ Διονύσου. ἔστι καὶ πόλις Ἑλλησποντίας. Ἀστέροπο ς . Ὄλυμπο ς· ἔστι καὶ ὄρος Μυσίας. Ἀρριανὸς Βιθυνιακῶν πρώτῳ. ἔστι καὶ πόλις Παμφυλίας. Στράβων ιδ' (p. 666). Μέλαμπο ς . Εὐρύαμπος πόλις Μαγνησίας. Μάρσιππος πόλις Φοινίκης. Φίλιππο ς. εἰσὶ καὶ Φίλιπποι πόλις Μακεδονίας οἱ πρότερον Κρηνίδες. Ἀρτεμίδωρος «καὶ πόλις Φίλιπποι τὸ παλαιὸν Κρηνίδες. τοῖς δὲ Κρηνίταις πολεμουμένοις ὑπὸ Θρᾳκῶν βοηθήσας ὁ Φίλιππος Φιλίππους ὠνόμασεν». ἐκλήθησαν Φίλιπποι καὶ αἱ Θῆβαι Θεσσαλίας καὶ Γόμφοι Θεσπρωτίας. Εὔριπο ς . Ἴσηπος ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. Χάροπος τὸ κύριον, χαροπός δὲ τὸ ἐπίθετον. σεσημείωται τὸ ἀτραπός ὀξυνόμενον καὶ τὸ Ἀριμασπός ἔθνος Ὑπερβορέων. τὸ δὲ ἀρτίπο ς , ἀελλόπος ὡς παρὰ τῷ ποιητῇ (Θ 409) «ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα», ὠκύπος κατ' ἔλλειψιν τοῦ υ γενόμενα παροξύνεται. τὰ δὲ παραληγόμενα τῷ ω κύρια ἢ προσηγορικὰ καὶ βαρύνεται καὶ ὀξύνεται. τὰ μὲν οὖν κύρια ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ὀξύνεται, Ἰνωπός ὄνομα ποταμοῦ, Ἀσωπός πατὴρ Αἰγίνης, Ὠρωπός πόλις Βοιωτίας. ἔστι καὶ πόλις ἐν Ἄργει κτισθεῖσα καὶ ἐν Θεσπρωτίᾳ. λέγεται καὶ ἀρσενικῶς. Θουκυδίδης ὀγδόῃ (c. 60) «ἔχοντες οὖν τὸν Ὠρωπὸν ἀφικνοῦνται εἰς τὴν Ῥόδον». Παυσανίας δὲ ἐν τῷ ἑβδόμῳ (c. 11, 4) τὴν πόλιν θηλυκῶς φησι «διαρπάζουσι Ὠρωπὸν ὑπήκοόν σφισιν οὖσαν». Κασσωπό ς.

3,1 189 οὕτως Ἡρόδωρός φησιν τοὺς Κασσωπίους, ἴσως κακῶς. Εὐρωπός ὁ Μακεδόνος καὶ Ὠρειθυίας τῆς Κέκροπος· καὶ ἀπ' αὐτοῦ πόλις Μακεδονίας. ἔστι καὶ Συρίας ἄλλη κτισθεῖσα ὑπὸ Νικάτορος, περὶ ἧς ὁ πολυίστωρ ἐν τῷ περὶ Συρίας φησὶν οὕτως «Ξενοφῶν ἐν ταῖς ἀναμετρήσεσι τῶν ὀρῶν περὶ Ἀμφίπολιν κεῖσθαι πόλιν Εὐρωπόν, ἣν πρότερον Τελμισσὸν καλεῖσθαι ὑπὸ τῶν κτισάντων. ταύτην δέ φασιν ὑπὸ Σελεύκου τοῦ Νικάτορος ἐπικτισθεῖσαν Ὠρωπὸν ὠνομάσθαι ἀπὸ τῆς ἐν τῇ Ἑλλάδι Ὠρωποῦ». σημείωσαι τὸ Αἴσωπο ς. τὸ δὲ Κρότωπος καὶ Μελάνωπος κύρια οὐκ ἀπὸ μακρᾶς ἄρχονται. Κάνωπος δέ, ὅπερ ἔδει γράφεσθαι διὰ τοῦ π , ὅμως γράφεται διὰ τοῦ β . τὸ δὲ ἄνθρωπος προσηγορικὸν προπαροξύνεται. τὸ μέντοι στενωπός ὀξύνεται προσηγορικὸν ὂν ἐπὶ θηλυκοῦ μόνου. ἔτι καὶ τὸ ἀλωπός ὀξύνεται. ΠΕΡΙ ΤΩΝ ΕΙΣ ρος , σος , τος , φος ΚΑΙ ΤΩΝ ΚΑΘΕΞΗΣ. ΒΙΒΛΙΟΝ η'. Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ α κύρια ὄντα ἢ προσηγορικὰ βαρύνονται, λάρος «λάρῳ ὄρνιθι ἐοικώς» (Od. ε 51), κάρο ς , Φάρο ς. ἔστι δὲ ἀρσενικόν. οὕτω γὰρ ὁ Μενελάου ἐκαλεῖτο πρωρεύς. ἀλλὰ καὶ θηλυκὸν ἐπὶ τῆς νήσου τῆς πρὸς τῇ Ἀλεξανδρείᾳ ἀπ' αὐτοῦ ὄνομα λαβούσης, ὥς φησιν Ἑκαταῖος. δηχθεὶς γὰρ ὑπὸ ὄφεως ἐν τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νήσῳ ἐτάφη. καὶ ὁμωνύμως λέγεται ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος ἐπ’ αὐτῆς. Φάρος δὲ καὶ ἡ Ἀλεξάνδρεια ἐκαλεῖτο. ἔστι καὶ νῆσος ἐν τῷ Ἀδρίᾳ ποταμὸν ὁμώνυμον ἔχουσα. ἔστι δὲ κτίσμα Παρίων, ὡς Ἔφορος εἰκοστῷ ὀγδόῳ. ἔστι καὶ πόλις Ἰλλυρίας, ὡς Πολύβιος γʹ. ἔστι καὶ Περραιβίας πόλις. σάρος καὶ Σάρος ποταμὸς Κιλικίας ὃς πρότερον Κοίρανος καλούμενος ἀπὸ τοῦ ἡγεμόνος Σάρου ἐκλήθη. Πάρος νῆσος, ἣν καὶ πόλιν Ἀρχίλοχος καλεῖ ἐν τοῖς ἐπῳδοῖς. τὸ ὄνομα μὲν λέγεται ἀπὸ Πάρου τοῦ Παρρασίου ἀνδρὸς Ἀρκάδος ἔχειν ὡς Καλλίμαχος.

3,1 190 Νικάνωρ δὲ ἐν ταῖς μετονομασίαις κεκλῆσθαί φησιν Πακτίαν Δημητριάδα Ζάκυνθον Ὑρίαν Ὑλήεσσαν καὶ Μινῴαν καὶ Κάβαρνιν. ἔστι δὲ καὶ ἄλλη Πάρος νῆσος Λιβυρνῶν, ὥς φησι Σκύμνος ὁ Χῖος ἐν πρώτῳ περιηγήσεως. Κλάρο ς. Νίκανδρος (Ther. 958) μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρος νιφόεσσα πολίχνη. γάρο ς. Αἰσχύλος Πρωτεῖ σατυρικῷ καὶ τὸν ἰχθύων γάρον· σπάρο ς , σκάρος καὶ Σκάρος πόλις Λυκίας καὶ τὸ ἐθνικὸν ὁμοίως. ἔστι δὲ καὶ κρήνη ἱερά. Τμάρος ὁ Τόμαρος ὄρος Δωδώνης. τὸ δὲ βᾶρος καὶ Ῥ ᾶρος παρ’ Ἀττικοῖς κατὰ χρόνον σημειώδη. τὸ δὲ κλᾶρός ἐστι Δωρικόν. τὰ μέντοι ἐπίθετα ὀξύνεται, μναρός ὁ ἡδὺς, λαρός ὁ γλυκύς «λαρὸς ἄμης», ἔνθεν τὸ οὐδέτερον «λαρὸν τετυκοίμεθα δόρπον» (Od. μ 283). ψαρό ς , ναρός, ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ σατυρικῷ ναράς τε πατρὸς κυμάτων ἐπιρροὰς ἐπώμοσα. Τὰ εἰς ηρος δισύλλαβα κύρια ὄντα βαρύνεται, Σῆρο ς , Τρῆρος χωρίον Θρᾴκης, Δρῆρος πόλις Κρητική. τὰ δὲ προσηγορικά, εἰ μὴ ἀπὸ συμφώνων ἄρχοιντο, ὀξύνεται, κηρό ς , φηρός ἡ τροφὴ τῶν θεῶν, μηρό ς. τὸ μέντοι κλῆρος βαρύνεται ὡς ἀπὸ δύο συμφώνων ἀρξάμενον. Τὰ εἰς ηρος δισύλλαβα ἐπιθετικὰ ὄντα μετὰ θηλυκῶν, εἰ μὲν ἀπὸ ἡμιφώνου ἄρχοιτο, ὀξύνεται, σκληρό ς , ξηρό ς. καὶ τὸ πηρός δὲ ὀξύνεται παρὰ τῷ ποιητῇ, παρὰ δὲ τοῖς Ἀττικοῖς πῆρος. ὑγιεστέρα δὲ ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἐπεὶ τὰ εἰς ος δισύλλαβα, εἰ ἔχοι τὴν πρώτην συλλαβὴν ἔχουσαν τὸ π καὶ τὸ η ὀξύνονται οἷον πηός, πηλός. οὕτως καὶ πηρός. τὸ δὲ λῆρος μονογενές. Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ι κύρια ὄντα βαρύνεται, Ἶρος τὸ κύριον καὶ πόλις Θεσσαλίας.

3,1 191 Λυκόφρων «Ἶρόν τε Τραχῖνα καὶ Περραιβικήν» (v. 905), Πῖρο ς , Τίρο ς , Σκίρος τὸ κύριον. ἔστι δὲ ἥρως, ἀφ’ οὗ Σκίρον τόπος Ἀττικός, καὶ Ἀρκαδίας κατοικία πλησίον Μαιναλέων καὶ Παρρασίων. εἰ μέντοι προσηγορικὰ ἢ ἐπιθετικὰ εἴη, ὀξύνεται, ἱρός ὁ ἱερός, λιρός ὁ ἀναιδής, σιρός τὸ προσηγορικὸν ὁ κατώγειος οἶκος. Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ο βαρύνεται, ὁπότε γίνεται ἀπὸ τῶν παραληγομένων τῷ ε ἢ ει ἢ αι διφθόγγῳ ῥημάτων, εἰ μή τις διαστολὴ γένοιτο, σπόρος, ὅτι σπείρω, πτόρος ὁ πταρμός, ὅτι πταίρω, φθόρος ὅτι φθείρω, μόρος ὅτι μείρω, κόρος ὅτι κείρω, φόρος ὅτι φέρω, φορός δὲ ὁ ἄνεμος ὀξυτόνως, ὅρο ς, εἴρω γάρ, ὀρός δὲ τὸ ἀφυλιζόμενον τοῦ γάλακτος. τὸ δὲ ὄρρος βαρυτόνως καὶ κατὰ τὴν διάλεκτον καὶ τῷ λόγῳ· τὰ γὰρ εἰς ος μονογενῆ δισύλλαβα τῷ ο παραληγόμενα ἢ ἐξ αὐτοῦ ἀρχόμενα καὶ ἔχοντα δὶς τὸ αὐτὸ σύμφωνον βαρύνεται, κόννος, κόκκος, κόττος, ὄσσος· οὕτως ἄρα καὶ ὄρρος· τὸ μέντοι βορός ὁ πολλὰ ἐσθίων καὶ τὸ χορός καὶ σορός ὁ τάφος καὶ τορός ὀξύνονται· οὐ γὰρ γίνονται ἀπὸ τοιούτων ῥημάτων, ἀλλὰ τὸ βορός ἀπὸ τοῦ βρῶ βρώσω βρώσκω, καὶ τὸ χορός ἀπὸ τοῦ χωρῶ, χῶρος, χορός τροπῇ τοῦ ω εἰς ο , καὶ τὸ σορός ἀπὸ τοῦ σωρεύω σωρεός σωρός ἀρσενικῶς καὶ σορός θηλυκῶς καὶ τὸ τορός δὲ ἀπὸ τοῦ τρῶ. σεσημείωται τὸ δορός ὁ δεδαρμένος, εἰ καὶ ἐκ τοῦ δείρω γίνεται. Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ υ βραχεῖ βαρύνονται, Σύρος κοινὸν ὄνομα πολλῶν ἐθνῶν.

3,1 192 Τύρος νῆσος ἐν Φοινίκῃ ἀπὸ Τύρου τοῦ Φοίνικος. ἔστι καὶ Τύρος τῆς Λακωνικῆς καὶ νῆσος πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ, ἣν Ἀρτεμίδωρος Τύλον διὰ τοῦ λ καλεῖ, ἔστι καὶ πόλις Ἰνδίας καὶ Λυδίας καὶ Πισιδίας. Ἀρριανὸς δὲ τὰ Ἄναθα Τύρον καλεῖ. Μύρος ποταμὸς παραρρέων Μύραν πόλιν ὁ καὶ Μύρων. εἰ δὲ ἔχοι ἐκτεταμένον, κύρια μὲν ὄντα βαρύνεται, Κῦρο ς , Σκῦρος, ἡ νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ «Σκῦρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες». Σφῦρο ς , Σῦρος νῆσος Ἰωνική, ὡς Στράβων δεκάτῃ (p. 485), ἣν ὁ ποιητὴς Συρίην καλεῖ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀδυσσείᾳ (ο 403) ἥτις μηκύνει τὴν πρώτην. μὴ οὕτω δέ, ὀξύνεται, πυρός ὁ σῖτος, τυρό ς , ξυρό ς. Τὰ εἰς ρος μονογενῆ δισύλλαβα παραληγόμενα τῷ ω βαρύνεται, Δῶρος ὁ Ἕλληνος καὶ πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίᾳ «μετὰ δὲ ἡ πάλαι Δῶρος, νῦν δὲ Δῶρα καλεῖται». Ἰώσηπος ἐν ς′ τῆς Ἰουδαϊκῆς ἱστορίας «εἶναί τι γύναιον ἐν πόλει Δώρῳ» καὶ πάλιν «ὅτε ἤνεγκεν εἰς τὴν Δῶρον». Ἀπολλόδωρος ἐν χρονικῶν δ′ «εἰς Δῶρον οὖσαν ἐπιθαλάττιον πόλιν». καὶ Ἀλέξανδρος ἐν Ἀσίᾳ «Δῶρος τ’ ἀγχίαλός τ’ Ἰόπη προύχουσα θαλάσσης». καὶ Χάραξ ια′ «Τρύφων ἐν Δώρῳ τῆς κοίλης Συρίας πόλει πολιορκούμενος ὑπ’ Ἀντιόχου ἔφυγεν εἰς Πτολεμαΐδα τὴν Ἄκην λεγομένην». ἔστι καὶ Καρίας Δῶρος πόλις, ἣν συγκαταλέγει ταῖς πόλεσιν ταῖς Καρικαῖς Κρατερὸς ἐν τῷ περὶ ψηφισμάτων τρίτῳ «Καρικὸς φόρος· Δῶρος, Φασηλῖται». Βῶρο ς . Χλῶρος τὸ κύριον, χῶρο ς , Πρῶρο ς , Πῶρος ὄνομα κύριον. Ὦρο ς. σεσημείωται τὸ σωρός τὸ πλῆθος ἐκ τοῦ σωρεός συγκοπέν. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, χλωρό ς , βλωρός ὁ ὑπόλευκος, ζωρός ὁ θερμός, ψωρό ς , πωρό ς , μωρός καὶ μῶρος Ἀττικῶς. Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῇ αι διφθόγγῳ, εἰ μὲν κύρια εἴη, βαρύνεται, Σφαῖρο ς , Σκαῖρο ς.

3,1 193 εἰ δὲ μὴ οὕτως, ὀξύνεται, καιρό ς , θαιρός, ὃ σημαίνει τὴν στρόφιγγα «ῥῆξαι δ’ ἀπ’ ἀμφοτέρους θαιρούς» (M 459). τὸ δὲ δαῖρος διφορεῖται ἤτοι ὁ καυστικός. Τὰ εἰς ρος δισύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα ἐπὶ ἐμψύχων τιθέμενα βαρύνεται, φλαῦρο ς , σαῦρο ς , καῦρος ὁ κακός. ταῦρος καὶ Ταῦρος ἔθνος περὶ τὰ Ἄλπεια ὄρη, οἳ καὶ Ταυρίσκοι καὶ Ταυρῖνοι. ἔστι καὶ ὄρος διὰ μέσης Ἀσίας διῆκον, διότι ταύρους οἱ παλαιοὶ πάντα τὰ μεγάλα καὶ βίαια ἐπωνόμαζον. ἢ προτομῇ ταύρου τὰ πρὸς τῇ θαλάσσῃ ἀπείκασαν. Μαῦρος ἔθνος μέγα Λιβύης, ὃ καὶ Μαυρούσιοι. Ξαῦρος ὄνομα κύριον καὶ ἀπ’ αὐτοῦ Ξαῦρος πόλις Μακεδονίας. σημείωσαι τὸ σταυρός ἄψυχον. καὶ τὸ μαυρός ἀπὸ τοῦ ἀμαυρός γέγονεν. Τὰ εἰς ρος δισύλλαβα τῇ ευ παραληγόμενα σπάνια βαρύτονα, εὖρο ς , πλεῦρο ς. τὸ δὲ λευρός ἐπίθετον καὶ Νευρός ὄνομα ἔθνους. * Τὸ χοῖρος μόνον δισύλλαβον εἰς ος τῇ οι διφθόγγῳ παραληγόμενον προπερισπᾶται. Τὰ εἰς ρος δισύλλαβα ἁπλᾶ παραληγόμενα τῇ ου διφθόγγῳ βαρύνεται, εἰ μή τι εἴη κατὰ διαστολήν, οὖρος ὁ ἄνεμος, οὐρός τόπος ὁ περιορίζων τὰς ναῦς, Φροῦρος τὸ κύριον· ἔστι δὲ ἔθνος Σκυθικόν, φρουρός τὸ ἐπίθετον, κοῦρο ς , θοῦρο ς , λοῦρος πλακοῦντος εἶδος. τὸ τὲ κηπουρός καὶ οἰκουρός ὡς σύνθετα τρισύλλαβα τὴν ἄρχουσαν μακρὰν ἔχοντα ὀξύνεται. Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῷ α , μονογενῆ ἢ κύρια, προπαροξύνεται Πίνδαρο ς , Πάνδαρο ς , κόμαρο ς , ἄγγαρο ς , Αἴσαρος ποταμός, τάλαρο ς , κύλλαρο ς , Φρέαρος Ἀθήνησιν ἐπίσημος ἥρως καὶ Φρέαροι δῆμος Ἀθήνησιν, Ὠλίαρος νῆσος τῶν Κυκλάδων μία, περὶ ἧς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ νήσων οὕτω φησίν «Ὠλίαρος Σιδωνίων ἀποικία ἀπέχουσα Πάρου σταδίους ιη′».

3,1 194 Σάγγαρος ποταμός, Τόμαρος ὄρος Δωδώνης, ὅ τινες Τόμουρον. οἱ δὲ Τμάρος. Ταίναρος πόλις Λακωνικὴ ἀπὸ Ταινάρου τοῦ Γεραιστοῦ μὲν ἀδελφοῦ, Διὸς δὲ παιδός· ὃς πλέων σὺν Καλαβρῷ τῷ ἀδελφῷ καὶ τόπον τῆς Πελοποννήσου καταλαβών τινα Ποσειδῶνος ἱερὸν ἱδρύσατο, ὃ καλεῖται Ταίναρον. ἔστι καὶ Ταίναρος ὁ Ἰκαρίου υἱός «ἀφ’ οὗ καλεῖται ἡ πόλις καὶ ἡ ἄκρα καὶ ὁ λιμήν». Γύαρος νῆσος μία τῶν Σποράδων. Δέξαρος ἔθνος Χαόνων τοῖς Ἐγχελέαις προσεχεῖς. Μεμβλίαρος ὁ Θήραν οἰκήσας Φοῖνιξ εἷς τῶν μετὰ Κάδμου καὶ νῆσος πλησίον Θήρας ἡ νῦν Ἀνάφη. λέγεται κατ’ ἀφαίρεσιν Βλίαρος. Καλλίαρος πόλις Λοκρῶν ἀπὸ Καλλιάρου τοῦ Ὁδοδόκου καὶ Λαονόμης, ὡς Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. Στράβων δ’ ἐν ἐνάτῃ (p. 426) παρὰ τὸ εὐήροτον αὐτὴν εἶναι. φασὶ καὶ Καλλίαρα οὐδετέρως. Ἴκαρος νῆσος μία τῶν Κυκλάδων. ἔστι καὶ πόλις Ἀττικῆς καὶ νῆσος πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Ἴσμαρος πόλις Θρᾴκης τῶν Κικόνων. Ὅμηρος (Od. ι 40). Πίναρος ποταμὸς παρ’ Ἰσσῷ. Πάταρος ὁ Ἀπόλλωνος καὶ Λυκίας. Λίπαρος ὁ υἱὸς Αὔσονος. Γίνδαρος ἀκρόπολις Κύρρου, πόλεως Συρίας. Ἀμισώδαρος ὁ πατὴρ Σιδάκης. Ὕμαρος ὁ πατὴρ Γέλωνος. Ἄψαρος τόπος ἐν Εὐξείνῳ πόντῳ Ἄψυρτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρότερον λεγόμενος. Τὰ εἰς ρος ὑπερδισύλλαβα δεδιπλασιασμένα κατ' ἀρχὴν καὶ τὴν πρώτην συλλαβὴν εἰς ρ καταλήγοντα προπαροξύνεται, βάρβαρο ς· οὐκ ἐπὶ ἔθνους, ἀλλ' ἐπὶ φωνῆς ἐλαμβάνετο ὡς καὶ Ὅμηρος τοὺς Κᾶρας βαρβαροφώνους ὡς πολεμίους τῶν Ἰώνων. εἴρηται παρὰ τοῖς νεωτέροις ἐθνικῶς. Τάρταρο ς. Κράτης τὸν ὑπὸ τοῖς πόλοις ἀέρα παχύν τε καὶ ψυχρόν τινα καὶ ἀφώτιστον· Ὅμηρος δὲ τόπον εἶναι συνέχοντα τοὺς περὶ Κρόνον καὶ ὑπὸ γῆν ὄντας. λέγεται δὲ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως. Γάργαρος ὁ Διός, ἀφ' οὗ Γάργαρα πόλις Τρῳάδος, ἣν Ἀλκμὰν θηλυκῶς τὴν Γάργαρόν φησιν, μάρμαρος, οὕτως οὖν καὶ κάρχαρος τριγενές. «Τρίτωνος ἠμάλαψε κάρχαρος κύων» (Lycophr. 34) καὶ τὸ θηλυκὸν παρ' Ἀλκμᾶνι «καρχάραισι φωναῖς» καὶ ἐπίρρημα καρχάρως. Κέρβερο ς , πέρπερο ς , βόρβορο ς. Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα α συνεσταλμένῳ ἢ ἐκτεταμένῳ τριγενῆ ὄντα ὀξύνεται, εἰ μὴ δεδιπλασίασται ἐν τῇ ἀρχῇ, χαλαρό ς , λιπαρό ς , χλιαρό ς , ψαφαρό ς , λαγαρός ὁ ἀσθενής, μαδαρό ς , ῥυπαρό ς , πλαδαρός, οἷς ἠκολούθησε καὶ τὸ ἀκαρό ς.

3,1 195 τὸ μέντοι κάρχαρος δεδιπλασίασται ἐν τῇ ἀρχῇ. τὸ δὲ φλύαρος προπαροξύνεται οὐκ ἔχον θηλυκὸν καὶ τὸ ἔγκαρος ὁ ἐγκέφαλος. Τὰ εἰς τερος τρισύλλαβα, εἰ ἔχει τὴν ἄρχουσαν μακράν, προπαροξύνεται, φέρτερο ς , βέλτερο ς , κύντερος «κύντερον ἄλλο γυναικός» (Od. λ 427). ὕστερος, ὅπερ σημειῶδες μήτε ἀπὸ τῶν εἰς υς ληγόντων παραχθὲν τρισύλλαβόν τε ὑπάρχον καὶ ἔχον τὸ ς προηγούμενον τοῦ τερος · ἀλλ' ἴσως αἴτιον τὸ πάθος. γίνεται γὰρ παρὰ τὴν ὑπό ὑπότερος καὶ κατὰ συγκοπὴν ὕστερος. τὸ δὲ ο συγκοπτόμενον τὸ ς ποιεῖ θεόφατον θέσφατον, θεοείκελον θέσκελον. δεύτερο ς . ἴκτερο ς . τὸ δὲ καρτερός ὀξύνεται ἀπὸ τοῦ κρατερός καὶ τὸ Κρατερός ὄνομα κύριον. Τὰ διὰ τοῦ τερος τριβράχεα τότε βαρύνονται, ὅτε πυσματικὴν ἔννοιαν ἔχοι ἢ ἐκ δύο προσώπων ἕν τι τὸ κατηγόρημα ποιεῖται, πότερο ς , πρότερο ς , ἕτερος, οἷς ἠκολούθησε καὶ τὸ ἑκάτερο ς. Τὰ εἰς τερος ὑπερτρισύλλαβα συγκριτικὰ ἢ συγκριτικῶς παραληγόμενα προπαροξύνεται, ἰθύντερος ῥήματι παρακείμενον τῷ ἰθύνω, ἀβέλτερο ς , μελάντερο ς , ὀρέστερο ς , ἡμέτερο ς , ὑμέτερο ς , σφωΐτερο ς , φιλαίτερο ς , πλησιαίτερο ς , περαίτερο ς , ταχύτερο ς , πλατύτερο ς , βραχύτερο ς , ἡδύτερο ς , ἐπασσύτερος «ὣς τότ' ἐπασσύτεραι Δαναῶν» (Il. Δ 427), ὅπερ οὐκ ἔχει φυσικὸν τὸ υ , ἐκ δὲ τοῦ ἀσσοτέρου ἐτράπη «ἀσσοτέρω καθίσασα παραὶ πυρί» (Od. ρ 572).

3,1 196 δημότερος συγκριτικὸν οὐκ ἀποκοπῇ, ἀλλ' ἐκ τοῦ ἐπιθετικοῦ τοῦ «δῆμον ἐόντα παρὲξ ἀγορευέμεν» (Il. Μ 213), βασιλεύτερο ς. τούτοις ἠκολούθησε καὶ τὸ κασσίτερος, εἰ καὶ προσηγορικόν. τὸ δὲ περιστερός ὀξύνεται. τὸ μέντοι ἀριστερός ὀξύνεται ὡς διὰ τοῦ ερος καὶ δεξιτερό ς. τὸ δὲ ἀμφότερος ἐπιθετικόν, τὸ δὲ Ἀμφοτερός ὡς κύριον ὀξύνεται. * Τὰ εἰς ερος ὑπερδισύλλαβα μονογενῆ ἢ κύρια βαρύνεται, Τέρμερος, ἀφ' οὗ Τέρμερα πόλις Λυκίας, Σύβερος πόλις Ἰλλυρίδος, Ὤλερος Κρητικὴ πόλις, περὶ ἧς Ξενίων ἐν Κρητικοῖς φησι «πορρωτέρω δὲ τῆς Ἱεραπύτνης Ὤλερος ἦν ἡ πόλις ἐφ' ὑψηλοῦ μὲν ᾠκισμένη τόπου». ἵμερος παρὰ τὸ ἵημι καὶ ἵεσθαι «ἵετο γὰρ βαλέειν» (Π 383 et 866) ὁ ποθῶν γὰρ ἵεται ἐπὶ τὸ ποθούμενον. Τὰ διὰ τοῦ ερος τριγενῆ ὄντα καὶ τριβράχεα ὀξύνεται, χωρὶς εἰ μὴ ἔχοι τὸ τ πρὸ τοῦ ε , γοερό ς , νοερό ς , ψογερό ς , δροσερό ς , τρυφερό ς , βλαβερό ς , φανερό ς , ἱερό ς , σφαλερό ς , δολερό ς , χλοερό ς , νοσερό ς , σταθερό ς , πενθερό ς . τὸ δὲ ἥμερος τὴν πρὸ τέλους τρίτην μακρὰν ἔχει. ᾧ ἠκολούθησε καὶ τὸ ἐλεύθερο ς. τὸ δὲ πότερο ς , ἕτερος ἔχει τὸ τ πρὸ τοῦ ε . Τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς εἴτε κύρια εἴτε προσηγορικὰ εἴτε ἐπίθετα μὴ ἔχοντα κατ' ἰδίαν θηλυκὰ προπαροξύνεται, ὅμηρο ς , σίδηρο ς . Φάληρος · Ἄβδηρος ὄνομα τόπου. Ἄηρος πόλις Κρητική, Ἄνδηρο ς , Ἴβηρος ἀπὸ τῆς Ἴβηρος γενικῆς παραχθέν «αὐτὸς Ἴβηρος τραγοπώγων» ἐν Μαλθακοῖς Κρατίνου. καὶ Ἀπολλώνιος μὲν ἐν τοῖς παρωνύμοις φησίν «ἀπὸ γενικῶν εὐθεῖαι παράγονται, τῶν μὲν ὑπὲρ δύο συλλαβὰς ὁμοίως τῇ εὐθείᾳ κατὰ τὸν τόνον προπαροξυνόμεναι, καὶ ἐν ἁπλῷ σχήματι ἢ ἐν συνθέτῳ. ἁπλοῦν μὲν οὖν μάρτυρ μάρτυρος ὁ μάρτυρος, Χάροψ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χάροπος ὁ Χάροπος «Χαρόποιο τ' ἄνακτος» (Il. B 672), Τροίζην Τροίζηνος ὁ Τροίζηνος «υἱὸς Τροιζήνοιο» (Il. B 847). Ἴβηρ Ἴβηρος ὁ Ἴβηρος». τὸ αὐτὸ καὶ Ἅβρων ἐν παρωνύμοις φησίν. ἀλλὰ τὰ παρὰ γενικῆς ἀναπεμφθέντα κατὰ τὸν τόνον συνεξομοιοῦνται τῷ χαρακτῆρι τῆς εὐθείας. τὸ γὰρ φυλακός προσηγορικὸν ὀξύνεται τῷ χαρακτῆρι τῶν εἰς ακος ὑπερδισυλλάβων προσηγορικῶν, τὸ δὲ μάρτυρος ἠκολούθησε τῷ ἄργυρος, τὸ Χάροπος τῷ Ἄροπος, Ἀστέροπος.
3,1 197 οὕτω καὶ τὸ Ἴβηρος τῷ ὅμηρος σίδηρος. τὸ δὲ Τροίζηνος ἀπὸ Τροιζήν ὀξυτόνου εἰς ἰδιότητα βαρύνεται ὡς καὶ τὸ Φύλακος κύριον. Ἄβληρος κύριον. Ὅμηρος «Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ» (Z 32). Ψένηρος Αἰγυπτία κώμη. Κύθηρος ὁ Φοίνικος, ἀφ' οὗ Κύθηρα νῆσος, καὶ δῆμος τῆς Πανδιονίδος φυλῆς. Δίγηρος ἔθνος Θρᾳκιον. Πολύβιος ιγ'. Δίζηρος ποταμὸς Ἰλλυρίδος. Λυκόφρων (1026) «οἳ πρὸς βαθεῖ νάσσαντο Διζήρου πόρῳ». ἴσως ἀπὸ τοῦ δίζησθαι τὴν Μήδειαν ὀνομασθείς. Δόβηρος πόλις Παιονίας. Κάληρος βασιλεύς, ἀφ' οὗ ἡ Ἀλωπεκόννησος ἐκαλεῖτο Κάληρος. Στενύκληρος πόλις Μεσσήνη ς . ἐρίηρο ς , τριέτηρο ς , πενταέτηρο ς , τετραφάληρο ς. τὰ μέντοι διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς ἐπιθετικὰ ἔχοντα κατ' ἰδίαν θηλυκὰ ὀξύνεται, λυπηρό ς , ἀταρτηρό ς , τυχηρό ς , ὀλισθηρό ς , ποιηρό ς , ἀτηρό ς , ἀλγηρό ς , πνιγηρό ς , ἀνθηρό ς , τολμηρό ς , πενθηρός ἐπὶ ἱματίου μέλανος ἔφη Ἀναξίλας Α. φέρ' αὔτ' ἀνύσας. Β. ἀλλ' ἐστὶ πενθηρὸν πάνυ. καματηρό ς , αἱματηρό ς , ἀσηρό ς , σιγηρό ς , ἀγροικηρός ἀπὸ τοῦ ἄγροικος «ἀγροικηρὴν φύσιν». ὀτρηρός, οὗ τὸ θηλυκὸν ὀτρηρή «τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη» (Z 381). ἰστέον δὲ ὅτι τὸ πόνηρος καὶ μόχθηρος οἱ Ἀττικοὶ ἀντὶ τοῦ ὀξύνειν προπαροξύνουσιν, ὅταν τὸν ἐπίπονον καὶ ἐπίμοχθον σημαίνῃ, ἐπὶ δὲ τῶν κατὰ ψυχὴν φαύλων ὀξύνουσιν. Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ει διφθόγγῳ ἢ μόνῳ τῷ ι ἐκτεταμένῳ βαρύνεται, Κάμειρος τὸ κύριον—ἔστι δὲ παῖς Κερκάφου τοῦ Ἡλιάδου καὶ Κυδίππης—διὰ διφθόγγου, Κάμιρος δὲ πόλις ἐν Ῥόδῳ διὰ τοῦ ι «Λίνδον Ἰήλυσόν τε καὶ ἠνεμόεντα Κάμιρον» (Il.
3,1 198 B 656). ἤπειρο ς , Κάβειρος πόλις τῆς κάτω Ἀσίας. τοὺς δὲ δαίμονας Καβείρους ὁ Ἀλεξίων διὰ τοῦ ι , ὡσαύτως δὲ Φιλόξενος. ἡ δὲ παράδοσις δίφθογγον ἔχει καὶ ἴσως συνέδραμε τῷ μάγειρος, αἴγειρος, πέπειρος, ὄνειρος. Ἄνδειρος ὄνομα ποταμοῦ, Κόνειρος ὄνομα ἔθνους, ὄνειρο ς , πέπειρο ς , μάγειρος παρὰ τὸ μάσσω ὁ τὰς μάζας φυρῶν. Αἰολεῖς δὲ διὰ τοῦ ι . αἴγειρος διὰ διφθόγγου τὰ δύο. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι οἷον «καὶ αἰγέρων ἔφυσαν εὐγενέστεραι» καὶ κατὰ πλεονασμὸν τοῦ ι αἴγειρος Ὅμηρος (Od. η 106) «μακεδνῆς αἰγείροιο». τὰ γὰρ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλουσι παραλήγεσθαι οἷον ἀΐσσω αἴγειρος, μάσσω μάγειρος, ὀνῶ ὄνειρος, πέπτω πέπειρος. τὸ δὲ αι τῆς πρώτης συλλαβῆς γέγονεν ἀπὸ τοῦ ἀΐσσω κατὰ κρᾶσιν. ἔστι δὲ καὶ Αἴγειρος πόλις Μεγαρίδος, ὡς Θεόπομπος πεντηκοστῇ ἕκτῃ, ἣν Στράβων Αἰγείρουσαν λέγει (9 p. 394). σάπφειρος λίθο ς , Στάγειρο ς . Κάσπειρος πόλις Πάρθων προσεχὴς τῇ Ἰνδικῇ καὶ τὸ ἐθνικὸν ὁμοφώνως. Στάλιρο ς , Σίτιρο ς , Βίστιρος πόλις Θρᾴκης καὶ Πίστιρος τὸ ἐμπόριον. Κύστιρο ς , Δύσιρο ς , Βεδύσιρο ς , ἄϊρος σύνθετον ἀπὸ δισυλλάβου Ἶρος «ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει» (Od.
3,1 199 ς 72). τὸ καυστειρός οὐ μάχεται. ἀπὸ γὰρ τοῦ η ἐτράπη εἰς ει Βοιωτιακῶς ὡς τὸ τέθηκα τέθεικα. * Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῷ ο ἁπλᾶ προπαροξύνεται, Δοροκόττορος πόλις Γαλατῶν τῶν προσβόρρων. ἀλάστορος εὐθεῖα παρὰ τὴν γενικὴν παραχθεῖσα. Αἰσχύλος Ἰξίονι «πρευμενὴς ἀλάστορος» καὶ Φερεκύδης «ὁ Ζεὺς δὲ Ἱκέσιος καὶ Ἀλάστορος καλεῖται». Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῷ ο σύνθετα ὄντα προπαροξύνεται, κατήγορο ς , συνήγορος, περὶ ὧν ἐν τῷ τέλει λέξομεν. νῦν δὲ διαληψόμεθα περὶ τῶν ἐχόντων τὸν τόνον ἐν τῇ παραληγούσῃ, τελεσφόρο ς , δορυφόρο ς , βουληφόρο ς , ἑωσφόρος, τὸ δὲ ἄφορος προπαροξύνεται, παντοπόρος, καὶ γαμόρος, τὸ δὲ κατάμορος προπαροξύνεται. Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ υ κύρια ἢ προσηγορικά, μὴ περιεκτικὰ ἢ ἐπιθετικὰ ἔχοντα κατ' ἰδίαν θηλυκὰ προπαροξύνεται, πάπυρο ς , διάπυρος ὁ θερμός, μάρτυρο ς , ἄργυρο ς. ἔστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πόλις. Φίλιστος ἐν ἐνάτῃ. πόρφυρο ς , ζέφυρο ς , Σάτυρο ς , λάθυρος εἶδος ὀσπρίου. Ἴδυρος πόλις, ἣ καὶ Ἰδυρίς, καὶ ποταμὸς Παμφυλίας. Ἑκαταῖος. Μάνθυρο ς . Ἄμυρος πόλις Θεσσαλίας ἀπὸ ἑνὸς Ἀργοναυτῶν. ἡ πόλις θηλυκόν. ἄδηλον δὲ τὸ Ἡσιόδειον «Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἀντ' Ἀμύροιο». Σουίδας δ' ἐν ταῖς γενεαλογίαις τὴν πόλιν Ἀμυρικὴν καλεῖ. Γλάφυρος υἱὸς Μάγνητος ὁ τὰς Γλαφυρὰς κτίσας, Ἔλυρος πόλις Κρήτης ὡς Ξενίων ἐν Κρητικοῖς. Ἔφυρος ὁ Ἄμβρακος τοῦ Θεσπρωτοῦ τοῦ Λυκάονος τοῦ Πελασγοῦ τοῦ γηγενοῦς τοῦ Ἀρκάδος, καὶ τὸ ἐθνικὸν ὅμοιον. Βάκυρος ἔθνος πρὸς Πάρθους καὶ Μήδους ὃ καὶ Βακυριανός. Σίμυρος πόλις Σύρων. Ἔφορος δὲ Σίμυρα οὐδετέρως αὐτήν φησι. Κασπάπυρος πόλις Γανδαρική.

3,1 200 Σκυθῶν δὲ ἀκτή. Ἑκαταῖος Ἀσίᾳ. Κόσσυρος νῆσος κατὰ Σελινοῦντα Σικελίας ποταμὸν καὶ πόλις ὁμώνυμος. Κίνυρος Κουρέως πατήρ. Λάμυρος ποταμὸς Λυκίας. Λίγυρος ποταμὸς Ἰβηρίας. Λίμυρος ποταμὸς Λυκίας. Λευκόσυρος ποταμὸς Κιλικίας ὁ ὕστερον Πύραμος. λέγονται καὶ Σύροι ἔθνος Λευκόσυροι. Στράβων ἑκκαιδεκάτῃ (p. 737) «δοκεῖ δὲ ἀπὸ Βαβυλωνίας τῶν Σύρων τὸ ὄνομα διατείνειν μέχρι τοῦ Ἰσσικοῦ κόλπου, ἀπὸ δὲ τούτου μέχρι τοῦ Εὐξείνου πόντου. οἱ γοῦν Καππάδοκες ἀμφότεροι, οἵ τε πρὸς τῷ Ταύρῳ οἵ τε πρὸς τῷ Πόντῳ, μέχρι νῦν Λευκόσυροι καλοῦνται». Νίσυρος νῆσος μία τῶν Κυκλάδων «οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον» (B 676). Τάπυρος ἔθνος οὐ πόρρω Ὑρκανίας. Λέσυρος ποταμός. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Ὕοψ πόλις, μετὰ δὲ Λέσυρος ποταμός». τὸ δὲ ἀχυρός ὁ ἀχυρών παρὰ Ἀττικοῖς ὀξύνεται ὡς περιεκτικόν. τὰ δὲ ἔχοντα θηλυκὰ τριγενῆ ὀξύνεται, λιγυρό ς , καπυρό ς , ἁλμυρό ς , ὀϊζυρό ς , ὀχυρό ς , ἐχυρό ς , ἰσχυρό ς , βδελυρό ς , ἑκυρός ὁ πενθερός. Τὰ διὰ τοῦ ωρος ὑπερδισύλλαβα κύρια προπαροξύνεται, Θεόδωρο ς , Ἄψωρος πόλις Ἰλλυρίας, Ἰσόδωρο ς . Ἄλωρος πόλις Μακεδονίας. ἔστι δὲ καὶ τὸ μυχαίτατον τοῦ Θερμαίου κόλπου. Ἄζωρος πόλις Πελαγονίας τῆς λεγομένης Τριπολίτιδος, ὡς Στράβων (7 p. 327), ὑπό τινος ἐκτισμένη Ἀζώρου. λέγεται καὶ πληθυντικῶς «ἐν Ἀζώροις». Ῥιανὸς Ἀζώρειαν αὐτήν φησιν. Ἀννίχωρος ἔθνος πλησίον Περσῶν. λέγεται καὶ Ἀννίχωρ. Ἄωρος πόλις Κρήτης ἀπὸ Ἀώρας νύμφης. ἐκαλεῖτο καὶ Σάωρο ς . Γάζωρος πόλις Μακεδονίας. Ἔλωρος ποταμὸς ὁ κατὰ Πάχυνον, ὃς λέγεται τιθασοὺς ἰχθῦς ἔχειν ἀπὸ χειρὸς ἐσθίοντας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν πρώτῃ. καὶ ἀπ' αὐτοῦ Ἔλωρος πόλις Σικελίας. ἔστι καὶ Μακεδονίας ἄλλη. Θέστωρος πόλις Θρᾴκης. Θεόπομπος εἰκοστῇ δευτέρᾳ. Κασσάνωρος πόλις Αἰγυπτία, ἧς μέμνηται Ἔφορος κϛ'. Κύτωρος ἢ Κύδωρος πόλις Παφλαγονίας ἀπὸ Κυτώρου τοῦ Φρίξου παιδός. Μίλκωρος Χαλκιδικὴ πόλις ἐν Θρᾴκῃ. Θεόπομπος κε' Φιλιππικῶν. Πίλωρος πόλις περὶ τὸν Ἄθων. τὰ μέντοι προσηγορικὰ ἢ ἐπιθετικὰ καὶ ὀξύνεται καὶ βαρύνεται. καὶ ὀξύνονται μέν, ὅσα ἔχει ἔννοιαν τοῦ ὠρῶ ῥήματος, θεωρό ς , ὑλήωρό ς , ἰωρός ὁ γνήσιος φύλαξ, πυλωρό ς , θυρωρό ς , μυλωρό ς , φρυκτωρό ς , σκευωρό ς. τὰ δὲ βαρύνεται, νέωρο ς , ἀσχέδωρο ς , μετέωρο ς , ὀλίγωρο ς , οὐδενόσωρο ς. Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῇ αι διφθόγγῳ προπαροξύνονται, κἂν ἐπιθετικὰ ὑπάρχωσιν, Πάλαιρο ς· ἔστι δὲ χωρίον τῆς Ἀκαρνανίας.

3,1 201 μέμνηται καὶ Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ «οὔτ' ὢν Πάλαιρος οὔτε βοιαυτοῦ» ( * ). χήμαιρος · κύπαιρος Δωρικὸν ἀπὸ τοῦ κύπειρος γέγονεν τροπῇ τοῦ ε εἰς α ὡς κατώγειος κατώγαιος. εὔκαιρο ς , ἄκαιρο ς. τὸ μέντοι ἑταῖρος προπερισπᾶται. ἴσως οὖν ἀναλογώτερον τὸ «ἑτάρους τε» χωρὶς τοῦ ι λεγόμενον. πολλὰ γάρ ἐστι τοιαῦτα, μάρμαρος, βάρβαρος, τάλαρος, κύλλαρος, φλύαρος. Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῇ αυ διφθόγγῳ, μὴ ἔχοντα θηλυκά, προπαροξύνεται, Ἴσαυρος ἔθνος. Ἐπίδαυρος πόλις πρὸς τῷ Ἄργει θηλυκῶς λεγομένη. τὸ γὰρ «ἀμπελόεντ' Ἐπίδαυρον» (B 561) μετὰ ἀρσενικοῦ ἐπιθέτου θηλυκόν ἐστιν ὡς τὸ «ψολόεντος ἐχίδνης» (Ther. 129) παρὰ Νικάνδρῳ καὶ τὸ «ἠμαθόεντος Πύλου» (B 77) καὶ ὅσα τοιαῦτα. τινὲς δὲ αὐτήν φασι Λειμήρη διὰ διφθόγγου ὡς λειμῶνας ἔχουσαν ἢ διὰ τοῦ ι ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυλίμενον κατὰ Ἀρτεμίδωρον. ἐκαλεῖτο καὶ Μειλισσία καὶ Αἱμηρά διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν τοῦ Ἀσκληπιοῦ ὑπὸ τῶν θυσιῶν. εἶτα Ἐπίταυρος καὶ Ἐπίδαυρος. Κένταυρο ς , Ἄναυρο ς , Ἄγλαυρο ς , Κάλαυρος ὁ Ποσειδῶνος, Μάταυρος πόλις Σικελίας Λοκρῶν κτίσμα. Βάναυρος υἱὸς Αἴαντος, ἀφ' οὗ Βαναυρίδες Τυρρηνικαὶ νῆσοι. τὸ δὲ θησαυρός ὡς περιεκτικὸν ὀξύνεται ὥσπερ καὶ τὰ τριγενῆ, ἀμαυρό ς , ἀφαυρός καὶ τὸ ἀγαυρός, ὅπερ ἔδει βαρύνεσθαι πλεονασμῷ τοῦ α ἐκ δισυλλάβου γενόμενον.

3,1 202 Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα ου προπαροξύνεται, ἐπίκουρο ς , ἐπάρουρος ὁ κηπουρός. Ἕλουρος Σκυθικὸν ἔθνος, μελάνουρο ς , Παλίνουρο ς , παλίουρος τὸ φυτόν. Ὄλουρος πολίχνιον τῆς Ἀχαΐας οὐ πόρρω Παλλήνης ὡς Ξενοφῶν Ἑλληνικῶν ἑβδόμῳ (4, 17). Βάλβουρος, ἀφ' οὗ Βάλβουρα πόλις Λυκίας. Βόλουρος πόλις τῶν ἐν Ἰλλυρίᾳ Τράλλεων «μοῖρα γὰρ τῶν Ἰλλυριῶν Βῆγις καὶ Βόλουρος». Ἰψίκουρος ἔθνος Λιγυστικόν. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ «ἣν ἐνέμοντο πρότερον Ἰψίκουροι καὶ Ἀρβαξανοὶ καὶ Εὔβιοι, Λίγυες τὸ γένος». Κυνόσουρος ὁ Ἑρμοῦ, Κύνουρος παῖς Περσέως, Ἀπάτουρος κόλπος ἐν τῇ Ἀσίᾳ. Ἑκαταῖος. Τόμουρο ς. οὕτως τινὲς Τόμαρον ὄρος Δωδώνης ὃ καὶ Τμάρος καὶ τὸν κατοικοῦντα. σεσημείωται νομηουρός ὁ τὴν νομὴν φυλάσσων καὶ ὑλοκουρός ὁ τὴν ὕλην τέμνων. Τὰ εἰς ρος τρισύλλαβα παραληγόμενα τῇ ου ὀξύνεται, εἰ ἔχοι τὴν ἄρχουσαν μακράν, οἰκουρό ς , κηπουρό ς , τηλουρός ὁ μακρὰν ὤν. τὰ μέντοι προπερισπώμενα τρισύλλαβα ὁρᾶται ἔχοντα ἐν τῇ πρὸ τῆς ου δύο σύμφωνα ἢ καὶ πλείω τῶν χαρακτηριστικῶν τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων, ἀρκτοῦρο ς , ἀγχοῦρο ς , κλαγγοῦρος ὁ κρακτικός. τὸ δὲ Λάμπουρος προπαροξύνεται καὶ τὸ κέρκουρος εἶδος πλοίου. Τὰ εἰς ρος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου ἀρχόμενα ἀπὸ τῆς νε ὀξύνεται, νεκρό ς , νεβρό ς , νεφρό ς. * Τὰ εἰς ρος δισύλλαβα μετ' ἐπιπλοκῆς τοῦ β ἁπλᾶ μονογενῆ βαρύνεται, Ἄβρος ἔθνος πρὸς τῷ Ἀδρίᾳ Ταυλαντίων προσεχὲς τοῖς Χελιδονίοις ὡς Ἑκαταῖος. Ἕβρος ποταμὸς Θρᾴκης. Κίμβρος, οὕς τινές φασι Κιμμερίους, Σκύβρος χωρίον Μακεδονικὸν ὡς Θεόπομπος. Σκόμβρος ἔθνος ὡς Σοφοκλῆς. Θίβρος πόλις Καρίας. Λυκόφρων (v. 1390) «οἳ Θίβρον οἰκήσουσι Σάτνιόν τ' ὄρος». Θύμβρος φίλος Δαρδάνου, ἀφ' οὗ Θύμβρα. Ἴμβρος νῆσος Θρᾴκης ἱερὰ Καβείρων καὶ Ἑρμοῦ, ὃν Ἴμβραμον λέγουσιν οἱ Κᾶρες. ἔστι καὶ πόλις. Τέμβρος πόλις Κύπρου. Ὄμβρος ποταμὸς Ἰταλίας καὶ ἔθνος. λέγονται καὶ Ὄμβρικοι καὶ Οὗμβροι παρὰ τοῖς Ἰταλικοῖς συγγραφεῦσι. καὶ τὸ ὄμβρος προσηγορικόν. ἄλλως τε τὰ εἰς ος δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλέονα βαρύνεσθαι θέλει. οἷον ὄκνος, ὄρρος, ὄσσος, Ὄρθος, ὄγμος. οὕτως καὶ ὄμβρος. τὸ μέντοι γαμβρός ὀξύνεται.
3,1 203 τὰ δὲ τριγενῆ ὀξύνεται λιβρός ὁ σκοτεινός. τὸ δὲ λάβρος σύνθετον. Τὰ εἰς ρος δισύλλαβα μετ' ἐπιπλοκῆς τοῦ γ βαρύνεται, μονογενῆ ὄντα, φάγρο ς , πάγρο ς , γόγγρο ς. τὰ δὲ τριγενῆ ὀξύνεται, λυγρό ς , ὑγρός, μεθ' ὧν καὶ ἀγρό ς. Τὰ εἰς ρος δισύλλαβα ἔχοντα δ μονογενῆ βαρύνεται, Ἄνδρος νῆσος μία τῶν Κυκλάδων. ἐκλήθη δὲ ἀπὸ Ἄνδρου τοῦ Εὐρυμάχου ἢ τοῦ Ἀνίου ἀδελφοῦ τοῦ πατρὸς τῶν Οἰνοτρόπων. τινὲς δέ φασιν Ἀνδρέα τοῦτον καὶ Ἀνίου παῖδα. Σκίδρος πόλις Ἰταλίας. Κόδρο ς . Φαῖδρος τὸ κύριον, φαιδρός δὲ ὁ λαμπρός ὀξύνεται, ὥσπερ καὶ τὸ κυδρός ὁ τίμιος. σεσημείωται τὸ χονδρός ὀξυνόμενον, οὐ τὸ ἐπίθετον τριγενὲς ὄν, ἀλλὰ τὸ προσηγορικὸν εἶδος ἐντέρου ὄν. Τὰ εἰς ρος δισύλλαβα τριγενῆ ἔχοντα δασὺ πρὸ τοῦ ρ ὀξύνεται, νωθρό ς , σαθρό ς , ψυχρό ς , ἐχθρό ς , αἰσχρό ς , στιφρός ὁ συνεστραμμένος. βληχρό ς. σεσημείωται τὸ γλίσχρο ς. τὰ δὲ μονογενῆ βαρύνεται οἷον δίφρος καὶ Δίφροι πόλις Φοινίκων καὶ τὸ ἐθνικὸν ὁμώνυμον, ὦχρος τὸ μονογενές, ὠχρός τὸ ἐπίθετον. τάχα δὲ καὶ τὸ ὦχρος ἐγένετο παρὰ τὸ ἄχροος, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω , μὴ προσκειμένου τοῦ ι , βαρύνεται ὦμος. πρόσκειται μὴ ἔχοντα τὸ ι διὰ τὸ ᾠδός. σεσημείωται τὸ ἀφρός ὁ ἐπὶ τῶν ὑγρῶν ὀξυνόμενον, τὸ δὲ ἐθνικὸν Ἄφρος βαρύνεται. Τὰ εἰς κρος δισύλλαβα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ συμφώνου ἀρχόμενα ὀξύνεται, μακρό ς , πικρό ς , μικρό ς , νεκρό ς , λευκρός ὁ φαλακρός παρὰ Σαλαμινίοις, Λοκρός ὁ κτίστης καὶ ἔθνος καὶ Λοκροὶ Ἐπιζεφύριοι πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. Τευκρός τὸ ἐθνικὸν οἱ Τρῶες, Τεῦκρος δὲ τὸ κύριον υἱὸς Σκαμάνδρου καὶ Ἰδαίας νύμφης. ἔστι μὲν κανὼν ὁ λέγων, ὅτι τοῖς συνοικισταῖς ὁμοφωνεῖ τὰ ἐθνικὰ δηλονότι καὶ γραφῇ καὶ τόνῳ οἷον Ἴων, Θετταλός, Ἀχαιός, Τρώς, Δαναός, Λοκρός. τὸ δὲ Τευκρός διήλλαξεν ὡς τριγενὲς ὀξυνόμενον.

3,1 204 τὸ δὲ ἄκρος καὶ ἴγκρος βαρύνεται. Τὰ εἰς ρος ἔχοντα π πρὸ τοῦ ρ μονογενῆ μὲν παροξύνεται, κόπρο ς , κάπρο ς , Κύπρος νῆσος ἀπὸ Κύπρου τῆς θυγατρὸς Κινύρου ἢ τῆς Βύλλου καὶ Ἀφροδίτης, ὡς Φιλοστέφανος ἐν τῷ περὶ νήσων καὶ Ἴστρος ἐν ἀποικίαις Αἰγύπτου ἱστόρησαν, ἢ ἀπὸ τοῦ φυομένου ἄνθους κύπρου. Ἀστύνομος δέ φησι Κρύπτον κεκλῆσθαι διὰ τοῦ κρύπτεσθαι πολλάκις ὑπὸ τῆς θαλάσσης. εἶτα Κύπρος. ἔστι καὶ Λιβυκὴ Κύπρος. Ἄπρος πόλις Θρᾴκης. Θεόπομπος εἰκοστῇ ἕκτῃ «τοῦ δ’ Ἀντιπάτρου διατρίβοντος περὶ τὴν Ἄπρον». Λάμπρος τὸ κύριον, λαμπρός δὲ τὸ ἐπίθετον. τριγενῆ δὲ ὄντα ὀξύνεται, σαπρό ς , λεπρό ς , λυπρό ς. Τὰ εἰς ρος δισύλλαβα ἔχοντα πρὸ τοῦ ρ τὸ τ μόνον ἢ μεθ’ ἑτέρου συμφώνου μὴ ἐπιθετικὰ βαρύνεται, Χύτρος Κύπρου πόλις, ἣν ὠνομάσθαι μὲν Ξεναγόρας φησὶν ἀπὸ Χύτρου τοῦ Ἀλεξάνδρου τοῦ Ἀκάμαντος. Λεῦκτρο ς , οἶστρο ς , βόστρο ς , Ἴστρος ἔθνος ἐν τῷ Ἰονίῳ κόλπῳ. Ἑκαταῖος Εὐρώπῃ. ἔστι δὲ καὶ πόλις Κρήτης, ἣν Ἀρτεμίδωρος Ἰστρῶνά φησι. δευτέρα πόλις Ἴστρος ἐν τῷ Πόντῳ. Ἀρριανὸς δὲ Ἰστρίαν ὡς Ὀλβίαν αὐτήν φησι. τρίτη νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ τὸ Τριόπιον τῆς Κνιδίας. τετάρτη πόλις τῆς Ἰαπυγίας, ὡς Ἔφορος εἰκοστῷ ἐνάτῳ. ἔστι καὶ ποταμός. Βάκτρος ἔθνος. τὸ δὲ δαιτρός ὀξύνεται καὶ τὸ οἰκτρός, ἔτι καὶ τὸ φιτρός ὁ κορμός. Τὰ εἰς δύο ρρ ἐπιθετικὰ ὄντα ὀξύνεται, στερρό ς , πυρρός τὸ ἐπίθετον. Πύρρος δὲ τὸ κύριον ὥσπερ καὶ τὸ Ὕ ρρος καὶ Γέρρος τόπος καὶ ποταμὸς προσεχὴς τῷ Βορυσθένει καὶ Κύρρος πόλις Συρίας. Τὰ εἰς ρος ὑπερδισύλλαβα μετ’ ἐπιπλοκῆς συμφώνου ὀξύνεται ἐπιθετικὰ ὄντα, φαλακρό ς , μολοβρό ς , ἐρυθρό ς , πενιχρό ς. τὰ δὲ σύνθετα τῆς κατὰ τὸ τέλος συνθέσεως ὑπερβαινούσης μίαν συλλαβὴν βαρύνεται, δείλανδρο ς , ἄνανδρο ς , ἔνυδρο ς , ἄνυδρο ς , ὕπανδρο ς , φίλανδρο ς , ἄϊδρο ς , πάρεδρο ς , ἔφεδρο ς. τὸ δὲ ἀβληχρός ὀξύνεται ἐκ πλεονασμοῦ ἔχον τὸ α . αὐτὸ γὰρ τὸ βληχρός ἤδη σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον τὸ ἀσθενές. Ἀλκαῖος θ′ «βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί» καὶ ὁ Νίκανδρος «βληχρὸν γὰρ μυὸς οἷον μυληβόρου ἐν χροῒ νύγμα» (Ther. 446). τοῦτο δὲ πλεονάσαν τῷ α φυλάξει τὸν αὐτὸν τόνον, λαλητός ἀλαλητός, στεροπή ἀστεροπή. καὶ ἡ παράδοσις ὀξύνει τὸ ὄνομα πεισθεῖσα τῷ παρασχηματισμῷ ὡς ἁπλῷ. θηλυκῶς γὰρ παρεσχηματίσθη ἀβληχρά ὡς πενιχρά, ψυχρά.

3,1 205 διὸ οὐκ εὖ βαρύνει Ἡρακλείδης ὁ Μιλήσιος λόγῳ χρώμενος τούτῳ ὡς ὅτι βληχρόν ἐστι τὸ ἰσχυρόν, ὅπερ κατὰ στέρησιν ὀφείλει λέγεσθαι ἄβληχρος ὡς ἄκακος. Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς κύρια ὄντα μετ’ ἐπιπλοκῆς συμφώνου προπαροξύνεται, εἰ μὴ ἐθνικὰ εἴη, Μίνυθρο ς , Ἔρυθρος ὁ ἥρως, ἀφ’ οὗ Ἐρυθρὰ ἡ θάλασσα, Χάραδρος ποταμὸς ὡς Ἑκαταῖος Ἀσίᾳ «μετὰ δὲ Χάραδρος ποταμός». Σκάμανδρος ἥρως καὶ ποταμὸς Τροίας. Μυρίανδρος πόλις Συρίας πρὸς τῇ Φοινίκῃ. Ξενοφῶν ἐν πρώτῳ ἀναβάσεως (4, 6). Μαίανδρος ποταμὸς καὶ πόλις Μαγνησίας. Ἄντανδρος πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος. ἀπὸ Ἀντάνδρου τοῦ στρατηγοῦ Αἰολέων. ἢ ἡ ἀντὶ ἀνδρὸς δεδομένη, ἐπειδὴ Ἀσκάνιος αἰχμάλωτος γίνεται ὑπὸ Πελασγῶν καὶ ἀνθ’ ἑαυτοῦ τὴν πόλιν δέδωκε λύτρον καὶ ἀπελύθη. Τήλανδρος πόλις Καρίας. Ἀλέξανδρος δ’ ὁ πολυΐστωρ οὐδετέρως πόλιν Τήλανδρον καλεῖ πρώτῳ Λυκιακῶν καὶ Τηλάνδρειαν τὴν αὐτήν. Φολέγανδρος νῆσος τῶν Σποράδων ἀπὸ Φολεγάνδρου τοῦ Μίνωος «ἣν Ἄρατος σιδηρείην ὀνομάζει διὰ τὴν τραχύτητα» (Strabo 10, 484). Τάρανδρος χωρίον Φρυγίας. Βήριθρος πόλις Τρωϊκή. Ἄθυμβρος, οὗ κτίσμα Ἄθυμβρα πόλις Καρίας. Κέλαιθρος, ἀφ’ οὗ Κελαίθρα πόλις Βοιωτίας. Γάλαδρος Ἠμαθίου παῖς καὶ ὄρος. Καΰστρος ποταμός, ὃς διὰ τὸ ἔχειν τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεκαυμένην χώραν πλησίον ἐκλήθη. ἔστι δὲ καὶ Καΰστρος υἱὸς Πενθεσιλείας τῆς Ἀμαζόνος, ὃς ἐν Ἀσκάλωνι ἔγημε τὴν Δερκετώ. καὶ ἐξ αὐτῆς ἔσχε τὴν Σεμίραμιν, ἥτις καὶ Βαβυλώνια τείχη κατεσκεύασεν. Τέγεστρος, ἀφ' οὗ Τέγεστρα πόλις Ἰλλυρίας. τὸ δὲ Οἰνωτρός ἔθνος ὁμοφώνως τῷ οἰκιστῇ ὡς Ἰταλός καὶ Ἴων καὶ Κίλιξ. ὡσαύτως καὶ Καλαβρός ὁ οἰκήτωρ τῆς Καλαβρίας ὡς τῆς Κανταβρίας Κανταβρό ς. τὸ δὲ Ἴνσοβρος ἔθνος Ἰταλικὸν Πολύβιος ις' βαρύνεται. Τὰ εἰς σος διβράχεα βαρύνεται, Θάσος νῆσος πρὸς τῇ Θρᾴκῃ ἀπὸ Θάσου. Κάσος Κλεόχου υἱὸς καὶ ἀπ' αὐτοῦ μία τῶν Κυκλάδων «οἱ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε» (B 676). ἔστι καὶ ἑτέρα Περσίδος πόλις. Ἄσος πολίχνιον Κρήτης. νόσο ς , δρόσο ς , πίσος τὸ ὄσπριον, μέσο ς , ἴσο ς , πόσο ς , ὅσο ς , τόσο ς. Τὰ εἰς σος δισύλλαβα τῷ η παραληγόμενα βαρύνεται, νῆσος καὶ Νῆσος πόλις Ἰβηρική.

3,1 206 πεπλάνηται δὲ νῆσος παρὰ τὸ γένος. τὰ γὰρ ἄλλα ἀρσενικά ἐστιν. Βῆσο ς , Μνῆσο ς , Ῥῆσο ς , Κτῆσο ς , Θῆσο ς , Δρῆσο ς , Κῆσος ὄνομα ποταμοῦ. Τὰ εἰς σος θηλυκὰ δισύλλαβα τῷ ω παραληγόμενα ὀξύνεται, κρωσός ἡ ὑδρία, Κνωσός «οἳ Κνωσόν τ' εἶχον» (B 646) δι' ἑνὸς ς , Τρύφων δὲ διὰ δύο. Ῥωσός πόλις Κιλικίας. τὸ μέντοι Σῶσος ἀπὸ τοῦ σώσω βαρύνεται, καὶ τὸ Κρῶσος ὁμοίως ἀρσενικόν. Τὰ εἰς σος δισύλλαβα ἀρσενικὰ μονογενῆ παραληγόμενα διχρόνῳ ἐκτεταμένῳ βαρύνεται, Ἶσος τὸ κύριον, Κῖσο ς , Κρῖσος τὸ κύριον, Πῖσος τὸ κύριον, ἀφ' οὗ καὶ Πῖσα ἡ πόλις. Νῖσος ὁ Πανδίονος, ἀφ' οὗ Νίσαια. Νῦσος ποταμός, Τρῦσος ποταμός, κῦσο ς. τὸ δὲ Λισός πολίχνιον Κρήτης ὀξύνεται καὶ τὸ Βρυσός ὁ λιμὴν καὶ τὸ Μυσός ἐθνικὸν καὶ τὸ τρυσό ς , ῥυσός ἐπίθετα καὶ τὸ χρυσός μόνον εἰς υσος δισύλλαβον προσηγορικόν. Τὰ εἰς σος δισύλλαβα παραληγόμενα διφθόγγῳ ὀξύνεται, ὅτε ἐπιθετικὰ εἴη ἢ ἐπὶ πόλεως κεῖται. Παισός πόλις κατὰ τὴν Τρῳάδα. Ὅμηρος «ὅς ῥ' ἐνὶ Παισῷ ναῖε πολυκτήμων» (Il. E 612), ἐν ἑτέροις δὲ «δῆμον Ἀπαισοῦ» (Il. B 828). Παισὸς δὲ εἴρηται παρὰ τὸ τὴν Ἀργὼ προσορμίζουσαν ἐκεῖσε παῖσαι καὶ προσεγγίσαι. Παισός καὶ ἐν πλεονασμῷ τοῦ α Ἀπαισός ὥσπερ Ἄταρνα πόλις καὶ Τάρνα. Ὅμηρος «ὃς ἐκ Τάρνης ἐριβώλακος» (Il. E 44). ἔστι καὶ Δαυνίας πόλις Παισός κατ' Ἀργύριππα. Λουσός καὶ Λουσοί πόλις Ἀρκαδίας, ὅπου Μελάμπους ἔλουσε τὰς Προίτου θυγατέρας καὶ ἔπαυσε τῆς μανίας. λέγεται δὲ καὶ Λοῦσα οὐδετέρως. Πραισός πόλις. Μαυσός κώμη Κορίνθου. Θεόπομπος τριακοστῷ δευτέρῳ. καὶ τὰ ἐπιθετικὰ δέ, βλαισό ς , Βραισός ἔθνος Μακεδονίας.

3,1 207 Τραυσός πλησίον Κελτοῖς ἔθνος, οὓς οἱ Ἕλληνες Ἀγαθύρσους ὀνομάζουσι. τὸ μέντοι Ναῖσος βαρύνεται καὶ τὸ Βλαῖσος κύριον καὶ τὸ Κροῖσος καὶ Βροῦσος Ἠμαθίου παῖς καὶ τὸ ἔθνος Μακεδονίας ὁμοφώνως. τινὲς δὲ γράφουσι διὰ τοῦ υ , καὶ τὸ γαῖσος προσηγορικὸν εἶδος δόρατος ὄν. Τὰ εἰς σος δισύλλαβα ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν βαρύνεται· εἰ δέ τι εὑρέθη ὀξυνόμενον, τοῦτο ὤφθη ἐν τῇ πρὸ τέλους συλλαβῇ ἔχον ι ἢ α . καὶ βαρύνεται μὲν ταῦτα, κόρσος ὁ κρόταφος, μόλσος ὁ δήμιος καὶ τὸ σέλινον, μόρσο ς , χέρσο ς , θύρσο ς , μύρσο ς , Μέλσο ς. σεσημείωται πυρσός ὀξυνόμενον, τὸ κιρσός καὶ ὀρσός καὶ Κορσός τὸ ἔθνος καὶ Μαρσός ἔθνος Ἰταλικὸν καὶ τὸ ταρσός τὸ προσηγορικὸν καὶ πόλις Κιλικίας. Ταύτην δὲ διὰ τοῦ ε ἔλεγον Τερσόν παρὰ τὸ τερσανθῆναι, ὅ ἐστιν ἀναξηρανθῆναι. τῶν γὰρ ὑδάτων κατὰ τὴν πρώτην σύστασιν προχωρούντων εἰς τὸ νῦν πέλαγος φασὶν ἀναφανθῆναι πρῶτα τὰ Ταυρικὰ ὄρη. οἱ δέ φασιν Τερσὸν τὰ πρῶτα διὰ τοῦ ε στοιχείου ὀνομασθῆναι τὴν πόλιν διὰ τὸ τοὺς ἐκεῖ πρώτους συναγαγόντας καρπὸν χλωρὸν τερσῆναι, ὅ ἐστι ξηρᾶναι, καὶ εἰς χειμῶνος ἀποθέσθαι τροφήν. Διονύσιος δὲ ὁ Θρᾷξ ἐν τῷ περὶ Ῥόδου ἀπὸ τῆς τοῦ Βελλεροφόντου πτώσεως· μέρος γάρ τι τοῦ ποδὸς ταρσὸν καλεῖσθαι, τῆς ἐκείνου χωλείας ὑπόμνημα ποιουμένων τῶν ἀρχαίων. Ἀλέξανδρος δὲ ὁ πολυίστωρ διὰ τὸ τὸν Πήγασον ἵππον ἐκεῖ τὸν ταρσὸν κλάσαι καὶ Βελλεροφόντην ἐν τῷ Ἀληΐῳ πεδίῳ πλανηθῆναι. Ἐρατοσθένης δέ φησιν τὴν κλῆσιν τῇ πόλει εἶναι ἀπὸ Διὸς Τερσίου τοῖς ἐκεῖ καλουμένου. Θαρσός δὲ ἐκαλεῖτο καὶ Θαρσεῖς οἱ Κίλικες, ὡς Ἰώσηπος ἐν ἀρχαιολογίᾳ (1, 7). ἔστι δὲ καὶ Ταρσός ἄλλη τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βιθυνίας, ἣν Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν Τάρσειαν διὰ τῆς ει διφθόγγου οἶδεν. Τὰ δὲ ὑπερδισύλλαβα ἔχοντα πρὸ ἀμεταβόλου τὸ α ἐν τῇ πρὸ τέλους συλλαβῇ βαρύνεται, Βάγαρσο ς , Μάγαρσος πόλις Κιλικίας. Μαίμαρσος πόλις Ἴστρων. Μόκαρσος Θρᾴκης χωρίον. Θεόπομπος πρώτῳ τῶν Φιλιππικῶν. Τούτοις ἀκολουθεῖ καὶ τὸ Ἀγάθυρσος εἴτε κύριον εἴτε ἐθνικὸν εἴη. ἔστι δὲ ἔθνος ἐνδοτέρω τοῦ Αἵμου. κέκληνται δὲ ἢ ἀπ' Ἀγαθύρσου τοῦ Ἡρακλέους ἢ ὡς Πείσανδρος ἀπὸ τῶν θύρσων τοῦ Διονύσου. λέγονται καὶ Ἀγαθύρσιοι. καὶ τὸ Πέτορσος Λιβύης ἔθνος μέγα καὶ πολυάνθρωπον, Ἄορσος ἔθνος Σκυθικόν, περὶ οὗ Στράβων ἑνδεκάτῃ (p.
3,1 208 492. 506). τὸ δὲ Σολογορσός πόλις Ἀρκαδίας ὀξύνεται. Τὰ εἰς σος δισύλλαβα ἔχοντα καὶ ἕτερον ς κλιτικὸν ἐν τῇ πρὸ τέλους συλλαβῇ μὴ κατὰ πάθος ὀξύνεται, Βεσσός τὸ ἐθνικόν, Θυσσό ς , Ἀσσός πόλις Λυδίας. δευτέρα πόλις Αἰολίδος κατὰ τὸν Ἑλλήσποντον ἢ Κεκρόπειον. Ἀλέξανδρος δ' ὁ Κορνήλιος ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶς ἱστορουμένων Μιτυληναίων ἄποικον ἐν τῇ Μυσίᾳ φησὶν Ἀσσόν, ὅπου ὁ σαρκοφάγος γίνεται λίθος. ἔστι καὶ λειμὼν ἐν τῷ Κιλβιανῷ πεδίῳ τῆς Λυδίας περὶ τὸν Καΰστρον ποταμόν. ἔστι καὶ ἑτέρα πόλις ἐν Ἠπείρῳ μικρά. Ἠσσός πόλις Λοκρίδος. Ψησσός ἔθνος τῆς Ταυρινίας. Ἀπολλόδωρος ἐν δευτέρῳ περὶ γῆς «ἔπειτα δ' Ἑρμώνασσα καὶ Κῆπος πόλις, τρίτον δὲ τὸ Ψησσῶν ἔθνος». Τνυσσός πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Βυσσός τὸ ἐθνικὸν καὶ ἡ νῆσος καὶ βυσσός ὁ βυθός, πεσσό ς . Ἰσσός πόλις μεταξὺ Συρίας καὶ Κιλικίας. δισσό ς , τρισσό ς , λισσό ς , κισσό ς. τὸ δὲ Κίσσος τὸ κύριον βαρύνεται. ὡσαύτως καὶ τὸ βύσσος τὸ θηλυκὸν προσηγορικὸν ἀφ' οὗ καὶ βύσσινον, καὶ Νέσσος ἐπὶ τοῦ Κενταύρου καὶ Λίσσος πόλις Ἰλλυρίας· τὸ γὰρ γλωσσός ὁ λάλος παρὰ τὸ γλῶσσα γέγονε παρωνύμως. τὸ δὲ κάσσος ἀπὸ τοῦ κάσος γίνεται κατὰ πλεονασμὸν τοῦ ς . ἔστι δὲ εἶδος ἱματίου οὕτω καλουμένου. ὡσαύτως καὶ μέσσος καὶ τόσσο ς. τὸ δὲ ὄσσος —λέγεται δὲ καθάπερ ὁ σκότος καὶ τὸ σκότος ἐν ὁμοίᾳ καταλήξει καὶ ὁ ἔλεγχος καὶ τὸ ἔλεγχος, οὕτω καὶ ὁ ὄσσος καὶ τὸ ὄσσος —βαρύνεται οὐ μόνον καθότι Αἰολικὸν δοκεῖ εἶναι, ἀλλὰ καὶ ὅτι τὰ εἰς ος μονογενῆ δισύλλαβα τῷ ο παραληγόμενα καὶ ἐξ αὐτοῦ ἀρχόμενα καὶ ἔχοντα δὴ τὸ αὐτὸ σύμφωνον βαρύνεται, κόννος, ὄρρος, κόκκος, κόττος. οὕτως ἄρα καὶ ὄσσος. εἴρηται μονογενῆ διὰ τὸ πολλός. μάχεται τῷ κανόνι τὸ κομμός. θαυμαστὸν δὲ οὐδὲν εἴπερ τὰ εἰς ος λήγοντα τῷ ο παραληγόμενα φιλεῖ ἓν ἔχειν τὸ ς εἰ μὴ κατὰ πάθος διπλοῦται ὡς τὸ τόσσος. τοῦτο δὲ μόνον ἔσχε δισσὸν αὐτό. τοιαῦτα δὲ κατὰ τὸν κανόνα τὸ νόσος καὶ δρόσος.

3,1 209 τὸ γὰρ κροσσός οὐκ οἶδα σύνηθες Ἕλλησιν, τὸ δὲ νοσσός ἐκ τοῦ νεοσσός. Τὰ εἰς σος ὑπερδισύλλαβα ἔχοντα τὸ α συνεσταλμένον, ἑνὸς ὄντος τοῦ ς , προπαροξύνεται, κόμπασο ς , Ἅρπασος ποταμὸς Καρίας, Δάμασο ς , βαύνασος τὸ καὶ βάναυσος, θίασο ς , Ἴασος πόλις Καρίας ἐν ὁμωνύμῳ νήσῳ κειμένη, ἡ καὶ ὀξυτόνως λεγομένη, Ἴασος δὲ καὶ τὸ Ἄργος ἀπὸ Ἰάσου τοῦ κατ' ἐνίους πατρὸς Ἰοῦς. Ἴμβρασος ποταμὸς καὶ ἀπ' αὐτοῦ ἡ Σάμος, Τράγασος, ἀφ' οὗ Τραγασαί χωρίον ἐν ἠπείρῳ, Καύκασος τὸ ὄρος τῶν κατὰ τὴν Ἀσίαν ὀρῶν μέγιστον, λέγεται καὶ Καύκασις διὰ τοῦ ι , Βάργασος, ὁ υἱὸς Βάργης καὶ Ἡρακλέους, ἀφ' οὗ Βάργασα πόλις Καρίας, Μύλασος υἱὸς Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου, ἀφ' οὗ Μύλασα πόλις Καρίας. λέγεται καὶ ἡ πόλις Μύλασος, ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ. Νάκρασος πόλις καὶ δῆμος Καρίας. Ἀπολλώνιος δεκάτῳ Καρικῶν. Πρόγασο ς . Πύρασος πόλις Φθίας. κέκληται δὲ διὰ τὸ τὴν χώραν εἶναι πυροφόρον. Πήδασος πόλις ὑπὲρ τὴν Ἴδη ν . Τάμασος πόλις Κύπρου. ἐντεῦθέν τινες γράφουσιν» (Od. α 184) «εἰς Τάμασον μετὰ χαλκόν». ἀπιθάνως. Πάρρασος εἷς τῶν Λυκάονος παίδων. Ἔρασο ς. σημείωσαι τὸ κερασός φυτὸν ὀξυνόμενον, τὴν δὲ πόλιν βαρύνουσιν. τὸ μέντοι Ἐγγυασός ἐκτεταμένον ἔχον τὸ α ὀξύνεται καὶ τὸ Παρνασσός δύο σς ἔχον. ἔστι δὲ ὄρος Δελφῶν. ἐκαλεῖτο δὲ πρότερον Λαρνασσός διὰ τὸ τὴν Δευκαλίωνος λάρνακα αὐτόθι προσενεχθῆναι. ἔνιοι δέ φασιν ἀπὸ Παρνασσοῦ Παρνασσὸν τοὔνομα λαβεῖν, ὃν καὶ μαντεύσασθαι Πυθοῖ πρῶτον, ὡς Ἀλεξανδρίδης φησὶν ἐν πρώτῳ περὶ τοῦ ἐν Δελφοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρηστηρίου. ὡσαύτως καὶ Ὑγασσός πόλις Καρίας, Βυβασσός πόλις Καρίας ἀπὸ Βυβασσοῦ νομέως περισώσαντος ἀπὸ θαλάσσης καὶ χειμῶνος εἰς Καρίαν ἐκπεσόντα Ποδαλείριον. λέγεται καὶ Βούβαστος. Ἀλέξανδρος δευτέρῳ Καρικῶν. Ἔφορος δὲ Βύβαστόν φησι. Κρυασσός πόλις Καρίας ἀπὸ Κρυασσοῦ τοῦ Κάρητος. Σαγαλασσός πόλις Πισιδίας. λέγεται καὶ Σελγησσός. Ἁλικαρνασσός πόλις Καρίας, ἣν Ἄνθης, φασίν, ὠνόμασεν ἀπὸ τοῦ ἁλὶ περιέχεσθαι τὴν Καρίαν. αὐτὸς δὲ ὁ Ἄνθης ἐκ Τροιζῆνος μετῴκησε λαβὼν τὴν Δύμαιναν φυλήν, ὡς Καλλίμαχος. ἢ ἀπὸ τοῦ νάσασθαι αὐτὸν ἀπὸ Τροιζῆνος, ὡς Ἀπολλόδωρος. Συασσός κώμη Φρυγίας. Ἀμαμασσός πόλις Κύπρου. Καβασσός πόλις ἐν Καππαδοκίᾳ ἡ καὶ Καβησσός.

3,1 210 Κυβασσός πόλις Καρίας. Πρινασσός πόλις Καρίας. Ῥυτιασσό ς. Τὰ εἰς σος ὑπερδισύλλαβα ἁπλῷ τῷ ε παραληγόμενα σπάνια ἓν ς ἔχοντα προπαροξύνεται, Ἔφεσος πόλις Ἰωνίας ἐπιφανεστάτη καὶ λιμὴν ἐν κόλπῳ. Ἡρόδοτος δὲ Λυδίας αὐτήν φησιν (I 142). ἐκλήθη δὲ ἀπὸ μιᾶς τῶν Ἀμαζόνων, ἣν καὶ βασίλισσαν καὶ πρόπολον Ἀρτέμιδος εἶναί φασιν. ἔστι καὶ Ἔφεσος νῆσος ἐν τῷ Νείλῳ καὶ Χίος καὶ Λέσβος καὶ Κύπρος καὶ Σάμος καὶ ἄλλαι, ὡς Ἑκαταῖος. Ἔρεσος πόλις Λέσβου ἀπὸ Ἐρέσου τοῦ Μάκαρος. τὸ μέντοι Θυεσσός πόλις Λυδίας ἀπὸ Θυεσσοῦ καπήλου—ἔστι καὶ Πισιδίας—δύο σς ἔχον ὀξύνεται. Τὰ εἰς σος ὑπερδισύλλαβα τῷ η παραληγόμενα ἕτερον ἔχοντα ς ὀξύνεται· εἰ δέ τι βαρύτονον εἴη, παρώνυμον ἂν εἴη. τὰ δὲ ἓν ἀναδεξάμενα ς βαρύνεται, σπάνια δέ ἐστι, χωρὶς εἰ μὴ ἔννοιαν συνθέσεως ἔχοι. Ταρτησσός πόλις Ἰβηρίας ἀπὸ ποταμοῦ τοῦ ἀπὸ τοῦ Ἀργυροῦ ὄρους ῥέοντος. Λυρνησσός πόλις Τρωϊκή. Λυκαβησσό ς . Μυκαλησσός πόλις ἐν μεσογείᾳ Βοιωτίας. Θουκυδίδης ἑβδόμῃ (c. 29). ἐκλήθη δὲ ὅτι ἡ βοῦς ἐνταῦθα ἐμυκήσατο ἡ τὸν Κάδμον καὶ τὸν σὺν αὐτῷ στρατὸν ἀγαγοῦσα εἰς Θήβας. ἔστι καὶ ἄλλη Καρίας, ὡς Ἔφορος τρίτῳ. ἔστι καὶ ὄρος Μυκαλησσός ἐναντίον Σάμου. Τευμησσός ὄρος Βοιωτίας. Ὅμηρος ἐν τῷ εἰς Ἀπόλλωνα ὕμνῳ (v. 224) «εἰς Μυκαλησσὸν ἰὼν καὶ Τευμησσὸν λεχεποίην». ἄστυ, ὡς Δημοσθένης ἐν τρίτῳ Βιθυνιακῶν. ἐκλήθη δ’ οὕτως, ὡς Ἀντίμαχος πρώτῳ Θηβαΐδος. οὕνεκά οἱ Κρονίδης, ὅστε μέγα πᾶσιν ἀνάσσει, ἄντρον ἐνὶ σκηνῇ τευμήσατο, τόφρα κεν εἴη Φοίνικος κούρη κεκυθμένα, ὄφρα ἑ μή τις μηδὲ θεῶν ἄλλος γε παρὲξ φράσσαιτό κεν αὐτοῦ. Ἐδεβησσός πόλις Λυκίας, Ἐρβησσός πόλις Σικελίας. Ὀρδησσό ς , Ὀδησσός πόλις ἐν πόντῳ πρὸς τῷ Σαλμυδησσῷ. Ἀπολλόδωρος δ’ ὄρος μέγα τὴν Ὀδησσόν φησιν. Σαλμυδησσός κόλπος τοῦ Πόντου. Ἀγησσός πόλις Θρᾴκης ὡς Θεόπομπος ἐν τεσσαρακοστῇ ἑβδόμῃ. Ἀκαλησσός πόλις Λυκίας, Ἀσσησσός πόλις Μιλησίας γῆς. Θεόπομπος Φιλιππικῶν εἰκοστῇ τετάρτῃ.

3,1 211 Καρδαμυλησσός κώμη. Καρδησσός πόλις Σκυθίας. Ἑκαταῖος Εὐρώπῃ. Κορησσός πόλις τῆς Ἐφεσίας ... διὰ τὸ τὴν Λητὼ τεκοῦσαν καὶ τὴν Ἄρτεμιν κομίζουσαν γενομένην κατὰ τὸν τόπον, οὗ νῦν βωμὸς αὐτῆς, τῆς δὲ πυθομένης τίνος ἐστὶν ὁ τόπος, κόρη σός εἰπεῖν. Μερμησσός πόλις Τρωϊκή. Σαρδησσός πόλις Κιλικίας. Σινδησσός πόλις Καρίας. Τεγησσός πόλις Κύπρου, Τερμησσός πόλις Πισιδίας. ἔστι καὶ ἄλλη ταύτης ἄποικος καὶ αὐτὴ Πισιδίας λεγομένη μικρά, ὡς ἡ προτέρα μείζων. Τυλησσός ὄρος Ἰταλίας. Τυμνησσός πόλις Καρίας ἀπὸ Τυμνησσοῦ ἢ ἀπὸ τυμνίας ἤτοι ῥάβδου. Ξάνθιοι γὰρ τὴν ῥάβδον τυμνίαν λέγουσιν. Ἀγορησσός πόλις Καρίας. Καβησσός πόλις ἐν Καππαδοκίᾳ, πατρὶς Ὀθρυονέως. Ὅμηρος «Καβησσόθεν ἔνδον ἐόντα» (Il. N 363). Ἑκαταῖος δ’ ὁ Μιλήσιος πόλιν εἶναί φησιν ὑπερβάντι τὸν Θρᾴκιον Αἶμον. καὶ συμφωνεῖ καὶ ἡ τοῦ γάμου ἐλπὶς τῶν Θρᾳκῶν ἀκολασίᾳ. Ἑλλάνικος δὲ τῆς Λυκίας πόλιν. Ἀπίων δὲ ἀληθέστερόν φησι κώμην εἶναι Καππαδοκίας μεταξὺ Ταρσοῦ καὶ Μαζάκων. λέγεται δὲ καὶ Καβασσός, ὅπερ ἀπὸ τοῦ Καβακησός οἴεται Δίδυμος κατὰ συγκοπήν. τὸ δὲ Μάρπησσος βαρύνεται ὡς παρώνυμον ἀπὸ τοῦ Μάρπησσα. τὸ δὲ Κάρησος καὶ Βρίλησος δι’ ἑνὸς ς γραφόμενα βαρύνεται. τὸ δὲ Κάρησος (M 20) Τυραννίων ὀξύνει· οὕτω γὰρ ὑπὸ Κυζικηνῶν ὀνομάζεσθαι τὸν ποταμόν. ὁ δὲ Ἀρίσταρχος βαρύνει· οὐ γὰρ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν, εἴγε Διονύσιος ἱστορεῖ τοὺς ἐγχωρίους τὸ Γλισᾶς μὴ περισπᾶν τῆς συνηθείας περισπώσης. τό τε Λύκαστος ὁ αὐτὸς ἱστορεῖ ὀξύνεσθαι ἡμῶν ἀναγινωσκόντων βαρυτόνως (Β 647). οὕτως οὖν εἰκὸς καὶ ἐπὶ τοῦ Κάρησος μὴ πεισθῆναι τὸν Ἀρίσταρχον ὁμοίως τοῖς ἐγχωρίοις προενέγκασθαι τὴν λέξιν. τάχα δὲ ἐπεὶ ἑώρα τὰ εἰς ος λήγοντα ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα τῷ η παραληγόμενα ἕτερον ἔχοντα ς , τοῦτο δὲ ἓν ἀναδεξάμενον, διὰ τοῦτο καὶ ἐξήλλαξεν αὐτὸ τῆς ἐκείνων τάσεως. τὸ δὲ Μυόννησος πόλις μεταξὺ Τέω καὶ Λεβέδου. Ἑκαταῖος Ἀσίᾳ. Ἀρτεμίδωρος δὲ χωρίον αὐτήν φησι. Χερρόνησος πόλις ἐν τῇ κατὰ Κνίδον χερρονήσῳ κατὰ Τριόπιον. ἔστι β′ πόλις ἐν τῇ Θρᾴκῃ Χερρόνησος, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ «ἐν δὲ αὐτοῖσι πόλις Χερσόνησος ἐν τῷ ἰσθμῷ τῆς χερσονήσου». ἔστι καὶ γ′ πόλις τῆς Ταυρικῆς. Ἡρόδοτος τετάρτῃ (c. 99) «νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι Χερσονήσου τῆς τρηχείης καλεομένης». δ′ Χερρόνησος κατὰ Κρήτην νῆσον ἔχουσα πολισμάτιον ὁμώνυμον. Ξενίων ἐν τῷ περὶ αὐτῆς «κατὰ δὲ τὴν αὐτὴν πλευρὰν καὶ Χερρόνησος κεῖται πρὸς τῇ θαλάσσῃ μεταξὺ τῆς τε Κνωσοῦ καὶ τῆς Ὀλοῦντος». ἔστιν ε′ πόλις Λιβύης Χέρρουρα καλουμένη, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ «ἔχεται χερρόνησος ὄνομα Χέρρουρα». ϛ′ Χερρόνησος ἡ πρὸς τῇ Κορίνθῳ. ἔστι καὶ ἄλλη ἄκρα Χερρόνησος ἐν Λυκίᾳ· καὶ ἄλλη πρὸς τὴν Κορωνιτῶν πόλιν.

3,1 212 Προκόννησος μία τῶν Σποράδων ἐν τῇ Προποντίδι, Ἐλαφόνησος μία τῶν Σποράδων νήσων ἔχουσα πόλιν ὁμώνυμον. Ἁλόννησο ς , Ἀλωπεκόννησος πόλις τῆς Ἑλλησποντίας χερρονήσου κατὰ χρησμὸν κτισθεῖσα κελεύσαντα, ἔνθα ἂν σκύλακας ἴδωσιν ἀλώπεκος, ἐκεῖ πόλιν οἰκίσαι. Ἀρκόνησος νῆσος Καρίας. Ἀπολλώνιος ἑβδόμῃ Καρικῶν. Ἀρκτόνησο ς. οὕτως ἡ Κύζικος ἐκαλεῖτο. Ἀρτύμνησος, πόλις Λυκίας, ἄποικος Ξανθίων. Μενεκράτης ἐν πρώτῃ τῶν Λυκιακῶν. Δημόνησος περὶ Χαλκηδόνα νῆσος ἀπὸ Δημονήσου τινός. Ἱππόνησος πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ Λιβύης, ὡς Ἀρτεμίδωρος ἑβδόμῳ. Ἑκατόννησο ς. οὕτως περὶ τὴν Λέσβου νησία κ′, ὡς Στράβων (13 p. 618), παρὰ τὸν Ἕκατον τὸν Ἀπόλλωνα. τιμᾶται γὰρ διαφόρως ἐν τοῖς τόποις, Σμινθεύς, Κιλλαῖος, Γρυνεύς. Κορακόννησος ... Ἀλέξανδρος τρίτῳ Λιβυκῶν. καὶ ἔτι τὸ Πελοπόννησος σύνθετα. Τὰ εἰς σσος ὑπερδισύλλαβα ἔχοντα πρὸ τοῦ τέλους ι εἰς ς καταλῆγον μονογενῆ ὄντα προπαροξύνεται, κυπάρισσος καὶ τὸ φυτὸν καὶ ὁ ἥρως καὶ ἡ πόλις. Ὅμηρος «οἱ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν» (Β 519) ἀπὸ Κυπαρίσσου τοῦ Μινυοῦ, οἱ δὲ ὡς Δίδυμος ἀπὸ πλήθους τῶν αὐτόθι κυπαρίσσων, ἣν Κυπαρισσοῦντά τινες καὶ Ἀπολλωνιάδα φασί. νάρκισσος καὶ τὸ φυτὸν καὶ τὸ κύριον. Μέλισσο ς . Μύρμισσος πόλις περὶ Λάμψακον, ὡς Πολέμων. Βόλισσος πόλις Αἰολικὴ ἐπ' ἄκρου Χίου πλησίον. Θουκυδίδης Βολίσκον αὐτὴν καλεῖ ἐν ὀγδόῃ (c. 24). Ἀνδροτίων δὲ δι' ἑνὸς ς γράφει. καί φασιν ὅτι Ὅμηρος ἐν τούτῳ τῷ πολισματίῳ τὰς διατριβὰς ἐποιεῖτο, ὡς Ἔφορος. Ἀρχέμισσος ὄνομα ποταμοῦ. Τριπόλισσος ἔθνος Θεσπρωτικόν, οὓς καὶ Τριπολισσίους καλεῖ Ῥιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ. Βαρβάλισσος φρούριον τῆς ἕω περιτετειχισμένον, Θέμισσος πόλις Καρίας, ἣν ἔκτισε Δάδας, ἀπὸ Θεμίσσου παιδός, ὃν λύκοι διεχρήσαντο. Μούκισσος πόλις Καππαδοκίας. Μύγισσος πόλις Καρίας. Ἑκαταῖος τετάρτῃ γενεαλογιῶν. Παροπάνισσος πόλις καὶ ὄρος Ἰνδικῆς, ἀφ' οὗ Παροπανισσάδαι οἱ οἰκοῦντες. Ἀπολλόδωρος δὲ ἐν δευτέρῳ περὶ γῆς ἀπ' αὐτῶν φησι τὸ ὄρος κεκλῆσθαι. βούλονται δέ τινες Παρπάνισον προπαροξυτόνως λέγεσθαι τὸ ὄρος. πολλοὶ δὲ καὶ ὀξύνουσι καὶ διὰ τοῦ μ γράφουσι Παρπαμισόν. Στράβων δὲ (p. 723) Παροπαμισόν γράφει πεντεσυλλάβως. Ὕδισσος πόλις Καρίας ἀπὸ Ὑδίσσου παιδὸς Βελλεροφόντου καὶ Ἀστερίας θυγατρὸς Ὑδέου, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. Πεδνήλισσος πόλις Πισιδίας.

3,1 213 τὸ μέντοι περισσός τριγενές. σεσημείωται τὸ Τελμισσός πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων, Λυκίας. ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα. Τὰ εἰς σος ὑπερδισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ι ἐκτεταμένον λήγουσαν ὀξύνεται. εἰ δέ τι βεβαρυτόνηται, τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ, Κηφισό ς , Ἰλισός ποταμὸς τῆς Ἀττικῆς, ἐν ᾧ τιμῶνται αἱ Μοῦσαι Ἰλισίδες, ὡς Ἀπολλόδωρος. Κεδρισό ς , Ἀμισός πόλις ἐν Πόντῳ. λέγεται καὶ ἀρσενικῶς. Ἀμνισός ποταμὸς Κρήτης. τὸ δὲ Ἄρνισος Ἄρνισα, Λάρισος Λάρισα ἀπὸ θηλυκῶν, ὡσαύτως καὶ Μήρισο ς , Μάρισος ὁ ποταμός, Πάμισο ς , Κρίμισος ὁ ποταμὸς Σικελίας, Μόρμισος ὁ ποταμός, Νάϊσο ς , ὕρισος βαρύνονται. Τὰ εἰς σος ὑπερδισύλλαβα τῷ ο παραληγόμενα ἐν διπλασιασμῷ τοῦ ς ὀξύνεται, νεοσσό ς , κολοσσό ς , Μολοσσός ὄνομα ἔθνους. Τὰ εἰς δύο σς παραληγόμενα τῷ υ προπαροξύνεται, Γένυσσος ὄνομα ποταμοῦ. Ἄμφρυσσος πόλις Φωκίδος. καὶ δι' ἑνὸς ς ἐκφέρεται. τινὲς δὲ διὰ τοῦ β φασί. ἔστι καὶ ποταμὸς Μαγνησίας. Ἴνυσσος πόλις Αἰγύπτου προσεχὴς τῷ Κασίῳ ὄρει. Ἡρόδοτος (3, 5). ὡσαύτως καὶ τὰ δι' ἑνὸς ς ἐκφερόμενα προπαροξύνεται, μέθυσο ς , γόγγυσο ς , Διόνυσο ς , Ὄνυσος ὁ ποταμός. ἄφυσο ς , ἄρυσος ἀγγεῖον πλεκτὸν σπυριδῶδες. Ἰάλυσος ἥρως καὶ πόλις ἐν Ῥόδῳ καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ. Ἀμφίλυσος ποταμὸς Σάμου. Εὐφορίων Ἀρτεμιδώρῳ «δαῖμον ὃς Ἀμφιλύσοιο ῥόον». Τὰ εἰς σσος ὑπὲρ δύο συλλαβὰς τῷ ω παραληγόμενα ὀξύνεται, Κερωσσός πόλις Ἀπολλωνιάδος. Βηρωσσό ς , Κεδρωσσός ἔθνος πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης, οὓς καὶ Γεδρωσίους καλοῦσιν. τὸ δὲ ἄλωσος ἓν ς ἔχει· γέγονε δὲ παρὰ τὸν ἁλώσω μέλλοντα. * Τὰ διὰ τοῦ αισος ὑπερδισύλλαβα σπάνια ὄντα βαρύνεται, Ἅλαισο ς , κάβαισος ὁ ἄπληστος.

3,1 214 Γάλαισος ὄνομα ποταμοῦ. τὸ μέντοι Παραισός ὀξύνεται· ἐγένετο δὲ ὁ Παραισὸς Μίνῳ συγγενής, ἀφ' ού ἡ πόλις ἡ Παραισός ὁμοτόνως τῷ οἰκιστῇ. καὶ Πριαισός πόλις Κρήτης. τὸ δὲ Ἀπαισός ἠκολούθησε τῷ «ὅς ῥ' ἐνὶ Παισῷ (Il. Ε 612). * Τὰ διὰ τοῦ αυσος σπάνια ὄντα προπαροξύνεται βάναυσος ὃ καὶ βαύνασος, Νέμαυσος πόλις Γαλλίας ἀπὸ Νεμαύσου Ἡρακλείδου. * Τὸ Παράδεισος πόλις Συρίας μόνον διὰ τοῦ εισος προπαροξύνεται. Τὰ εἰς τος δισύλλαβα παραληγόμενα τῇ ου ἢ οι ἢ αι διφθόγγῳ, μὴ τῇ ει , ἀρσενικὰ ὄντα μὴ ἐπιθετικὰ βαρύνεται, εἰ μὴ μέρος σώματος σημαίνοι, πλοῦτο ς , οἶτο ς , Κλοῖτο ς , Προῖτο ς , γοῖτος ὁ ῥύπος, κοῖτο ς , μοῖτο ς , φοῖτο ς , Λαῖτο ς , βροῦτο ς. τὸ δὲ Κλειτός ἔχει τὴν ει . καὶ τὸ γλουτός σώματος μέρος δηλοῖ. καὶ τὸ Βοῦτος θηλυκὸν κώμη Αἰγύπτου—ἐκαλεῖτο δὲ καὶ Βουτώ, ἔστι καὶ ἑτέρα Γεδρωσίας. καὶ τὸ Παιτός ἐθνικὸν ὡς καὶ τὸ Ῥαιτό ς. ἔστι δὲ Τυρρηνικὸν ἔθνος. Τὰ εἰς τος δισύλλαβα παραληγόμενα ἑνὶ τῶν φύσει μακρῶν κύρια ὄντα βαρύνεται, Κλῆτος ὄνομα ποταμοῦ. Δῶτος ὁ Πελασγοῦ, ἀφ' οὗ τὸ Δώτιον πεδίον. ἔστι καὶ ὄνομα αὐλητοῦ. Πρῶτο ς . Ὦτος ὄνομα κύριον καὶ τὸ ὄρνεον, ᾧ ὁμοίως καὶ τὸ νῶτος ἐπὶ τῆς ψόας.

3,1 215 καὶ γὰρ τούτου ἡ χρῆσις, καὶ τὸ μὲν οὐδέτερον πολὺ τὸ νῶτον, ἤδη δὲ καὶ τὸ ἀρσενικόν. ἱστορεῖται δὲ παρὰ Ξενοφῶντι καὶ Ἐφόρῳ. τὸ μέντοι λωτός οὐ κύριον. εἰ μέντοι ἐπιθετικὰ εἴη παραληγόμενα τῷ η ἢ τῷ ω , ὀξύνεται, εἰ μὴ ἐπὶ ἀριθμοῦ τάττοιτο, ῥητό ς , νητό ς , κμητό ς , τρητός, οἷς ὅμοιον καὶ τὸ Σητοί ἔθνος καὶ πόλις Βιθυνίας, πλωτός, ἔνθεν «πλωτῇ ἐνὶ νήσῳ» (Od. κ 3), στρωτό ς , γνωτό ς , πτωτό ς , βρωτό ς , τρωτό ς , πρωτός ὁ πεπρωμένος, ὅθεν καὶ ἐτόλμησάν τινες ἀναγινώσκειν «ἐπὴν τὰ πρωτὰ γένηται» (Il. Ζ 489), ἵν' ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶς. πρῶτος δὲ ἐπὶ ἀριθμοῦ. ἰστέον δὲ ὅτι κανόνες κατέσχον τέσσαρες τὴν βαρεῖαν τάσιν· ὡς γὰρ παρὰ τὴν ἐξ γίνεται ἐξώτερος, οὕτως καὶ παρὰ τὴν πρό γέγονε πρότερος συγκριτικὸν καὶ πρότατος ὑπερθετικὸν καὶ ἀποβολῇ τοῦ τ πρόατος καὶ κράσει τοῦ οα εἰς ω πρῶτος· βαρύνεται δὲ ἴσως καὶ ὥσπερ ἐπιμεριζόμενον, μία δὲ ἡ τάσις τῶν ἐπιμεριζομένων ἡ βαρεῖα, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ πρωτός βαρύνεται. ἔτι δὲ βαρύνεται, ἐπειδὴ τὰ εἰς ος τακτικὰ βαρύνεται, ὑπεσταλμένων τῶν εἰς στος , ἕβδομος, ὄγδοος, ἔννατος, δέκατος. Τὰ εἰς τος διβράχεα μονογενῆ βαρύνεται, ὁπότε μὴ ἐπὶ ἀθροίσματος ἢ κύριά εἰσιν ἀπὸ ἐπιθετικῶν ἢ ἔχει ἀντέμφασιν, βάτο ς , λάτο ς , βρότος τὸ αἷμα, βροτός δὲ ὁ φθαρτός τὸ τριγενές, πότος τὸ συμπόσιον, ποτός δὲ τὸ πινόμενον, πάτος ἡ ἀναστροφή, Στράτος τὸ μὴ ἐπὶ τοῦ ἀθροίσματος, ἔστι δὲ πόλις Ἀκαρνανίας, στρατός δὲ τὸ σύναγμα, κρότο ς , κότο ς , μίτο ς , νότο ς , σκότο ς. τὸ δὲ Κριτός καὶ Κλιτός

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀξύνεται. Τὰ εἰς τος διβράχεα ἐπιθετικὰ μὴ ἐπὶ ἀριθμοῦ ταττόμενα ὀξύνεται, βατό ς , φατό ς , θετό ς , δετό ς , ἐτός ὁ ἀληθής ἀπὸ τοῦ εἰμί, ὃ δηλοῖ τὸ ὑπάρχω.

3,1 216 πλυτό ς. τὸ δὲ τρίτος ἐπὶ ἀριθμοῦ. Τὰ εἰς τος δισύλλαβα παραληγόμενα ι μακρῷ βαρύνεται, σῖτος — ὥσπερ παρὰ τὸ ἐργάζομαι γίνεται ἐργαστής καὶ ἀποβολῇ τοῦ ς ἐργάτης βαρυνόμενον καὶ ἀπὸ τοῦ δεσποστής δεσπότης, οἰστός οἶτος, οὕτω καὶ παρὰ τὸ σέσεισται σειστός ἀποβολῇ τοῦ ς καὶ ε σῖτος— Τρῖτος ὁ ποταμός, ῥῖτος φρέαρ, τὸ μέντοι λιτός τριγενές. Τὰ εἰς τος δισύλλαβα παραληγόμενα τῷ υ προσηγορικὰ ὀξύνεται, βρυτός ὁ βρύων, χυτό ς , ῥυτό ς , λυτό ς , κλυτό ς , πλυτό ς , τρυτό ς. τὸ δὲ Βύτος κύριον βαρύνεται. Τὰ εἰς τος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν ἢ καθ' ὅλου εἰς ἀμετάβολον βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη ἔχοντα θηλυκόν, φόρτο ς , χόρτο ς , μύρτος καὶ Μύρτος ἡ πόλις, ἄρτο ς , μίλτο ς , δέλτο ς , κίρτο ς· παρὰ Σιμωνίδῃ ἡ χρῆσις. Τοῦρτο ς· οὕτως καλεῖ Ἀρτεμίδωρος τοὺς οἰκήτορας τῆς Τουρδητανίας. Ἄλτος χωρίον πλησίον Θεσσαλονίκης. Πάλτος πόλις Συρίας. Ἀρτεμίδωρος. πόντος καὶ ἰδικῶς ὁ Εὔξεινος. Κύρτος πόλις Αἰγύπτου ἐν τῷ μεσογείῳ. καὶ κύρτος εἶδος δικτύου. σεσημείωται κοντός καὶ παλτός ὀξυνόμενα. τὸ δὲ σπαρτό ς , κυρτό ς , καρτό ς , θικτός ὀξύνονται ὡς θηλυκὰ ἔχοντα. ὀξύνεται δὲ καὶ Κυρτός τὸ ἐθνικὸν ὡς καὶ Σιντός ἔθνος Θρᾳκικόν, οἳ καὶ Σίντιες καὶ Σίντιοι ἐκαλοῦντο, καὶ Κελτός, οὓς Κέλτας Στράβων φησί. καὶ τὸ Σπαρτός —υἱὸς Ἀμύκλαντος τοῦ Λέλεγος καὶ Σπαρτοί οἱ μετὰ Κάδμου—κύριον ὀξύνεται. Τὰ εἰς στος δισύλλαβα μονογενῆ ὀξύνεται, εἰ μὴ ἡ πρὸ τέλους συλλαβὴ ἔχοι τι τῶν φύσει βραχέων, ἱστός, ἔστι καὶ νῆσος Λιβύης.

3,1 217 Σηστός πόλις πρὸς τῇ Προποντίδι. λέγεται δὲ ἀρσενικῶς παρ' Ἐφόρῳ· οἱ δὲ Ἀθηναῖοι «ἐν τῇ Σηστῷ» φασιν. παστό ς , μαστό ς , ξυστό ς . Κραστός πόλις Σικελίας τῶν Σικανῶν. Φίλιστος Σικελικῶν τρισκαιδεκάτῳ. Γραστός παῖς Μυγδόνος, ἀφ' οὗ Γρηστωνία χώρα Θρᾴκης. Φαιστός πόλις Κρήτης «ἐς Φαιστόν, μικρὸς δὲ λίθος» (Od. γ 296). ἔστι καὶ ἄλλη Φαιστός Πελοποννήσου ἡ πρότερον Φρίξα καλουμένη. τὸ δὲ Φαῖστος ἐπὶ τοῦ ἥρωος βαρύνεται «Ἰδομενεὺς δ' ἄρα Φαῖστον» (Il. E 43). σεσημείωται τὸ Δύστος πόλις Εὐβοίας. Θεόπομπος ἐν Φιλιππικῶν κδʹ «ἀποστήσας δὲ τοὺς ἐν αὐτῇ τῇ περιοικίδι τῶν Ἐρετριέων ἐστράτευσεν ἐπὶ πόλιν Δύστον». καὶ Κάστος καὶ Νάστος πόλις Θρᾴκης, ἣ καὶ Νέστος λέγεται· Ἀπολλόδωρος δευτέρᾳ περὶ γῆς· βαρύτονα. τὸ δὲ Νέστος πατὴρ Καλλιρρόης καὶ πόλις καὶ ποταμὸς Ἰλλυρίας καὶ κόστος καὶ νόστος βραχεῖ παραλήγουσι. Τὰ εἰς τος δισύλλαβα ἔχοντα πρὸ τοῦ τ ς , εἰ παρασχηματίζοιτο εἰς διάφορα γένη, ὀξύνεσθαι θέλει, εἰ μὴ ὑπερθετικὰ εἴη ἢ ἐκ πλειόνων συλλαβῶν εἰς δισυλλαβίαν μεταστῇ, πιστό ς , ξυστό ς , ἀστό ς , μεστό ς , κεστό ς. τὸ δὲ πλεῖστο ς , λῷστο ς , ῥᾷστος ὑπερθετικὰ ὄντα βαρύνεται. καὶ τὸ Πλεῖστος ποταμὸς ἐν Δελφοῖς βαρύνεται «πολλὰ δὲ Κωρύκιαι νύμφαι Πλείστοιο θύγατρες». Ἀπολλώνιος (Argon. II 711). τινὲς δὲ ἀναγινώσκουσι προπερισπωμένως ἐπὶ τῆς γενικῆς, ἐπειδὴ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστός ὀξυτόνως, οὐκ ἐπικρατεῖ δὲ ἡ ἐθνικὴ παράδοσις. καὶ τὸ δύστος ὁ δύστηνος καὶ πόστος ἐκ τοῦ πόσατος γέγονεν. Τὰ εἰς τος ῥηματικὰ μὴ ὄντα ἀριθμητικά, πρὸ τοῦ τ τὸ κ ἢ τὸ π ἔχοντα ὀξύνεται, πλεκτό ς , ἑλκτό ς , πνικτό ς , θελκτό ς. τὸ δὲ οἶκτος βαρύνεται. οὐ γὰρ ῥηματικόν. —ἄλλως τε φιλεῖ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς ος συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει— καὶ τὸ ἄρκτος καὶ πέκτος ὁ πόκος καὶ τὸ κάκτο ς. καὶ Λύκτος πόλις Κρήτης ἀπὸ Λύκτου τοῦ Λυκάονος· ἔνιοι δὲ Λύττον αὐτήν φασιν διὰ τὸ κεῖσθαι ἐν μετεώρῳ τόπῳ. τὸ γὰρ ἄνω καὶ ὑψηλὸν λύττον φασί.

3,1 218 καὶ Ῥάπτος ποταμὸς Αἰθιοπίας. τὸ δὲ πέμπτος ἕκτος τὰ ἐπὶ ἀριθμοῦ βαρύνεται. τὸ μέντοι πεμπτός ὀξύνεται τὸ ἐπιθετικὸν καὶ τὸ ἑκτός ὁ ἐχόμενος, ἐκτός δὲ χωρὶς ἐπίρρημα. Τὰ εἰς διπλοῦν ττ βαρύνεται, χωρὶς τῶν Ἀττικῶν, κόττο ς , λύττο ς , Βάττο ς , Βρέττος πόλις Τυρρηνῶν ἀπὸ Βρέττου τοῦ Ἡρακλέους καὶ Βαλητίας τῆς Βαλήτου, Σφῆττος παῖς Τροιζῆνος, τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ Σφηττός δῆμος Ἀκαμαντίδος φυλῆς ὀξύνεται. τὰ δὲ Ἀττικὰ ὁμοτονεῖ τοῖς κοινοῖς, ἐξ ὧν γέγονε, κιττός, ὅτι κισσός, τριττός, ὅτι τρισσός. Τὰ εἰς τατος ὑπερθετικὰ προπαροξύνεται, καὶ ὅσα εἰς στος ὑπερθετικά, λαμπρότατο ς , ὁσιώτατο ς , σεμνότατο ς , κάλλιστο ς , κύδιστο ς , ἄριστο ς. ὁμοίως καὶ τὸ πλατάνιστος ἀπὸ τοῦ πλάτανος. Τὰ εἰς τος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ παραληγόμενα τῷ α προπαροξύνεται, Ἔλατος, ἀφ' οὗ Ἐλάτεια πόλις Φωκίδος, ὕπατο ς , ἔνατο ς , Εἴνατος πόλις Κρήτης, ὡς Ξενίων φησί. τινὲς δὲ ὄρος καὶ ποταμός, ἐν ᾧ τιμᾶσθαι τὴν Εἰλείθυιαν Εἰνατίην. θάνατο ς , Ἔρατος τὸ κύριον, ἐρατός ὁ ἐπιθυμητικός. ἄκατο ς , Ἀμήστρατος πόλις Σικελίας. Ἀπολλόδωρος τετάρτη χρονικῶν. Μυτισέρατος φρούριον Σικελίας. Φίλιστος δεκάτῃ. Μυτίστρατος πολίχνιον περὶ Καρχηδόνα. Πολύβιος πρώτῳ. Τὰ διὰ τοῦ ατος παρηγμένα εἰ μὴ ῥηματικά εἰσιν ἀπὸ τῶν εἰς μι ληγόντων, ἢ ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων προπαροξύνονται, μέσατο ς , πύματο ς , ὀγδόατο ς , τρίτατο ς , τέτρατο ς , νέα τος. τὸ μέντοι ἐρατό ς , ἐλατός ὀξύνεται. ὡσαύτως δὲ ὀξύνεται καὶ τὰ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων μακρὸν ἔχοντα τὸ α , περατό ς , θεατό ς , φυρατό ς , ἰατό ς. Τὰ εἰς ετος τρισύλλαβα ἔχοντα τὸ ε ἐν τῇ τρίτῃ ἀπὸ τέλους κύρια ὄντα καὶ προσηγορικὰ προπαροξύνεται, Νέπετος πόλις Ἰταλίας. Διονύσιος τρισκαιδεκάτῃ Ῥωμαϊκῆς ἀρχαιολογίας. Ἔχετο ς , Δέρκετο ς , Μένετος τὸ κύριον, μενετός τὸ ἐπίθετον. τούτοις ἠκολούθησε καὶ τὸ ἔμετος ὡς ἔχον τὸ ε ὥσπερ τὰ ἄνω. σεσημείωται τὸ Ἐνετός ἔθνος Παφλαγονίας ὀξυνόμενον. Ὅμηρος «ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων» (Il. B 852). τὰ δὲ ἔχοντα τὸ α ὁμοίως, ἄργετο ς , ἄφετο ς , ἄνετο ς , Αἴνετο ς , αἰνετός δὲ τὸ ἐπίθετον.

3,1 219 Λάμπετος υἱὸς Ἴρου, πάγετος, ὅπερ ὀξύνει ἡ συνήθεια. ἔτι ὀξύνεται καὶ ἀετός καὶ αἰετό ς. Τὰ διὰ τοῦ ετος τρισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται, εἰ μὴ παρωνύμως τετύπωται, νιφετό ς , ὑετό ς , κοπετό ς , πυρετό ς , τοκετό ς , συρφετό ς. τὸ μέντοι ἄσχετο ς , ἄσπετο ς , γνύπετος ὁ χαῦνος προπαροξύνεται. * Τὰ ὑπὲρ τρεῖς συλλαβὰς διὰ τοῦ ετος ἐκφερόμενα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ, ἐπιθετικῶς μὲν λαμβανόμενα τρίτην ἀπὸ τέλους θέλει ἔχειν τὴν ὀξεῖαν ὥσπερ ἔχει τὸ ἀμαιμάκετο ς , περιμήκετο ς , ἀριδείκετο ς , ἐξαίρετο ς , παλινάγρετο ς , τηλύγετο ς , Ταΰγετο ς , ἀτρύγετο ς. τὸ δὲ λαιλαπετός μὴ ὂν ἐπιθετικὸν ὠξύνθη καὶ τὸ Ἰαπετός ἐπὶ κυρίου. οὕτως οὖν καὶ τὸ ἀφυσγετός, εἴπερ οὐκ ἔστιν ἐπιθετικόν, ὑγιῶς ὀξυτονηθήσεται κατὰ τὸν Ἀρίσταρχον. ἢ εἴπερ αὐτὸ βαρύνομεν κατὰ τὸν Τυραννίωνα, δώσομεν αὐτὸ καὶ ἐπικεῖσθαί τινι. Τὰ εἰς τος κύρια ἢ ἐπίθετα παραληγόμενα τῷ η μονογενῆ βαρύνονται, Ἄρητο ς , Λάμητος ποταμὸς πρὸς Κρότωνι, ἀφ' οὗ Λαμητῖνοι πόλις. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Λάμητος ποταμός, ἐν δὲ Λαμητῖνοι». Μέλητος ὄνομα κύριον, βύνητος εἶδος ἱματίου παρ' Αἰγυπτίοις. Μάσητος πόλις Ἀργείων, ἣ καὶ Μάσης. Μίλητος πόλις ἐπιφανὴς ἐν Καρίᾳ τῶν Ἰώνων. Ἑκαταῖος Ἀσίᾳ. Δίδυμος δ' ἐν τοῖς συμποσιακοῖς φησιν, ὅτι πρῶτον Λελεγηίς ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων Λελέγων, εἶτα Πιτύουσα ἀπὸ τῶν ἐκεῖ πιτύων καὶ ὅτι ἐκεῖ πρῶτον πίτυς ἔφυ. οἱ γὰρ Μιλήσιοι ἐν τοῖς θεσμοφορίοις πίτυος κλάδον ὑπὸ τὴν στιβάδα ... καὶ ἐπὶ τὰ τῆς Δήμητρος ἱερὰ κλῶνον πίτυος τίθεσθαι ... διὰ τὸ ἀρχαῖον τῆς γενέσεως. μετὰ δὲ ταῦτα ἀπὸ Ἄνακτος τοῦ Γῆς καὶ Οὐρανοῦ ὠνομάσθη Ἀνακτορία. ἔστι δὲ καὶ Κρητικὴ πόλις Μίλητος. λέγεται δὲ καὶ τὴν Καλυψοῦς νῆσον Μίλητον κληθῆναί ποτε. Κόρητο ς . Κατάρητος ὁ ποταμός. Αἴνητος ὄνομα κύριον, τρύγητος ὁ καιρὸς μονογενῶς, τρυγητός δὲ τὸ τρυγώμενον.

3,1 220 τοιοῦτον καὶ τὸ ἄμητος καὶ ἀμητό ς. τὸ δὲ ἑψητό ς , λαλητός ὀξύτονα καὶ ἐπιθετικά. καὶ τὸ ἀλαλητός ἀπὸ τοῦ λαλητός προσθέσει τοῦ α . Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ η ἁπλᾶ τριγενῆ ὀξύνεται, δωρητό ς , ἀσκητό ς , κοσμητό ς , ἀγαπητό ς , ὠνητό ς , ποτητό ς , ἀρητό ς , μισητός, ᾧ ὁμοτονεῖ Μισητός πόλις Μακεδονίας, νοητό ς , παραρρητό ς , παραμυθητό ς. τὸ δὲ ἄρρητο ς , ἄκλητο ς , ἄκμητος σύνθετα προπαροξύνονται. οὕτως καὶ τὸ ἄητος ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκατάπαυστος «θάρσος ἄητον ἔχουσα» (Φ 395). ἔστι γὰρ σύνθετον, ὥς φησι Φιλόξενος, παρὰ τὸ ἐτός ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός. ἐγένετο δὲ καὶ τὸ πληθυντικὸν οὐδέτερον ἐν ἐπιρρηματικῇ τάξει, καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς οὐκ ἐτός ἀντὶ μεσότητος τῆς ἐτῶς. τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τουτέστι μέγα, ἄετον καὶ ἄητον. * Τὰ εἰς ττος ὑπὲρ δύο συλλαβὰς τῷ η παραληγόμενα κύρια ὀξύνεται, Γαργηττός πόλις καὶ δῆμος Αἰγηΐδος φυλῆς, Ὑμηττός ὄρος τῆς Ἀττικῆς—τὸ υ μακρὸν καὶ βραχύ. Λυκαβηττό ς . Συπαληττός δῆμος τῆς Κεκροπίδος φυλῆς. Ὑηττός κώμη Βοιωτίας. ὠνόμασται δ’ οὕτως διὰ τὸ καθύεσθαι σφοδροῖς ὄμβροις. τινὲς δὲ τὴν Ἀσπληδόνα Ὑηττόν ἐκάλεσαν. Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ παραληγόμενα τῷ ι μὴ ὄντα ἐπιθετικὰ βαρύνονται, βάρβιτο ς , Νήριτος ἢ Νήριτον ὄρος, Λήϊτο ς , Φώκριτο ς , Ἄγχιτο ς , Ἀφρόδιτο ς. τὰ δὲ θηλυκὰ ὀξύνεται ἁμαξιτό ς· ἔστι καὶ πολίχνιον Τρῳάδος. Στράβων ιγʹ (p. 612). ἀτραπιτό ς , Λυχνιτός ἡ λίμνη Ἰλλυρίας θηλυκῶς καὶ ἡ πόλις ἀρσενικῶς. τινὲς δὲ διὰ τοῦ δ γράφουσιν. τὸ δὲ θεριτός τὸ θεριζόμενον, θέριτος δὲ ὁ καιρός. Τὰ εἰς τος τρισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ο καταλήγουσαν σπάνιά εἰσιν, ὀνοτό ς , Μολοτός ἔθνος τῆς Ἠπείρου καὶ τόπος, δι’ ἑνὸς τ καὶ Μολοττός, ὀμοτό ς.

3,1 221 τὸ μέντοι ἄροτος καὶ βίοτος προπαροξύνεται. Τὰ εἰς τος ὑπερδισύλλαβα παραληγόμενα υ βραχεῖ κύρια ὄντα βαρύνεται, Ἔρυτο ς , Ἄνυτο ς , Εὔρυτος Μελανέως πατήρ, Αἴπυτο ς , Ὄρνυτο ς , Μάδυτος πόλις Ἑλλησποντία. Ἑκαταῖος Εὐρώπῃ καὶ ἄλλοι. λέγεται καὶ Μάδυτα. Ὤκυτο ς . Ἄφυτος πόλις Θρᾴκης, ἣ καὶ Ἀφύτη καὶ Ἄφυτις, Ἄκυτος νῆσος περὶ Κυδωνίαν τῆς Κρήτης. πρόσκειται κύρια διὰ τὰ τριγενῆ ἁπλᾶ ὄντα, ἃ ὀξύνεται, φορυτό ς , πινυτό ς. τὸ δὲ ἄλυτος σύνθετον προπαροξύνεται. τὰ δὲ τρισύλλαβα ἐκτεταμένον τὸ υ ἔχοντα ὀξύνεται, Βηρυτός πόλις Φοινίκης, κωκυτό ς , Καρδυτός πόλις Σύρων μεγάλη, ὡς Ἑκαταῖος ἐν περιηγήσει Ἀσίας. βουλυτό ς , Κορδυτός πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. γωρυτό ς . Κολλυτός ὁ υἱὸς Διόμου. τὸ δὲ Σεβέννυτος πόλις Αἰγύπτου καὶ λιμὴν καὶ ποταμὸς προπαροξύνεται ὑπερβαῖνον τὴν τρισυλλαβίαν. Τὰ εἰς τος τρισύλλαβα παραληγόμενα τῷ ω ὀξύνεται, πτερωτό ς , τορνωτό ς , χρυσωτό ς , αὐλωτό ς , κηρωτό ς , κροκωτό ς , Βοιωτός, ὃν γενέσθαι φασὶ Ἰτώνου τοῦ Ἀμφικτύονος τοῦ νεωτέρου τῶν Δευκαλίωνος καὶ Πύρρας παίδων. Νικόστρατος δέ φησιν, ὅτι Ποσειδῶνος καὶ Ἄρνης ἦν παῖς. Εὐφορίων ὄφρα κε μαντεύοιτο μεθ’ υἱάσι Βοιωτοῖο, τόν ῥα Ποσειδάωνι δαμασσαμένη τέκεν Ἄρνη, Βοιωτὸν δ’ ὀνόμηνε. τὸ γὰρ καλέσαντο νομῆες, ὅττι ῥα πατρῴησι βοῶν ἀπεθήκατο κόπροις. καὶ Εὐριπίδης «τὸν δ’ ἀμφὶ βοῦς ῥιφέντα Βοιωτὸν καλεῖν». τὸ ἐθνικὸν ὅμοιον Βοιωτός. Ἀποδωτός ἔθνος Αἰτωλίας. Θουκυδίδης τρίτη (c. 94) «ἐπιχειρεῖν δ’ ἐκέλευον πρῶτον μὲν Ἀποδωτοῖς, ἔπειτα Ὀφιονεῦσιν». Ἀραχωτός ποταμὸς Ἰνδικῆς ῥέων ἀπὸ Καυκάσου, ὡς Φαβωρῖνος καὶ Στράβων ἑνδεκάτῃ (p. 513). καὶ ἀπ’ αὐτοῦ Ἀραχωτοί πόλις Ἰνδικῆς. εἰσὶ καὶ ἄλλοι πλησίον Μασσαγετῶν ὡς Στράβων ἑνδεκάτῃ. διχῶς δὲ λεκτέον καὶ Ἀραχώτης καὶ Ἀραχωτός.

3,1 222 Βουθρωτός νῆσος περὶ Κέρκυραν. ἔστι καὶ πόλις. Θεσπρωτός ἔθνος, μυωτός εἶδος χιτῶνος, ἁλωτό ς. τὸ δὲ δορυάλωτος σύνθετον προπαροξύνεται. τὰ δὲ ἔχοντα ἐν τῇ πρώτῃ τὸ α στερητικὸν προπαροξύνεται, ἄγνωτο ς , ἄτρωτο ς , ἄπτωτο ς , ἄζωτο ς· ἔστι καὶ Ἄζωτος πόλις Παλαιστίνης. καὶ ἔτι τὰ σύνθετα, ἀνακίδωτος ἄνευ ἀκίδος, ἀπύργωτο ς , πολύγνωτο ς , ἀκηλίδωτο ς. σεσημείωται τὸ Ἄσβωτος πόλις Θεσσαλίας καὶ Μάσκωτος πόλις Λιβύης. Ἑκαταῖος περιηγήσεως βʹ. Τὰ εἰς τος ὑπερδισύλλαβα κύρια καὶ προσηγορικὰ ἔννοιαν συνθέσεως ἔχοντα καὶ ἔτι τὴν παραλήγουσαν εἰς ἀμετάβολον καταλήγουσαν βαρύνεται, εἰ μὴ διαστολή τις γένοιτο, Ἁλίαρτος πόλις Βοιωτίας ἀρσενικῶς. Ὅμηρος «ποιήενθ’ Ἁλίαρτον» (Il. B 503). λέγεται δὲ οἰκισθῆναι ὑπὸ Ἁλιάρτου τοῦ Θερσάνδρου. Ἀρμενίδας δ’ ἐν τῷ ρ Ἀρίαρτόν φησιν. Ἄψυρτος παῖς Αἰήτου καὶ τόπος ἐν τῷ Εὐξείνῳ πόντῳ, Ἄψαρος ὕστερον λεγόμενος. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ. καὶ Πολύβιος νῆσον Ἄψυρτον ἱστορεῖ. Σίβυρτος πόλις Κρήτης. ἄσφαλτο ς . Ἀμάραντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ κύριον, τὸ δὲ ἐθνικὸν ὀξύνεται ὡς Ἀπεραντό ς. εἰσὶ δὲ Ἀμαραντοί Κολχικὸν ἔθνος, ἀφ’ ὧν ὁ Φᾶσις ῥεῖ, ὅθεν καὶ Ἀμαράντιον τὸν Φᾶσίν φασιν. οἱ δὲ Ἀπεραντοί ἔθνος Θεσσαλίας. Ὀδόμαντος ἔθνος Θρᾴκης. Θουκυδίδης δευτέρᾳ (c. 101). Σάγουντος πόλις ἐν Ἱσπανίαις. Τάραντος πόλις Βιθυνίας, ἔνθα τιμᾶται Ταρανταῖος Ζεύς, ὡς Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν, ἀρσενικῶς λεγομένη. εὕρηται καὶ διὰ τοῦ δ Δάρανδος. Δύσποντος ὁ Πέλοπος, ἀφ’ οὗ Δυσπόντιον πόλις Πισαίας. ὀξύνεται δὲ τὰ πρὸ τέλους εν ἔχοντα, Λωμεντό ς , Λαυρεντό ς , Σωρεντό ς , Βενεβεντός, ἣ καὶ Μαλοεντός ἐλέγετο. Καρουεντός Διονύσιος β′ Ῥωμαϊκῆς ἀρχαιολογίας· ἔν τισι δὲ γράφεται Καρυεντός· Ῥαρεντός, πόλεις Σικελικαί, ὡσαύτως καὶ Πολλεντό ς. ἔτι ὀξύνεται καὶ τὸ κονιορτός καὶ κολοσυρτός σύνθετα ὄντα. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, ἱμερτό ς , ἐγερτό ς , ὑφαντό ς. Τὰ εἰς τος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ τ ψιλὸν κατ’ ἐπιπλοκὴν ἐπιθετικὰ ὄντα καὶ ῥηματικὰ ὀξύνεται, ἑλικτό ς , ἀμελκτό ς , χαρακτό ς , ὀρεκτό ς.

3,1 223 τὸ μέντοι Αἴγυπτος —ἡ χώρα καὶ ὁ ποταμός. ἐκλήθη ἀπὸ τοῦ Αἰγύπτου, ὡς Χάραξ «Βήλου παῖς ὢν καὶ Ἀερίας τῆς καὶ Ποταμίτιδος βασιλεύσας ἔτη τριάκοντα τρία». —καὶ Πάνακτος καὶ Ναύπακτος πόλις Αἰτωλίας ἀπὸ ναυπηγίας τῶν Ἡρακλειδῶν, ὡς Ἔφορος καὶ Στράβων (9 p. 427). καὶ Πρόνεκτος πόλις Βιθυνίας καὶ Δατύλεπτος ἔθνος Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ—μὴ ὄντα ῥηματικὰ προπαροξύνεται. σεσημείωται τὸ δρυφακτός ὀξυνόμενον, ἡ θύρα τοῦ δικαστηρίου, ἣ καὶ κιγκλίδες καλοῦνται. Τὰ εἰς στος κύρια ἀρσενικὰ μόνως ἢ θηλυκὰ βαρύνεται, Ἄκαστο ς . Λύκαστος πόλις Κρήτης. Ὅμηρος «Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον» (B 647) ἀπὸ Λυκάστου αὐτόχθονος ἢ παιδὸς τοῦ Μίνωος. ἔστι καὶ Ποντικὴ Λύκαστος. τὴν Κρητικὴν Λύκαστον ὀξύνουσιν οἱ ἐγχώριοι, ὡς ἱστορεῖ Διονύσιος. οὐκ ἐπικρατεῖ δὲ ἡ ἐθνικὴ παράδοσις. Ἥφαιστο ς . Ἄδραστος βασιλεύς, ἀφ’ οὗ πόλις Ἀδράστεια. Βίβαστος Θρᾴκης πόλις. Βούβαστος πόλις Αἰγύπτου, ἣν Ἡρόδοτος (e. g. 2, 59) Βούβαστίν φησι διὰ τοῦ ι . Μούμαστος πόλις Καρίας. Ἀλέξανδρος δευτέρῳ Καρικῶν. Ἔγεστος ὁ Τρωός, ἀφ’ οὗ Ἔγεστα πόλις Σικελίας. Αἴγεστος στρατηγός τις, ἀφ’ οὗ Αἰγεσταῖοι οἱ Θεσπρωτοί. Πραίνεστος πόλις Ἰταλίας ἀπὸ Πραινέστου τοῦ Λατίνου τοῦ Ὀδυσσέως καὶ Κίρκης υἱοῦ. Μάκιστος ὁ ἀδελφὸς Φρίξου καὶ πόλις τῆς Τριφυλίας. Ἀνάφλυστος δῆμος τῆς Ἀντιοχίδος φυλῆς ἀπὸ Ἀναφλύστου ἥρωος. Παυσανίας δευτέρῳ (30, 9) «Τροιζῆνος οἱ παῖδες Ἀνάφλυστος καὶ Σφῆττος». Κάρυστος ὁ Χείρωνος καὶ ἀπ’ αὐτοῦ πόλις ὑπὸ τῇ Ὄχῃ ὄρει τῆς Εὐβοίας. ἔστι καὶ Κάρυστος τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν, ἀφ’ οὗ Καρύστιον οἶνον Ἀλκμὰν ἔφη, καθὰ Στράβων δεκάτῃ (p. 446). τὰ δὲ προσηγορικὰ ὀξύνεται, ἀγοστός ἡ ἀγκάλη, ὀϊστό ς. * Τὰ εἰς στος τῷ η παραληγόμενα κύρια ὀξύνεται, Ὀγχηστός ἄλσος. Ὅμηρος «Ὀγχηστόν θ’ ἱερόν, Ποσιδήϊον ἀγλαὸν ἄλσος» (B 506). —ἱδρυνθὲν ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος. ἔστι καὶ πόλις, ὡς Παυσανίας ἐνάτῳ (26, 6). Ἀπολλώνιος δὲ ὁ Ῥόδιος .... πόλιν φησὶ μεγάλην τὸν Ὀγχηστὸν μεταξὺ Ἁλιαρτίων καὶ Ἀκραιφνίων. Τυφρηστός πόλις τῆς Τραχῖνος ὀνομασθεῖσα ἀπὸ τῆς τέφρας Ἡρακλέους ἢ ἀπὸ Τυφρηστοῦ υἱοῦ Σπερχειοῦ. Τὰ εἰς στος ἐπιθετικὰ ἁπλᾶ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ληϊστό ς , μεριστό ς , ὀνομαστό ς.

3,1 224 τὰ δὲ σύνθετα προπαροξύνεται, φραστός ἄφραστο ς , ἀλίαστο ς , ἄλαστος ὁ ἄδικος ἀπὸ τοῦ λάζω τὸ λαμβάνω, ὡσαύτως καὶ τὰ ὑπερθετικά, τάχιστο ς , ἄριστο ς , κάλλιστος, μεθ’ ὧν ἕκαστο ς. Τὰ εἰς στος ὑπερδισύλλαβα παραληγόμενα ο ἐπὶ ποσότητος τασσόμενα ὀξύνεται, πολλοστό ς , εἰκοστό ς , τριακοστό ς , πεντηκοστό ς. Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ευ διφθόγγῳ ἁπλᾶ ὄντα ὀξύνεται, τορνευτό ς , στρατευτό ς , βουλευτό ς. τὸ δὲ ἀστράτευτος σύνθετον. * Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ οι διφθόγγῳ σπάνια ὄντα βαρύνεται, ἄλοιτος ὁ ἄδικος καὶ μιαρός. Τὰ διὰ τοῦ ουτος προπερισπᾶται, τηλικοῦτο ς , τοιοῦτο ς , τοσοῦτο ς. Τὰ εἰς τος ὑπερδισύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προπαροξύνεται, ἄπαυστο ς , ἄθραυστο ς , ἄκλαυστο ς. σεσημείωται ἐνιαυτός ὀξυνόμενον. Τὰ εἰς φος δισύλλαβα κύρια ἢ προσηγορικὰ βαρύνεται, εἰ μὴ παραλήγοι τῷ υ βραχεῖ τοπικὰ ἢ εἰς τὸ λ , Πάφος πόλις Κύπρου, τάφος καὶ Τάφος πόλις Κεφαλληνίας, νῦν δὲ Ταφιοῦσσα. Γόμφοι πόλις Θεσσαλίας καὶ τὸ ἐθνικὸν ὅμοιον, Σόφος τὸ κύριον, σοφός δὲ τὸ ἐπίθετον, ὄρφος κοινῶς, ὀρφῶς δὲ Ἀττικῶς. λόφο ς , κέκφος εἶδος ὀρνέο υ , ζόφο ς , δνόφο ς , γνόφο ς , γρῖφο ς , ψῆφο ς.

3,1 225 τὸ δὲ κρυφός καὶ συφός ἔχει τὸ υ βραχὺ σημαίνοντα τοπικὴν ἔννοιαν. τὸ δὲ κῦφος τὸ κυ μακρόν, ὡς καὶ τὸ τῦφο ς. τὸ δὲ Κύφος παῖς Περραιβοῦ, ἀφ' οὗ Κύφος πόλις Περραιβίας, ἔστι καὶ ποταμὸς Κύφος— «Γουνεὺς δ' ἐκ Κύφου ἦγε δύω καὶ εἴκοσι νῆας» (Il. B 748)— βραχὺ ἔχον τὸ υ παροξύνεται. τὸ δὲ ἀλφός τὸ σωματικὸν πάθος καὶ πολφός ὄψον τι ἔχουσι τὸ λ ὡς καὶ τὸ Δελφοί πόλις ἐπὶ τοῦ Παρνασσοῦ πρὸς τῇ Φωκίδι καὶ τὸ ἐθνικὸν ὁμοφώνως τῇ πόλει— ἐκλήθησαν δὲ Δελφοί, ὅτι Ἀπόλλων συνέπλευσε δελφῖνι εἰκασθείς. τὰ δὲ ἐπίθετα ὀξύνεται, σοφό ς , κυφό ς , κωφός, οἷς ἠκολούθησε καὶ τὸ τροφό ς. τὸ δὲ κοῦφος προπερισπᾶται. Τὰ εἰς φος ὑπερδισύλλαβα ἁπλᾶ μὴ δηλοῦντα ἐνέργειαν προπαροξύνεται, κρόταφο ς , ἔλαφο ς , σκίραφος, ὃ σημαίνει τὸν ἀκόλαστον καὶ κυβευτήν, ἀπὸ τῶν ἐν Σκίρῳ διατριβόντων, Ἔπαφο ς , Κέρκαφος Ἡλίου παῖς, Τέκταφος ὁ Δώρου τοῦ Ἕλληνος, κόλαφο ς , ἀσκάλαφο ς , ἔριφο ς , Σέριφος μία τῶν Σποράδων, Ἄντιφο ς , Τήλεφος Τάρχωνος πατήρ, Αἴγης καὶ Τεύθραντος υἱός, ἄργυφος ὁ λευκός, κόσσυφο ς , Κόττυφο ς , Σίσυφο ς , κόρυφο ς , Κίνυφος ὁ ποταμός. τὸ δὲ ἀδελφός ὀξύνεται καὶ ἴσως ὡς τριγενές. τὰ γὰρ λοιπὰ μονογενῆ. καὶ τὰ ἐνέργειαν δηλοῦντα παροξύνεται, πορφυροβάφο ς , ὑποδηματορράφος καὶ ἱπποτρόφο ς. Τὰ εἰς χος δισύλλαβα μὴ ὄντα ἐπιθετικὰ βαρύνεται, κόλχος καὶ Κόλχο ς , βρόγχο ς , μόσχος καὶ Μόσχος ἔθνος προσεχὲς τοῖς Ματιηνοῖς. Ἑκαταῖος Ἀσίᾳ. κόγχο ς , τρόχος ὁ τόπος ἐν ᾧ τρέχουσι ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ (46) ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι κακῶν.

3,1 226 τροχός δὲ ὁ κύκλος, βρόχο ς , ἦχο ς , Τρῆχος ὄνομα κύριον, στίχο ς , τύχο ς , τοῖχο ς , βρῦχος ὁ κῆρυξ, δηλοῖ δὲ καὶ ὄνομα τόπου. σεσημείωται τὸ μυχός ὁ ἐνδότερος τόπος. τὸ δὲ μοιχό ς , πτωχό ς , ἀρχός ἐπιθετικὰ ὄντα ὀξύνεται. Τὰ εἰς χος ὑπερδισύλλαβα προπαροξύνεται, στόμαχο ς , βάτραχο ς , Βώταχο ς. Νικόλαος ε' «Ἰοκρίτου δὲ τοῦ Λυκούργου Βώταχος, ἀφ' οὗ ὁ τόπος Βωταχίδαι ἐν Τεγέᾳ ἐκλήθη». Ἴναχος ὁ ποταμός, Σήμαχος, ᾧ καὶ ταῖς θυγατράσιν ἐπεξενώθη Διόνυσος, ἀφ' οὗ Σημαχίδαι δῆμος Ἀττικῆς. Σωτήριχο ς , μείλιχο ς , Ἰάμβλιχο ς , τάριχος, τοῦτο ἑκατέρως λέγεται καὶ τὸ τάριχος καὶ ὁ τάριχος. Ἀριστοφάνης «ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι». ὁ αὐτός «τάριχον τοιοῦτον πλύνω». Κλέοχο ς , Τάοχος ἔθνος ἐνδοτέρω τοῦ Πόντου. τούτους τινὲς Τάους καλοῦσιν, ὡς Σοφαίνετος ἐν τῇ ἀναβάσει φησίν. Ἀμφίλοχος ὁ Ἀμφιαράου, ἀφ' οὗ Ἀμφίλοχοι πόλις Ἀκαρνανίας καὶ οἱ πολῖται ὁμοφώνως, Γόρδοχος ἔθνος Περσικὸν ὃ καὶ Γορδιαῖος καὶ Γόρδος καλεῖται. ἥσυχο ς , βότρυχο ς , βόστρυχο ς , Μόρυχο ς , Μόνυχος, ἀφ' οὗ Μουνυχία, Μόλορχος, ἀφ' οὗ Μολορχία πόλις Νεμέας. Ὀξύρυγχος πόλις Αἰγύπτου τιμῶσα τὸν ὁμώνυμον ἰχθῦν. δόλιχος τὸ ὄσπριον, δολιχός δὲ ὁ μακρός. τὸ δὲ μοναχός ὀξύνεται. καὶ ὀξύνεται δὲ τὸ Ἀρρηχός ἔθνος Μαιωτῶν. Στράβων ἑνδεκάτῃ (p. 495), τὸ δὲ Καρδοῦχος προπερισπᾶται. ἔστι δὲ ἔθνος Μηδίας, ὡς Ξενοφῶν ἐν ἀναβάσεως τρίτῃ (5, 15) «ἐς Καρδούχους ἄγοι. τούτους δ' ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι καὶ βασιλέως οὐκ ἀκούειν». καὶ Σοφαίνετος ἐν Κύρου ἀναβάσει φησὶ περὶ αὐτῶν. Τὰ εἰς ψος δισύλλαβα μὴ ἐπιθετικὰ βαρύνεται, Μόψο ς , γύψο ς , Τίψος ἡ πόλις, Μίψος τὸ ἔθνος, θάψος εἶδος ξύλου, Θάψος πόλις Λιβύης Στράβων ἑπτακαιδεκάτῳ (p. 831). ἔστι καὶ Σικελίας. ἔστι δὲ χερσόνησος ἐν στενῷ ἰσθμῷ, ὡς Θουκυδίδης (6, 97). Λάμψος παῖς Κοδρίδου καὶ ἀπ' αὐτοῦ μοῖρα τῆς Κλαζομενίων χώρας, ὡς Ἔφορος τρίτῳ.

3,1 227 τὰ δὲ ἐπιθετικὰ πρὸ τοῦ ψ ἔχοντα μ ὀξύνεται, κομψό ς , γαμψό ς. Τὰ εἰς ψος ὑπερδισύλλαβα ὀξύνεται, Λυκαψός κώμη πλησίον Λυδίας. Εὐφορίων Διονύσῳ· κινδαψός καὶ σκινδαψός ὀργάνου ὄνομα καὶ κύριον. τίθεται καὶ κατ' οὐδενὸς ὡς τὸ τραγέλαφος, χορδαψό ς , Κυδαψό ς , Γαληψός πόλις Θρᾴκης καὶ Παιόνων. Ἑκαταῖος Εὐρώπῃ. Θουκυδίδης τετάρτῃ (c. 107) «καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη». ὠνόμασται δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης. Αἰδηψός πόλις Εὐβοίας. Στράβων ἐνάτῳ (p. 425) «κεῖται δὲ κατ' Αἰδηψὸν τῆς Εὐβοίας, ὅπου τὰ θερμὰ λουτρὰ Ἡρακλέους». Λαδεψός καὶ Τρανιψός ἔθνη Θυνῶν. Θεόπομπος ὀγδόῳ Ἑλληνικῶν. Τακομψός κώμη ἐν τοῖς ὁρίοις Αἰγυπτίων καὶ Αἰθιόπων πρὸς τῇ Φίλῃ νήσῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῳ. Τὰ εἰς ος λήγοντα οὐδέτερα ὀνόματα ἀεὶ βαρύνεται, τεῖχο ς , βέλο ς , πάθο ς , πέλαγο ς , ὕψο ς , ὕφο ς , σκύφο ς , στῖφο ς , δίψο ς , νέφος βρέφο ς , λαῖφο ς , αἶσχο ς , δέλο ς , δέο ς , κλέο ς , μέγεθο ς , στέλεχο ς. αἱ δὲ μετοχαὶ οὐδέτεραι ὀξύνονται, τετυφό ς , πεποιηκό ς , γεγραφός, ὥσπερ καὶ αἱ ἀρσενικαί. ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΣΥΝΤΙΘΕΜΕΝΩΝ ΟΝΟΜΑΤΩΝ. ΒΙΒΛΙΟΝ θʹ. Περὶ τῶν εἰς ος . Τὰ ἀπὸ τῶν εἰς ος προπαροξυτόνων σύνθετα προπαροξύνεται, φιλαλέξανδρο ς , φιλάνθρωπο ς , εὐστέφανο ς. Τὰ ἀπὸ τῶν εἰς ος δισυλλάβων παροξυτόνων προπαροξύνεται, νόος Ἀλκίνοος, πόντος Ἑλλήσποντος ὁ κόλπος καὶ ἡ χώρα ἡ παρακειμένη ἀπὸ Ἕλλης.

3,1 228 πόρος Βόσπορος πόλις Πόντου κατὰ τὸν Κιμμέριον κόλπον ὡς Φίλων καὶ πορθμὸς ὁμώνυμος, ἀπὸ Ἰοῦς τῆς Ἰνάχου καλούμενος, καθὼς Αἰσχύλος ἐν Προμηθεῖ δεσμώτῃ γράφει ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος κεκλήσεται. ἔστι καὶ ἄλλη τῆς Ἰνδικῆς. ὅρμος Πάνορμος πόλις Σικελίας καὶ λιμήν, ὡς Πολύβιος· ἔστι καὶ λιμὴν Κυζίκου· φίλος Δίφιλο ς. τὸ δὲ ὀστολόγος καὶ οἰκονόμος οὐ παρὰ τὸ λόγος καὶ νόμος, ἀλλὰ παρὰ τὸ λέγω καὶ νέμω. ὅσα δὲ ὑπερδισύλλαβα παροξύνονται, ἐν τῇ συνθέσει προπαροξύνονται, ποικίλος παμποίκιλος, ἀγκύλος μεσάγκυλος, πλησίος παραπλήσιος, αἰόλος παναίολο ς. τὸ δὲ « κορυθαιόλος Ἕκτωρ» (e. g. Γ 83) οὐκ ἀπὸ ὀνόματος, ἀλλ' ἀπὸ ῥήματος. τὸ μέντοι ἱπποβουκόλος διὰ τὴν ἐνέργειαν παροξύνεται καὶ ὅτι ἀπὸ τοῦ ῥήματος καὶ αὐτό. τὸ δὲ ἐναντίος ἀπὸ τοῦ ἀντίος παρέλκον ἔχει τὸ εν . Τὰ ἀπὸ τῶν εἰς ος δισυλλάβων προπερισπωμένων προπαροξύνεται, ζῆλος ἀρίζηλος, δοῦλος σύνδουλος, δοῦπος ἐρίγδουπο ς. σεσημείωται τὸ οἰκουρός καὶ κηπουρό ς. ἔτι τὰ ὑπερδισύλλαβα Ῥωμαῖος φιλορώμαιος, Ἀθηναῖος φιλαθήναιο ς. Τὰ ἀπὸ ὀξυτόνων προπαροξύνονται, δμητός ἄδμητος, κτητός δορίκτητος, κακός ἄκακος, σοφός ἄσοφος, ποιητός δημοποίητο ς , ἐλατός δημήλατο ς. Αἰσχύλος Ἱκετίσιν (v. 614) «ἄτιμον εἶναι ξὺν φήμῃ δημηλάτῳ». πρατός δημιόπρατο ς. Ἀριστοφάνης Ἱππεῦσιν (v. 103) «ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος». βοτός ἱππόβοτος, φατός Ἀρηΐφατος «αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσι» (Τ 31), βατός ἄμβατο ς. «ἔνθα μάλιστα ἄμβατός ἐστι πόλις» (Ζ 434). χωρὶς τῶν ἐπὶ ἐθνικῶν λαμβανομένων, Ἀχαιός φιλαχαιός, Βοιωτός φιλοβοιωτός καὶ χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ φυλαχθῇ ἐν τῇ συνθέσει ἡ ὀξεῖα τάσις ὡς τὸ βροτολοιγός, ἵνα φυλαχθῇ ἡ ἐνέργεια. βροτολοιγός γάρ ἐστιν ὁ φθείρων τοὺς ἄνδρας. τούτου χάριν καὶ ὁ τόνος ἐφυλάχθη. εἰ γὰρ προπαρωξύνετο, ἤμελλε παρέχειν ἐπίστασιν, ὅτι πάθος ἐστίν. ὁμοίως καὶ τὸ ἀθηρηλοιγό ς. Τὰ δὲ παρασύνθετα καὶ φυλάττει καὶ ἀναβιβάζει, ἐκλεκτός ἐκ τοῦ ἐκλέγω, ἐπίλεκτος ἐκ τῆς ἐπί καὶ τοῦ λεκτός.

3,1 229 ἀνεκτός ὀξύνεται «ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐκέτ' ἀνεκτά» (Il. Α 573). διαμετρητός ἐστι παρασύνθετον· τὸ γὰρ ῥῆμα συντέθειται ἐν τῷ «χῶρον μὲν πρῶτον διεμέτρεον» (Γ 315). ὑγιῶς ἄρα τὸ «διαμετρητῷ» (Il. Γ 344). Ἀρίσταρχος περισπᾷ καὶ οἱ ἄλλοι. καὶ οὕτως ἔχει ἡ παράδοσις. οὕτω καὶ τὸ ἐπαινετός ὀξύνεται, ὅτι ἀπὸ ῥήματος συνθέτου γέγονε, τὸ δὲ ἐξαίρετος βαρύνεται. τὸ δὲ «ἄφαρ δ' ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισι» (Od. λ 274) προπαροξυτόνως, περιττῆς οὔσης τῆς ἀνά ἀντὶ τοῦ πυστά ἐξηκουστά. —τὸ δὲ ἰατρός φιλίατρος ἀναβιβάζει καὶ ἐν τῷ ἀρχιατρός

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἱππιατρός φυλάττει. τὸ δὲ κλειτός καὶ κλυτός εἰ μὲν μετὰ ἀπτώτου συντεθῇ ὑπὲρ μίαν συλλαβήν, φυλάσσει τὴν ὀξεῖαν τάσιν οἷον κλειτός ἀγακλειτός, κλυτός περικλυτό ς , ἀγακλυτό ς. εἰ δὲ μετὰ πτωτικοῦ ἢ ἀπτώτου μονοσυλλάβου, προπαροξύνεται, πρόκλυτος «πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων» (Υ 204), ὀνομάκλυτο ς , τοξόκλυτο ς , Ἡράκλειτο ς. διὸ σημειούμεθα τὸ ναυσικλυτός ὀξυνόμενον. ὅτι γὰρ σύνθετόν ἐστι, δῆλον ἐκ τοῦ μένειν τὸ α τῆς ναυσί δοτικῆς. κατ' ἰδίαν γὰρ παρὰ τῷ ποιητῇ ἢ διὰ τοῦ η λέγεται ἢ διὰ τοῦ ε , ἐν δὲ συνθέσει διὰ τοῦ α , Ναυσικάα, Ναυσίθοος. τὸ δὲ δουρὶ κλυτός ἐν παραθέσει ἐστίν. εἰ γὰρ ἦν ἐν συνθέσει, ἤμελλε προπαροξύνεσθαι ὡς μετὰ πτωτικοῦ συντεθὲν καὶ ἀναβιβάσαν τὸν τόνον. Τὰ παρὰ τὸ ἀείδω γινόμενα, εἰ μὲν τῇ ῳ διφθόγγῳ παραλήγονται, ὀξύνεται, τραγῳδός, κωμῳδός, μελῳδός· εἰ δὲ τῇ οι διφθόγγῳ, εἰ μὲν ὑπὲρ τέσσαρας συλλαβὰς ὦσι, προπαροξύνεται, λιγυάοιδο ς , ὑπεράοιδο ς· εἰ δὲ τέσσαρες, ὁμοίως, ὑμνάοιδο ς , ἐπάοιδο ς , λυράοιδο ς. τὰ δ' ἐξ αὐτῶν ὀξύνεται, ὑμνῳδό ς , ἐπῳδό ς , λυρῳδό ς. Ὅσα ἀπὸ γενικῆς εἰς ος συντίθενται, προπαροξύνεται, πλὴν τῶν παρὰ τὸ ωπος οἷον στενωπό ς.

3,1 230 πυθμένος ἀπύθμενος, λιμένος ἀλίμενος, μηνός δίμηνο ς , τρίμηνος, πατρός Ἀντίπατρος, χάριτος ἀχάριτος, θέμιτος ἀθέμιτο ς. ὡσαύτως καὶ βριήπυο ς. ἐγένετο δὲ οὕτως. ἦπυς ὡς γῆρυς, μελίγηρυς, ἔπειτα γενικὴ βριήπυος, ἥτις εἰς εὐθεῖαν μετέστη ὁ βριήπυος· οὐ γὰρ ἄηθες γενικὰς ἀναπέμπεσθαι εἰς εὐθείας καὶ μάλιστα παρὰ τῷ ποιητῇ. διὸ καὶ προπαροξύνει αὐτὸ ἡ συνήθεια. Τὰ εἰς ος συντεθειμένα ἀπὸ τῶν εἰς α καὶ εἰς η προπαροξύνεται, ἑστία ἐφέστιος, σκιά εὔσκιος, μοῦσα φιλόμουσος, χρεία ἄχρειος τὸ κοινόν, ἀχρεῖος δὲ τὸ Ἀττικὸν ὡς ἀστεῖος, ἀνδρεῖος, Ἀργεῖος, ἀρχή ταξίαρχος, φωνή ἄφωνος, αὐδή ἄναυδος, μορφή πολύμορφος, μάχη ναύμαχος «ναύμαχον δόρυ», κόμη ἱππόκομος «ἱππόκομον πήληκα» (Π 797), κυπαρισσόκομο ς , καλλίκομο ς , οὐλόκομο ς. τὸ δὲ ἱππομάχος καὶ ἱπποκόμος ἀπὸ ῥημάτων καὶ τὸ γηροκόμος καὶ τὸ ἀκαρός ἀπὸ τοῦ κάρη γέγονε. τοῦτο ἠκολούθησε τῷ μαδαρός καὶ πλαδαρός ὁ ἀσθενής. τὸ δὲ ἀθῷος προπερισπᾶται ἀπὸ τοῦ θωή. Τὰ εἰς ος σύνθετα ἀπὸ τῶν εἰς ον οὐδετέρων ἢ εἰς ος ἢ α προπαροξύνεται, δῶρον βοτρυόδωρος, τόξον κλυτότοξος, ξίφος ἄξιφος, ὄνομα ἐπώνυμο ς , διώνυμο ς. Τὰ εἰς ος συντεθειμένα παρὰ τὸ ἔργον μὴ ὄντα κύρια ὀξύνεται, ἐλεφαντουργό ς , αὐτουργό ς , ὀβριμοεργό ς , λειτουργό ς , παντουργό ς , πλαστουργό ς , δημουργό ς.

3,1 231 τὸ μέντοι κακοῦργος βαρύνεται ὁμοίως καὶ τὸ ἑκάεργο ς , περίεργο ς , πολύεργο ς , πάρεργο ς. τὰ δὲ ὄντα κύρια βαρύνεται, Λυκοῦργο ς , Φιλοῦργο ς. τὰ δὲ ἐθνικὰ ὀξύνεται οἷον Σιαγαθουργό ς. Περὶ τῶν παρὰ ῥῆμα συντεθειμένων. Τὰ παρὰ τὸ βόσκω ὀξύνονται, πορνοβοσκό ς , ὑοβοσκό ς , χηνοβοσκό ς. Ὅσα παρὰ τὸ ἕλκω καὶ ἀμέλγω καὶ λείχ ω, ὀξύνεται, γαγγαμουλκό ς , ἀμολγό ς , ματιολοιχό ς , τραπεζολοιχό ς. Τὰ παρὰ τὸ ἄγω καὶ πήσσω ὀξύνεται, φορτηγό ς , στρατηγό ς , κυνηγό ς , δημαγωγό ς , νυμφαγωγό ς , μυσταγωγό ς , προαγωγό ς , ναυπηγό ς. Ἔτι τὰ παρὰ τὸ ποιῶ ὀξύνεται, ἐργοποιό ς , ἐποποιό ς. Ἔτι τὰ παρὰ φέρβω καὶ ἀσκ ῶ , ἱπποφορβό ς , φωνασκό ς. τὸ δὲ αὐτόφορβος οἱ πλείους βαρύνουσι καὶ τὸ Εὔφορβος κύριον. Τὰ ἀπὸ ῥήματος κύρια προπαροξύνεται, Ἱππόδαμο ς , Δηΐφοβο ς , Λαόγονο ς , Λαόδοκο ς . Βούνομο ς· οὕτως ἐκαλεῖτο ἡ Μακεδονίας Πέλλα. τὸ μέντοι ξεινοδόκος οὐ κύριον. Τὰ παρὰ τὸ φέρω παροξύνεται, τελεσφόρο ς , δορυφόρο ς , βουληφόρο ς , ἑωσφόρο ς , λωτοφόρο ς. τὸ μέντοι ἄφορο ς , δίφορος ἀπὸ τοῦ φορά. Ὅσα πρόθεσιν ἔχει ἐν τῇ ἀρχῇ, προπαροξύνεται, περίβολο ς , Ὑπέρβολο ς , ἀμφίβολο ς , πρόβολο ς.

3,1 232 τὸ δὲ ἐπεσβόλος παροξύνεται ἀπὸ τοῦ ἔπεσι βάλλειν. καὶ χωρὶς τῶν ἀπὸ κλειτός καὶ κλυτός, τὸ γὰρ περικλυτός ὀξύνεται, καὶ τὰ παρὰ τὸ ἔργον ὑπουργό ς , συνεργό ς. Τὰ παρὰ τὸ βάλλειν σύνθετα καὶ μὴ παρὰ πρόθεσιν παροξύνονται, λιθοβόλος ὁ βάλλων λίθους, λιθόβολος δὲ ὁ ὑπὸ λίθων βαλλόμενος, ὡς παρὰ Εὐριπίδη ἐν Φοινίσσαις (1069) «λιθόβολον εἶμα κατειργάσω». τὸ δὲ πρόβολος καὶ ἀμφίβολος ἀπὸ προθέσεων. Τὰ παρὰ τὸ πολῶ τὸ ἀναστρέφομαι σύνθετα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ παρὰ πρόθεσιν παροξύνονται, ἱπποπόλο ς , οἰωνοπόλο ς , δικασπόλο ς , ὀνειροπόλο ς , θυηπόλο ς , μυροπόλο ς , αἰπόλο ς. τὸ δὲ ἀμφίπολο ς , πρόπολος ἐκ προθέσεως. Τὰ παρὰ τὸ σκοπῶ σύνθετα μὴ ἐκ προθέσεως παροξύνεται, ὀρνιθοσκόπο ς , οἰωνοσκόπο ς. τὸ δὲ ἐπίσκοπο ς , κατάσκοπος ἀπὸ προθέσεων «ὀτρυνέεις Τρώεσσιν ἐπίσκοπον» (Il. Κ 38). Νικίας ἀναστρέφει τὴν ἐπί, ἵν’ ᾖ ἐπὶ Τρώεσσιν. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ἐπισκοπόν ὡς ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι καὶ γὰρ ἤδη ἡ συνήθεια ἐπίσταται τὴν τοιαύτην σύνθεσιν, χρὴ δὲ νοεῖν ὅτι πολλὴ ἡ χρῆσις τοῦ ὀνόματος παρὰ τῷ ποιητῇ ἐν ἁπλότητι καὶ ἐν συνθέσει «δμωάων σκοπός ἐσσι» (Od. χ 396) «καὶ ἐπίσκοπος ᾖσιν ἑταίρων» (Od. θ 163). Τὰ παρὰ τὸ μάχομαι καὶ μὴ παρὰ πρόθεσιν παροξύνεται, λεοντομάχο ς , μονομάχος χωρὶς τοῦ ἀγχέμαχο ς. τὸ δὲ πρόμαχος καὶ σύμμαχος ἐκ προθέσεων. Ἔτι τὰ παρὰ τὸ ἀγορῶ μετὰ προθέσεως σύνθετα προπαροξύνεται, συνήγορο ς , κατήγορο ς , παρήγορο ς . δημηγόρος δὲ παροξύνεται. οὐ γὰρ ἀπὸ προθέσεως. Ἔτι τὰ παρὰ τὸ χέω σύνθετα παροξύνεται, χρυσοχόο ς , οἰνοχόο ς.

3,1 233 τὸ πρόχοος δὲ ἀπὸ προθέσεως. Ὅσα ἐν τῇ ἀρχῇ συντίθεται ἐκ τοῦ πολ ύ, προπαροξύνεται, πολύστροφο ς , πολύκαρπο ς , πολύφιλο ς , πολύμηλο ς , Πολύϊδο ς , πολύολβο ς , Πολύφημο ς , πολύζυγο ς , πολύλαλο ς. τὸ δὲ μογιλάλος παροξύνεται. οὐ γὰρ παρὰ τὸ πολύ. σεσημείωται τὸ πολυφάγο ς. ἐξηκολούθησε γὰρ ἑτέρῳ κανόνι. Τὰ γὰρ παρὰ τὸ φαγεῖν ἐν τῷ τέλει συντεθειμένα παροξύνεται, ἀρτοφάγο ς , μονοφάγο ς , παμφάγο ς , ποηφάγο ς , ἀδδηφάγο ς , ὠμοφάγο ς , σαρκοφάγο ς· οὕτω καὶ πολυφάγο ς. ὡσαύτως καὶ τὰ ἐθνικὰ Μελινοφάγος ἔθνος Θρᾴκης καὶ Φθειροφάγο ς. Ὅσα τὸ εὖ μόριον κατ’ ἀρχὴν ἔχει, προπαροξύνεται, εὔτοκο ς , εὔτονο ς , εὔμολπο ς , εὐποίητος «βοῶν τ’ εὐποιητάων» (Il. Π 636). τὸ εὖ κρεῖττόν ἐστιν ἓν ποιεῖν εὐποιητάων, ἐπεὶ καὶ ἐν ἑτέροις φησὶ τὴν δοτικὴν «εὐποιήτῃσι πύλῃσι» (Il. Ε 466) ἢ κατ’ ἰδίαν προφέρεσθαι. Εὔμαιο ς , εὔσκοπο ς , εὔξοος χωρὶς τῶν παρὰ τὸ ἔργον εὐεργό ς. οἵ τε κατ’ αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω θηλυτέρῃσι γυναιξὶ καὶ ἥ κ’ εὐεργὸς ἔῃσιν (Od. λ 433). Ὅσα ἀπὸ τοῦ α στερητικοῦ μορίου συντίθεται, προπαροξύνεται, ἄτολμο ς , ἄτομο ς , ἄστοργο ς. Ὅσα ἐν ἀρχῇ ἔχει τὸ φιλεῖν, προπαροξύνεται, φιλόπονο ς , φιλόσοφο ς , φιλόλογο ς. Τὰ παρὰ τὸ λέγω χωρὶς τῶν παρὰ τὸ φιλεῖν παροξύνεται, δικαιολόγο ς , φυσιολόγο ς , τερατολόγο ς. τὸ δὲ φιλόλογος ἀπὸ τοῦ λόγος καὶ τὸ φιλῶ. Τὰ παρὰ τὸ δυς καὶ ζα μόρια προπαροξύνεται, δύσμορφο ς , δύστηνο ς , ζάπλουτο ς , ζάκοτο ς , ζάθεο ς , ζάφελος, τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιρρήματα παραληγόμενα τῷ ε ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶς, ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς ξυνέδραμε. Τὰ παρὰ τὸ ὠκύς προπαροξύνεται, ὠκύμορο ς , ὠκύπορο ς· τὸ δὲ ποντοπόρος παροξύνεται· οὐ γὰρ ἀπὸ τοῦ ὠκύς.

3,1 234 σεσημείωται τὸ ὠκυμάχο ς. Ἔτι καὶ τὰ παρὰ τὸ εὐρύ ς , εὐρύπορο ς. Ὅσα ἔχει κατὰ ἀρχὴν τὸ ναυ , προπαροξύνεται, ναύαρχο ς , ναύκληρο ς , ναύλοχο ς. τὸ δὲ ναυπηγό ς , ναυηγός ὀξύνεται. Ὅσα παρὰ ἐπίρρημα συντίθεται, προπαροξύνεται, ὀψίφυγο ς , ὀψίτυχο ς , ὀψιτέλεστο ς , ἀγχίμολο ς , ἀγχέμαχο ς. τὸ δὲ περικλυτός ἀπὸ τῆς περί. Ὅσα παρὰ τὸ πάλιν καὶ ἄγαν καὶ αὐτό σύνθετα, προπαροξύνεται, παλίμβολο ς , παλίγκοτο ς , ἀγάννιφο ς , ἀγάστονο ς , αὐτόμαχο ς , αὐτοδίδακτο ς. Τὰ παρὰ τὸ ἀκούω προπαροξύνεται, ὑπήκοο ς , ἀνήκοο ς. τὸ δὲ ἐπακουός παρασύνθετον· γίνεται γὰρ ἐκ τοῦ ἐπακούω. Τὰ παρὰ τὸ ἔχω συγκείμενα ὀνόματα, εἰ μὲν τῷ ο παραλήγεται, προπαροξύνεται, αἰγίοχο ς , ἡνίοχο ς· ἔστι δὲ καὶ ἔθνος παρὰ τῷ Καυκάσῳ. Στράβων ἑνδεκάτῃ (p. 496). ἔνοχο ς , μέτοχο ς , πάροχο ς. εἰ δὲ τῇ ου διφθόγγῳ, προπερισπᾶται, οἷον ῥαβδοῦχο ς , κλειδοῦχο ς , λαμπαδοῦχο ς , λυχνοῦχο ς , σταθμοῦχο ς , ἀσπιδοῦχο ς. Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι «ὡς ἀσπιδοῦχος ἢ Σκύθης τοξεύμασι». σκηπτοῦχο ς , ὀφιοῦχο ς. Τὰ ἀπὸ δισυλλάβου ῥήματος, οὗ ἡ ἄρχουσα μακρά, συντεθειμένα προπαροξύνεται, μυκῶ ἐρίμυκος, συλῶ ἱερόσυλος, ἄρχω γυμνασίαρχος, πορθῶ πτολίπορθο ς. τὰ παρὰ τὸ εἰς ις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπίρρημα ἀριθμοῦ συντεθειμένα προπαροξύνεται, δίφορο ς , τρίφορο ς , τρίπολος, μεθ’ ὧν καὶ τετράφορο ς. Τὰ παρὰ τὸ γράφω παροξύνεται, ἱστοριογράφο ς , βιβλιογράφο ς. τὸ δὲ παράγραφος τὸ σημεῖον τὸ ἐν τοῖς μέτροις τιθέμενον προπαροξύνεται, παρὰ τὸ γραφή γάρ. Τὰ παρὰ ῥῆμα συντιθέμενα παροξύνεται μέν, ὅτε ἐνέργειαν ὑπισχνεῖται, προπαροξύνεται δέ, ὅτε πάθος, εἰ μὴ κανόνες τινὲς κωλύοιεν. ὥστε διαφέρειν τὸ λιθοβόλος τοῦ λιθόβολος καὶ τὸ καρατόμος τοῦ καράτομο ς.

3,1 235 τὸ μὲν γὰρ παροξυνόμενον σημαίνει τὸν τὰς κάρας τέμνοντα οἷον ἐπὶ δημίου, τὸ δὲ προπαροξυνόμενον τὸν τὴν κάραν τμηθέντα, ὡς ἡ μὲν Γοργὼ λέγεται καράτομος ὡς ἀποτμηθεῖσα τὴν κεφαλήν, ὁ δὲ Περσεύς καρατόμος ὁ τῆς Γοργοῦς τὴν κεφαλὴν τεμών. ὡσαύτως τὸ πρωτοτόκος ἐστὶ δραστικόν, τὸ δὲ πρωτότοκος δηλοῖ τὴν πρώτως τεχθεῖσαν. οὕτως οὖν παροξύνονται τὸ σκυτοτόμο ς , μιαιφόνο ς , τοιχωρύχο ς , πατροκτόνο ς , οἰκονόμο ς , μογοστόκο ς , θεοτόκο ς , ξεινοδόκο ς , ἰηδόκος συντεθειμένα ἀπὸ τοῦ τέμν ω , φονεύ ω , ὀρύσσ ω , κτείν ω , νέμ ω , τίκτ ω , δέχομαι ἐπὶ ἐνεργείας τιθέμενα. ἔφαμεν δὲ τὰ τοιαῦτα τῶν συνθέτων ἐνέργειαν ὑπισχνούμενα παροξύνεσθαι, εἰ μὴ κανόνες τινὲς κωλύοιεν. εἰσὶ γάρ τινες κανόνες, καθ’ οὓς κἂν ἐνέργεια σημαίνηται, πάντως προπαροξύνεσθαι δεῖ οἷον τὸ πρωτόπλοος προπαροξύνεται, ἐπειδὴ οὕτως ἐμελέτησε τὰ παρὰ τὸ πλέω, καὶ τὸ πολύλαλος, ἐπεὶ τὰ παρὰ τὸ πολύ συντεθειμένα προπαροξύνεσθαι θέλει. μάχεται μέντοι ἄντικρυς τὸ «ὄρνυσθ’ ἱππόδαμοι Τρῶες» (Il. Δ 509). ἐνεργητικὸν γὰρ ὂν καὶ μὴ ὑποπῖπτον κανόνι τῷ προπαροξυτονοῦντι προπαρωξυτονήθη. ΠΕΡΙ ΤΩΝ ΕΙΣ υς ΛΗΓΟΝΤΩΝ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΕΧΟΝΤΩΝ ΔΙΦΘΟΓΓΟΥΣ ΠΡΟ ΤΟΥς · ΕΤΙ ΠΕΡΙ ΤΩΝ ΕΙΣ ως ΚΑΙ ΕΙΣ ψ . ΒΙΒΛΙΟΝ ι′ Τὰ εἰς υς δισύλλαβα κύρια ἢ προσηγορικὰ ἢ ἐθνικὰ βαρύνεται, Λίβυς κύριον, τὸ δὲ ἐθνικὸν ὁμοφωνεῖ, ἔστι δὲ τριγενὲς Λίβυς Λίβυσσα Λίβυ, Πόλτυς, ἀφ’ οὗ Πολτυμβρία ἡ Πόλτυος πόλις, Σῆλυς, ἀφ’ οὗ Σηλυμβρία, Ζῆλυς ὁ ποταμός.

3,1 236 Βίθυς ὁ Ἄρεος καὶ Σίντης, ἀφ’ οὗ Βιθύαι ἔθνος Θρᾴκης, Βλέμυς ἔθνος βαρβαρικὸν Λιβύης ἀπὸ Βλέμυος. Φλέγυς ἔθνος, ὃ καὶ Φλεγύας ἢ Φλεγύης, Γόρδυς Τριπτολέμου παῖς, ἀφ’ οὗ Γορδυαία χώρα Περσική, Γόρτυς ἥρως, ἀφ’ οὗ Γόρτυν πόλις Κρήτης, Δίρφυς ὄρος Εὐβοίας, ὡς Εὐφορίων, Κάπυς ὁ πατὴρ Ἀγχίσου. Λίγυς ἔθνος Ἰβηρικόν, Μάζυς ἔθνος Λιβύης νομαδικόν. Ἑκαταῖος περιηγήσει. εἰσὶ δὲ καὶ ἕτεροι Μάξυες καὶ ἕτεροι Μάχλυε ς . Μάκρυς ἔθνος Λιβύης. Ῥιανὸς δὲ Μάκριας διὰ τοῦ ι τούτους φησί. Μίλυς ἔθνος. Μίλυες γὰρ καὶ Μιλύαι καλοῦνται οἱ πρότερον Σόλυμοι, ὡς Τιμαγένης ἐν πρώτῳ βασιλέων. Σάλλυς ἔθνος Λιγυστικὸν πολεμῆσαν Ῥωμαίοις, ὡς Χάραξ ἐν δεκάτῳ χρονικῶν. βότρυ ς· ἔστι δὲ καὶ πόλις Φοινίκης. Ἕρπυ ς , Ἅλυ ς , Φόρκυ ς , μάρτυς, ὃ ἡ τῶν Αἰολέων διάλεκτος διὰ τοῦ ρ προφέρει. τὸ ἰχθῦς προσηγορικὸν περιεσπάσθη ἀλόγως. οὐδὲν γὰρ εἰς υς λῆγον ἀρσενικὸν ὑπὲρ μίαν συλλαβήν, μὴ ἔχον ὑποκοριστικὴν ἔννοιαν, περισπᾶσθαι θέλει. προσέθηκα δὲ μὴ ὑποκοριστικὴν ἔννοιαν διὰ τὸ ἀπφῦς. δοκεῖ γὰρ παρὰ τὸ ἀπφάς παρωνομάσθαι. ἔστι δὲ καὶ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύσου· ὧν οὐδὲ αἱ γενικαὶ παρόμοιοι τῷ προκειμένῳ· ἰχθύος γὰρ λέγεται· οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεσθαι. μόνον δὲ διὰ δύο δασέων ἐκφέρεται ὁ ἰχθῦς, τῶν ἄλλων εἰς υς ληγόντων οὐχ οὕτως ἐχόντων, πρόσκειται τῷ κανόνι ἀρσενικὸν διὰ τὸ ὀφρῦς περισπώμενον θηλυκόν, ἔτι δὲ καὶ τὸ ὀσφῦς. ὥστε εἰ περισπᾶται τὸ ἰχθῦς, ἔστω θηλυκόν· εἰ δὲ ἀρσενικόν ἐστιν, ὀφείλει ὅμοιον εἶναι τῷ στάχυς, βότρυς. ἀλλ’ ἐξωμοιώθη τοῖς μονοσυλλάβοις εἰς υς τῷ μῦς καὶ σῦς. τὸ δὲ Γηλύς ἔθνος Παρθίας ὀξυνόμενον σημειῶδες. τὰ γὰρ εἰς λυς λήγοντα καθαρὸν ἔχοντα τὸ υ συνεσταλμένον βαρύνεσθαι θέλει, θῆλυς, φόλυς «φόλυες κύνες» παρὰ τῷ Ἀντιμάχῳ, ἔπηλυς, νέηλυς, ὄλολυς τὸ προσηγορικὸν εἴτε τὸ κύριον, Ζῆλυς ὁ ποταμός, ἔγχελυς, μόλυς. σημειώδη ἄρα τὸ πολύς κοινὸν καὶ τὸ Γηλύς ἀπεξενωμένον. πρόσκειται δὲ καθαρὸν διὰ τὸ ἀμβλύς, συνεσταλμένον δὲ τὸ υ διὰ τὸ ἰλύς. Τὰ εἰς υς ἁπλᾶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιθετικὰ διὰ τοῦ ε κλινόμενα τριγενῆ δισύλλαβα ὄντα ὀξύνεται, ἠΰ ς , ἡδύ ς , ταχύ ς , βραδύ ς , ὠκύ ς , πολύς «πολέων κεκορήμεθ’ ἀέθλων» (ψ 350).

3,1 237 τὸ δὲ ἥμισυς προπαροξύνεται. οὐ γὰρ δισύλλαβον. καὶ τὸ θῆλυς προπερισπᾶται «θῆλυς ἐέρση» (Od. ε 467). «Ἥρη θῆλυς ἐοῦσα» (Il. Τ 97)· οὐ γὰρ τριγενές· οὐ δύναται γὰρ εἶναι ἀρσενικὸν τὸ τῆς τῶν γυναικῶν φύσεως κατηγοροῦν. καὶ τὸ πρέσβυς βαρύτονον. μονογενὲς ὄν. καὶ τὸ Λίβυ ς. διὰ γὰρ τοῦ υ κλίνεται. Πᾶν εἰς υς λῆγον σύνθετον ἐπιθετικὸν βαρύνεται, ἔπηλυ ς , νέηλυ ς , πολύδακρυ ς , μελάνοφρυ ς. Τὰ εἰς υς ἀρσενικὰ ὑπερδισύλλαβα βαρύνεται, ἥμισυ ς , πέλεκυ ς , Ῥαδάμανθυ ς. ἔστι δὲ ὄνομα βασιλέως, ὄλολυ ς , ἄσταχυ ς. σεσημείωται τὸ ἐλαχύς ὁ ἐλάχιστος ὀξυνόμενον. ὀξύνεται δέ, ἐπεὶ τὰ εἰς υς ἔχοντα οὐδετέρου παρασχηματισμὸν παραληγόμενα τῷ α ὀξύνονται οἷον βραδύς, ταχύς, πραΰς. τὴν οὖν ὀφειλομένην προπαροξύτονον τάσιν ἐν τῷ θηλυκῷ ἀνεδέξατο «νῆσος ἔπειτ’ ἐλάχεια» (Od. ι 116). Τὰ εἰς υς θηλυκὰ συνεσταλμένον ἔχοντα τὸ υ καὶ διὰ τοῦ δος κλινόμενα ὀξύνεται, χλαμύ ς , πηλαμύ ς , κροκύ ς , Καινύς νῆσος πλησίον Πελωριάδος τῆς κατὰ Σικελίαν ἄκρας, πρὸς δύσιν νεύουσα. τὰ μέντοι μὴ διὰ τοῦ δος κλινόμενα βαρύνεται, γένυ ς , πίτυ ς , χέλυ ς , γῆρυ ς , ἀτράφαξυς εἶδος λαχάνου, ἄμαξυ ς , κόρυ ς , κῶμυ ς , ἔγχελυ ς· οἱ δὲ Ἐγχελεῖς ἔθνος Ἰλλυρικὸν ἢ ἀπὸ τοῦ Ἐγχελής ἢ ἀπὸ τοῦ Ἐγχελεύς. λέγεται καὶ Ἐγχελέαι ἀπὸ τοῦ Ἐγχελέης ἢ Ἐγχελέας. Μῶλυς Λίβυσσα πόλις. Ἑκαταῖος περιηγήσει Λιβύης. Κῶβρυς πόλις Θρᾴκης. Θεόπομπος Φιλιππικῶν ἐνάτῳ. Αἶγυς πόλις Λιγυστική, ὡς Εὐφορίων.

3,1 238 Πάτρασυς πόλις Ποντικὴ ὡς Ἑκαταῖος Ἀσίᾳ. Πίναμυς πόλις Αἰγύπτου. Τὰ εἰς υς πάντα σύνθετα συνεσταλμένον ἔχοντα τὸ υ προπαροξύνεται, σύνοφρυ ς , λεύκοφρυς καὶ Λεύκοφρυ ς· οὕτω γὰρ ἐκαλεῖτο ἡ Τένεδος, κάλλιχθυ ς , δίβραχυ ς , ἀρσενόθηλυ ς , δίπηχυ ς , ἔπηλυ ς , νέηλυ ς. Τὰ εἰς υς θηλυκὰ ἐκτείνοντα τὸ υ ὀξύνεται, πληθύ ς , ἐδητύ ς , ὀϊζύ ς , ἐρινύ ς , ἰξύς ἡ ῥάχις, ἰσχύ ς , ἰλύ ς , κλιτύ ς , ἀλητύ ς , ῥυστακύ ς , ἀγλύς σημειῶδες κατὰ κλίσιν· διὰ γὰρ τοῦ θος ἐκλίθη, οὐ διὰ καθαροῦ τοῦ ος . τὸ δὲ νηδύς ποιητικῇ ἀδείᾳ συστέλλεται ὡς παρὰ Καλλιμάχῳ (h. Dian. 160) «ἔτι οἱ πάρα νηδὺς ἐκείνη» καὶ παρ’ Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (356) «καὶ νηδὺν ἐξαμβλοῦμεν ὡς αὐτὸς λέγει». σεσημείωται ἐν τοῖς θηλυκοῖς τὸ ὀφρῦς καὶ ὀσφῦς ἡ ῥάχις περισπώμενα. Τὰ εἰς υς ὑποκοριστικὰ περισπῶνται, καμμῦ ς , κλαυσῦ ς , λαρδῦ ς , Διονῦ ς , ἀπφῦ ς. Εὑρίσκεται οὖν τὰ εἰς υς ὑπὲρ μίαν συλλαβὴν περισπώμενα ὑποκοριστικὰ πάντα πλὴν τοῦ ὀσφῦς καὶ ὀφρῦς καὶ ἰχθῦ ς. τὸ δὲ ἰξύ ς, εἰ καὶ ἐν τῷ ὀνοματικῷ παρεθέμεθα ὡς περισπώμενον ἀλόγως ὥσπερ τὸ δρῦς καὶ μῦς καὶ σῦς, ἀλλ’ οὖν ὀξύνεται. Τὰ εἰς αις πολυσύλλαβα Αἰολικῶς λεγόμενα βαρύνεται, Ἀτρείδαις ἀντὶ τοῦ Ἀτρείδη ς , Ὀρέσται ς , μέλαις ἀντὶ τοῦ μέλας, Θόαι ς , τάλαις καὶ τὰ σύνθετα ἄπαι ς , εὔπαι ς , ἀνδρόπαι ς , ὁμόδαι ς.

3,1 239 καθόλου γὰρ ἡ αις κατάληξις ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, παῖς, σταῖς, καλαῖς σοφαῖς, μεγάλαις ἀρίσταις χωρὶς τοῦ δαίς. τοῦτο γὰρ ὀξύνεται. Τὰ εἰς εις πολυσύλλαβα ὀνόματα κοινολεκτούμενα παροξύνεται. ταῦτα δὲ παραλήγεται ἢ τῷ α , ὡς ἔχει τὸ ἀντάει ς , αὐλάει ς , σκιάεις ἢ τῷ η ὡς φωνήει ς , αὐδήει ς , παχνήει ς , τιμήει ς , δαφνήει ς , Κυπαρισσήεις πόλις Μαγνησίας. Ὅμηρος «Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον» (Β 593), φθογγήει ς , τελήει ς , ἀμφιγυήει ς , θυήεις «βωμός τε θυήεις (Θ 48) ἢ κατὰ συστολὴν ποιητικὴν τὸ ε ἠχέει ς , βρωμέεις, ἢ τὸ ο , ὥσπερ ἀστερόει ς , ἁρματόει ς , ἀνεμόει ς , αἱματόει ς , δροσόει ς , ὑδατόει ς , πυρόει ς , Σιμόει ς , ἐρόει ς , κερόει ς , τειχιόει ς· ἔστι δὲ καὶ ἐθνικὸν τῆς Τειχιοέσσης καὶ φρούριον πλησίον τῆς Τραχῖνος. Ταυρόεις πόλις Κελτική, Μασσαλιητῶν ἄποικος. Ἀρτεμίδωρος ἐν πρώτῳ γεωγραφουμένων φησὶν ὅτι ταυροφόρος ἦν ἡ ναῦς ἡ διακομίσασα τοὺς τὴν πόλιν κτίσαντας, οἳ ἀπορριφέντες ἀπὸ τοῦ στόλου τῶν Φωκαέων καὶ προσενεχθέντες αὐτόθι ἀπὸ τοῦ ἐπισήμου τῆς νεὼς τὴν πόλιν ὠνόμασαν. Ὀπόεις πόλις Λοκρῶν τῶν Ἐπικνημιδίων. Μαλόεις Ἀπόλλων ἐν Λέσβῳ καὶ ὁ τόπος τοῦ ἱεροῦ Μαλόεις ἀπὸ Μήλου τῆς Μαντοῦς, ὡς Ἑλλάνικος ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λιβυκῶν πρώτῳ. σκιόει ς , τερμιόει ς. ἢ τὸ ω ὡς εὐρώει ς , κητώει ς , ὠτώει ς , κηώει ς. ὅθεν τὸ χαριτόεις παρὰ Ἀνακρέοντι ἀναλογώτερόν ἐστι τοῦ χαρίεις παραληγομένου τῷ ι . τὸ δὲ « ὑγίεντα δ’ εἴ τις ὄλβον» (Pind. Ol. V 54) ὁ μὲν Ἀρίσταρχος ἀναγινώσκει ὀξύτονον τὴν παραλήγουσαν ἀντὶ τοῦ ὑγιαίνοντα, τινὲς δὲ ὡς χαρίεντα. τὸ δὲ ἀντήρεις, ὃ λέγεται πᾶν, εἰς ὃ ἐρείδεταί τις, ἐστὶ θηλυκόν. γράφεται δὲ κατὰ τὴν παράδοσιν διὰ τῆς ει διφθόγγου καὶ βαρύνεται, τῶν ἄλλων θηλυκῶν ὑπὲρ μίαν συλλαβὴν κοινῶν τὴν ει δίφθογγον ἀποστρεφομένων καὶ ὀξυνομένων ὡς ῥανίς βολίς θυρίς.

3,1 240 αἱ δὲ μετοχαὶ ὀξύνονται τυφθεί ς , τυπεί ς , δαρεί ς. τὸ δὲ κτείς ὀξύτονον ὡς μονοσύλλαβον καὶ τὸ κλεί ς. τοῦτο δὲ ἐν τῇ συνθέσει βαρύνεται οἷον κατάκλει ς. καὶ οἱ Βοιωτοὶ τὸ η τῶν εἰς ης εἰς ει τρέποντες ὀξύνουσι τὰ ὀξύτονα, εὐγενείς ἀντὶ εὐγενής, ἀγενείς ἀντὶ ἀγενής. τὸ δὲ οὐδείς δύο μέρη λόγου εἰσὶ τό τε οὐ καὶ τὸ δείς. οὐδὲ γὰρ ἔστι σύνθετον. εἰ γὰρ ἦν σύνθετον, ἤμελλε πρὸ μιᾶς ἔχειν τὸν τόνον. πᾶν γὰρ ὄνομα μονοσύλλαβον συντιθέμενον ἀναβιβάζει τὸν τόνον παῖς εὔπαις, χθών αὐτόχθων, Θρᾷξ Σαμόθρᾳξ χωρὶς τοῦ πτώξ πολυπτώξ. δηλοῖ δὲ καὶ ἡ γενικὴ ὀξυνομένη. εἰ γὰρ ἦν ἐν συνθέσει, ἤμελλεν ἡ γενικὴ βαρύνεσθαι. πᾶσα γὰρ γενικὴ ὑπὲρ δύο συλλαβὰς εἰς ος λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν χωρὶς τοῦ γυναικός καὶ θυγατρός. Τὰ εἰς αυς πολυσύλλαβα βαρύνονται, χιλιόναυ ς , ὠμόγραυ ς. τὰ δὲ ἁπλᾶ περισπῶνται γραῦ ς , ναῦ ς. Τὰ εἰς ευς κοινῶς μὲν ὀξύνεται, βασιλεύ ς , Πηλεύ ς , Τυδεύ ς , ἀριστεύ ς , Περσεύ ς , Πορθεύ ς , Πρωτεύ ς , ἁλιεύ ς , οἰνεύ ς , Λυγκεύ ς , Ἀχιλλεύ ς , Τηρεύ ς , Θησεύ ς , Ὀδυσσεύ ς. ἔστι καὶ πόλις Ἰβηρίας Ὀδυσσεῖς ἀρσενικῶς. Βρισεύ ς , Ἀτρεύ ς . Λεοντεύ ς , Αἰθιοπεύς, ἐξ οὗ τὸ Αἰθιοπῆας παρ’ Ὁμήρῳ (Il. A 423), ἀγυιεύς ὁ τοπίτης. λέγονται καὶ ὀβελίσκοι θεοῖς ἀνειμένοι, ὡς Εὔπολις. λέγεται καὶ κίων ἀγυιεύς εἰς ὀξὺ ἀπολήγων, ὁ πρὸ τῶν θυρῶν ἱστάμενος. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (v. 489) καὶ ὁ Ἀπόλλων ἀγυιεύς τουτέστιν ὁ ἐφόδιος. Μοψοπιεύ ς , Ἐρετριεύ ς , Φωκαιεύ ς , Θεσπιεύ ς , Ἀλεξανδρεύ ς , Ἀντιοχεύ ς , Σελευκεύ ς , Αἰγιαλεύ ς. εὑρίσκεται δὲ καὶ αἰγιαλεύς ἐπὶ ἰχθύος. Αἰγικορεῖ ς , Ἀργαδεῖς φυλαὶ παλαιαί. Αἰθυσσεῖς ἔθνος Λιβυκὸν Μαρμαρίδαις πάροικον, ὡς Ῥιανός. Αἰολεύ ς. οὕτως λέγονται οἱ τὴν Λέσβον οἰκοῦντες ἀπὸ τῶν Αἰόλου παίδων ὡς Δωριεῖς ἀπὸ τῶν Δώρου. Ἁλιεῖς πόλις Ἀργολικῆς παραθαλασσία καὶ τὸ ἐθνικὸν ὁμοίως. Ἔφορος ἐν τῷ ἕκτῳ «Τιρύνθιοί εἰσιν οὗτοι καὶ ἐξαναστάντες ἐβουλεύοντο οἰκεῖν τινα τόπον καὶ ἠρώτων τὸν θεόν. ἔχρησε δ’ οὕτως «ποῖ τυ λαβὼν καὶ ποῖ τυ καθίξω καὶ οἴκησιν ἔχων ἁλιέα τε κεκλῆσθαι». ἐλέγοντο δ’ οὕτως διὰ τὸ πολλοὺς τῶν Ἑρμιονέων ἁλιευομένους κατὰ τοῦτο τὸ μέρος οἰκεῖν τῆς χώρας. Ἀντικονδυλεῖς οἱ ἐν Βοιωτίᾳ Κολοίφρυγες, ὡς Ἀριστοφάνης ὁ τοὺς Θηβαίων ὥρους γεγραφώς. Αὐσεῖς ἔθνος Λιβύης. Ἀπολλόδωρος δευτέρᾳ περὶ γῆς καὶ Ἡρόδοτος ἐν τετάρτῃ (c. 180). Γαργαρεῖς ἔθνος, ὃ μίγνυται ταῖς Ἀμαζόσιν, ὡς Στράβων ια′ (p.

3,1 241 504). Γονεῖς πόλις Θρᾴκης καὶ οἱ κατοικοῦντες ὁμοίως. Γουνεύς ὁ ἀπόγονος Κύφου, ἀφ’ οὗ Γόννοι πόλις Περραιβίας. Διανεῖς ἔθνος Γαλατικόν, Ἐρατοσθένης ἐν δ′ Γαλατικῶν. Δωριεῖς — καὶ οἱ Κρῆτες Δωριεῖς ἐκαλοῦντο «Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί (Od. τ 177), περὶ ὧν ἱστορεῖ Ἄνδρων, Κρητὸς ἐν τῇ νήσῳ βασιλεύοντος Τέκταφον τὸν Δώρου τοῦ Ἕλληνος, ὁρμήσαντα ἐκ τῆς ἐν Θετταλίᾳ τότε μὲν Δωρίδος νῦν δὲ Ἱστιαιώτιδος καλουμένης, ἀφικέσθαι εἰς Κρήτην μετὰ Δωριέων τε καὶ Ἀχαιῶν καὶ Πελασγῶν τῶν οὐκ ἀπαράντων εἰς Τυρρηνίαν. Ἐλαιεύς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς Διονύσιος. Διόδωρος δ’ Ἐλαιοῦς. Ἑρμοτυμβιεῖς μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῃ. Ἐταιεῖς διὰ διφθόγγου ὡς Διπαιεῖ ς. ἔστι δὲ πόλις Λακωνική. Ἰμφεῖς ἔθνος προσεχὲς τοῖς Περραιβοῖς. Ἑκαταῖος Εὐρώπῃ «Ἰμφέες, Περραιβοί». Ἰουλεῖς οἱ Ῥωμαῖοι ἀπὸ βασιλέως, ἀφ’ οὗ καὶ ὁ μήν, ἢ ἀπὸ Ἰουλίδος. Καφαρεύς ἐπίνειον Εὐβοίας, ὅστις Καθηρεύς ἐκαλεῖτο, ὅτι τοὺς πλέοντας ἐκεῖ καθῄρουν οἱ Εὐβοιεῖς. Λητωεύς δῆμος ἐν Ἀλεξανδρείᾳ, ὡς Τρύφων ἐν τῷ περὶ παρωνύμων, ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ τὸ Λητῷος κτητικὸν σχηματίζεται. Μαλιεύς πόλις ἐπώνυμος τῶν Μαλιέων ἀπὸ Μάλου τοῦ Ἀμφικτύονος υἱοῦ ἢ Ἀμύρου τοῦ Βοιωτοῦ. Μωριεῖς ἔθνος Ἰνδικὸν ἐν ξυλίνοις οἰκοῦντες οἴκοις, ὡς Εὐφορίων. Ῥοπεῖς ἔθνος, οὗ μέμνηται Φαβωρῖνος ἐν ἐπιτομῇ δ′ τῆς Παμφίλης. Σαλγανεύς «μετὰ τὴν Χαλκίδα ἐστὶν ὁ Σαλγανεὺς συνάπτων τῷ Εὐρίπῳ». Σχοινεύς ποταμὸς Ἀρκαδίας ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος. Τομεύς πόλις πρὸς τῇ Ὀδησσῷ. Στράβων ἑβδόμῃ (p. 318). ὠνομάσθη δὲ οὕτως διὰ τὸ Ἄψυρτον τὸν Αἰήτου υἱὸν ὑπὸ Μηδείας καὶ Ἰάσονος ἐν τῇ φυγῇ ἐκεῖ κατατμηθῆναι. Ὑλλεῖς ἔθνος Λιβυρνικόν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Δηϊανείρας. ἔστι δὲ ὡς Φῶκος Φωκεύς, Αἴολος Αἰολεύς, οὕτως Ὕλλος Ὑλλεύς. καὶ Ὑλλεύς ὁ φυλέτης φυλῆς Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων Ὑλλίδος. Χάραξ θ′ «καὶ Παμφύλιοι καὶ Ὑλλεῖς». Φελλεύς ὄρος τῆς Ἀττικῆς. τάχα δ’ οὐ μόνης τῆς Ἀττικῆς, ἀλλὰ παντός τοῦ τόπου ἔχοντος ἐπιπολῆς μὲν πέτραν ὑπὸ ταύτης δὲ γῆν λιπαρὰν πρὸς ἐλαιοφυτίαν. Φηγαιεῖς δῆμος τῆς Πανδιονίδος φυλῆς. Φηγεύς ὁ ἀδελφὸς τοῦ Φορωνέως, ὃς ἔκτισε πόλιν Φήγειαν. Φλυεῖς δῆμος τῆς Κεκροπίδος φυλῆς. Ὠτιεῖς μοῖρα Κυπρίων. Ἔφορος ιη′ «Ἀμαθούσιοι δὲ καὶ Σόλιοι καὶ Ὠτιεῖς ἀντέχοντες ἔτι τῷ πολέμῳ». —Αἰολικῶς δὲ βαρύνεται· Αἰολέων γὰρ ἴδιον τὸ βαρυτονεῖν, Ἄτρευ ς , Πήλευ ς , Ἄρευς παρ’ Ἀλκαίῳ. Τὰ εἰς ους πολυσύλλαβα ἁπλᾶ μὲν ὄντα περισπᾶται, ἁπλοῦ ς , διπλοῦ ς , τριπλοῦ ς , πλακοῦ ς .

3,1 242 Σχοινοῦς Ἀρκαδίας χωρίον. ἑλώδης ὢν ὁ τόπος ἀπὸ τῶν ἐν αὐτῷ σχοίνων τὴν προσηγορίαν εἴληφεν· ἐπιπολάζει γὰρ τοῦτο τὸ εἶδος παρ’ Ἕλλησιν ἀπὸ τῶν ἐν τόποις πλεοναζόντων φυτῶν οἷον Σκιλλοῦς, πόλις Τριφυλική, Τρεμιθοῦς κώμη Κύπρου ἀπὸ τῶν περὶ τὸν τόπον πεφυκυιῶν τερεβίνθων, ἃς Κύπριοι τρεμίθους καλοῦσιν. ἄλλοι δὲ φασὶν ὅτι ἀποβάσης Ἀφροδίτης εἰς τὸν τόπον διὰ τὴν παρουσίαν τῆς δαίμονος ὑπὸ τρόμου διασαλευθῆναι, διὸ καὶ Τρεμιθοῦντα κληθῆναι. — Δαφνοῦς Φωκικὴ πόλις—ἔστι καὶ δῆμος πλησίον τῆς Κῶ ὁ Δαφνοῦς λεγόμενος— Σελινοῦς πόλις Σικελίας ἀρσενικῶς καὶ θηλυκῶς λεγομένη— Φοινικοῦς πόλις Κρήτης· ἔστι καὶ νῆσος πρὸς τῇ Λυκίᾳ· ἔστι καὶ Φοινικοῦς λιμήν. Θουκυδίδης ὀγδόῃ (c. 34). Φυκοῦς πόλις Λιβύης· κεῖται δὲ ὁ Φυκοῦς κατὰ τὸ Ταίναρον τῆς Πελοποννήσου. Θριοῦς πόλις πάλαι τῆς Ἀχαΐας, νῦν δὲ τῆς Ἠλείας ὅμορος Πάτραις. ἄλλοι δὲ ἀπὸ Θριοῦντος Ἀθηναίου, ὃν Θησεὺς ἔπεμψε μετὰ στρατιᾶς συμμαχήσειν Ἡρακλεῖ. Μυρικοῦς πόλις καταντικρὺ Τενέδου καὶ Λέσβου τῆς Τροίας. Ἑκαταῖος «εἰς Μυρικόεντα τῆς Τρωϊκῆς». Οἰνοῦς πολίχνιον Λακωνικῆς, ὡς Ἀνδροτίων καὶ Δίδυμος, Πυξοῦς πόλις Σικελίας, Ῥιζοῦς πόλις Θεσσαλίας, Ἀνθεμοῦς πόλις Μακεδονίας καὶ Συρίας· ἄλλοι δὲ ἀπὸ Ἀνθέμου. ὁμοίως καὶ Πιτυώδης, Ἐρικώδης, Κυπάρισσος πόλις ἐν Παρνασσῷ, ἥν τινες καὶ Κυπαρισσοῦντά φασι, Θρύον, Ἐλαία. καὶ τῶν Ἀθηναίων δήμων τινὲς ἀπὸ τῶν ἐν αὐτοῖς φυομένων, Ῥαμνοῦς δῆμος τῆς Αἰαντίδος φυλῆς, Φηγοῦς δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, Μυρρινοῦς δῆμος τῆς Πανδιονίδος φυλῆς. Διονύσιος δ’ ὁ Τρύφωνος Μυρινοῦττά φησιν. Μαραθοῦς καὶ Μαραθών, Ἁγνοῦς δῆμος τῆς Δημητριάδος φυλῆς, τινὲς δὲ τῆς Ἀκαμαντίδος ἀπὸ τῆς ἐν αὐτῷ φυομένης ἄγνου. Ἀναγυροῦς δῆμος Ἐρεχθηΐδος φυλῆς, Ἀχερδοῦς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς καὶ Ἀχραδοῦς παρ’ Ἀριστοφάνει. Ἐλαιοῦς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς Διόδωρος. Διονύσιος δὲ Ἐλαιεύς. ἔστι καὶ Ἐλαιοῦς πόλις ἐν Ἑλλησπόντῳ· ἔστι καὶ Ἄργους Ἐλαιοῦς. Ἔτι καὶ Ἁλιμοῦς δῆμος τῆς Λεοντίδος φυλῆς. Καλλίμαχος δὲ πόλιν ἡγεῖται. Ἀμαθοῦς πόλις Κύπρου ἀρχαιοτάτη· ἀπὸ Ἀμαθοῦντος δὲ τοῦ Ἡρακλέους ἐκλήθη ἢ ἀπὸ τῆς Κινύρου μητρὸς Ἀμαθούσης. Ψαμαθοῦς πόλις Λακωνική, Ἀρτεμίδωρος δευτέρῳ γεωγραφουμένων «μετὰ γὰρ τὸ Ταίναρον πόλις ἐκδέχεται Ψαμαθοῦς». Ὀποῦς πόλις Λοκρῶν τῶν Ἐπικνημιδίων, λέγεται καὶ Ὀπόεις.

3,1 243 ἔστι καὶ Ὀποῦς πόλις Ἀχαΐας καὶ τῆς Ἠλείας ἄλλη. Σιδαροῦς πόλις Λυκίας καὶ λιμήν. Μαχαιροῦς φρούριον τῆς Ἰουδαίας, ὡς Ἰώσηπος. Τραπεζοῦς πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ· ἔστι καὶ Ἀρκαδίας πόλις Τραπεζοῦς ἀπὸ Τραπεζοῦντος παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῳ (3,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3). ἔστι καὶ ἄλλη πλησίον τοῦ Ἀραβικοῦ κόλπου. Σολοῦς πόλις Σικελίας, ὡς Ἑκαταῖος Εὐρώπῃ. ἐκλήθη δὲ ἀπὸ Σολοῦντος κακοξένου, ὃν ἀνεῖλεν Ἡρακλῆς. Πηλοῦς νῆσος περὶ Χίον. Ὀλοῦς πόλις Κρήτης. Ξενίων ἐν τοῖς Κρητικοῖς. Μυοῦς πόλις Ἰωνίας, ὡς Φίλων καὶ Ἀπολλόδωρος ἐν α′ χρονικῶν. Στράβων ιβ′ (p. 579) «τὸ περὶ Μαγνησίαν καὶ Μυοῦντα». Ἰπνοῦς χωρίον ἐν Σάμῳ. Οἰκοῦς Καρίας πόλις. Πεσσινοῦς πόλις Γαλατίας ἀπό τινος Γάλλου Πεσσινοῦντος· τινὲς δὲ ἀπὸ πηγῆς ῥεούσης τοῦ λόφου τοῦ ἐν ᾧ ἐτάφη ὁ Μαρσύας. Σιδοῦς κώμη Κορίνθου ἢ Μεγαρίδος ἐπίνειον· ἔστι καὶ περὶ Κλαζομενὰς κώμη καὶ ἄλλη τῆς Ἐρυθραίας. Σιμοῦς καὶ Σιμόεις, Σιποῦς πόλις Δαυνίων, Σαρνοῦς πόλις Ἰλλυρική, Φλιοῦς ὁ υἱὸς Διονύσου καὶ Χθονοφύλης. Παυσανίας δὲ Φλίαντα αὐτὸν καλεῖ. ἀπ’ αὐτοῦ ἐκλήθη Φλιοῦς πόλις Πελοποννήσου· Φιλητᾶς φησι Φλιοῦς γὰρ πόλις ἐστί, Διωνύσου φίλος υἱός Φλιοῦς, ἣν αὐτὸς δείματο λευκολόφος. ὠνόμασται δὲ παρὰ τὸ φλεῖν, ὅ ἐστιν εὐκαρπεῖν. Ὑδροῦς φρούριον … ἀρσενικῶς. Θεόπομπος τριακοστῷ ἐνάτῳ Φιλιππικῶν. Ὑψοῦς παῖς Λυκάονος καὶ πόλις Ἀρκαδίας, ὡς Παυσανίας ὀγδόῳ (3, 3). Καοῦς κώμη τῆς ἐν Ἀρκαδίᾳ Τελφουσίας γῆς, Βαιταρροῦς κώμη μεγάλη τῆς τρίτης Παλαιστίνης. Ἱεριχοῦς πόλις μεταξὺ Ἱεροσολύμων καὶ Ἰορδάνου ποταμοῦ. εὕρηται δὲ καὶ δοτικὴ Ἱεριχοῖ ἀπὸ τῆς Ἱεριχώ. Κατὰ τὸν εἰρημένον κανόνα, ὡς τὰ εἰς ους ἁπλᾶ περισπᾶσθαι θέλει, καὶ τὸ χρύσὲὸς καὶ ἀργύρὲὸς μετὰ τὴν συναίρεσιν περιεσπάσθη χρυσοῦς ἀργυροῦς καίπερ ἐπὶ τῷ λόγῳ τῆς συναιρέσεως ἔδει βαρύνεσθαι· αἱ γὰρ δύο βαρεῖαι εἰς βαρεῖαν συναιροῦνται ὡς τὸ Δημοσθένὲὸς Δημοσθένους. ὡσαύτως καὶ τὸ ἀδελφιδὲός ἀδελφιδοῦς, θυγατριδὲός θυγατριδοῦ ς , ὑϊδοῦ ς , τηθαλλαδοῦς διὰ τὸν αὐτὸν κανόνα περιεσπάσθησαν, καίτοι ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συναιρεῖσθαι θέλει οἷον ζωός ζώς. Σημειῶδες ἄρα τὸ ὀδούς παραλόγως ὀξυνθέν. ἀλλ’ ἠκολούθησε καὶ κατὰ τὸν τόνον καὶ κατὰ τὴν κλίσιν ταῖς μετοχαῖς. ὀδούς γὰρ ὀδόντος ὡς διδούς διδόντος. λέγεται δὲ καὶ ὀδών πρὸς Ἰώνων. Τὰ δὲ σύνθετα βαρύνεται, Πειρίθου ς , Ἀλκίνου ς , εὔπλου ς , πολύνου ς , Οἰδίπου ς , Μελάμπου ς , ἐΰξου ς , εὔνου ς , σύννου ς , εὔχρου ς , Σκιάπους ἔθνος Αἰθιοπικόν, ὡς Ἑκαταῖος ἐν περιηγήσει Αἰγύπτου, Ἰάπους ἔθνος Κελτικὸν πρὸς τῇ Ἰλλυρίᾳ.

3,1 244 Διονύσιος ἑκκαιδεκάτῳ. τριόδου ς , κυνόδου ς. Τὰ εἰς ως ἀρσενικὰ περιττοσυλλάβως κλινόμενα καὶ διὰ καθαροῦ τοῦ ος βαρύνονται, ἥρω ς , Μίνω ς , πάτρω ς , μήτρω ς . Ἄθω ς, οὗ ἡ κλίσις διττὴ καὶ Ἄθωος καὶ Ἄθω. ἔστι δὲ ὄρος Θρᾴκης ἀπὸ Ἄθω γίγαντος, ὡς Νίκανδρος πέμπτῳ τῆς Εὐρωπείας καί τις Ἄθω τόσον ὕψος ἰδὼν Θρήϊκος ὑπ’ ἄστροις ἔκλυεν οὐ δηθέντος ἀμετρήτῳ ὑπὸ λίμνῃ, ὃς ἀναποῦν χείρεσσι δύο ῥίπτεσκε βέλεμνα ἠλιβάτου προθέλυμνα Καναστραίης πάρος ἄκρης. εἴρηται δὲ καὶ Ἄθοος ὡς τὸ Κῶς Κόος. λέγεται καὶ κατὰ συναίρεσιν Ἄθους. ἔστι δὲ καὶ Ἄθως πόλις ἐπὶ τῷ Ἄθῳ. Τὰ εἰς ως ἁπλᾶ διὰ τοῦ τος κλινόμενα, εἰ μακρᾷ παραλήγοι, ἢ μετοχικὰ ὄντα ὀξύνεται, εὐρώ ς , ἱδρώ ς , Ἀραρώ ς. ἔστι δὲ ὄνομα τοῦ υἱοῦ τοῦ Ἀριστοφάνους, ὑποδεδιώ ς· ἔστι δὲ εἶδος ὀρνέου. εἰ δὲ ἰαμβικὰ ὑπάρχοι διὰ τοῦ τος κλινόμενα, βαρύνεται, γέλω ς , ἔρω ς , Νέπω ς· ἔστι δὲ ὄνομα ὄρους. τὸ δὲ Εἵλως ἀπὸ τοῦ Ἕλως προσθέσει τοῦ ι . Εἵλωτες δ’ εἰσὶν οἱ κατοικοῦντες τὴν Μεσσηνιακὴν πόλιν Ἕλος. λέγονται καὶ Εἰλῶται καὶ Ἕλειοι καὶ Ἑλεῖται. οἱ δὲ Λακεδαιμόνιοι πάντας τοὺς δούλους Εἵλωτας καλοῦσιν. λέγονται δὲ Εἵλωτες καὶ οἱ ἐπὶ Ταινάρῳ Σάτυροι. Τὰ ἀπὸ παρακειμένου συντεθέντα διὰ τοῦ τος κλινόμενα ὀξύνεται ἀπτώ ς , ἀγνώ ς. ἔστι δὲ καὶ Ἀγνῶτες ἔθνος Κελτικῆς παρὰ τὸν ὠκεανόν, ὡς Ἀρτεμίδωρος. Τὰ εἰς ως σύνθετα ἀπὸ τῶν εἰς ως μονοσυλλάβων παροξύνεται, ζώς ἀείζως, χρώς λευκόχρω ς. τὸ μέντοι ὑποδμώς «Ποσειδάωνος ὑποδμώς» (δ 386) ὀξύνεται ὡς παρέλκουσαν ἔχον τὴν ὑπό. Τὰ εἰς ως σύνθετα ἀπὸ τῶν εἰς ως πολυσυλλάβων παροξύνεται, ἔρως χρυσέρως, ἱδρώς λυσίδρω ς. τὸ δὲ δύσερως καὶ φιλόγελως καὶ τὰ τοιαῦτα Ἀττικὰ ὄντα προπαροξύνονται. Τὰ εἰς ως Ἀττικὰ ὁμοτονοῦσι ἐκείνοις, ἀφ’ ὧν ἐσχηματίσθησαν, ναός νεώ ς, λαός λεώ ς, κάλος κάλω ς , Τάλος Τάλω ς· ἔστι δὲ ὄνομα κύριον, Μενέλαος Μενέλεως, Ἰόλαος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰόλεως, Τυνδάρεος Τυνδάρεως, ἀξιόχρεος ἀξιόχρεως, ἵλαος ἵλεω ς , ἀνάπλεω ς , εὔγηρω ς , χρυσόκερω ς.

3,1 245 σεσημείωται τὸ ὀρφῶς καὶ λαγῶ ς. ταῦτα γὰρ οὐκ ἐφύλαξε τὸν τόνον τῶν κοινῶν· τοῦ μὲν γὰρ ὀρφῶς τὸ κοινὸν ὄρφος ἐστὶ βαρυτόνως, τοῦ δὲ λαγῶς ὀξυτόνως λαγός. καὶ ἐν τοῖς εἰς ως ὑπὲρ μίαν συλλαβὴν οὐδὲν περισπᾶται πλὴν τοῦ ὀρφῶς καὶ λαγῶς. τὸ γὰρ τυφῶς καὶ ταῶς καὶ Μανεθῶς ἐστι δικατάληκτα. καὶ γὰρ εἰς ν λήγουσι τυφῶν καὶ ταῶν καὶ Μανεθῶν. τὸ δὲ ταῶς ἀπὸ τοῦ ταός, ὥς τινες βούλονται, οὐκ ἠδύνατο εἶναι, ἐπειδὴ τὸ ταός διὰ τοῦ ος οὐκ ἔστι σύνηθες παρὰ τοῖς Ἕλλησιν. Πάντα δὲ τὰ εἰς ως περισπασθέντα ἄνευ λόγου περιεσπάσθη. τὸ δὲ Τηλεβῶς ἐκ τοῦ Τηλεβόας συνῃρέθη. * Τὰ εἰς ως παρὰ τοῖς Ἀθηναίοις εὑρεθέντα μὴ ἔχοντα προϋποκείμενον κοινὸν οἷον κορώνεω ς , φιβάλεω ς , δαμαρίππεω ς , χελιδώνεως (ἔστι δὲ εἴδη φυτῶν), ἱέρεως ὁ ἱερεύς πάντα προπαροξύνονται. Τὰ εἰς ως Περσικὰ ἢ Αἰγύπτια παροξύνεται, Φάργω ς , Ἰνάρως ὄνομα βασιλέως, Παραμίζως ὄνομα εὐνούχου, Σαβάκω ς. τὸ δὲ Μάννεως χώρα συνεξωμοιώθη τοῖς Ἀττικοῖς οἷον Μενέλεως. Τὰ εἰς ως θηλυκὰ πολυσύλλαβα βαρύνεται μέν, ὅσα βραχείᾳ παραλήγει, Κέω ς , Τέως πόλις μέση Ἰωνίας, ὡς Ἡρόδοτος πρώτῃ (c. 142), ἐκλήθη δὲ ἀπὸ τῆς Ἀθάμαντος θυγατρὸς Ἀρᾶς. σκοπουμένου γὰρ τοῦ Ἀθάμαντος ἔνθα ἱδρύσει τὸν λαόν, ἀθύρουσα οἷα δὴ παῖς ἐκ λίθων οἰκίαν δειμαμένη ἔλεγεν «ἕως σὺ χῶρον ἐσκόπεις, τέως ἐγὼ πόλιν σοι ἐδειμάμην». καὶ διὰ τοῦτο ἡ πόλις οὕτως ὠνομάσθη. ἔστι καὶ ἑτέρα πόλις ἐν Δυρβαίοις τῆς Σκυθίας, ἐν ᾗ λέγουσι λίμνην ἰχθύων ἔχουσαν πλῆθος, ἀφ' ὧν εὐδίας γινομένης ἔλαιον ἐπιπολάζει τοσοῦτον, ὅσον ἀρύεσθαι αὐτὸ ταῖς χερσὶν εἰς σκάφος καὶ χρῆσθαι αὐτῷ.

3,1 246 ἅλω ς , ἕω ς. τὰ δὲ μὴ οὕτως ἔχοντα ὀξύνεται, αἰδώ ς , ἠώ ς. * Τὰ εἰς δύο σύμφωνα λήγοντα πολυσύλλαβα βαρύνεται, Τῖρυνς πόλις τῆς Πελοποννήσου «οἵ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν» (B 559). καλεῖται δὲ ἀπὸ Τίρυνθος ἀδελφοῦ Ἀμφιτρύωνος. γέγονε δὲ ἐκ τοῦ Τῖρυς προσθέσει τοῦ ν . ἕλμιν ς , μάκαρ ς , δάμαρ ς , Σάλαρς νῆσος Λιβύης, Περίηρς παρ' Ἀλκμᾶνι ἐκ τοῦ περιήρης. ἔστι δὲ ἄκλιτον. τὸ δὲ μονοσύλλαβον ἅλς ὀξύνεται. Τὰ εἰς αψ πολυσύλλαβα βαρύνεται, Ἄρα ψ , λαῖλα ψ , θέρα ψ , Σκίρα ψ· ἔστι δὲ ὄνομα κύριον παρὰ τοῖς κωμικοῖς εὑρισκόμενον. τὸ δὲ πλινθοβάψ καὶ πελεθοβάψ ὀξύνεται. Τὰ εἰς ψ πολυσύλλαβα ἔχοντα πρὸ τοῦ ψ ο ἢ ε βαρύνεται, Πέλο ψ , Δρύοψ ἔθνος περὶ τὴν Οἴτην, μέρο ψ. ἔστι δὲ καὶ κύριον. Μέροψ γάρ ἐστι παῖς μὲν Τριόπα, πατὴρ δὲ τῆς Κῶ, ἀφ' οὗ Μέροπες οἱ Κῷοι. Δόλοψ ἥρως καὶ ἔθνος Θεσσαλῶν ἔγγιστα, Ἔλλοψ ὁ Ἴωνος, ἀφ' οὗ Ἐλλοπία χωρίον Εὐβοίας. Κέκρο ψ , Ὕοψ πόλις ἐν Ἰβηρίᾳ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Ὕοψ πόλις, μετὰ δὲ Λεσυρὸς ποταμός». Τρίο ψ· Τρίοπα γάρ φησιν Ἑλλάνικος Τρίοπον τὸν πατέρα Ἐρυσίχθονος. ἡ δὲ Μόψοψ εὐθεῖα ἄρρητός ἐστιν. Αἰθίοψ «Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν» (Od. α 23). οὐ γὰρ ἀληθὴς ὁ Ὑψικράτους λόγος ὡς οὐδὲν εἰς οψ παρ' Ὁμήρῳ εἰ μὴ τὸ καλαῦρο ψ. εἰσὶ δὲ καὶ τὸ ὄψ καὶ τὸ μέροψ. εὐρύο ψ . βοῦκλεψ παρ' Ἀριστοφάνει, τυρόκλε ψ , ἀλευρόκλε ψ , νακόκλε ψ , κατῶβλεψ εἶδος θηρίου. Τὰ εἰς ψ ἔχοντα ι πρὸ τοῦ ψ βαρύνεται, σκευότρι ψ , παιδότρι ψ , χέρνι ψ , χοιρότρι ψ , οἰκότρι ψ , πεδότρι ψ , ἀμφίτρι ψ , Κεντόρι ψ , κατῆλι ψ , αἰγίλιψ καὶ Αἰγίλιψ πλησίον Κροκυλείων τῆς Ἠπείρου.

3,1 247 Ὅμηρος «καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν» (B 633). εἴληφε δὲ τὴν προσηγορίαν διὰ τὸ πετρώδης εἶναι καὶ ὑψηλὴ καὶ ἀπρόσβατος. Τὰ εἰς υψ βαρύνεται, Κίνυψ ὁ λιμήν· ἔστι δὲ καὶ ποταμός. Χάλυ ψ, περὶ τὸν Πόντον ἔθνος ἐπὶ τῷ ποταμῷ Θερμώδοντι, περὶ οὗ Εὔδοξος ἐν πρώτῳ «ἐκ δὲ τῆς Χαλύβων χώρας ὁ σίδηρος ὁ περὶ τὰ στομώματα ἐπαινούμενος ἐξάγεται». «τούτους Ὅμηρος Ἁλίζωνάς φησιν ἐν τῷ μετὰ τοὺς Παφλαγόνας καταλόγῳ (Il. B 856) αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον τηλόθεν ἐξ Ἀλύβων, ὅθεν ἀργύρου ἐστὶ γενέθλη. ἤτοι τῆς γραφῆς μετατεθείσης ἀπὸ τοῦ 'τηλόθεν ἐκ Χαλύβης' ἢ τῶν ἀνθρώπων πρῶτον Ἀλύβων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεγομένων ἀντὶ τοῦ Χαλύβων». καὶ Χάλυβοι παρ’ Ἑκαταίῳ «Χαλύβοισι πρὸς νότον Ἀρμένιοι ὁμορέουσι». Ἄρυψ οἱ ἀπὸ δύσεως μέχρι Ἰσθμοῦ Ἀχαιοί. τοῦτο δὲ καὶ μονοσυλλάβως Ῥύψ λέγεται. Εἰς ηψ οὐκ ἔστιν εὑρεῖν ὅτι μὴ μόνον τὸ κώληψ βαρύτονον. Τὰ εἰς ωψ πολυσύλλαβα κύρια ὄντα ἢ προσηγορικὰ βαρύνονται, Κύκλω ψ , Ἄλμωψ ὁ Ποσειδῶνος καὶ Ἕλλης τοῦ Ἀθάμαντος, ἀφ’ οὗ Ἀλμωπία χώρα τῆς Μακεδονίας, καὶ τὸ ἐθνικὸν ὁμοφώνως. ἴω ψ , μώλω ψ. σεσημείωται, ὥς τινές φασι, τὸ εὐρώψ ὀξυνόμενον. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται ὑπεσταλμένων τῶν ὑποπεπτωκότων κυρίοις ἢ τῶν ἰδιαζόντων μονώψ ὁ μονόφθαλμος, κελαινώ ψ , τυφλώ ψ , γλαυκώψ «γλαυκῶπες δράκοντες», εὐώψ «εὐῶπα παρειάν» παρὰ Σοφοκλεῖ (Antig. 530) «εὐῶπες» παρὰ Λυκόφρονι (v. 23), παραβλώψ «παραβλῶπές τ’ ὀφθαλμώ» (Il. I 503). τὸ δὲ ἑλίκωψ καὶ ὁ μύωψ ὁ μυὸς ὀφθαλμοὺς ἔχων καὶ νυκτάλωψ βαρύνεται, ὥσπερ τὸ Κύκλωψ καὶ κέρκωψ ὁ δόλιος καὶ ἴωψ ὁ ἰχθῦς. ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΕΙΣ α ΘΗΛΥΚΩΝ ΟΝΟΜΑΤΩΝ.

3,1 248 ΒΙΒΛΙΟΝ ια′. Τὰ εἰς α λήγοντα μακρὸν θηλυκὰ τῶν εἰς ος ὁμοτονοῦσιν αὐτοῖς, καὶ ἔτι τὰ εἰς η , φοβερός φοβερ ά, ἰσχυρός ἰσχυρ ά, σοφός σοφ ή, καλός καλ ή , φίλος φίλ η. τὸ μέντοι βαρύτερος βαρυτέρα καὶ τὰ ὅμοια, εἰ καὶ τὸν τόπον ἐνήλλαξαν, ἀλλ’ οὐ τὸν τόνον. Τὰ εἰς α μακρὸν καὶ εἰς η τῶν εἰς ους περισπωμένων περισπᾶται ἀργυροῦς ἀργυρ ᾶ, ἔστι δὲ καὶ μητρόπολις τῆς ἐν Ἰνδικῇ Ταπροβάνης νήσου. χρυσοῦς χρυσ ῆ, διπλοῦς διπλ ῆ. Τὰ ἔχοντα τὸ α βραχὺ διὰ τοῦ τρια προπαροξύνεται, αὐλήτρι α , ψάλτρι α , ποιήτρι α , μεσήτρι α , ὁδηγήτρι α , ὀρχήστρι α , μαθήτρι α , λεκάστρια ἡ πόρνη. Ἐρέτρια πόλις Εὐβοίας. Ὅμηρος «Χαλκίδα τ’ Ἐρέτριάν τε» (Il. B 537) ἀπὸ Ἐρετριέως τοῦ Φαέθοντος υἱοῦ. τὸ δὲ μετρία καὶ ἀλλοτρία τὸ α μακρὸν ἔχουσι. καὶ τὸ πότνι α· ἔστι δὲ καὶ Πότνιαι πόλις Βοιωτίας. καὶ ὄμπνι α , Πολύμνι α , Ἰάμνια πολίχνιον Φοινίκης, Στράβων δὲ κώμην φησίν (16, p. 759) «ἀπὸ Ἰάμνου ἢ ὅτι ἰάμνους ἐκάλουν τοὺς καθύγρους καὶ τεθηλότας τόπους». Λάμια πόλις Θεσσαλίας τῶν Μηλιέων, ὡς Πολύβιος, οἱ μὲν ἀπὸ Λάμου τοῦ Ἡρακλέους φασίν, οἱ δὲ ἀπὸ Λαμίας γυναικός, ἣ ἐβασίλευσε Τραχινίων· ἔστι καὶ ἄλλη Κιλικίας—προπαροξύνεται. Τὰ εἰς εια ἀπὸ τῶν εἰς ευς προπαροξύνεται, βασιλεύς βασίλεια, πολιεύς πολίεια, Πιτυεύς Πιτύεια, Ἀλαλκομενεύς Ἀλαλκομένεια, ἱερεύς ἱέρει α. τοῦτο δὲ οἱ Ἀττικοὶ ἐκτείνοντες τὸ α παροξύνουσι. ἀλλ’ οὐκέτι πανδόκει α , βασίλει α. * Τὰ διὰ τοῦ εια παρώνυμα κατὰ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα θηλυκὰ προπαροξύνονται, Πηνελόπη Πηνελόπεια, χαλκοβαρής χαλκοβάρεια, ἠριγενής ὁ ἐν τῷ ἀέρι γεννηθείς· —τὰ γὰρ τοιαῦτα εἰς πάθη ἀναλύονται καὶ οὐκ εἰς ἐνέργειαν οἷον Λυκηγενής ὁ ἐν Λυκίᾳ γεγεννημένος— ἠριγένει α.

3,1 249 οὕτω καὶ Τριτογένεια καὶ Ἀμφιγένεια πόλις Μεσσηνιακή. ἱππόδασυς ἱπποδάσεια καὶ ἀμφιδάσει α· τοῦτο δὲ οὐχ, ὡς οἴεται ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων, σύνθετόν ἐστιν ἀλλὰ παρασύνθετον. * Τὰ εἰς εια ἐπὶ πραγματείας ἤγουν συγγράμματος προπαροξύνεται οἷον Ὀδύσσει α , Ἡράκλει α , Τηλεγόνει α , Γιγάντει α , Διομήδει α , Δολώνει α. Ἔτι τὰ ἀπὸ τῶν εἰς υς βαρυτόνων προπαροξύνεται, ἥμισυς ἡμίσεια, θῆλυς θήλει α. τὰ μέντοι ἀπὸ ὀξυτόνων προπερισπῶνται, ταχύς ταχεῖα, βραδύς βραδεῖα, πλατύς πλατεῖ α. ἔστι δὲ καὶ Πλατεῖα νῆσος Λιβύης. τραχύς τραχεῖ α. λέγεται δὲ καὶ ἡ Ἰσαυρία τραχεῖα. Στράβων τεσσαρεσκαιδεκάτῃ (p. 668) «Κιλικίας δὲ τῆς ἔξω τοῦ Ταύρου ἡ μὲν λέγεται τραχεῖα, ἡ δὲ πεδιάς» καὶ ἡ Ἔφεσος Τρηχεῖα ἐκαλεῖτο. ὀξύς ὀξεῖ α. εἰσὶ δὲ καὶ Ὀξεῖαι νῆσοι τῶν Ἐχινάδων, ἃς θοὰς ὁ ποιητὴς εἶπεν (Od. o 299). πλὴν τοῦ λίγεια (ἔστι δὲ καὶ νῆσος) καὶ ἐλάχεια ἀπὸ τοῦ λιγύς καὶ ἐλαχύς, οἷς ἠκολούθησε καὶ τὸ θάλεια «δαῖτα θάλειαν» (H 475).

3,1 250 τὸ δὲ θαμειαί Πάμφιλος λέγει ὡς ὀξεῖαι, Ἀρίσταρχος δὲ ὡς πυκναί· ὁμοίως δὲ καὶ τὸ ταρφεια ί. Τὰ εἰς να συνεσταλμένον ἔχοντα τὸ α ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ σχηματιζόμενα προπαροξύνεται, μέλανος μέλαιν α· τὸ δὲ Μελαιναί πόλις Ἀρκαδίας ὀξύνεται· ἀπὸ Μελανέως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ Λυκάονος, ὡς Παυσανίας (8, 26, 8). Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ «Γόρτυν' Ἡραιάν τε πολυδρύμους τε Μελαινάς». εἰσὶ δὲ καὶ Λυκίας Μελαιναί πόλις, ὡς Ἀλέξανδρος Λυκιακοῖς. καὶ Καλλίμαχος Μελαινάς φησι Μελαινεῖς τὸν δῆμον τῆς Ἀντιοχίδος φυλῆς ἐν Ἑκάλῃ. τάλανος τάλαινα, Λάκων Λάκαινα, δράκων δράκαιν α , θεράπαιν α , θέαιν α , λέαιν α. Ἔτι τὰ εἰς ρα βραχὺ παρεσχηματισμένα, σωτήρ σώτειρ α. ἔστι καὶ πόλις Ἀριηνῶν Ἀντιόχου κτίσμα τοῦ Σελεύκου. μάκαρ μάκαιρ α , πρέσβειρ α , δότειρ α , ὀλέτειρ α , γενέτειρ α , εὐπάτειρ α , ἀντιάνειρ α , κυδιάνειρ α , κτεάνειρα, οὕτως καὶ Κάρ Κάειρ α. καὶ ἔδει μὲν διὰ τοῦ ι μακροῦ γράφεσθαι· Καῖρα καὶ ἐν διαλύσει Κάϊρα, ὡς Ἀπολλώνιος ἐν τῷ ε' περὶ παθῶν καὶ ἐν τῷ περὶ γενῶν. ἡ δὲ ἔκτασις ἀναγκαία διὰ τὴν παραλήγουσαν. τὰ γὰρ εἰς α βραχὺ λήγοντα παρασχηματιζόμενα ἐκτείνει τὴν παραλήγουσαν φύσει ἢ θέσει. καὶ ἔστιν ὅτε μετὰ τὴν διαίρεσιν ἔκτασις γίνεται, ὀΐομαι, ὄϊγον, ὄϊδα παρ' Αἰολεῦσιν ἀπὸ τοῦ οἶδα. ἡ χρῆσις δὲ τὴν ει δίφθογγον ἔχει πρὸς τὸν χαρακτῆρα τῶν διὰ τοῦ ειρα . τούτοις δὲ ἠκολούθησε καὶ τὸ πέπειρος πέπειρ α. Τὰ εἰς σα ὑπερδισύλλαβα παρεσχηματισμένα προπαροξύνεται, εἰ μὴ κατὰ συναλοιφὴν εἴη ἀπὸ ὀξυτόνων εἰς ης , δαφνήεσσ α , φωνήεσσ α , τιμήεσσ α , ἐρώεσσ α , χαρίεσσ α. Μάγνης Μάγνησσα παρὰ Καλλιμάχῳ, Μακέτης Μάκεσσα ἐπιθετικῶς, ὡς Ἡρακλείδης, καὶ Μάκεττα διὰ δύο ττ καὶ δι' ἑνὸς τ . τὸ δὲ τεχνῆσσα ἀπὸ τοῦ τεχνήεσσα. καὶ τὰ ἀπὸ ὀξυτόνων καὶ περισπωμένων εἰς ης , χερνής χερνῆσσα, ἀργῆς ἀργῆσσα καὶ Κρής Κρητός Κρῆσσα, θής θῆσσ α. οὕτω καὶ Θρᾷξ Θρᾷσσα καὶ Θρᾷττα Ἀττικῶς καὶ ἀπὸ Θρᾴκης δούλη καὶ εἶδος ἰχθύος καὶ ὀρνέου. Τὰ εἰς α βραχὺ ἀπαρασχημάτιστα διὰ διπλοῦ ἐκφερόμενα, εἰ μὲν δισύλλαβα εἴη καὶ μακρᾷ παραλήγει, προπερισπᾶται, μᾶζα μόνον ἐκτεῖνον τὸ πρὸ διπλοῦ α , ψῷζ α, εἰ δὲ βραχείᾳ παραλήγει, παροξύνεται, ῥίζ α , πέζ α , φύζ α , σχίζ α· ἔστι δὲ εἶδος ὀρνέου.

3,1 251 Σοφοκλῆς ἐν Ναυπλίῳ πυρκαεῖ «κάτω κρέμανται, σπίζα τέτατ' ἐν ἕρκεσι». ἄζ α , γάζα καὶ Γάζα πόλις Φοινίκης, νῦν δὲ Παλαιστίνης πρὸ τῆς Αἰγύπτου. ἐκλήθη καὶ Ἄζα. καὶ μέχρι νῦν Σύροι Ἄζαν αὐτὴν καλοῦσιν ἀπὸ Ἄζωνος τοῦ παιδὸς Ἡρακλέους. μυθολογοῦσι δέ τινες ὑπὸ Διὸς κτισθῆναι καὶ ἐν αὐτῇ ἀπολιπεῖν τὴν ἰδίαν γάζαν, οὕτω τῶν Περσῶν τὰ χρήματα καλούντων. μύζ α , κνύζ α, ὃ εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, συγκοπή ἐστιν οἷον «χαμαιζήλοιο κονύζης», εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω, ἀφ' οὗ κνύος ἡ φθορά οἷον «κατὰ κνύος ἔχευεν, ψίλωτο δὲ κάρηνα», γίνεται κνύζα ὡς παρὰ Ἀνακρέοντι «κνύζη τις ἤδη καὶ πέπειρα γίνομαι σὴν διὰ μαργοσύνην» (fr. 87 Bergk). δόξ α , Φρίξα πόλις Τριφυλίας ἀπὸ Φρίξου, ἐπ' ὄρους ὑψηλοῦ πρὸς ἕω τῆς Λεπρεατικῆς. Φερεκύδης δὲ Ἀρκαδίας αὐτὴν γράφει. Λίξα πόλις Λιβύης ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λιβυκῶν, ἀπὸ Λίξου ποταμοῦ. δίψ α , Κάψα πόλις Χαλκιδικῆς χώρας κατὰ Παλλήνην ὁμοροῦσα τῷ Θερμαίῳ κόλπῳ. Σάμψα κώμη τῆς Ἀραβίας. σάμψα δὲ παρὰ τοῖς Ἄραψι ὁ ἥλιος. Σκέμψα πόλις Θρᾴκης. Στρέψα πόλις Μακεδονίας. Τὰ δὲ ὑπερδισύλλαβα προπαροξύνεται, ὄρυζ α , τράπεζ α· ἔστι καὶ πόλις Ἀρκαδίας ἐγγὺς Τρικολώνων. ἀργυρόπεζ α , τετράπεζ α , χάλαζ α , Δούριζα λίμνη παρὰ τὸν Λίζαν ποταμόν. Ἑκαταῖος περιηγήσει Ἀσίας, «τῇ δὲ λίμνῃ Δούριζα οὔνομα». Βόρυζα πόλις Περσική, ὡς Ἑκαταῖος περιηγήσει Εὐρώπης· «μετὰ δὲ Βόρυζα πόλις Περσέων· μετὰ δὲ Θυνιάς». Ἀράβυζα τῆς Καυκωνίδος πόλις. Βάδιζα πόλις Βρεττίας. Πολύβιος τρισκαιδεκάτῳ. Βαρύγαζα ἐμπόριον Γεδρωσίας τῶν σφόδρα ἐπισήμων. Μίεζα θυγάτηρ Βέρητος τοῦ Μακεδόνος καὶ πόλις Μακεδονίας. Κάττουζα πόλις Θρᾴκης, ἐν ᾗ κατῴκουν οἱ Πυγμαῖοι. Θελάμουζα φρούριον τῆς παρ' Εὐφράτην Ἀραβίας. Τίριζα πόλις Παφλαγονίας. Τυρόδιζα πόλις Θρᾴκης μετὰ Σέρριον. Ἑλλάνικος δὲ Τυρόριζαν αὐτήν φησιν ἐν Περσικῶν δευτέρῳ. ἅμαξ α . Ἄμαξα χωρίον Βιθυνίας, ὡς Ἐρατοσθένης. Ἄραξα πόλις Λυκίας, ὡς Ἀλέξανδρος ἐν δευτέρῳ τῶν Λυκιακῶν. Δάραψα πόλις Βακτρίας, ὡς Στράβων (XI p. 516). Βαίσαμψα πόλις ἐν τῷ Ἀραβικῷ κόλπῳ περὶ τὴν Ἐρυθρὰν θάλασσαν, ὅ ἐστιν οἶκος ἡλίου. * Τὰ εἰς βα βαρύνεται, Ἄβα πόλις Καρίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 252 Ἄλβα πόλις Ἰταλίας, ἣν ἔκτισαν οἱ ἀπὸ τοῦ Λαυινίου Λατῖνοι, Τρῶες ὄντες. ἔστι δὲ ἡ Ἄλβα καθ’ Ἑλλάδα λευκή. κλίνεται δὲ Ἄλβας, ὡς Χάραξ. λέγεται καὶ Ἄλβη. Ὄλβα πόλις τῆς τῶν Σολύμων γῆς, ἣν Φίλων Ὀλβίαν Παμφυλίας φησίν. Ῥάβα πόλις πρὸς τῷ Ἰονίῳ κόλπῳ. Νόμβα πόλις τῆς Ἰουδαίας. Ἰώσηπος ἕκτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας (12, 1 et 4). Κύρβα πόλις Κρήτης ἡ ὕστερον Ἱεράπυτνα, Ὕβα δῆμος τῆς Λεοντίδος φυλῆς. τινὲς δὲ τὸν δῆμον Ὑβάδαι λέγουσι. Δόλβα πόλις τῆς Ἀδιαβηνῆς. Ἀρριανὸς γ′ Παρθικῶν. Γάβα πόλις Γαλιλαίας. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 2). Γάββα πόλις Συρίας. Θίβα μία τῶν Ἀμαζόνων ὑφ’ Ἡρακλέους ἀναιρεθεισῶν, ὅθεν ἐκλήθη Θιβαΐς τόπος πρὸς τῷ Πόντῳ. Ἄρυββ α . Ἀνάζαρβα πόλις Κιλικίας. Σίσυρβα Ἀμαζὼν καὶ ἀπ’ αὐτῆς μέρος Ἐφέσου. * Τὰ εἰς γα βαρύνεται, Σάλγα πόλις Μαυριτανίας. Ῥάγα πόλις ἐν Μηδίᾳ κτισθεῖσα ὑπὸ Σελεύκου τοῦ Νικάτορος. Φάλγα κώμη μέση Σελευκείας τῆς Πιερίας καὶ τῆς ἐν Μεσοποταμίᾳ. Ἀρριανὸς ἐν ι′ Παρθικῶν. ἡ δὲ φάλγα τῇ γλώσσῃ τῇ ἐπιχωρίῳ τὸ μέσον δηλοῖ. Σίγγα πόλις Λιβύης, ὡς Πολύβιος δεκάτῳ. ὀξύνεται δὲ τὸ Αἰγά τῆς Αἰολίδος ἄκρα, ὡς Στράβων (XIII p. 615) «οὕτω γὰρ καὶ τὸ ὄρος ὅλον ὠνομάζετο, ὃ νῦν Κάνην καὶ Κάνας λέγουσι· «λέγεται δὲ παρὰ Αἰγὰν ποταμὸν φερόμενον ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους. Ἀρτεμίδωρος δὲ Αἴξ εἶπε τὴν εὐθεῖαν, οὐκ ἀναλόγως. ἔστι δὲ καὶ πόλις Φοινίκων, ὡς Ἑκαταῖος. Αἰγαί δέ εἰσιν πόλεις πολλαί, Κιλικίας, Μακεδονίας, ἥτις καὶ μηλοβότειρα ἐλέγετο, καὶ ἡ ἐν Μυρίνῃ ἐν τῇ Αἰολίδι, καὶ Λυδίας καὶ Λοκρίδος καὶ Αἰτωλίας καὶ Εὐβοίας, ἃς Ὅμηρος ἐν τῷ Ν (v. 21) μνημονεύει. * Τὰ εἰς δα βαρύνεται, Σίνδα πόλις πρὸς τῷ μεγάλῳ κόλπῳ τῆς Ἰνδικῆς, Πέδα πόλις Αὐσονική, Σίβδα πόλις Καρίας, Γάδδα χωρίον Ἀραβίας. Γλαῦκος ἐν τετάρτῃ. λέγεται καὶ οὐδετέρως. Γίλδα πόλις Λιβύης. Τίνδα πόλις Λιβύης, ἣ καὶ Τίνδιον. Φράδα πόλις ἐν Δράγγαις, ἣν Ἀλέξανδρος Προφθασίαν μετωνόμασεν, ὡς Χάραξ ἐν ἕκτῳ χρονικῶν. Φοῦνδα πόλις Ἰταλίας. Λήδα Δωρικῶς λεγόμενον ἀντὶ τοῦ Λήδη.

3,1 253 δύναται δὲ καὶ προπερισπᾶσθαι κατὰ τὸ Μοῦσα. Καρύανδα πόλις καὶ λιμὴν ὁμώνυμος πλησίον Μύνδου καὶ Κῶ, ὡς Ἑκαταῖος. ἔστι δὲ καὶ οὐδέτερον. Ἴλερδα πόλις πρὸς τῇ Πυρήνῃ Ἰβηρίας. καὶ Ἀνδρομέδα Δώριον τροπῇ τοῦ η εἰς α πεποιημένον παροξυνόμενον. Τὰ εἰς θα ἔχοντα τὸ α βραχὺ βαρύνεται, μίνθα τὸ ἡδύοσμον, Ἔρθα πόλις Παρθίας ἐπὶ τῷ Εὐφράτῃ, ὡς Γλαῦκος ἐν Ἀραβικῶν δευτέρῳ. ἄκανθ α , κολόκυνθα ἡ Ἀττικῶς κολοκύντη. Λύκαιθα πόλις Ἀρκαδίας παρὰ Μενελάῳ, ἣν Θεόπομπος Λύκαιάν φησι. Κύπαιθα πόλις Λιβύης, Κύναιθα πόλις Ἀρκαδίας· ἔστι καὶ Κύναιθα πόλις Ἰθάκης ὑπὸ τῷ Νηρίτῳ ὄρει. Σύμαιθα πόλις Θετταλίας. Ζάκανθα πόλις Ἰβηρίας, ἣν καθεῖλεν Ἀννίβας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. Σάργανθα πόλις Ἰβηρίας. * Τὰ εἰς κα βαρύνεται, Ὄγκα ἡ Ἀθηνᾶ κατὰ Φοίνικας. Σάλμυκα πόλις πρὸς τὰς Ἡρακλείας στήλας. λέγεται καὶ Σαλμύκη. Ταύακα πόλις Σικελίας. Φίλιστος ὀγδόῳ. Ὄλοκα πόλις Μακεδονίας. Θεόπομπος πέμπτῳ Φιλιππικῶν. τὸ δὲ Ναυσικᾶ κατὰ πάθος ἐγένετο. Τὰ εἰς λα θηλυκὰ βαρύνεται, ψύλλ α· ἔστι καὶ χωρίον μεταξὺ Ἡρακλείας καὶ τοῦ Πόντου. Μένιππος ἐν περίπλῳ τοῦ Πόντου «ἀπὸ Κρηνίδων εἰς Ψύλλαν χωρίον στάδια κ′, ἀπὸ Ψύλλης χωρίου εἰς Τίον πόλιν καὶ ποταμὸν Βιλλαῖον στάδια π′». Σκύλλ α . Σίβυλλ α . ἅμιλλ α . ἄελλ α . παῦλα καὶ ἀνάπαυλ α . Βάλα πόλις τῆς Γαλιλαίας. Ἰώσηπος (Ant. Iud. 6, 6). Γέλα πόλις Σικελίας. καλεῖται δὲ ἀπὸ ποταμοῦ Γέλα, ὁ δὲ ποταμὸς ὅτι πολλὴν πάχνην γεννᾷ. ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Σικελῶν γέλαν λέγεσθαι. Πρόξενος δ’ ἐν πρώτῃ τῶν περὶ πόρων Σικελικῶν καὶ Ἑλλάνικος ἀπὸ Γέλωνος τοῦ Αἴτνης καὶ Ἱμέρου. Ἀρισταίνετος δ’ ἐν πρώτῃ τῶν περὶ Φασήλιδα, ὅτι Λάκιος καὶ Ἀντίφημος ἀδελφοὶ ἐλθόντες εἰς Δελφοὺς ἐμαντεύσαντο, τὴν δὲ Πυθίαν οὐδὲν περὶ ἐκείνων λέγουσαν προστάσσειν τὸν Λάκιον πρὸς ἀνατολὰς ἡλίου πλεῖν.

3,1 254 τοῦ δ’ Ἀντιφήμου γελάσαντος τὴν Πυθίαν εἰπεῖν πάλιν «ἐφ’ ἡλίου δυσμῶν» καὶ Γέλαν πόλιν οἰκίσαι. Φίλα πόλις Μακεδονίας, κτίσμα Δημητρίου τοῦ Ἀντιγόνου παιδός, τοῦ Γονατᾶ καλουμένου, ὃς ἀπὸ τῆς τούτου μητρὸς Φίλας ἐπὶ τοῦ Πηνειοῦ ἔκτισε πόλιν Φίλαν. ἔστι καὶ

νῆσος ἐν Αἰγύπτῳ. Ἡρόδοτος τετάρτῃ (c. 178) «ἐπὶ ποταμὸν τὸν μέγαν, ᾧ ὄνομα Τρίτων ἐστίν, ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα. ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φίλα». Σμίλα πόλις Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Σμίλα πόλις». Πόλα πόλις Ἰλλυρίας. Βῶλα πόλις Ἰταλίας. Νῶλα πόλις Αὐσόνων. Ἑκαταῖος Εὐρώπῃ. Νώλην δὲ αὐτὴν Πολύβιός φησι. Βάλλα πόλις Μακεδονίας. Τράλλα καὶ Πάλλα Ἀμαζόνες. πάλλα ἡ σφαῖρα. Ἕλλα χωρίον Ἀσίας, Ἀττάλου βασιλέως ἐμπόριον. Πολύβιος ις′. Πέλλα πόλις Μακεδονίας, Θεσσαλίας, Ἀχαΐας, κοίλης Συρίας ἡ Βοῦτις λεγομένη. ἡ δὲ Μακεδονίας πρότερον ἐκαλεῖτο καὶ Βουνόμεια ... ἐκλήθη δὲ ἀπὸ Πέλλα τοῦ κτίσαντος. ἔστι καὶ Πέλλα ὄρος Αἰθιοπίας. βδέλλ α . Κίλλα ἡ πόλις. κόλλ α . Νέγλα πολίχνιον Ἀραβίας. Γλαῦκος δευτέρῳ Ἀραβικῆς ἀρχαιολογίας. Ἀμφίμαλα πόλις Κρήτης, Ὑλλούαλα δῆμος Καρίας. Ἀπολλώνιος ε′ Καρικῶν «Κᾶρες δὲ τὸν τόπον ἐκεῖνον, ἔνθα Ὕλλος ἀπώλετο, Ὑλλούαλαν ὠνόμασαν καὶ ἕδος ἐνταῦθα ἐδείμαντο Ἀπόλλωνος. καὶ νῦν ἔτι παρὰ τὸν θεὸν δῆμός ἐστι Ὑλλούαλα λεγόμενος». ἄλα γὰρ οἱ Κᾶρες τὸν ἵππον ἔλεγον. Σκάβαλα χώρα Ἐρετριέων. Θεόπομπος εἰκοστῷ τετάρτῳ Φιλιππικῶν. Ῥέσαλα πόλις Ὀμβρικῶν. Μίσπιλα πόλις Μήδων. Ξενοφῶν τρίτῳ ἀναβάσεως (c. 4, 10). Ὀκρίκολα πόλις Τυρρηνῶν. Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Σατίκολα πόλις Ἰταλίας. Ἀπίολα πόλις Ἰταλίας. Κρόταλλα πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. Μάκαλλα πόλις Ἰταλίας. ἄμαλλ α . Βίτελλα πόλις Ἰταλίας. Ἄτελλα πόλις Ὀπικῶν Ἰταλίας μεταξὺ Καπύης καὶ Νεαπόλεως. Ἔντελλα πόλις Σικελίας. Ἔφορος ις′. Στύελλα φρούριον τῆς ἐν Σικελίᾳ Μεγαρίδος. Φίλιστος τετάρτῳ Σικελικῶν. Φρέγελλα πόλις Ἰταλίας. Σίκελλα κώμη Παλαιστίνης, ὡς Ἰώσηπος (A. I. I 6, 13, 9). θύελλ α , δίκελλ α , Μύριλλ α , Πράξιλλ α , Τελέσιλλ α , Κύδιλλ α , Κόριλλα πόλις Λατίνων. Διονύσιος τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Ἄκριλλα πόλις Σικελίας οὐ πόρρω Συρακουσῶν. Κορίολλα πόλις Ἰταλίας. Ἄβολλα πόλις Σικελίας. Ἄχολλα πόλις Λιβύης οὐ πόρρω τῶν Σύρτεων ἄποικος Μελιταίων. Ἄγυλλα πόλις Τυρρηνίας. Λυκόφρων (v. 1355) «Ἄγυλλαν Αὐσονῖτιν εἰσεκώμασεν».

3,1 255 Ἄνθυλλα ἀδελφὴ Μέμνονος, ἀφ' ἧς ἐν τῷ Νείλῳ πόλις ὁμώνυμος. Ἡρόδοτος δευτέρᾳ (c. 98) «Τουτέων δὲ ἡ μὲν Ἄνθυλλα ἐοῦσα λογίμη πόλις ἐς ὑποδήματα ἐξαίρετος». Ἴβυλλα πόλις Ταρτησσίας. Ἀρίστυλλ α , φθίνυλλ α . Ἔχετλα πόλις Σικελίας. ταῦτα μὲν οὖν προπαροξύνονται, παροξύνεται δὲ τὸ Μεσόλα πόλις Μεσσήνης, μία τῶν πέντε Νικόλαος τετάρτῳ. καὶ Ἱππόλα πόλις ἀρχαία Λακωνική. Παυσανίας τρίτῳ (c. 25, 9). καὶ Θυέλα πόλις Οἰνωτρίας, ἐν ᾗ μοῖρα Φωκαέων ᾤκησεν, ὡς Ἡρόδοτος πρώτῳ (c. 167). Βοΐλλαι πόλις Λατίνων. καὶ Βουκεφάλα πόλις Ἰνδικῆς, ἣν ἔκτισεν Ἀλέξανδρος «ἐπ' ἀμφοτέραις ταῖς ὄχθαις τοῦ Ὑδάσπου ποταμοῦ πόλεις ᾤκισε, Νίκαιαν—Βουκεφάλαν δὲ ἔνθα διαβάντος καὶ μαχομένου ἀπέθανεν αὐτοῦ ὁ ἵππος Βουκεφάλας λεγόμενος». καὶ Ἀΐλα κόλπος κατά τινας. Γλαῦκος δὲ κώμην αὐτὴν λέγει ἐν Ἀραβικῶν τρίτῳ «τὰ πρὸς ἕω τῆς Ἀΐλας κώμης». ὡσαύτως καὶ Φιλομήλα Δώριον τροπῇ τοῦ η εἰς α πεποιημένον. Τὰ εἰς μα θηλυκὰ σπάνια ὄντα βαρύνεται, τόλμ α , θέρμ α, Ἀττικῶς δὲ τόλμη καὶ θέρμη. ἔστι δὲ καὶ πόλις Θέρμ α, ἣ ὕστερον Θεσσαλονίκη ἐκαλεῖτο. Μέσμα πόλις Ἰταλίας. Ἀπολλόδωρος ἐν τρίτῳ χρονικῶν. Τὰ εἰς να μονογενῆ βαρύνεται, Κύννα ἡ πόρνη, ἔστι καὶ Κύννα πολίχνιον πλησίον Ἡρακλείας ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ἢ Κύννου τοῦ ἀδελφοῦ Κοίου.

3,1 256 Ἄννα πόλις Ἰουδαίας ὑπὲρ Ἱεριχοῦντα, γένν α , χλαῖν α· εἰ δέ τι ἄλλο εὑρεθείη, κατὰ διάλεκτον ἢ πάθος ἐγένετο ὡς τὸ Ἑλένα Ἑλένη, Ἀθηνάα Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ παρ' Ἑκαταίῳ. * Τὰ εἰς να δισύλλαβα βαρύνεται, πῖνα ἐπὶ τοῦ ὀστρέου, πεῖν α , Σπῖνα πόλις Ἰταλίας ὡς Εὔδοξος καὶ Ἀρτεμίδωρος. Κρῶμνα πόλις Παφλαγονίας «Κρῶμναν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους» (B 855) ἡ ὕστερον Ἄμαστρις, ἀπὸ Κρώμνου τοῦ Λυκάονος. ἔστι καὶ Πελοποννήσου πόλις ἀρσενικῶς καὶ θηλυκῶς καὶ ἑνικῶς καὶ πληθυντικῶς. Οἶνα πόλις Τυρρηνίας ἐχυρὰ λίαν. Φάνα πόλις Αἰτωλίας καὶ Φάναι πληθυντικῶς ἀκρωτήριον τῆς Χίου ἀπὸ τοῦ ἐκεῖθεν ἀναφανῆναι τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λητοῖ τὴν Δῆλον. Μάγνα νῆσος Λιβυκή. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν, ἣ κατὰ τὴν τῶν Λιβύων φωνὴν Σαμαθώ, ὅ ἐστι μεγάλη. Πύδνα πόλις Μακεδονίας. Θάμνα πόλις Παλαιστίνης. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἱστορίας (c. 10). Τάμνα πόλις Ἀραβική, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ. Σμύρνα πόλις Ἰωνίας ἀπὸ Σμύρνης Ἀμαζόνος κατεχούσης τὴν Ἔφεσον, ἣ καὶ Σμύρνα ἐκαλεῖτο ἀπ’ αὐτῆς. Σύρνα πόλις Καρίας. Ἄρνα πόλις Λυκίας. οὕτω γὰρ ἡ Ξάνθος ἐκαλεῖτο ἀπὸ Ἄρνου τοῦ καταπολεμήσαντος Πρωτόγονον. Πύτνα πόλις Κρήτης ἡ ὕστερον Ἱεράπυτνα. Ἔννα πόλις Σικελίας. Βέννα πόλις Θρᾴκης δι’ ἑνὸς ν καὶ διὰ δύο. καὶ ἡ γραφὴ διάφορος καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ε , ὅπερ κρεῖττον. ἔστι δὲ καὶ Βέννα μία φυλὴ τῶν ἐν Ἐφέσῳ πέντε. * Τὰ εἰς να ὑπερδισύλλαβα μετ’ ἐπιπλοκῆς συμφώνου προπαροξύνεται, μάραγνα ἡ μάστιξ, Ἄφιδνα δῆμος Ἀττικῆς καὶ Λεοντίδος φυλῆς ἀπὸ Ἀφίδνου αὐτόχθονος· ἔστι καὶ πληθυντικὸν Ἀφίδναι. ἔστι καὶ τῆς Λακωνικῆς, ὅθεν ἦσαν αἱ Λευκιππίδες Φοίβη καὶ Ἐλάειρα. Δάριδνα κώμη Παφλαγονίας, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ αὐτῆς. Κάλυδνα νῆσος καὶ πόλις Θήβης ἀπὸ Καλύδνου παιδὸς Οὐρανοῦ. λέγεται καὶ Κάλυδνος. Σώλιμνα πόλις Ἰνδίας. Ἄντεμνα πόλις Σαβίνων, μία τῶν ἀνθεστηκυιῶν Ῥωμύλῳ. Μήθυμνα ἡ Μάκαρος θυγάτηρ καὶ γυνὴ Λεπετύμνου καὶ πόλις ἐν Λέσβῳ τῇ νήσῳ ὁμωνύμως. Νώνυμνα πόλις Σικελίας. Κάλυμνα νῆσος, ἣν ὁ Σκήψιος πληθυντικῶς Καλύμνας φησί. Πρόσυμνα μοῖρα τοῦ Ἄργους. Πολύδαμν α . Ἀγάθυρνα πόλις Σικελίας, ὡς Πολύβιος ἐνάτῃ.

3,1 257 Ἁλίκυρνα κώμη Ἀκαρνανίας. Στράβων (X p. 459). Ἁλίσαρνα πόλις τῆς Τρωάδος χώρα. Θεόπομπος. Ἄταρνα πόλις μεταξὺ Μυσίας καὶ Λυδίας πλησίον Λέσβου. Μηκύβερνα πόλις Παλλήνης τῆς ἐν Θρᾴκῃ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ. Ἐλεύθερνα πόλις Κρήτης ἀφ’ ἑνὸς τῶν Κουρήτων. Κάλαρνα πόλις Μακεδονίας, ὡς Λούκιος ὁ Ταρραῖος. Σάμορν α· οὕτως ἡ Ἔφεσος ἐκαλεῖτο. Φαλάσαρνα πόλις Κρήτης. Μέντυρνα πόλις ἐν Ἰταλίᾳ Σαυνιτῶν. Διονύσιος ἑκκαιδεκάτῳ. Ἱεράπυτνα πόλις Κρήτης. * Τὰ εἰς ννα προπαροξύνεται, Φάλαννα πόλις Περραιβίας ἀπὸ Φαλάννης τῆς Τυροῦς θυγατρός. Λυκόφρων (v. 906) «Γόννον Φάλανναν ἠδ’ Ὀλοσσόνων γύας». Ἑκαταῖος ἱστοριῶν α′ Ἱππίαν αὐτὴν καλεῖ καὶ Ἔφορος Φάλαννον αὐτὴν καλεῖ ἐν τῷ θ′. ἔστι καὶ ἑτέρα Κρήτης. Ἔραννα πόλις Τριφυλίας, ἥτις Κυπαρισσία καλεῖται. Ῥάβεννα πόλις Ἰταλίας. Ἕρμιππος ὁ Βηρύτιος Ῥούενναν αὐτὴν καλεῖ. Διονύσιος δ’ ἐν ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας καὶ πληθυντικῶς καὶ διὰ τοῦ η καὶ δι’ ἑνὸς ν «ἀμφότεροι ἀπήντησαν Οὐολουμνίῳ περὶ τοὺς καλουμένους Ῥαβηνούς». Ὕτεννα πόλις Λυκίας. Φίλινν α , Ἤρινν α , Κόρινν α , Βίτινν α . Βούκιννα πόλις Σικελίας. Πέλιννα πόλις Θεσσαλίας ἐν τῇ Φθιώτιδι. κέκληται ἀπὸ Πελίννου τοῦ Οἰχαλέως. Ὤλιννα πόλις πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. τὸ δὲ Καπίννα Τυρρηνικὴ πόλις παροξύνεται. λέγεται καὶ πληθυντικῶς. Τόροννα πόλις Σικελίας. Φόρουννα πόλις Θρᾴκης. Πολύβιος ἐνάτῳ. Δίκτυνν α . Ἕρκυνν α. * Τὰ εἰς να ὑπερδισύλλαβα φωνήεντι παραληγόμενα προπαροξύνεται, Ἴχανα πολίχνιον τῆς Σικελίας, διὰ τὸ τῇ αὐτοῦ ἁλώσει πολλὰ προσλιπαρῆσαι τοὺς Συρακοσίους. ἰχανᾶν δὲ τὸ ἐπιθυμεῖν. Κάρανα πόλις Γαλατίας ὑπὸ Ῥωμαίων συνοικισθεῖσα. Κάρμανα νῆσος τῆς Ἰνδικῆς. Κάρνανα πόλις Μιναίων ἔθνους πλησίον Ἐρυθρᾶς θαλάσσης. Ἄμμανα πόλις Συρίας ἡ ὕστερον Ἀστάρτη. Μάργανα πόλις τῆς Ἰνδικῆς. ἔστι καὶ Μαργάναι πληθυντικῶς. τρίαιν α , μύραινα εἶδος θαλασσίου θηρίου. Ζύγαινα νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Μάζαινα πόλις Παλαιστίνης ἀπὸ Μαζαίνου. Δρύαινα πόλις Κιλικίας κτίσμα Δρυαίνου ὡς Σκύθαιν α , Κηρύκαιν α , Δύμαιν α. Εὐφορίων «δαίμων ἀντιάσαιτο φιλοπλοκάμοισι Δυμαίναις». Φίδηνα καὶ Φιδήνη πόλις Ἀλβανῶν. Σάλωνα πόλις Ἐρετρίας. Μόργυνα πόλις Σικελῶν. Φίλιστος δευτέρῳ. Τάμυνα πόλις Ἐρετρίας. Στράβων δεκάτῃ (p. 447). καὶ πληθυντικῶς «εἰς τὰς Ταμύνας» (Demosth. c. Boeot. p. 999, 8). ἄμυν α , εὔθυν α , χέλυν α , Κίκυν α , σίγυν α . Αἴγινα νῆσος μία τῶν Κυκλάδων, ἥτις Οἰνώνη ἐκαλεῖτο, ὕστερον δὲ Αἴγινα ἀπὸ τῆς Ἀσωποῦ μὲν θυγατρὸς Αἰγίνης, Αἰακοῦ δὲ μητρός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 258 Βέλβινα πόλις Λακωνική. Παυσανίας ὀγδόῳ (c. 35, 4). ἔστι καὶ νῆσος, ὡς Ἀρτεμίδωρος. Βέμβινα κώμη τῆς Νεμέας. Ἑλλάνικος δὲ Βέμβινον καὶ πόλιν φησίν. Βίλβινα πόλις Περσική. Μέλινα πόλις Ἄργους, ἀφ' ἧς Ἀφροδίτη Μελιναία τιμᾶται. Λυκόφρων «τὴν Καστνίαν δὲ καὶ Μελιναίαν θεόν» (v. 403). Μύρινα πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ τῆς Αἰολίδος ἄλλη. ἀπὸ Μυρίνης ἀμφότεραι ἢ Μυρίνου. Σάνινα πόλις ἐπὶ τῆς Ἐρυθρᾶς θαλάσσης. Κάρμινα νῆσος Ἰνδική. Ἄλινα νῆσος Λυκίας. Ἀρτεμίδωρος ἐν ἐπιτομῆς πρώτῳ. Κύτινα πόλις Θεσσαλίας, ὡς Θέων ἐν ὑπομνήματι Λυκόφρονος. Λάγινα πολίχνιον Καρίας. Ἀπολλώνιος Καρικῶν ἑκκαιδεκάτῳ. Ῥέσινα πόλις περὶ τὸν Ἄβορον ποταμόν. Ἀγύρινα πόλις Σικελίας. Διονύσιος δὲ τὸ Ἀγύριον ἔφη. Γαλάρινα πόλις Σικελίας κτίσμα Μόργου Σικελοῦ. Λάρινα πόλις Δαυνίων. Καμάρινα πόλις Σικελίας. καὶ λίμνη, ἀφ' ἧς ἡ παροιμία «μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων». Μαμάρκινα πόλις Αὐσονική. Ἅρπινα πόλις Ἤλιδος ἀπὸ Ἁρπίνης τῆς Ἀσωποῦ, ἀφ' ἧς καὶ Ἄρεος Οἰνόμαος. λέγεται καὶ Ὀλυμπία. Νικάνωρ. Σάλπινα ὄνομα κύριον. Μυκέρινα ὄνομα πόλεως. τὰ δὲ Ἰταλικὰ προπερισπῶνται, Σαβῖν α , Φαυστῖν α , Ἰουστῖν α , Κωνσταντῖν α , ἡμῖν α , Πλωτῖν α . Τερῖνα πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων. τινὲς δὲ νῆσον αὐτήν, εἰς ἣν ἐξεβράσθη Λίγεια ἡ Σειρήν, ὡς Λυκόφρων (v. 726) «Λίγεια δ' εἰς Τερῖναν ἐκναυσθλώσεται» Ἀκυλῖνα πόλις Ἰλλυρική. Θεόπομπος. Ταρρακῖνα πόλις Ἰταλίας. Διονύσιος ιε' Ῥωμαϊκῆς ἀρχαιολογίας. Τυρακῖναι πόλις Σικελίας μικρὰ μὲν εὐδαίμων δ' ὅμως. Τυράκην δὲ αὐτὴν Ἀλέξανδρος ἐν Εὐρώπῃ καλεῖ. * Τὰ εἰς πα σπάνια ὄντα βαρύνεται, Βόρσιππα πόλις Χαλδαίων. λέγεται καὶ οὐδετέρως. Μέταπα πόλις Ἀκαρνανίας. Πολύβιος πέμπτῳ. Ζαρίασπα καὶ Ζαριάσπη πόλις Βακτριανή. Στράβων ἑνδεκάτῃ (p. 514). Χάραξ δὲ οὐδετέρως τὰ Ζαρίασπα. Τὰ εἰς ρα μακρὸν μακρᾷ παραληγόμενα παροξύνεται ἀπὸ συμφώνου ἀρχόμενα, πήρα καὶ Πήρα πόλις Πισιδίας. χώρ α . Ξήρα πόλις περὶ τὰς Ἡρακλείας στήλας. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ. θήρ α . Θήρα νῆσος τῶν Σποράδων κτίσμα Μεμβλιάρου ἑνὸς τῶν μετὰ Κάδμου.

3,1 259 ἔστι καὶ Ῥόδου πόλις ταπεινή. καὶ Καρίας ἄλλη. καὶ Σογδιανῆς ἄλλη. χήρ α. πλὴν τοῦ φ διὰ τὸ Φηρά «Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον» (Il. I 151) τὰ δὲ ἀπὸ φωνήεντος ἀρχόμενα παροξύνεται, Ἥρ α , ὥρ α , ὀπώρ α. Τὰ εἰς ρα δισύλλαβα συνεσταλμένον ἔχοντα τὸ α βαρύνεται, σφαῖρ α , μοῖρ α , πεῖρ α , σφῦρ α . Βοῦρα πόλις Ἀχαΐας ἀπὸ Βούρας θυγατρὸς Ἴωνος τοῦ Ξούθου καὶ Ἑλίκης. Νῶρα πόλις ἐν Σαρδοῖ τῇ νήσῳ. Σῶρα πόλις Ἰταλίας. Σοῦρα μαντεῖον Λυκίας. τὰ δὲ μὴ συνεσταλμένον τὸ α ἔχοντα ὀξύνεται, ἱρά ἡ ἐκκλησία. τοῦτο δὲ διφορεῖται καὶ κατὰ τὴν ἐτυμολογίαν καὶ κατὰ τὴν γραφήν. εἰ μὲν γὰρ παρὰ τὸ εἴρω τὸ λέγω, διὰ διφθόγγου, εἰ δὲ ἀπὸ τοῦ ἱερὰν εἶναι διὰ τοῦ ι . σειρ ά , πυρ ά , οὐρ ά , φρουρ ά , πλευρ ά . Φαραί πόλις Μεσσήνης, ὅθεν ἦσαν οἱ Ἀφαρητιάδαι· ἔστι καὶ Ἀχαΐας. εἰσὶ καὶ Φαραί Βοιωτίας. ἔστι δὲ ἄλλη Κρήτης ἄποικος τῆς ἐν Μεσσήνῃ, ὡς Φίλων. ἀρά καὶ Ἀρά Ἀθάμαντος θυγάτηρ καὶ Ἀραί νῆσοι τρεῖς οὕτω λεγόμεναι διὰ τὰς ἀράς, ἃς Δωριεῖς ἐποιήσαντο πρὸς τοῦ Πενταπολίτας, ὡς Ἀριστείδης. Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς τὸ α βραχὺ ἔχοντα προπαροξύνεται, μάχαιρ α , χίμαιρ α , Δηϊάνειρ α , σκολόπενδρ α. * Τὰ εἰς αρα ὑπὲρ δύο συλλαβὰς παροξύνεται, Κυπάρα κρήνη Σικελίας, ἣ καὶ Ἀρέθουσα ἐλέγετο, Βατεράρα πόλις Λιγύων. Ἰνδάρα Σικανῶν πόλις. Θεόπομπος. Καμάρα πόλις Κρήτης, ἥτις Λατώ ἐλέγετο. Λιπάρα νῆσος μεγίστη τῶν ἑπτὰ τοῦ Αἰόλου, ἣ Μελιγουνὶς ἐλέγετο, πλησίον Σικελίας, ἀπὸ Λιπάρου τοῦ Αὔσονος υἱοῦ. λέγεται καὶ πληθυντικῶς. Μακκάραι χώρα ὑπὲρ Φάρσαλον. Θεόπομπος πέμπτῳ Φιλιππικῶν. * Τὰ εἰς ερα δισύλλαβα μακροκατάληκτα βαρύνεται, ἔρ α , Δέρα ὄνομα τόπου Λακωνικῆς, Μέρα ὄνομα πόλεως, δέρ α, τοῦτο δὲ παρὰ τῷ ποιητῇ διὰ τῆς ει διφθόγγου γράφεται καὶ ὀξύνεται. τὸ δὲ Φεραί πόλις Θεσσαλίας ὀξύνεται «οἵ τε Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην» (B 711).

3,1 260

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ Φέρητος τοῦ Κρηθέως ἢ Φερᾶς τῆς Αἰόλου θυγατρός. εἰσὶ καὶ ἄλλαι Φεραί ἀρχαῖαι τῶν νῦν Φερῶν ἀπέχουσαι στάδια ὀκτώ. εἰσὶ καὶ ἄλλαι Ἰαπυγίας καὶ Αἰτωλίας καὶ Παρθυαίων. Τὰ εἰς ρα μακροκατάληκτα τρισύλλαβα παραληγόμενα τῷ ε μονογενῆ βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη, ἡμέρ α , ἀσκέρα εἶδος ὑποδήματος, διφθέρ α , λακέρ α , χολέρ α , ἑσπέρ α , ὑπέρ α , ἀλέρ α , Τερμέρα Ὠγύγου μήτηρ, κυσέρ α , Θεσκέρα ἡ τιθηνὸς Διονύσου. Ἱμέρα πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ Λιβύης, μεθ’ ὧν καὶ Φιλωτέρα πόλις περὶ τὴν Τρωγλοδυτικήν, Σατύρου κτίσμα. Ἀπολλόδωρος δὲ Φιλωτερίδα καλεῖ. ἔστι καὶ κοίλης Συρίας Φιλωτέρα, ὡς Χάραξ ἐν ὀγδόῳ χρονικῶν. τινὲς δὲ καὶ Φιλωτερίαν αὐτὴν εἰρήκασιν. τὸ δὲ Γλυκερά ὀξύνεται, εἴτε κύριον εἴτε ἐπιθετικὸν εἴη ὡς καὶ Ἱερ ά· οὕτως γὰρ ἐκλήθη ἡ Τάρσος πόλις. καὶ τὸ περιστερὰ τετρασύλλαβον καὶ τὸ Ἐλευθεραί πληθυντικῶς λεγόμενον. ἔστι δὲ πόλις Βοιωτίας ἀπὸ Ἐλευθῆρος τοῦ Ἀπόλλωνος· ἔστι καὶ Κρήτης ἀπὸ Ἐλευθῆρος ἑνὸς τῶν Κουρήτων, ἥτις καὶ Σάωρος ἐκαλεῖτο ἀπὸ Σαώρης νύμφης. ἔστι καὶ ἄλλη ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ἐν τῷ Πόντῳ διὰ τὸ φυγόντας Αἰήτην τοὺς περὶ Ἰάσονα ἐκεῖ τοῦ φόβου ἐλευθερωθῆναι. ἔστι καὶ πόλις Λυκίας ἀπότινος νύμφης. * Τὰ εἰς ηρα ὑπερδισύλλαβα μονογενῆ παροξύνεται, μερμήρ α , Ὀτρήρ α , Δασλήρ α· ἔστι δὲ ὄνομα λίμνης, μενδήρ α. τὸ δὲ Αἱμηρά καὶ Λιμηρά ἐπιθετικά ἐστιν· οὕτως γὰρ ἐκαλεῖτο Ἐπίδαυρος, Αἱμηρά μὲν διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν τοῦ Ἀσκληπιοῦ ὑπὸ τῶν θυσιῶν, Λιμηρά δὲ οἱονεὶ λιμενηρά τις οὖσα. τινὲς δὲ Λιμηρὰν Λακωνικὴν λέγουσι μίαν τῶν ἑκατὸν διὰ τὸ πολλοὺς ἔχειν λιμένας. * Τὰ εἰς ρα δισύλλαβα μονογενῆ τῷ ο παραληγόμενα ὀξύνεται, σπορ ά , φθορ ά , δορ ά , φορ ά , Θορά δῆμος Ἀττικὸς τῆς Ἀκαμαντίδος φυλῆς, μεθ’ ὧν καὶ ἀγορά τρισύλλαβον. ἔστι δὲ καὶ πόλις ἐν Χερρονήσῳ. * Τὰ εἰς ρα δισύλλαβα τῷ υ παραληγόμενα βαρύνεται· καὶ τὸ μὲν σφῦρα ἐκτεῖνον τὸ υ καὶ συστέλλον τὸ α προπερισπᾶται, τὸ δὲ λύρα καὶ θύρα ἐκτείνοντα τὸ α καὶ συστέλλοντα τὸ υ παροξύνεται, ὡσαύτως καὶ Μύρα πόλις Λυκίας ἀπὸ μύρων ἢ ἀπὸ Μύρωνος ἢ ἀπὸ Μύρου ποταμοῦ παραρρέοντος· ἄμεινον δὲ τὸ πρῶτον.

3,1 261 λέγεται καὶ οὐδετέρως. ὡσαύτως καὶ Ψύρα νῆσος μικρὰ πλησίον Χίου, ἣν ὁ ποιητὴς Ψυρίαν καλεῖ «νήσου ἐπὶ Ψυρίης» (Od. γ 171). τὸ δὲ Κύρα ἡ κρήνη ἐκτεῖνον τὸ υ καὶ τὸ α διὰ τοῦ η ἐξηνέχθη Κύρη. σεσημείωται τὸ πυρά ὀξυνόμενον. τὸ δὲ (Od. δ 500) Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσεν, πέτρῃσιν μεγάλῃσι εἰ καὶ ἰδίως λέγεται, ἀλλ’ ὅμως ἔχει τάξιν ἐπιθετικήν. Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς τῷ υ παραληγόμενα βαρύνεται. ἀλλ’ εἰ μὲν ἔχωσι τὸ α μακρόν, παροξύνεται, πορφύρ α . Ἐφύρα πόλις Ἠπείρου ἀπὸ Ἐφύρου τοῦ Ἄμβρακος τοῦ Θεσπρωτοῦ τοῦ Πελασγοῦ τοῦ γηγενοῦς τοῦ Ἀρκάδος. δευτέρα περὶ Ἦλιν. ἦν δὲ αὕτη μεταξὺ Πύλου καὶ Ἤλιδος, ὡς Παρμενίσκος φησίν. Ὅμηρος δὲ τὸ Ἐφύρη ἐπὶ τῆς Κορίνθου ἔφη. οὕτως δὲ ἐκαλεῖτο ἀπὸ Ἐφύρας τῆς Μύρμηκος τῆς Ἐπιμηθέως γυναικός. ἔστι καὶ ἄλλη Ἐφύρη Κράννουν λεγομένη, ὥς φησι Κινέας ὁ ῥήτωρ καὶ Ἐπαφρόδιτος. καὶ νῆσος οὐ μακρὰν ἀπέχουσα Μήλου. ἔστι καὶ Ἰταλίας κατὰ Καμπανίαν. ἔστι καὶ κώμη Αἰτωλίας Ἐφύρ α . κολλύρ α , Ζεφύρ α , Φιλύρ α , Κιβύρα πόλις πρὸς νότον Μαιάνδρου. Ἀντικύρα πόλεις δύο ἡ μία Φωκίδος, ὡς Δημήτριος ὁ Καλλατιανός, ἡ δὲ ἐν Μαλιεῦσιν, ὡς Ἀπολλόδωρος. Τεγύρα πόλις Βοιωτίας, Σῆμος ὁ Δήλιος «τὴν Ἀπόλλωνος γένεσιν οἱ μὲν ἐν Λυκίᾳ, οἱ δ’ ἐν Δήλῳ, οἱ δ’ ἐν Ζωστῆρι τῆς Ἀττικῆς, οἱ δὲ ἐν Τεγύρᾳ τῆς Βοιωτίας φασίν». Καλλισθένης ἐν τρίτῳ τῶν Ἑλληνικῶν «ἔστι μαντεῖα τὸ μὲν Ἰσμήνιον ἐν Θήβαις, τὸ δὲ Τροφωνίου ἐν Λεβαδείᾳ, τὸ δὲ ἐν Ἄβαις λεγόμενον ἐν Φωκεῦσιν, τὸ δὲ κυριώτερον ἐν Δελφοῖς, ὃ καὶ μάλιστά φασι μεμαρτυρηκέναι τὴν ἐν Τεγύρᾳ». σισύρ α· εἰ δὲ βραχύ, προπαροξύνεται, Κέρκυρα νῆσος. ἀμφιβόλως ἔχει ἡ τῆς νήσου γραφή. λέγεται γὰρ καὶ διὰ τοῦ ο Κόρκυρα, ἑτέρα δὲ Κέρκυρα ἐντὸς τοῦ Ἰονίου διὰ τοῦ ο μάλιστα λεγομένη Κόρκυρα ἡ καὶ Μέλαινα καλουμένη. ἄγκυρ α. ἔστι καὶ πόλις Γαλατίας. Ἀπολλώνιος ἐν ἑπτακαιδεκάτῃ Καρικῶν ἱστορεῖ Μιθριδάτη καὶ

Ἀριοβαρζάνῃ νεήλυδας τοὺς Γαλάτας συμμαχήσαντας διῶξαι τοὺς ὑπὸ Πτολεμαίου σταλέντας Αἰγυπτίους ἄχρι θαλάσσης καὶ λαβεῖν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν, καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν λαβόντας χώραν κτίσαι καὶ ὀνομάσαι οὕτως. γέφυρ α. ἔστι καὶ πόλις Βοιωτίας, τινὲς δὲ τοὺς αὐτοὺς εἶναι καὶ Ταναγραίους φασίν, ὡς Ἑκαταῖος καὶ Στράβων (XI p.
3,1 262 404). Τέντυρα, πόλις Αἰγύπτου, ὡς Ἀλέξανδρος ἐν τρίτῳ Αἰγυπτιακῶν. λέγεται καὶ Τέντυρις. Τίμυρα πόλις περὶ Ἰσαυρίαν. ὄλυρ α . γόργυρα καὶ Γόργυρα τόπος ἐν Σάμῳ, ὡς ἱστορεῖ Δοῦρις, Θεμίσκυρα πόλις, ἥ ἐστιν ἀντίον Θερμώδοντος, καὶ ἡ χώρα. Ἴμυρα πόλις Φοινίκης. Κόσσυρα Λιβύης νῆσος, Λάμυρα πόλις Λυκίας. Λίμυρα πόλις Λυκίας ἀπὸ Λιμύρου ποταμοῦ. Πάλμυρα φρούριον Συρίας. τὸ δὲ Γλαφυρά ὀξύνεται, εἴτε ὄνομα πόλεως εἴη εἴτε ἐπιθετικόν. ἔστι δὲ πόλις Θεσσαλίας. Ὅμηρος «Βοίβην καὶ Γλαφυράς» (Il. B 712). ἔστι δὲ καὶ κώμη Κιλικίας Γλαφυραί. Τὰ εἰς ρα μακρὸν τῷ ω παραληγόμενα βαρύνεται, χώρ α , ψώρ α , ὥρ α , ὤρ α, μεθ' ὧν καὶ πρῷρ α, εἰ καὶ συστέλλει τὸ α . Τὰ εἰς ρα ἁπλᾶ μονογενῆ τρισύλλαβα παραληγόμενα τῷ ω ἀπὸ φύσει μακρᾶς ἢ βραχείας ἀρχόμενα βαρύνεται, Φαλώρα ὄνομα πόλεως, πληθώρ α , ληθώρ α , ὀπώρ α , αἰώρ α , ψοθώρ α . Ἀώρα ἢ Σαώρα νύμφη, ἀφ' ἧς Ἄωρος ἢ Σάωρος πόλις Κρήτης μετονομασθεῖσα Ἐλευθεραί. εἰ δὲ ἀπὸ θέσει μακρᾶς, ὀξύνεται, θαλπωρ ά , ἐλπωρ ά. τὸ δὲ πανδώρα σύνθετον ὂν παροξύνεται ὡς καὶ τὸ Πολυδώρα τετρασύλλαβον· ἔστι δὲ νῆσος ἐν τῇ Κυζίκῳ. * Τὰ διὰ τοῦ αιρα δισύλλαβα βραχυκατάληκτα προπερισπᾶται, σφαῖρ α , αἶρ α , Δαῖρ α. τὸ δὲ Αἰραί ὀξύνεται· ἔστι δὲ πόλις Μακεδονίας καὶ ἄλλη Ἰωνίας. ἔστι καὶ παρὰ Ἑλλησπόντῳ. * Τὰ διὰ τοῦ αιρα ὑπερδισύλλαβα προπαροξύνεται, μάχαιρ α , χίμαιρ α , Ἄπαιρα ὄνομα τόπου. * Τὰ διὰ τοῦ αυρα δισύλλαβα μακροκατάληκτα παροξύνεται, σαύρ α , αὔρ α , λαύρ α. τὸ δὲ Σαῦρα πόλις Σαυνιτῶν βραχυκατάληκτον προπερισπᾶται. * Τὰ διὰ τοῦ ειρα δισύλλαβα βραχυκατάληκτα προπερισπᾶται, πεῖρ α , σπεῖρ α , στεῖρα ἡ μὴ τίκτουσα καὶ τὸ μέρος τῆς νεώς, ζεῖρα εἶδος χιτῶνος, οἱ δὲ ζώνης.

3,1 263 * Τὰ εἰς ρα τῇ ει διφθόγγῳ ἢ ι μακρῷ παραληγόμενα δισύλλαβα ὀξύνεται, εἱρά ἢ ἱρά ἡ ἐκκλησία ὡσαύτως καὶ Ἰρά ὄρος Μεσσήνης. Ῥιανὸς ἐν Μεσσηνιακῶν πρώτῳ. ἔστι καὶ πόλις Μαλιέων καὶ Λέσβου. καὶ ἡ παρ' Ὁμήρῳ «Καρδαμύλην τ' Ἐνόπην τε καὶ Ἱρήν» (ι 150). εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα ὡς ἐπὶ τοῦ «Ῥίπην τε Στρατίην τε» (Il. B 606), «Ὄρθην» (ibid. 739). ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει καὶ ἐπὶ τῶν εἰς ος . καὶ πάλιν ὡς ἐπ' ἐκείνων ἐλέγομέν τινα ὁμοτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων· καί ἐστιν ὁρίσασθαι τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων Πινυτή «μήτηρ πινυτή» (Od. υ 131). Ἀγαυή. οὕτως καὶ Ἰρή. σειρ ά , δειρ ά , πειρ ά. Τὰ διὰ τοῦ ειρα ὑπὲρ δύο συλλαβὰς προπαροξύνονται, ἀγρώτειρ α , Δηϊάνειρ α , Θυάτειρ α , Σάπφειρ α , ἔθειρ α , Σάμψειρα πόλις Αἰγύπτου, Ταύχειρα πόλις Λιβύης ἀπὸ Ταυχείρας τῆς Ἀντάνδρου θυγατρός. θηλυκῶς καὶ οὐδετέρως ὡς Στάγειρα. Αἴγειρα πόλις Ἀχαΐας, ἣν Ὅμηρος Ὑπερησίην φησίν. τὸ δὲ ὄνομα τὸ νῦν, ὥς φησιν Παυσανίας ἑβδόμῳ (c. 2, 6), ἐγένετο ἐπ' αἰτίᾳ τοιᾷδε. Σικυωνίων στρατὸς ἀφίξεσθαι ἔμελλεν αὐτοῖς· οἱ δὲ ἀθροίζουσιν αἶγας καὶ πρὸς τοῖς κέρασιν ἔδησαν δᾷδας καὶ ἐξάπτουσι διὰ τῆς νυκτός· νομίσαντες οὖν τὴν φλόγα τοῦ ἐπικουρικοῦ πυρὸς ἔφυγον, Ὑπερησιεῖς δὲ Αἴγειραν τὴν πόλιν ὠνόμασαν. ἔνιοι δὲ ἀπὸ Αἰγιαλέως τὴν χώραν Αἰγιαλόν φασι τό τε Αἴγιον καὶ ἔτι Αἴγειραν. Ἀγρόειρα ἢ Ἀλλόειρα ἡ ὕστερον Ἀττάλεια καλουμένη πόλις Λυδίας. Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς βραχὺ ἔχοντα τὸ α καὶ πρὸ τέλους ἔχοντα ου προπαροξύνεται, ἄρουρ α , Ἄργουρα πόλις Θεσσαλίας ἡ πρότερον Ἄργισσα. ἔστι καὶ τόπος τῆς Εὐβοίας Ἄργουρα, ὅπου δοκεῖ τὸν Πανόπτην Ἑρμῆς πεφονευκέναι. μέμνηται Δημοσθένης λέγων «ἐξ Ἀργούρας τῆς Εὐβοίας». Κυνόσουρα ἐπὶ τῆς ἄρκτου οἳ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσιν (Arat. Phaen. 36). καὶ ἐπὶ τῇ Λακωνικῇ φυλακῇ καὶ ἄκρα Μαραθῶνος οὕτως καλεῖται. ἔστι δὲ καὶ ἄκρα Ἀρκαδίας. Κόλουρ α· ἔστι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλεως ὄνομα ὡς Ἑκαταίῳ «δοκέω δὲ μάλιστα παρὰ Κόλουραν, ἵνα Πριηνέες ἕζοντο». Ἴουρ α· μέμνηται Μνασέας.

3,1 264 Ὄλουρ α· μέμνηται Ἐρατοσθένης. Αἴβουρα πόλις Ἰβηρίας ὡς Στράβων (3 p. 140). Παναίουρα πόλις Ἰνδικὴ περὶ τὸν Ἰνδὸν ποταμόν. Χέρρουρα πόλις Λιβύης, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ «ἔχεται χερρόνησος ὄνομα Χέρρουρα». Κύνουρα πόλις Ἄργους ἀπὸ Κινούρου παιδὸς Περσέως. Παυσανίας τρίτῳ (c. 2, 2). Λυκόσουρα πόλις Ἀρκαδίας ἐπὶ τῷ Λυκείῳ ὄρει. Ῥινοκόρουρα πόλις Αἰγύπτου «ἀπὸ τῶν εἰσῳκισμένων ἐκεῖ τὸ παλαιὸν ἀνθρώπων τὰς ῥῖνας ἀκρωτηριασμένων οὕτω καλουμένη». Βαλβέρουρ α· οὕτως τινὲς Ἰνδικὴν πόλιν Ἰβηρίας φασίν, μεθ' ὧν καὶ δίφουρα ἡ γέφυρα. Τὰ εἰς ρα μονογενῆ μετ' ἐπιπλοκῆς συμφώνου παροξύνεται καὶ μακρὸν ἔχει τὸ α , ὕδρ α· ἔστι καὶ νῆσος Λιβύης περὶ Καρχηδόνα, ὡς Ἔφορος πέμπτῳ. πέτρ α· ἔστι καὶ πόλις Παλαιστίνης. λέπρ α , ῥήτρα ἡ συνθήκη «ἀλλά γε νῦν ῥήτρην ποιησόμεθα» (ξ 393). φαρέτρ α , γάστρ α , μήτρ α , φρήτρ α , φράτρα καὶ φάτρ α , μίτρα ἡ ζώνη· Ὅμηρος «μίτρης θ' ἣν ἐφόρειν» (Δ 137), λίτρ α , χύτρ α , αἴθρ α , ξύστρ α , μύστρ α , ποτίστρ α , κολυμβήθρ α , Ἠλέκτρ α , καλύπτρ α , χαράδρ α· ἔστι καὶ πόλις Φωκίδος οὐ πόρρω Λιλαίας. Ἄρρα πόλις Ἰλλυρική. Ἄτραι πόλις μεταξὺ Εὐφράτου καὶ Πίγρητος. Ἀρριανὸς ἑπτακαιδεκάτῳ Παρθικῶν. Ἔγρα πόλις Ἀραβίας πρὸς Ἀϊλανίτῃ κόλπῳ. Βόστρα πόλις Ἀραβίας. λέγεται καὶ οὐδετέρως. Θύμβρα πόλις Τρωάδος Δαρδάνου κτίσμα ἀπὸ Θύμβρου φίλου αὐτοῦ. Γάγγρα πόλις Παφλαγονίας. Ἀλέξανδρος ἐν τῷ περὶ Παφλαγονίας «Νικόστρατός φησιν αἰπόλον νέμειν περὶ τοὺς τόπους αἶγας. μίαν δὲ χωριζομένην ἰδών, ἀπορῶν ὁ αἰπόλος, ὅτι ἐν μὲν τῷ οἴκῳ ἐνδεᾶ εὕρισκεν, ἐπὶ τῆς νομῆς δὲ πλήρη, ὡμολόγησε τῷ δεσπότῃ. ὁ δ' ἔφη ἐπιτηρῆσαι τὴν χωριζομένην. ἐπιτηρήσας οὖν εἶδεν ἐπί τινα ὑψηλὸν ὄχθον ἀναβαίνουσαν καὶ πρός τινα ἀπρόσβατον πέτραν πορευομένην, καὶ κάτωθεν ἐρίφων βληχὴν ἤκουσεν· ἐκεῖ συμβέβηκεν ἐντετοκέναι τὴν αἶγα. ἰδὼν οὖν ἐπιτήδειον τόπον πόλιν ἔκτισε καὶ Γάγγραν ὠνόμασεν, ὅτι τοῦτο ἦν ὄνομα τῇ αἰγί». Ἐρατοσθένης δὲ οὐδετέρως τὰ Γάγγρα φησίν. ἔστι καὶ Ἀραβίας τῆς εὐδαίμονος Γάγγρα. Γάδρα πόλις Παλαιστίνης. Πάτρα ἓν τῶν τριῶν παρ' Ἕλλησι κοινωνίας εἰδῶν, ὡς Δικαίαρχος. Πάτραι πόλις Ἀχαΐας ἀπό τινος Πατρέως. ἕδρ α . Γέρρα πόλις Χαλδαίων. Ἄγρα καὶ Ἄγραι χωρίον, ἑνικῶς καὶ πληθυντικῶς.

3,1 265 ἔστι δὲ τῆς Ἀττικῆς πρὸ τῆς πόλεως, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἐπιτελεῖται, μίμημα τῶν περὶ τὸν Διόνυσον, ἐν ᾧ λέγουσι καὶ τὸν Ἡρακλέα μεμυῆσθαι. ἄκρ α· ἔστι καὶ Ἄκρα Ἰαπυγίας πόλις κατά τινας Ὑδροῦς λεγομένη. β' ἔστι καὶ ἑτέρα ἐν αὐτῇ ἔχουσα λιμένα Βρεντέσιον. ἔστι δὲ Ἰταλίας. γ' Σικελίας. ἔστι Συρακοσίων κτίσμα. δ' Εὐβοίας. ς' Σκυθίας. ζ' Κύπρου. η' Ἀκαρνανίας. ἔστι καὶ πέραν Τίγρητος Ἄκρα. Ἀρριανὸς ἑκκαιδεκάτῃ. Φλέγρα πόλις Θρᾴκης, ἣν Εὔδοξος μετὰ ταῦτα Παλλήνην φησὶ κληθῆναι. Σέρρα ἀκρωτήριον Θρᾴκης, ὃ καὶ Σέρρειον λέγεται, Κάρραι πόλις Μεσοποταμίας ἀπὸ Καρρᾶ ποταμοῦ Συρίας. ἔστι καὶ πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Σίρρα πόλις Θρᾴκης. Θεόπομπος ἐν Φιλιππικῶν εἰκοστῷ. Σκύδρα Μακεδονικὴ πόλις. Τάρρα Λυδίας πόλις. ἑτέρα Κρήτης, ἐν ᾗ Ταρραῖος Ἀπόλλων τιμᾶται. ἔστι καὶ ἄλλη πόλις Τάρρα παρὰ τὸν Καύκασον, Κρητῶν ἄποικος. Ἀχέρραι πόλις μεταξὺ τοῦ Πάδου καὶ τῶν Ἄλπεων. Ἀντίφρα πολίχνιον Ἀλεξανδρείας ἐγγύς. Γαλάδραι πόλις Μακεδονίας ἐν Πιερίᾳ. Λυκόφρων (v. 1444) «σῆναι Γαλάδρας τὸν στρατήλατον λύκον» ἀπὸ Γαλάδρου τοῦ Ἠμαθίου παιδός. οἱ δὲ ὅτι ὁ Γαλάδρας ἔκτισε τὴν πόλιν. Γεράνθραι πόλις Λακωνικῆς. Παυσανίας τρίτῳ (c. 2, 6). Ἐχέτρα πόλις Ἰταλίας. Κελαίθρα πόλις Βοιωτίας. Φαλάκραι ἄκρα τῆς Ἴδης, ἥτις οὐκ ἔχει ζῶν φυτὸν διὰ τὴν χιόνα καὶ τὸν κρύσταλλον, ἀλλ' ἐψίλωται. καὶ πάντα τὰ ἐψιλωμένα ὄρη ἐλέγετο Φαλάκραι. Ἱππουάκρα πόλις Λιβύης. Σωσάνδρα νῆσος περὶ Κρήτην. ἐκλήθη δέ, ἐπειδή ποτε καὶ Λυττίων νύκτωρ ἐπελθόντων τῇ πόλει διασῶσαι λέγεται τοὺς εἰς αὐτὴν φυγόντας. Χαλάστρα πόλις Θρᾴκης περὶ τὸν Θερμαῖον κόλπον. Ἑκαταῖος Εὐρώπῃ «ἐν δ' αὐτῷ Θέρμη πόλις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑλλήνων, ἐν δὲ Χαλάστρη πόλις Θρηΐκων». ὠνόμασται δὲ ἀπὸ Χαλάστρης. ἔστι καὶ λίμνη τῇ πόλει ὁμώνυμος. Στράβων δ' ἐν ἑβδόμῃ (p. 330) Μακεδονίας αὐτὴν καλεῖ. σεσημείωται τὸ Τάναγρα πόλις Βοιωτίας, ἣν Ὅμηρος Γραῖαν καλεῖ διὰ τὸ πλησίον εἶναι (B 498) καὶ σκολόπενδρα προπαροξυνόμενα καὶ συστέλλοντα τὸ α . τὸ δὲ Ἐρυθρά ἡ θάλασσά ἐστιν ἐπιθετικόν. ἔστι δὲ καὶ ἄκρα Ἐρυθρά τῆς Λιβύης. ὡς Ἀρτεμίδωρος ἑβδόμῃ γεωγραφουμένων. καὶ Ἐρυθραί πόλις Ἰώνων. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ Λιβύης ἄλλη καὶ ἄλλη Λοκρίδος. ἔστι καὶ Βοιωτίας καὶ Κύπρου ἄλλη ἡ νῦν Πάφος. τὸ δὲ Φαίδρα κύριον συνεξωμοιώθη τῷ Φαῖδρος ἀρσενικῷ· ὡσαύτως καὶ Πύρρα πόλις ἐν Λέσβῳ· ἔστι καὶ κώμη Λιγυστικῆς.

3,1 266 βαρύνεται δὲ καὶ Κύδραι πόλις Βρυγῶν. Στράβων ἑβδόμῃ (p. 327), καὶ Μάκρα νῆσος Λυκίας, ὡς Ἀλέξανδρος ἐν περίπλῳ αὐτῆς. Τὰ εἰς σα δισύλλαβα βαρύνεται, αἶσ α· ἔστι καὶ Αἶσα πόλις Θρᾴκης προσεχὴς τῇ Παλλήνῃ. μοῦσα μόνον δισύλλαβον τῇ ου διφθόγγῳ παραληγόμενον ὁμοίως ἐν χρήσει τῇ τῶν παλαιῶν καὶ τῇ κοινῇ συνηθείᾳ. τὸ γὰρ Δοῦσα κύριον καθ' ἱστορίαν ἐστὶ λεγόμενον ἥ τε Χοῦσα πόλις Αἰγυπτίων. πεῖσα ἡ πειθώ, μεθ' ὧν γλῶσσ α , πίσσ α , νύσσα ὁ καμπτήρ. Φαῖσ α , δεῖσα ἡ ὑγρασία. Τῖσ α , Κρῖσα πόλις Φωκίδος. Ἑκαταῖος Εὐρώπῃ ἀπὸ Κρίσου Φώκου υἱοῦ. Ὅμηρος «Κρῖσάν τε ζαθέην» (B 520). ἔστι δὲ ἡ αὐτὴ τῇ Κίρρᾳ. γίνεται γὰρ ὑπερθέσει Κίρσα καὶ ἀντιθέσει τοῦ ς εἰς ρ Κίρρα ὡς χερσόνησος χερρόνησος. εἰσὶ καὶ ἄλλαι Κρῖσαι. ἔστι καὶ Αἰολίδος Κρῖσα. κνῖσ α. γίνεται δὲ ἀπὸ μέλλοντος τοῦ κνίζω κνίσω· ὥσπερ γὰρ παρὰ τὸ πρῶ πρίζω, τρῶ τρίζω, οὕτω καὶ κνῶ κνίζω τὸ ἐπιπολῆς καὶ ἰσχνῶς καταξύω· διὸ καὶ δι' ἑνός τε γράφεται ς καὶ ἔκτασιν ἔλαβε τοῦ ι . δηλοῖ δὲ ἡ κνῖσα τὴν κατ' ὀλίγον ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀσφρήσει προσίζουσαν. προσαγορεύεται δὲ καὶ ἐπίπλους εὖ μάλα καὶ αὐτὸς εὐανάδοτος ὢν πρὸς ὄσφρησιν, οὐκ αὐτοτελὴς δὲ περιτεθειμένος τοῖς μηρίοις. Πῖσα πόλις καὶ κρήνη τῆς Ὀλυμπίας. ἔστι καὶ χωρίον, ἐν ᾧ τοῦ Διὸς ναὸς ἵδρυται καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν ἐπιτελεῖται. παρὰ τὸν πίσω μέλλοντα, οὗ ἡ χρῆσις παρὰ Πινδάρῳ. Πίνδαρος δὲ κατὰ συστολὴν τὴν πόλιν εἶπε Πίσαν. Βῖσα πόλις Θρᾴκης. Βρῖσα ἄκρα Λέσβου, ἐν ᾗ ἵδρυται Διόνυσος Βρισαῖος. Νῖσα ἡ πόλις. Νῦσα πόλεις πολλαί, ἐν Ἑλικῶνι, ἐν Θρᾴκῃ, ἐν Καρίᾳ, ἐν Ἀραβίᾳ, ἐν Αἰγύπτῳ, ἐν Νάξῳ, ἐν Ἰνδοῖς, ἐπὶ τοῦ Καυκάσου ὄρους, ἐν Εὐβοίᾳ. φῦσ α , βῆσσα καὶ Βῆσα πόλις Λοκρῶν δι' ἑνὸς ς , Ἀπολλόδωρος δὲ καὶ Ἐπαφρόδιτος καὶ Ἡρακλέων διὰ δύο «Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινάς» (B 532). ὠνομάσθη δὲ ἀπὸ τῆς τοῦ τόπου φύσεως ναπώδους οὔσης. Κρῆσσα πόλις Παφλαγονίας, ἣν Μηριόνης μετὰ Τροίαν ἔκτισε, Ζηΐλας δὲ εἷλεν ὁ Νικομήδους υἱός.

3,1 267 Δημοσθένης. Ἴσσα πόλις ἐν Λέσβῳ ἀπὸ Ἴσσης τῆς Μάκαρος, ἔστι καὶ νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ Δαλματίαν καὶ Ἰλλυρίαν. Τίσσα χωρίον Σικελίας. Φίλιστος ἐνάτῳ. κίσσ α , λύσσ α , ὅσσ α , κρόσσα · ἔστι καὶ πόλις πρὸς τῷ Πόντῳ. Ἑκαταῖος Ἀσίᾳ. Κόσσα πόλις Οἰνωτρῶν ἐν τῷ μεσογείῳ. Ἑκαταῖος Εὐρώπῃ. Πάσσα πόλις Θρᾴκης. Ἄσσα πόλις πρὸς τῷ Ἄθῳ. Ἡρόδοτος ἑβδόμῃ (c. 122). ἔστι καὶ κώμη Σκυθίας. Προῦσα πόλις μικρὰ Βιθυνίας κτίσμα Προυσίου τοῦ πρὸς Κῦρον πολεμήσαντος. Μοῦρσα πόλις Παιονίας κτίσμα Ἀδριανοῦ. λέγεται καὶ Μούρσιον. Πέρσα πόλις παρὰ τῷ Εὐφράτῃ καὶ Σαμοσάτοις. Τάρσα κώμη ἐπὶ τῷ Εὐφράτῃ. Ἄρσα πόλις Ἱσπανίας, ὡς Χάραξ ἐν δεκάτῃ χρονικῶν. Τίρσαι πόλις Μυγδονίας τῆς ἐν Μακεδονίᾳ ἀπὸ Τίρσης μιᾶς τῶν θυγατέρων Γραστοῦ παιδὸς Μυγδόνος. * Τὰ εἰς σα ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Ἄγρισα πόλις Καρμανίας. Λάρισα πόλις Θεσσαλίας ἡ πρὸς τῷ Πηνειῷ, ἣν Ἀκρίσιος ἔκτισε. δευτέρα ἡ Κρεμαστή, ὑπό τινων δὲ Πελασγία. τρίτη ἐν τῇ Ὄσσῃ χωρίον. τετάρτη τῆς Τρωάδος, ἥν φησιν Ὅμηρος «τῶν οἱ Λάρισαν ἐριβώλακα» (B 841). πέμπτη Αἰολίδος περὶ Κύμην τὴν Φρικωνίδα. ἕκτη Συρίας, ἣν Σύροι Σίζαρα καλοῦσιν. ἑβδόμη Λυδίας. ὀγδόη Θεσσαλίας πρὸς τῇ Μακεδονίᾳ, ἐνάτη Κρήτης. δεκάτη Ἀττικῆς ἐστι Λάρισα. καὶ ἡ ἀκρόπολις τοῦ Ἄργους Λάρισα. Ἔμισα πόλις Φοινίκης Λιβανουσίας. Κρίμισα πόλις Ἰταλίας

πλησίον Κρότωνος καὶ Θουρίου. Λυκόφρων (v. 913). ἀπὸ Κριμίσης νύμφης. σάρισα εἶδος ἀκοντίου μικροῦ. Ἄμισα πόλις Γερμανίας. Ὄδρυσα πόλις Ὀδρυσῶν, ἣ καὶ Ὀδρυσία λέγεται. Τὰ εἰς σσα ὑπερδισύλλαβα ἀπαρασχημάτιστα προπαροξύνεται, εἰ μὴ παραλήγοι ου , θάλασσ α , Ἰφιάνασσ α , θέρμασσα ἡ κάμινος, ἄνασσ α , ἀμφιέλισσ α . Ἑρμώνασσα πόλις ἐν τῷ Κιμμερίῳ Βοσπόρῳ Ἰώνων ἄποικος ἀπὸ τοῦ ἡγησαμένου Ἕρμωνος. Ἀρριανὸς δὲ οὕτω φησίν «Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μιτυληναίου τινός, οὗ τινας τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ ἡ γυνὴ τῆς πόλεως ἐγκρατὴς ἐγένετο καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο». ταύτην ὁ Σκύμνος καὶ Ἑρμώνειαν καλεῖ (Peripl. p. XVI). Στράβων δὲ ἑβδόμῃ (p. 306) Ἑρμώνακτος κώμην φησί.

3,1 268 Μένιππος δὲ χωρίον Τραπεζοῦντος ἐν περίπλῳ τῶν δύο πόντων. Ἑκαταῖος δὲ καὶ Θεόπομπος πόλιν αὐτήν φασιν. μέτασσα παρὰ τὸ μετά «χωρὶς δὲ μέτασσαι» (Od. ι 221). Ἔδεσσα πόλις Συρίας ἀποικία τῆς ἐν Μακεδονίᾳ. Ποιήεσσα πόλις τῆς Κέω. Σύεσσα καλύβη τις ἐν Λυκίᾳ ἀπὸ Συέσσης γραός τινος ὑποδεξαμένης τὴν Λητὼ καὶ Σύεσσα πόλις Τυρρηνῶν. Σινόεσσα πόλις Σικελίας. Τειχιόεσσα πόλις Μιλησίας. Ὑδρόεσσ α· οὕτως ἡ Τῆνος ἐκαλεῖτο διὰ τὸ κατάρρυτον εἶναι. Ἀκριόεσσα πόλις ἐν Πόντῳ, Ἡρακλείας ὑποτελής. Δομίτιος Καλλίστρατος ἐν τετάρτῃ περὶ Ἡρακλείας. Πύργησσα πολίχνιον Ἰταλίας. Μάρπησσα ὄρος Πάρου. Τρίνησσα τόπος Φρυγίας. Θεόπομπος Ἑλληνικῶν τετάρτῳ. Πέτροσσα νῆσος Κιλικίας. Τίλφωσσα, Βοιωτίας κρήνη καὶ ὄρος ἀπὸ Τιλφώσσης νύμφης. γράφεται καὶ δι’ ἑνὸς ς . μέλισσα καὶ Μέλισσα θυγάτηρ Ἐπιδάμνου, ἧς καὶ τοῦ Ποσειδῶνος ὁ Δυρράχιος. ἀφ’ ἧς ἔστιν ἐν Ἐπιδάμνῳ τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν, ὡς Φίλων. ἔστι καὶ Μέλισσα πόλις Λιβύων. Ἑκαταῖος Ἀσίᾳ. καὶ ἐν Κυζίκῳ κώμη Μέλισσα. Ἄμφισσα πόλις Ὀζολῶν Λοκρῶν. ἔστι δὲ παραγωγὴ ἐκ τῆς ἀμφί ὡς ἐκ τῆς ἀντί Ἄντισσ α· ἔστι δὲ πόλις Λέσβου ἐφεξῆς τῷ Σιγρίῳ ἀπὸ τῆς Ἀντίσσης τῆς Μάκαρος θυγατρός, ἐν τοῖς Φίλωνος. ἔστι καὶ νῆσος μία τῶν Κυκλάδων καὶ τρίτη Ἰνδικῆς, ἣν ἀναγράφει Φίλων καὶ Δημοδάμας ὁ Μιλήσιος—καὶ ἐκ τῆς ἐπί ἔπισσα παρ’ Ἑκαταίῳ. «Μνημοσύνης ἢ Λητογενοῦς χαρίεντος ἔπισσα». Ἄργισσα πόλις ἡ ὕστερον Ἄργουρα. Πίτνισσα πόλις Λυκαονίας. ὡσαύτως δὲ καὶ τὰ παρεσχηματισμένα, Μάκεσσ α , Θρέϊσσ α , Ἀράβισσ α , Αἰθιόπισσ α , Καππαδόκισσ α , πανδόκισσ α , Φοίνισσ α , Κίλισσ α , βασίλισσ α , Ἀρκάδισσ α , Καβάλισσα ἡ Καβαλίς, ὁ πολυίστωρ Ἀλέξανδρος, Μολύκρισσ α , Κούρισσ α , Λίβυσσ α. ἔστι δὲ καὶ φρούριον Βιθυνίας ἐπιθαλάσσιον, ὡς πολυίστωρ Ἀλέξανδρος. Βέβρυσσ α. τὰ δὲ παραλήγοντα τῇ ου , εἰ μὲν ἔχοιεν ἓν ς , προπαροξύνεται· Φαέθουσα θυγάτηρ Ἡλίου, Ἀρέθουσα, κρήνη Σικελίας. αὕτη Κυπάρα ἐλέγετο. ἔστι καὶ Ἰθάκης «πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ. Ὅμηρος (Od. ν 408). Δίδυμος ὑπομνηματίζων τὴν ν τῆς Ὀδυσσείας φησίν «Ἀρέθουσαι δέ εἰσιν ὀκτώ».

3,1 269 Ἡρακλέων δὲ ὁ Γλαύκου τὴν αὐτὴν ὑπομνηματίζων φησίν, ἄρω ἐστὶ τὸ ποτίζω, ἀφ’ οὗ ἄρδω παραγωγόν, ἐκ τούτου ἀρέθω ὡς φλέγω φλεγέθω, ἀφ’ οὗ πᾶσα κρήνη ἐπιθετικῶς οὕτω λέγεται. ὁ γοῦν Χοιρίλος ἐν α′ Περσικῶν παρὰ δὲ κρήνας ἀρεθούσας μυρία φῦλ’ ἐδονεῖτο πολυσμήνοισι μελίσσαις. ἔστι καὶ πόλις Συρίας καὶ Θρᾴκης καὶ Εὐβοίας. Αἴθουσα τὸ κύριον ἐπὶ τῆς θυγατρὸς Ποσειδῶνος καὶ Ἀλκυόνης, ὅπερ κατά τινας ἓν ς ἔχει, Φέρουσα, καὶ τοῦτο ἐπὶ μιᾶς τῶν Νηρηΐδων «Φέρουσά τε Δυναμένη τε» (Σ 43). Ἴωνος δὲ τοῦ Ξούθου ἀναγράφεται μήτηρ Κρέουσα, ὁμωνύμως δὲ ταύτῃ καὶ Αἰνείου γυνή. Μέδουσα μία τῶν Γοργόνων. Στεινώ τ’ Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα (Hesiod. Theog. 276). Θάλπουσα πόλις τῆς Ἀρκαδίας τοῦ Ὀρχομενοῦ. Σώζουσαι πόλεις τρεῖς Φοινίκης Πισιδίας καὶ Αἰθιοπίας. Μύρτουσα ὄρος Λιβύης. Καλάθουσα πόλις τοῦ Πόντου καὶ πόλις οὐ πόρρω τῶν Ἡρακλείων στηλῶν, Ἑκαταῖος δὲ Εὐρώπῃ Καλάθην αὐτὴν καλεῖ. Οἴνους α· οὕτως ἐκαλεῖτο ἡ Καρχηδών. Κοχλίουσα νῆσος πρὸς τῇ Λυκίᾳ. Ἀλέξανδρος δευτέρῳ περὶ Λυκίας διὰ τὸ κοχλοὺς ἐν αὐτῇ εὑρίσκεσθαι.

Κράμβουσα νῆσος περὶ Σελεύκειαν τῆς Ἰσαυρίας. Στράβων ιδ′ (p. 670). Πιτύουσα ἡ ὕστερον Φάσηλις. οὕτως καὶ ἡ Λάμψακος πάλαι ἐκαλεῖτο, ὡς Δηΐοχος ὁ Κυζικηνός. Κρομύουσα νῆσος Ἰβηρίας. Ἑκαταῖος Εὐρώπῃ. Πολυπόδουσα νῆσος τῆς Κνιδίας. Πορφύρουσα ἐκαλεῖτο νῆσος Κύθηρα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν, ὡς Ἀριστοτέλης. Ὀφίουσα ἐκαλεῖτο ἡ Κύθνος νῆσος. Λάγουσα νῆσος περὶ Κρήτην. Στράβων δεκάτῃ (p. 484). Δρύουσα καὶ Ἀνθέμουσα ἐκαλεῖτο πρότερον Σάμος. Σειρήνουσαι «νῆσοι ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ᾽ αὐτῆς τῆς ἄκρας κείμεναι προπεπτωκότος τόπου καὶ διαλαμβάνοντος τοὺς κόλπους, τόν τε περιέχοντα Κύμην καὶ τὸν διειληφότα τὴν καλουμένην Ποσειδωνίαν, ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται καὶ τιμῶνται καθ᾽ ὑπερβολήν. ὧν καὶ τὰ ὀνόματα ταῦτα, Παρθενόπη καὶ Λευκωσία καὶ Λίγεια» (Aristot. Ausc. mir. c. 110). Σίδουσα πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ «ἐν δὲ Σίδουσα πόλις». Σκότουσα πόλις καὶ χωρίον τῆς ἐν Θεσσαλίᾳ Πελασγίας, καὶ πληθυντικῶς Σκότουσαι. Μαράθουσα νῆσος πρὸς Κλαζομεναῖς. Μελίτουσα πόλις Ἰλλυρίας. Πολύβιος τρισκαιδεκάτῳ. Μήλουσα νῆσος κατὰ Ἴβηρας. Ἑκαταῖος Εὐρώπῃ. Τέλφουσα πόλις Ἀρκαδίας ἀπὸ νύμφης λεγομένης Τελφούσης, θυγατρὸς Λάδωνος. Τεύτλουσα νῆσος Ἰωνίας. Θουκυδίδης η′ (c. 42). Φάκουσα κώμη μεταξὺ Αἰγύπτου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης. Στράβων ιζ′ (p. 805). Ἑκαταῖος δὲ Φακόεσσαι καὶ Φακοέσσαις φησί. καὶ Φάκουσαι νῆσοι καὶ Φάκαιοι. Δάφνους α. οὕτως Δαφνοῦντα πόλιν Φωκικήν φησιν Εὐφορίων. Βάρχουσα πόλις μικρὰ Φοινίκης. Αἴγουσα νῆσος Λιβύης, κατὰ Λίβυας λεγομένη Κατρία. Αἰγείρουσα πόλις τῆς Μεγαρίδος, ὡς Στράβων (9 p.
3,1 270 394). λέγεται καὶ Αἴγειρος, ὡς Θεόπομπος πεντηκοστῇ ἕκτῃ. Ἀργέννουσα νῆσος πρὸς τῇ ἠπείρῳ τῆς Τρωάδος παρὰ τὸ Ἀργεννὸν ἀκρωτήριον, ἀφ᾽ οὗ ἀργεννόεις καὶ κατὰ συναίρεσιν ἀργεννοῦς καὶ Ἀργέννουσα. Ἀνδροτίων δὲ ἐν τῷ τετάρτῳ τῆς Ἀτθίδος διὰ τοῦ ι . εἰ δὲ δύο ἔχοιεν, προπερισπῶνται. Πιτυοῦσσαι νῆσοι διάφοροι, ἃς Πιτυώδεις καλεῖ Ἀλκμάν, Ῥοδοῦσσα πόλις τῆς Ἀργείας. Ἐρικοῦσσα μία τῶν Αἰόλου νήσων, ἀπὸ τοῦ φυτοῦ καλουμένη. Φοινικοῦσσα δύο νῆσοι ἐν τῷ Λιβυκῷ κόλπῳ πρὸς τῇ Καρχηδόνι, ὡς Ἑκαταῖος περιηγήσει Λιβύης. ἔστι καὶ πόλις Φοινίκων ἐν Συρίᾳ Φοινικοῦσσαι, ὡς αὐτὸς ἐν Ἀσίᾳ. Φυκοῦσσαι νῆσοι Λιβύης· ὀνομάζονται δὲ διὰ τὸ φύκων εἶναι πλήρεις. Οἰνοῦσσαι νῆσοι τῇ Χίῳ προσεχεῖς. Ἑκαταῖος Εὐρώπῃ. Ἐλαιοῦσσα νῆσος Κιλικίας κατὰ τὴν ἤπειρον πρὸς τῇ Κωρύκῳ. εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι ἑπτά. Σχινοῦσσα Φωκικὴ νῆσος. Δρυμοῦσσα νῆσος Ἰωνίας. Θουκυδίδης ὀγδόῃ (c. 31). Φαρμακοῦσσαι δύο νῆσοι πλησίον Σαλαμῖνος. καὶ ἄλλη ὑπὲρ Μίλητον, ἐν ᾗ Ἄτταλος ἀνῃρέθη. Ὀφιοῦσσ α· οὕτως ἐκαλεῖτο ἡ Λιβύη, ὡς Πολυίστωρ, καὶ ἡ Ῥόδος καὶ ἡ Τῆνος καὶ ἡ Τύρα πόλις. Ταφιοῦσσα πόλις Κεφαλληνίας ἡ πρότερον Τάφος. Πιθηκοῦσσαι νῆσοι περὶ Τυρρηνίαν. Ἰχνοῦσσ α· οὕτως ἐκαλεῖτο ἡ Σαρδὼ νῆσος διότι ἐοικυῖα ἦν ἀνθρώπου ἴχνει. Λοπαδοῦσσα νῆσος κατὰ Θάψον τῆς Λιβύης, ὡς Ἀρτεμίδωρος ἑβδόμῳ γεωγραφουμένων. Ναγιδοῦσσα νῆσος. Ἑκαταῖος Ἀσίᾳ. Ἀγαθοῦσσ α· οὕτως ἐκαλεῖτο ἡ Τῆλος νῆσος, ὡς Ἰάσων. Φασηλοῦσσαι δύο νῆσοι Λιβύης πλησίον Σίριος ποταμοῦ. Ἑκαταῖος περιηγήσει Λιβύης. Δελφοῦσσα κρήνη τῶν Δελφῶν. Γηθοῦσσα πόλις Λιβύης. Γονοῦσσα πόλις Περραιβίας. Ἐλαφοῦσσ α· οὕτως Ἕλληνες Βρεττίαν νῆσον ἐν τῷ Ἀδρίᾳ καλοῦσιν. Αἰγειροῦσσα πόλις Αἰολίδος, ὡς Ἡρόδοτος (I 148). Ἀνητοῦσσα πόλις Λιβύης. πλὴν τοῦ αἴθουσσα, ὅπερ ἔχει δισσὸν τὸ ς ἐπὶ τοῦ προσηγορικοῦ, Ἔμπουσσα καὶ Συράκουσσαι πόλις μεγίστη, ὡς Ἑκαταῖος Εὐρώπῃ, κτίσμα μὲν Ἀρχίου, Κορίνθου δ᾽ ἄποικος, τοῖς ἐν Σικελίᾳ Μεγάροις καὶ Νάξῳ ὁμόχρονος. τὸ δὲ ἡρῷσσα προπερισπᾶται ἐκ συναλοιφῆς τοῦ ἡρώϊσσα. * Τὰ εἰς τα δισύλλαβα σπάνια ὄντα βαρύνεται, Γέντα πόλις Ἰνδικὴ τῆς ἐκτὸς Γάγγου.

3,1 271 Γίττα πόλις Παλαιστίνης. Πολύβιος ἑκκαιδεκάτῳ. * Τὰ εἰς τα ὑπὲρ δύο συλλαβὰς μακροκατάληκτα παροξύνεται, Ἀρτεμίτα νῆσος Τυρρηνικὴ παρὰ τὴν Αἰθάλειαν νῆσον, ὡς Φίλων. ὡς δὲ Στράβων (16 p. 744) πόλις Παρθυαίων. ὁ δὲ Ἀρτεμίδωρός φησιν, ὅτι χερρόνησος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ τὴν ἐκβολὴν τοῦ Ἀχελῴου ποταμοῦ λεγομένη Ἀρτεμίτα. ἔστι καὶ πλησίον τῶν Ὀξειῶν νήσων νῆσος Ἀρτεμίτα. Ῥιανὸς η′ Θεσσαλικῶν «νήσοις Ὀξείῃσι καὶ Ἀρτεμίτῃ ἐπέβαλλον». Φουρνίτα πόλις Λιβύης. Κοτύρτα χωρίον Λακωνικόν. Θουκυδίδης (4, 56). τὰ δὲ βραχυκατάληκτα προπαροξύνεται, δίαιτ α , Ἕρβιτα πόλις Σικελίας. Ἔφορος κη′. Ἔγεστα πόλις Σικελίας, ἔνθα θερμὰ ὕδατα ὡς Φίλων. ἀπὸ Ἐγέστου τοῦ Τρωός. Λάδεστα μία τῶν Λιβυρνίδων νήσων. λέγεται καὶ Λάδεστον. Θεόπομπος κα′ Φιλιππικῶν. Αὔγουσται πόλεις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. Εὔφραντα πόλις Λιβυκή, Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. Τὰ διὰ τοῦ αια καὶ υια δισύλλαβα προπερισπᾶται, μαῖ α· ἔστι καὶ πόλις Ἑλλησποντία, γαῖα ἀπὸ τοῦ γῆ, αἶ α, ὅπερ ἀπὸ τοῦ γαῖα γέγονε κατὰ ἀφαίρεσιν τοῦ γ , ἔστι δὲ καὶ Αἶα πόλις Κόλχων· ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ἧς μέμνηται Σοφοκλῆς, τῆς προτέρας λέγων «εἰς Αἶαν πλέων», τῆς δὲ δευτέρας οὕτως «ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία». ἔστιν Αἶα καὶ Μακεδονίας πηγή, ὡς Ἀντίμαχος ἐν Θηβαΐδι. γραῖ α. ἔστι καὶ πόλις Ἐρετρίας. τινὲς δὲ τῇ Τανάγρῃ τὴν αὐτήν φασιν ἀφαιρέσει τῆς ἀρχῆς, ὧν εἷς ἐστι καὶ Καλλίμαχος, Ἀριστοτέλης δὲ Γραῖαν τὴν νῦν Ὠρωπόν «ἡ δὲ Γραῖα τόπος τῆς Ὠρωπίας πρὸς τῇ θαλάσσῃ κατ᾽ Ἐρέτριαν τῆς Εὐβοίας κειμένη». Φαῖ α . Ζαῖα πόλις Βοιωτίας ἀρχαιοτάτη καὶ διὰ τοῦ ε καὶ διὰ τῆς αι διφθόγγου. Θυῖ α . μυῖ α. Τὰ εἰς α συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῇ αι διφθόγγῳ προπαροξύνεται, Νίκαια πόλις, νικαία δὲ τὸ θηλυκὸν τοῦ νικαῖος.

3,1 272 ἔστι δὲ Νίκαια πόλις Βιθυνίας, Βοττιαίων ἄποικος. ἐκαλεῖτο δὲ πρότερον Ἀγκώρη, εἶτα Ἀντιγόνεια, ὕστερον δὲ ἀπὸ τῆς Λυσιμάχου γυναικὸς Νίκαια μετεκλήθη. δευτέρα τῶν Ἐπικνημιδίων Λοκρῶν. τρίτη ἐν Ἰλλυρίδι. τετάρτη ἐν Ἰνδοῖς. πέμπτη ἐν Κύρνῳ τῇ νήσῳ. ἕκτη ἐν Λεύκτροις τῆς Βοιωτίας. ἑβδόμη Κελτικῆς, Μασσαλιωτῶν ἄποικος. ὀγδόη Θρᾴκης. εἰσὶ δὲ καὶ ἄλλαι. Δίπαια πόλις Ἀρκαδίας ἡ καὶ Διπαιεύς. Δίκαια πόλις Θρᾴκης ἀπὸ Δικαίου τοῦ Ποσειδῶνος· ἔστι καὶ ἑτέρα ἐν τῷ Τυρρηνικῷ κόλπῳ Ἰώνων ἄποικος. Λίλαια πόλις Φωκίδος. Λυκόφρων (v. 1073) «πάτραν Λίλαιαν κἀνεμωρείας πέδον». Κάρθαια μία τῆς ἐν Κέῳ τετραπόλεως ἀπὸ Καρθαίου τελευτήσαντος ἐκεῖ. Ἱστίαια πόλις Εὐβοίας. Ὅμηρος «πολυστάφυλον θ᾽ Ἱστίαιαν» (B 537). ἡ δὲ διὰ τοῦ ι Ἰωνικὴ γραφή ἐστιν. ἔστι δὲ καὶ Θετταλίας. τῆς δὲ Εὐβοίας ἀδιάφορος κατὰ τὴν γραφὴν καὶ διὰ τοῦ ι καὶ διὰ τοῦ ε ψιλοῦ. Εὔταια πόλις Ἀρκαδίας. Ξενοφῶν Ἑλληνικῶν ἕκτῳ (c. 5, 12, 20 et 21). Ποτίδαια πόλις Θρᾴκης. Βάρκαια πόλις Λιβύης, ἣ καὶ Βάρκη λέγεται, Ἄφθαια πόλις Αἰγύπτου, Ἀφθαία δὲ ἡ Ἑκάτη, Φάσταια πόλις ἐν Σάκαις, Δέραια πόλις Ἀρκαδίας. Ἥραια ἄκρα καταντικρὺ Καλχηδόνος· ταύτην δ᾽ ἐν συνηθείᾳ Ἠερίαν φασί τινες, κακῶς. ἄλλοι δὲ Ἤριον, μυθοποιοῦντες ὡς ἐκεῖ ὀρύξαντες τάφους χύτρας εὗρον καὶ ὀστᾶ. πειστέον δὲ μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ δ′ βιβλίῳ ἔστι δέ τις προπάροιθε κλυτῆς Καλχηδόνος ἄκρη Ἥραια, τρήχουσα, πολυσπιλάς. ἔνδοθι δ᾽ αὐτῆς λαΐνεον περὶ τεῖχος ἰὼν κοιλαίνεται εἴσω κόλπος ἁλός· φαίης κεν ἰδὼν βαθυδινέα πάντη ἔμμεναι, εἰαμενὴ δὲ καὶ οὐ βυθός ἐστι θαλάσσης. ἔνθα τε νῆας ἦγον, ὀϊόμενοι σκέπας εἶναι αὐτοφυοῦς ὅρμοιο, κακῷ δ᾽ ἐνέκυρσαν ἑτοίμῳ. καὶ ἄλλοι οὕτως. ἔστι καὶ πόλις Ἀρκαδίας, ἣ ἐλέγετο Σολογοργός. Ἡραία δὲ καλεῖται ἡ ἐλάττων τῶν τριῶν πόλεων Σικελίας, αἳ Ὕβλαι λέγονται. Κάθαια πόλις Ἰνδική. Κυναίθαια πόλις Ἀρκαδίας, ἣ καὶ Κύναιθα λέγεται. Λύκαια πόλις Ἀρκαδίας. Θεόπομπος πεντηκοστῷ ἕκτῳ. παρὰ δὲ Μενελάῳ Λύκαιθα μετὰ τοῦ θ . Μάργαια πόλις Ἠλείας. Μελίταια πόλις Θεσσαλίας. Ἀλέξανδρος Ἀσίᾳ. Θεόπομπος δὲ Μελίτειαν αὐτήν φησιν. καὶ Μελίτεια Φίλων γράφει. Νίναια πόλις Οἰνωτρῶν. Ἑκαταῖος Εὐρώπῃ. Νίσαια ἐπίνειον Μεγαρίδος. καὶ αὐτὴ ἡ Μεγαρίς. ἀπὸ Νίσου τοῦ Πανδίονος. Ἑλλάνικος ἐν Ἱερειῶν πρώτῃ .... καὶ ἐν τῇ δευτέρᾳ «καὶ Νίσαιάν τε εἷλε καὶ Νῖσον τὸν Πανδίονος καὶ Μεγαρέα τὸν Ὀγχήστιον ἀπέκτεινεν». Φαλάνναια πόλις Κρήτης. Φώκαια πόλις Ἰωνίας.

3,1 273

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρόδοτος πρώτῃ (c. 142). λέγεται καὶ Φωκαίη διὰ τοῦ η . ἐκλήθη δὲ διὰ τὸ πολλὰς ἀκολουθῆσαι φώκας τοῖς κτίσασιν. ἔστι καὶ ἄλλη πόλις τῆς Καρίας ἐν Μυκάλῃ. Αἴθαια πόλις Λακωνικῆς, μία τῶν ἑκατόν. Φιλόχορος ἐν Ἀτθίδος τρίτῳ. Σήταια, ἀφ’ ἧς Σηταῖον χωρίον παρὰ Σύβαριν. ἦν δὲ μία τῶν αἰχμαλώτων, ἣν πείσασαν τὰς ἄλλας τῶν Ἑλλήνων ἐμπρῆσαι τὰς ναῦς αὐτοὶ ἐσταύρωσαν. Ἄστραια πόλις Ἰλλυρίας. Ἀρριανὸς Ἀλεξανδριάδος α′ «οἳ δ’ ἔχον Ἄστραιάν τε Δόβηρά τε» Ἀμφίκαια πόλις Φωκίδος. Παυσανίας δεκάτῃ (23, 9). ὁ αὐτὸς Ἀμφίκλειαν εἶπεν. Ἀστυπάλαια μία τῶν Κυκλάδων. ἐκαλεῖτο δὲ Πύρρα Καρῶν κατεχόντων, εἶτα Πύλαια, εἶτα Θεῶν τράπεζα διὰ τὸ ἀνθηρὸν αὐτῆς. ἐκλήθη δὲ ἀπὸ Ἀστυπαλαίας τῆς Ἀγκαίου μητρός. δευτέρα πόλις ἐν Κῷ. τρίτη νῆσος πόλιν ἔχουσα μεταξὺ Ῥόδου καὶ Κρήτης. τετάρτη πόλις ἐν Σάμῳ. πέμπτη ἄκρα πλησίον Ἀττικῆς. Πλάταια πόλις Βοιωτίας. Ὅμηρος ἑνικῶς «οἵ τε Πλάταιαν ἔχον» (B 504). Εὔδοξος δὲ ε′ γῆς περιόδου πληθυντικῶς Πλαταιάς .... δὲ διὰ τὸ τάφους καὶ τρόπαια ἀνδρῶν ἀγαθῶν ἔχειν, τῶν τὴν Ἑλλάδα ἐλευθερωσάντων καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων. κέκληται δὲ ἀπὸ τῆς πλάτης καθὰ Κῶπαι τῆς κώπης, ὡς Ἀπολλόδωρος πρώτῳ τοῦ καταλόγου «ἐκλιμνωθείσης τῆς Βοιωτίας τοὺς παροικοῦντας ταῖς λίμναις Βοιωτοὺς πλῷ πορεύεσθαι πρὸς ἀλλήλους. ὅθεν παρὰ τὴν πλάτην καὶ τὴν κώπην τὰς πόλεις κληθῆναι». δεῖ δὲ τὸ πρωτότυπον ἑνικὸν προπαροξύνειν Πλάταιαν ὡς Λίλαιαν, Ἱστίαιαν, Δίκαιαν. εἰ μέντοι μεταβάλλει τὸν ἀριθμόν, καὶ τὸν τόνον μεταβάλλει. Τὰ εἰς α συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ει διφθόγγῳ προπαροξύνεται, εὐλάβει α , ἀλήθει α , εὐγένει α , ἐπιφάνει α , ἀπέχθει α , ἀσφάλει α , ἀδράνει α , ἀμέλει α , ἀκρίβει α , εὐέπει α , εὔκλει α , ἄδει α , ἔνδεια κατὰ κρᾶσιν ἐκ τοῦ εὐκλέεια, ἀδέεια, ἐνδέεια, ἀπώλει α , ἐξώλει α , προώλει α , ἐνέργει α , ὠφέλει α , Θάλει α , Μήδει α , βοήθει α , εὐέρει α , ἐντερόνει α , πέλει α , Μάλεια ἄκρα πρὸς τῇ Πελοποννήσῳ καὶ Μαλέα. Ἀμάλθει α· ἔστι δὲ αἲξ ἡ θρεψαμένη τὸν Δία. ὑπώρει α . Ἀλεξάνδρει α.

3,1 274 πόλεις ὀκτωκαίδεκα. πρώτη ἡ Αἰγυπτία ἤτοι Λίβυσσα, ὡς οἱ πολλοί, ἀπ’ Ἀλεξάνδρου τοῦ Φιλίππου. Ἰάσων δὲ ὁ τὸν βίον τῆς Ἑλλάδος γράψας ἐν δ′ βιβλίῳ φησί «τὸν μὲν οὖν τόπον τῆς πόλεως ὄναρ ἐχρησμοδοτήθη οὕτως νῆσος ἔπειτά τίς ἐστι πολυκλύστῳ ἐνὶ πόντῳ, Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν. ἐκέλευσε δὲ διαγράφειν τὸ σχῆμα τοὺς ἀρχιτέκτονας· οὐκ ἔχοντες δὲ λευκὴν γῆν ἀλφίτοις διέγραφον, ὄρνιθες δὲ καταπτάντες τὰ ἄλφιτα αἴφνης διήρπασαν. ταραχθεὶς οὖν Ἀλέξανδρος, οἱ μάντεις θαρρεῖν ἔλεγον· πάντων γὰρ τὴν πόλιν τροφὸν γενήσεσθαι». ταῦτα καὶ Ἀρριανὸς (Exp. Alex. 3, 2, 19). δευτέρα ἐστὶ πόλις Τροίας, περὶ ἧς Δημοσθένης ἐν τετάρτῳ Βιθυνιακῶν. τρίτη Θρᾴκης πρὸς τῇ Μακεδονίᾳ, ἣν ἔκτισε πρὸ τῆς μεγάλης Ἀλεξανδρείας ἑπτακαίδεκα ὢν ἐτῶν. τετάρτη πόλις Ὠριτῶν, ἔθνους Ἰχθυοφάγων, κατὰ τὸν περίπλουν τῆς Ἰνδικῆς. πέμπτη ἐν τῇ Ὠπιανῇ, κατὰ τὴν Ἰνδικήν. ἕκτη πάλιν Ἰνδικῆς. ἑβδόμη ἐν Ἀρίοις, ἔθνει Παρθυαίων κατὰ τὴν Ἰνδικήν. ὀγδόη τῆς Κιλικίας. ἐνάτη ἐν Κύπρῳ. δεκάτη πρὸς τῷ Λάτμῳ τῆς Καρίας. ἑνδεκάτη κατὰ Βάκτρα. δωδεκάτη ἐν Ἀραχώτοις. τρισκαιδεκάτη ἐν Μακαρήνῃ, ἣν παραρρεῖ ποταμὸς Μαξάτης. τεσσαρεσκαιδεκάτη παρὰ Σωριανοῖς, Ἰνδικῷ ἔθνει. πεντεκαιδεκάτη παρὰ τοῖς Ἀραχώτοις, ὁμοροῦσα τῇ Ἰνδικῇ. ἑκκαιδεκάτη κατὰ τὸν Μέλανα κόλπον. ἑπτακαιδεκάτη ἐν τῇ Σογδιανῇ παρὰ Παροπαμισάδαις. ὀκτωκαιδεκάτη ἐπὶ τοῦ Ταναΐδος αὐτοῦ κτίσμα, ὡς ἐν τῷ τρίτῳ Πτολεμαῖος ἀποφαίνεται· ἔστι καὶ τόπος ἐν τῇ Ἴδῃ τῇ Τρωϊκῇ Ἀλεξάνδρεια λεγόμενος, ἐν ᾧ φασι τὸν Πάριν διακρῖναι τὰς θεάς, ὡς Τιμοσθένης. Καυκώνεια χώρα τῶν Καυκώνων ἀπὸ τῆς Καύκωνος γενικῆς ὡς Μαρώνεια πόλις Κικονίας κατὰ τὴν ἐν Θρᾴκῃ χερρόνησον. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ λιμὴν Ἰσμαρίς, ἐν δὲ Μαρώνεια πόλις». Χαιρώνεια πόλις πρὸς τοῖς ὅροις Φωκίδος. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Χαιρώνεια πόλις τὰ πρῶτα» ....... «Ἀθηναῖοι καὶ οἱ μετ’ αὐτῶν ἐπὶ τοὺς Ὀρχομενίζοντας τῶν Βοιωτῶν ἐπερχόμενοι καὶ Χαιρώνειαν πόλιν Ὀρχομενίων εἷλον». ἐκλήθη ἀπὸ Χαίρωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοφάνης ἐν Βοιωτικῶν δευτέρῳ «λέγεται δ' οἰκιστὴν γενέσθαι τοῦ πολίσματος Χαίρωνα». ἐκαλεῖτο δὲ ἡ πόλις καὶ Ἄρνη τὸ ἀρχαῖον. ὅθεν καὶ Ὅμηρος τῇ ἀρχαιοτέρᾳ ἐχρήσατο ὀνομασίᾳ, καθότι Αἴγυπτον τὸν ποταμὸν εἶπεν, οὐ Νεῖλον. καὶ πανταχοῦ τοῖς ἀρχαιοτέροις ὀνόμασι χρῆται. Κωστάντεια ἡ νῦν ἐν Κύπρῳ Σαλαμίς· ἔστι καὶ Βρεττίας ἄλλη, ὡς Διονύσιος ἐννεακαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. εὕρηται καὶ διὰ τοῦ ν . Βυζάντεια ἡ χώρα. Αἴνεια τόπος Θρᾴκης ἀπὸ Αἰνείου. Θέων δ' Αἰνειάδας ταύτην καλεῖ, ὑπομνηματίζων τὸν Λυκόφρονα (v. 1263) «Αἰνείας δὲ μετὰ τὴν Ἰλίου πόρθησιν εἰς Θρᾴκην παρεγένετο καὶ ἔκτισε πόλιν Αἰνειάδας, ὅπου τὸν πατέρα ἔθαψε». Αἰνία δὲ διὰ τοῦ ι πόλις Περραιβῶν. Αἴπεια πόλις Λακωνικῆς «καλήν τ' Αἴπειαν καὶ Πήδασον» (Il. I 152). ἔστι καὶ ἑτέρα Κύπρου. τρίτη Κρήτης ὡς Ἑλλάνικος. Ἀγάμμεια ἄκρα καὶ λιμὴν περὶ τὴν Τροίαν, ὡς Ἑλλάνικος ἐν δευτέρῳ.

3,1 275 ἐκλήθη δὲ ἀπὸ τοῦ ἄγαμον τὴν Ἡσιόνην ὑπὸ τοῦ πατρὸς παραδοθῆναι τῷ κήτει. λέγεται δὲ καὶ Ἀγάμμη ὡς πρέσβεια πρέσβη καὶ τὸ βασίλεια κατὰ συναλοιφὴν βασίλη. δύναται δὲ καὶ τὸ Ἀγάμμεια ἐκ τοῦ Ἀγάμμη ὡς τὸ Πηνελόπεια ἐκ τοῦ Πηνελόπη. Ἐρύθεια νῆσος Γηρυόνου ἐν τῷ ὠκεανῷ ἀπὸ Ἐρυθείας τῆς Γηρυόνου. λέγεται δὲ καὶ Ἐρύθη κατὰ συναλοιφήν. ὡσαύτως καὶ Ζέλεια πόλις Τρωάδος Ζέλη λέγεται. Ὅμηρος «οἱ δὲ Ζέλειαν ἔναιον» (B 824). παρὰ Ποσειδίππῳ δ' εὕρηται διὰ τοῦ ι Ζελίη. καὶ Μαντίνεια πόλις Ἀρκαδίας Μαντίνη. Ὅμηρος δὲ «οἳ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν» (B 607). Ψυττάλεια νῆσος περὶ Σαλαμῖνα. Ἡρόδοτος (8, 76) «εἰς τὴν νησῖδα τὴν Ψυττάλειαν, τὴν μεταξὺ Σαλαμῖνος κειμένην καὶ τῆς ἠπείρου». λέγεται δὲ καὶ Ψυττάλη. ἔοικε δὲ τὸ Ψυττάλεια πρωτότυπον εἶναι, κέκληται δὲ ἀπὸ Ψυττάλου. Ἀγάθεια πόλις Φωκίδος ὡς Ἑλλάνικος πρώτῳ Δευκαλιωνείας. ἔστι δὲ καὶ Ἀγάθεια πόλις Λιγύων ἢ Κελτῶν, παραγωγὴ τῆς Ἀγάθης ὡς Βερενίκεια καὶ Θεσσαλονίκει α . Ἰόπεια πόλις Φοινίκης, ἣ καὶ Ἰόπη. λέγεται καὶ Ἰοπία διὰ τοῦ ι καὶ ἴσως ἐκ τοῦ Αἰθιοπία. Λαοδίκεια πόλις τῆς Συρίας ἡ πρότερον Λευκὴ ἀκτὴ λεγομένη καὶ πρὸ τούτου Ῥάμιθα, ὡς Φίλων. ἔστι καὶ ἑτέρα Λυδίας· ἔστι δὲ καὶ ἄλλη Λυκαονίας. καὶ Μηδίας ἑτέρα. λέγεται δὲ κατὰ παραγωγὴν ἐκ τῆς Λαοδίκης ὡς Ἀπάμη Ἀπάμεια Συρίας πόλις ἀπὸ Ἀπάμας τῆς Σελεύκου μητρός. ἔστι καὶ ἄλλη ἐν τῇ Μεσηνῶν γῇ «τῷ Πίγρητι περιεχομένη, ἐν ᾗ σχίζεται ὁ Πίγρης ποταμός, καὶ ἐν μὲν τῇ δεξιᾷ μοίρᾳ περιέρχεται ποταμὸς Σέλλας, ἐν δὲ τῇ ἀριστερᾷ Πίγρης, ὁμώνυμος τῷ μεγάλῳ». ἔστι καὶ τῆς μικρᾶς Φρυγίας, ἥτις ἐκαλεῖτο Κελαιναί. ἔστι καὶ Βιθυνίας, κτίσμα Νικομήδους τοῦ Ἐπιφανοῦς, ἐκαλεῖτο δὲ πρῶτον Μύρλεια. ἔστι καὶ τῆς Περσαίας, Ἐδέσσης πρὸς ἄρκτους. Εὐρώπη Εὐρώπει α . Σκάρφεια πόλις Λοκρίδος τῶν Θερμοπυλῶν ἐγγύς. κέκληται δὲ ἀπὸ Σκαρφείας. καὶ Σκάρφην τὴν αὐτὴν λέγει Στράβων (1 p. 60 et 9 p. 426). Γεράνεια πόλις Φρυγίας ἀπὸ πρωτοτύπου Γεράνη. ἔστι καὶ ὄρος μεταξὺ Μεγάρων καὶ Κορίνθου, ἀφ' οὗ ἥλατο Ἰνὼ φεύγουσα τὸν Ἀθάμαντα. Αἰθάλεια νῆσος Τυρσηνῶν. Φίλιστος ἐν ε' Σικελικῶν, λέγεται Αἰθάλη. Ἑκαταῖος Εὐρώπῃ. Πολύβιος δ' ἐν τριακοστῇ τετάρτῃ λέγει Αἰθάλειαν τὴν Λῆμνον καλεῖσθαι. ἐκαλεῖτο δὲ οὕτως ἡ πόλις ἴσως ἐκ τῶν ἀναδιδομένων τοῦ Ἡφαίστου κρατήρων. Γοργίππεια πόλις Σινδικῆς. λέγεται καὶ Γοργίππη. Αἰγώνεια πόλις Μηλιέων. Λυκόφρων (v. 903) «ὧν οἱ μὲν Αἰγώνειαν ἄθλιοι πάτραν». καὶ Ἑκαταῖος. Ῥιανὸς ἑκκαιδεκάτῃ Αἰγώνην αὐτὴν καλεῖ. Κωρύκει α· οὕτως ἔνιοι Κώρυκον πόλιν Κιλικίας φασίν. Λυκόζεια πόλις Θρᾳκῶν, ἣ καὶ Λύκοζος. Τηλάνδρεια πόλις Καρίας, ἣ καὶ Τήλανδρος. Φανότεια πόλις Φωκίδος. λέγεται δὲ καὶ Φανότη καὶ Φανοτεύς.

3,1 276 Θουκυδίδης τετάρτῳ (c. 89). τινὲς Πανόπειάν φασιν. Τρινέμει α· οὕτως Καλλίμαχος Ἑκάλῃ τὸν δῆμον τῆς Κεκροπίδος φυλῆς, ὃν Διόδωρος καὶ Δίδυμος Τρινεμεῖς ἀναγράφουσιν. Βουνόμεια καὶ Βούνομος ἐκαλεῖτο ἡ Μακεδονίας Πέλλα. Οἰάνθεια πόλις Λοκρῶν, Ἑλλάνικος, ἣν Ἑκαταῖος Εὐρώπῃ Οἰάνθην καλεῖ. Ἀφύτεια πόλις Θρᾴκης, ἣ καὶ Ἀφύτη καὶ Ἄφυτις καὶ Ἄφυτος. Δέλβει α· οὕτως λέγουσί τινες Δέρβην φρούριον Ἰσαυρίας καὶ λιμένα. ἔστι δὲ τῇ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λυκαόνων φωνῇ ἄρκευθος. Ἀντιγόνεια πόλις Χαονίας ἐν Ἠπείρῳ. ἔστι καὶ πόλις Ἀρκαδίας ἡ πρότερον Μαντίνεια. τρίτη Μακεδονίας, Ἀντιγόνου κτίσμα τοῦ Γονατοῦ. τετάρτη Βιθυνίας πρὸς τῷ Δασκυλίῳ. πέμπτη ἐν τῇ Συρίᾳ πλησίον Ἀντιοχείας. ἔστι καὶ φρούριον Κυζικηνῆς ἀπέχον τῆς προσεσπέρου θαλάσσης ὡς σταδίους ν′. Ἀττάλεια πόλις Λυδίας πρότερον Ἀγρόειρα ἢ Ἀλλόειρα καλουμένη. οἱ δὲ τὴν Κιλικίας Κώρυκον οὕτω φασὶ λέγεσθαι, ὡς Δημήτριος, ἀπὸ Ἀττάλου Φιλαδέλφου κτίσαντος. Ἀδράστεια μεταξὺ Πριάπου καὶ Παρίου ἀπὸ Ἀδράστου βασιλέως, ὃς καὶ πρῶτος ἱδρύσατο τὸ Νεμέσεως ἱερόν. ἐκαλεῖτο δὲ καὶ ἡ χώρα Ἀδράστεια καὶ Ἀδραστείας πεδίον καὶ ἡ πόλις οὕτως. ἔστι καὶ Τρωάδος Ἀδράστεια τόπος ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου, τοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ, ὡς Χάραξ Ἑλληνικῶν δευτέρᾳ. Ἀκούτεια πόλις Ἰβηρίας καθὰ Στράβων ἐν τῷ τρίτῳ (p. 15). Ἀμφιγένεια πόλις Μεσσηνιακή. Στράβων ὀγδόῃ (p. 349). ἔστι δὲ κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ Ἀντίμαχον τῆς Μεσσηνίας. Μενέλαος δέ φησι καὶ Ἀμφιγένειον εἰρῆσθαι. Ἀνεμώρεια πόλις Φωκίδος. Ὅμηρος «οἵ τ’ Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο» (B 521) καὶ Λυκόφρων «πάτραν Λίλαιαν κἀνεμωρείας πέδον» (v. 1073). ὠνόμασται ἀπὸ τοῦ συμβαίνοντος. ὑποκείμενον γὰρ αὐτῆς τὸ καλούμενον Κατοπτήριον χωρίον, ἐξ οὗ δι’ ἡμέρας καὶ νύκτας καταιγίζεται πανταχόθεν. Ἄνθεια πόλις Πελοποννήσου, πλησίον Ἄργους, ὡς Φίλων. ἔστι δὲ Ἄνθεια καὶ τοῦ Πόντου πόλις πρὸς τῇ Θρᾴκῃ, Μιλησίων καὶ Φωκαέων ἄποικος, ἧς μέμνηνται πολλοὶ καὶ Φιλέας. ἔστι καὶ κώμη Λιβύης. Παυσανίας δὲ Ἄνθειαν Θουρίαν πόλιν Μεσσηνίας φησίν. Ἄντεια πόλις Ἰταλίας ὑπήκοος Ῥωμαίων. ἐκλήθη δὲ ἀπὸ Κίρκης παιδός. «Ὀδυσσέως γὰρ καὶ Κίρκης υἱοὺς γενέσθαι τρεῖς, Ῥῶμον, Ἀντείαν, Ἀρδείαν». μετωνομάσθη δὲ καὶ Ἄντιον. Ἀράφεια νῆσος Καρίας. Παρθένιος ἐν Ἰφίκλῳ «καὶ εἰναλίην Ἀράφειαν». Γρώνεια πόλις Φωκίδος, Γρύνεια τῆς Τρωάδος. Ἀριαράθεια πόλις πλησίον Καππαδοκίας ἀπὸ Ἀριαράθου Καππαδοκίας βασιλεύσαντος, γαμβροῦ Ἀντιόχου. Αἰγιάλει α· οὕτως ἐκέκλητο Ἄργος. Ὑπέρεια Ἄργος ἡ Φαιάκων πόλις ἐκέκλητο, ἔστι καὶ Ὑπέρεια πηγὴ Μεσηΐδος. Ἀπεράντεια πόλις Θεσσαλίας. Πολύβιος εἰκοστῷ. Ἀντινόεια πόλις Αἰγύπτου ἀπ’ Ἀντινόου παιδός. Ἀντιόχεια πολλαὶ πόλεις· πρώτη Σύρων. ἡ δευτέρα ἐκλήθη ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, Λυδίας. τρίτη Μεσοποταμίας, Μυγδονία καλουμένη, ἥτις πρὸς τῶν ἐπιχωρίων Νάσιβις καλεῖται. τετάρτη Πισιδίας. πέμπτη μεταξὺ κοίλης Συρίας καὶ Ἀραβίας, Σεμιράμιδος.

3,1 277 ἕκτη Κιλικίας ἐπὶ τοῦ Πυράμου. ἑβδόμη Πιερίας, ἣν Ἄραδον οἱ Σύροι καλοῦσιν. ὀγδόη ἡ ἐπὶ τῆς Καλλιρρόης λίμνης. ἐνάτη ἐπὶ τῷ Ταύρῳ ἐν Κομμαγηνῇ, δεκάτη ἐν Σκυθίᾳ. ἑνδεκάτη Καρίας, ἥτις καὶ Πυθόπολις ἐκαλεῖτο. «Ἀντιόχῳ γὰρ τῷ Σελεύκου τρεῖς γυναῖκες ἐπέστησαν ὄναρ, κτίσαι πόλιν ἐν Καρίᾳ ἑκάστη λέγουσα. ὁ δὲ ὑπολαβὼν τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὴν ἀδελφήν, κτίζει τρεῖς πόλεις ἀπὸ μὲν τῆς ἀδελφῆς Λαοδίκης Λαοδίκειαν, ἀπὸ δὲ τῆς γυναικὸς Νύσης Νῦσαν, ἀπὸ δὲ τῆς μητρὸς Ἀντιοχίδος Ἀντιόχειαν». δωδεκάτη ἐν τῇ Μαργιανῇ Παρθυαίων. Στράβων ἑνδεκάτῃ (p. 516). τρισκαιδεκάτη ἡ Ταρσός. τεσσαρεσκαιδεκάτη Ἰσαυρίας ἡ Λαμπωτὶς λεγομένη. Ἀσπαλάθεια πόλις Ταφίων. Νίκανδρος ἑτεροιουμένων πρώτῃ «Ἀσπαλάθεια βοήροτος». Ἀττάλεια πόλις Λυδίας. Ἁγνώνεια πόλις Θρᾴκης πλησίον Ἀμφιπόλεως, Ἅγνωνος κτίσμα τοῦ στρατηγοῦ τῶν Ἀθηναίων. Αἰξώνεια πόλις Μαγνησίας. Ἀκαδήμεια γυμνάσιον Ἀθήνησιν ἀπὸ Ἀκαδήμου. γράφεται καὶ διὰ τοῦ ε Ἐκαδήμεια· οἱ δ’ ὅτι Ἔχεμος ὁ Ἀρκὰς συστρατεύσας τοῖς Διοσκούροις ὑποχείριον ἔσχε τὴν Ἀττικήν, ἐξ οὗ Ἐχεδήμειάν φασιν. μὴ βουλόμενοι δὲ σώζεσθαι τὸ ὄνομα Ἀκαδήμειαν ἔφασαν. ἀκρώρεια ἄκρον ὄρους. Ἀλύζεια πόλις Ἀκαρνανίας ἀπὸ τοῦ παιδὸς Ἰκαρίου κληθεῖσα Ἀλύζου. Ἀμάσεια πόλις Ποντική. Ἄμφεια πόλις Μεσσήνης. Παυσανίας τετάρτῳ (5, 8). Ἁρπαλύκεια πόλις Φρυγίας κτίσμα Γορδιοτειχιτῶν. Βάλκεια πόλις περὶ τὴν Προποντίδα. Βατίεια τόπος τῆς Τρωάδος ὑψηλὸς ἀπὸ Βατείας τινός, ὡς Ἑλλάνικος ἐν πρώτῃ Τρωϊκῶν ἤ, ὡς Ἐπαφρόδιτός φησιν, ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ πάτου τῶν ἵππων ἤγουν τῆς ἀναστροφῆς τροπῇ τοῦ π εἰς β ἢ ἀπὸ τῶν βάτων. Ὅμηρος (Β 813) «τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν». Βοαύλεια πόλις Σκυθίας. Πείσανδρος εἰκοστῇ ἕκτῃ. Βούδεια πόλις ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην. Ὅμηρος (Π 572) Βούδειον ἔφη «ὅς ῥ' ἐν Βουδείῳ εὐναιομένῳ». ἀπὸ τοῦ οἰκίσαντος Βουδείου. οὕτω τιμᾶται Βούδεια ἡ Ἀθηνᾶ ἐν Θετταλίᾳ. Λυκόφρων (v. 359) ἡ πολλὰ δὴ Βούδειαν αἴθυιαν κόρην ἀρωγὸν αὐδάξασα τάρροθον γάμων. ἔστι καὶ Βούδεια πόλις Φρυγίας. Βουκεφάλεια πόλις ἐπὶ τῷ Βουκεφάλῳ ἵππῳ, ἣν ἔκτισεν Ἀλέξανδρος ἐν Ἰνδίᾳ παρὰ τὸν Ὑδάσπην ποταμόν. Γερμανίκεια πόλις Εὐφρατησίας. Γήρεια πόλις Ἰνδική. Γυλάκει α. οὕτως ἐκαλεῖτο ἡ τῆς Ἰλλυρίας Ἀπολλωνία ἀπὸ Γύλακος Κορινθίου. Δαιδάλεια πόλις Ἰταλίας Δαιδάλου κτίσμα. Δεκέλεια δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς ἀπὸ Δεκέλου τοῦ ἡγησαμένου τοῖς Διοσκούροις εἰς Ἀφίδνας, ὡς Ἡρόδοτος ἐνάτῳ (c. 73). λέγεται καὶ Δεκελιά, ὅθεν τὸ τοπικὸν Δεκελιᾶθεν. Δικαιάρχεια πόλις Ἰταλίας, ἣ ἐκέκλητο Ποτίολοι. πότια δὲ τὰ φρέατα καλοῦσι Ῥωμαῖοι, ὀλῆρε δὲ τὸ ὄζειν.

3,1 278 δυσώδη γὰρ τὰ φρέατα εἶχε. Διομήδεια πόλις Δαυνίων κτίσμα Διομήδους. καὶ νῆσος ἡ Διομήδεια. ἔστι καὶ τόπος Διομήδεια πλησίον Ἀργυρίππων. Ἐλάτεια πόλις Φωκίδος ἀπὸ Ἐλάτου. ἔστι καὶ Θετταλίας. ἔστι καὶ Θεσπρωτίας, ἣν καὶ Ἐλατρίαν φασὶ διὰ τοῦ ρ . Ἐλέγεια χωρίον πέραν Εὐφράτου. Ἀρριανὸς ἐν Παρθικῶν η'. Ἔμεια τόπος πλησίον Μυκηνῶν. Ἔμεια δὲ λέγεται, ἐπειδὴ ἐκεῖ ἤμεσεν ὁ Κέρβερος ἀνελθὼν ἐκ τοῦ Ἅιδου ἢ ἐπειδὴ ὁ Θυέστης φαγὼν τὰ τέκνα αὐτοῦ ἐκεῖ ἤμεσεν. Ἐπιφάνεια πόλις Συρίας κατὰ Ῥαφανέας ἐν μεθορίοις Ἀράδου. δευτέρα Κιλικίας. τρίτη Βιθυνίας. τετάρτη κατὰ Τίγριν. Ἐρίκεια δῆμος Ἀθήνησι τῆς Αἰγηΐδος φυλῆς. Ἐρύσθεια πόλις Κύπρου. Εὔγεια χωρίον Ἀρκαδίας. Θεόπομπος εἰκοστῷ ἕκτῳ. Εὐέλγεια πόλις. Ἑκαταῖος περιηγήσει. Εὐκάρπεια δῆμος τῆς μικρᾶς Φρυγίας. Εὐμένεια πόλις Φρυγίας Ἀττάλου καλέσαντος ἀπὸ Εὐμενοῦς τοῦ Φιλαδέλφου. ἢ Ὕλλος καλῶς μείνας ὠνόμασεν οὕτως. δευτέρα Καρίας, τρίτη ἐπὶ Ὑρκανίᾳ. Εὐωνύμεια πόλις Καρίας. ἔστι καὶ δῆμος Ἀθηναίων ἀπὸ Εὐωνύμου τοῦ Γῆς καὶ Οὐρανοῦ ἢ Κηφισοῦ. λέγεται καὶ ὁ δῆμος Εὐώνυμος. Ἠετιώνεια, οὕτως ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα ἀπὸ Ἠετίωνος Ἡράκλεια πόλις Θρᾴκης ἐν τῷ Πόντῳ διάσημος. β' Σικελίας. γ' Λυδίας. δ' Λιβύης. ε' Σαρδοῦς. ϛ' Ἰταλίας. ζ' Κελτικῆς. η' Θεσσαλίας. θ' Καρίας. ι' ἐν τῷ Λυδίῳ Ταύρῳ. ια' μεταξὺ Σκυθίας καὶ Ἰνδικῆς. ιβ' νῆσος ἐν τῷ Καρπαθίῳ πελάγει. ιγ' Συρίας. ιδ' Φοινίκης. ιε' Πιερίας. ιϛ' πόλις καὶ νῆσος .... ιζ' Κρήτης. ιη' Πισαϊκή. ιθ' Καρίας, ἡ λεγομένη Ἀλβάκιος, μεσόγειος. κ' πόλις πρὸς τῇ Κυμαίᾳ τῆς Αἰολίδος. κα' Ἀκαρνανίας πόλις. κβ' νῆσος ἐν τῷ Ἀτλαντικῷ. κγ' Μακεδονίας, Ἀμύντου τοῦ Φιλίππου κτίσμα. Ἰσοκράτεια μία τῶν Ἀμαζόνων. Θώκνεια πόλις Ἀρκαδίας ἀπὸ Θώκνου. Παυσανίας ὀγδόῳ (c. 3, 2). Ἰλούργεια πόλις Ἰβηρίας. Πολύβιος ἑνδεκάτῃ. Καισάρεια μητρόπολις τῆς Καππαδοκίας ἡ πρὶν Εὐσέβεια καὶ Μάζακα ὡς Στράβων (12 p. 537). εἰσὶ καὶ ἄλλαι τούτῳ τῷ ὀνόματι προσαγορευόμεναι. Καλαύρεια νησίδιον πρὸς τῇ Κρήτῃ ἀπὸ Καλαύρου τοῦ Ποσειδῶνος. Κάρπει α· οὕτως τινὲς τὴν Κάλπην πόλιν φασί. Κασάνδρεια πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ἥ ποτε Ποτίδαια λεγομένη, ἀπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου. Κεκρυφάλεια ἄκρα τις, περὶ ἣν ἐνίκησαν Αἰγινήτας Ἀθηναῖοι. τινὲς δὲ νῆσον αὐτήν φασι Πελοποννήσου. Κορώνεια πόλις Βοιωτίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κορώνου τοῦ Θερσάνδρου. δευτέρα πόλις Πελοποννήσου μεταξὺ Σικυῶνος καὶ Κορίνθου. τρίτη τῆς Φθιώτιδος. ἔστι καὶ φρούριον τῆς Ἀμβρακίας. τετάρτη πόλις Κύπρου. ἔστι καὶ χερρόνησος πρὸς τὴν Ἀττικήν. Κράνεια χωρίον Ἀμβρακιωτῶν. Θεόπομπος πεντηκοστῷ πρώτῳ. Κυβέλεια πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ. Κυνέτεια πόλις Ἄργους. Καλλίμαχος δευτέρῳ. Λαγίνεια πολίχνιον Βιθυνίας. Λάεια πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Λακέρεια πόλις Μαγνησίας. Ἑλλάνικος Δευκαλιωνείας πρώτῳ.

3,1 279 ἔστι καὶ τῆς Ἰταλίας. καὶ ἄλλη Ἀργολίδος ἡ καὶ Ἑρμιόνη. Λάμπεια ὄρος Ἀρκαδίας. Παρθένιος Ἀνθίππῃ. Λαμπέτεια πόλις Βρεττίας. Πολύβιος τρισκαιδεκάτῳ. Λύζεια πόλις Ἀκαρνανίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Λυζέως τινός. Λαμπώνεια πόλις Τρῳάδος. Ἑκαταῖος Ἀσίᾳ. Ἑλλάνικος δὲ Λαμπώνιον αὐτήν φησι. Πιτύει α· οὕτως Ἐπαφρόδιτος ὑφ᾽ Ὁμήρου (Β 829) Λάμψακον κληθῆναι διὰ τὸ πιτύων πλῆθος, Λαομεδόντειαν καλουμένην. Λαοδαμάντεια νῆσος ἐν Λιβύῃ. Ἀρτεμίδωρος. ἐκαλεῖτο δὲ Λαομεδόντεια ἴσως ἀπὸ Λαομέδοντος τοῦ Τρωός. Λιρνύτεια πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. Λυκώρεια κώμη ἐν Δελφοῖς. Καλλίμαχος ἐν τρίτῳ. ἀπὸ Λυκωρέως τοῦ βασιλέως. Λυσιμάχεια πόλις τῆς Θρᾴκης χερρονήσου ἡ πρότερον Καρδία. Μακύνεια πόλις Αἰτωλίας. Στράβων δεκάτῃ (p. 451. 460). Μάρεια πόλις καὶ λίμνη τῇ Ἀλεξανδρείᾳ παρακειμένη, ἣ καὶ Μαρεῶτις λέγεται. Μελάμπεια πόλις Λυδίας ἀπὸ Μελάμπου, ὡς Ξάνθος ἐν Λυδιακοῖς. Μίδεια πόλις ἐν Ἄργει ἀπὸ Μιδείας τῆς Ἀλωέος θυγατρός. λέγεται καὶ χωρὶς τοῦ ι Μιδέα. ἔστι καὶ ἑτέρα πόλις Βοιωτίας. Ὅμηρος «οἵ τε πολυστάφυλον Ἄρνην ἔχον οἵ τε Μίδειαν» (Β 507). ἔστι καὶ Λυκίας ἄλλη. Μολύνδεια πόλις Λυκίας ἀπὸ Μολυνδέως. Ἀλέξανδρος ἐν τῷ περὶ Λυκίας πρώτῳ. Μύρλεια πόλις Βιθυνίας ἀπὸ Μύρλου τοῦ Κολοφωνίων ἡγεμόνος· οἱ δὲ ἀπὸ Μυρλείας Ἀμαζόνος. Νακόλεια πόλις Φρυγίας. Στράβων δωδεκάτῃ (p. 576). διὰ τῆς ει διφθόγγου παρὰ τὸν Νάκολον τὸν Δασκύλου παῖδα. ἔστι καὶ οὐδέτερον Νακόλαιον ἀπὸ Νακόλης νύμφης ὥσπερ ἀπὸ τοῦ νύμφη νύμφαιον καὶ Ἥρα Ἥραιον. Νεάνδρεια πόλις Τρῳάδος ἐν Ἑλλησπόντῳ, ὡς Χάραξ. λέγεται καὶ Νεάνδρειον οὐδετέρως ὡς Θεόπομπος. Νεοκαισάρεια Ποντικὴ πόλις. ἔστι καὶ Βιθυνίας. Νικομήδεια πόλις Βιθυνίας ἀπὸ Νικομήδους τοῦ Ζηΐλα παιδὸς ἐπισημοτάτου βασιλέως ἣ καὶ Ὀλβία ἐκλήθη. Παρώρεια πόλις Ἀρκαδίας. λέγεται δὲ καὶ Παρωραία. Πελόπεια πόλις Λυδίας ἡ ὕστερον Θυάτειρα. Πήρεια Θεσσαλίας χωρίον. Πιάλεια πόλις Θεσσαλικὴ ὑπὸ τὸ Κερκετικὸν ὄρος. Πλειστάρχεια πόλις Καρίας, ἣ καὶ πρότερον καὶ ὕστερον Ἡράκλεια ὠνομάσθη. Πλώθεια δῆμος Αἰγηΐδος φυλῆς, ἣ καὶ Πλωθιά. Ποδάλεια πόλις Λυκίας πλησίον Λιμύρων. Πολίτεια πόλις Ἀχαΐας. Προγάσεια πόλις Λυδίας. Ῥαφάνεια πολίχνιον Συρίας, Ῥάφεια πόλις Συρίας. Ῥόβεια Πιερίης. Σαλώνεια πόλις Βιθυνίας. Σαμάρεια πόλις τῆς Ἰουδαίας. Σάνεια πόλις Ἰνδική. Ἀρριανὸς Ἀλεξανδριάδος ἑβδόμῳ. Σελεύκεια πόλις ἐπὶ Κιλικία τραχεῖα λεγομένη. ὠνόμασε δὲ Σελεύκειαν αὐτὴν Σέλευκος ὁ Νικάτωρ, ὡς Ἀλέξανδρός φησι. πρότερον δὲ Ὀλβία ἐκαλεῖτο καὶ Ὑρία. Σκάνδεια ἐπίνειον Κυθήρων, ὡς Παυσανίας τρίτῳ (c. 23, 1). Σολύγεια κώμη Κορίνθου, ὡς Θουκυδίδης τετάρτῃ (c. 42). Στρατονίκεια πόλις Μακεδόνων πλησίον Καρίας, κέκληται δὲ ἀπὸ Στρατονίκης τῆς Ἀντιόχου γυναικός. ἔστι καὶ ἕτερον πολίχνιον πρὸς τῷ Ταύρῳ. Στρούθεια πόλις Φρυγίας ἐν τοῖς ὅροις Λυκαονίας. Σφήκεια πόλις Εὐβοίας. Λυκόφρων (v. 447) «οἱ πέντε που Σφήκειαν εἰς Κεραστίδα». οὕτω δὲ καὶ ἡ Κύπρος ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων ἐκεῖ ἀνδρῶν, οἳ ἐκαλοῦντο Σφῆκες.

3,1 280 Τεμένεια πόλις Φρυγίας πρὸς τῇ Λυκαονίᾳ. Πολυάνθεια πρότερον ἐκαλεῖτο Τράλλις πόλις Λυδίας διὰ τὸ πολλὰ ἄνθη ἐκεῖ πεφυκέναι. Τράφεια πόλις Βοιωτίας πολλὰ θρέμματα ἔχουσα. Τρίτεια πόλις Τρωϊκὴ Ἀρισβαίων κτίσμα. ἔστι καὶ ἄλλη μεταξὺ Φωκίδος καὶ Λοκρῶν τῶν Ὀζολῶν. Ὑάμεια πόλις Μεσσήνης τῶν πέντε μία. Ὑάπεια πόλις Φωκίδος ἀπὸ Ὑάπου. Φιδάλεια ἡ Βύζαντος γυνή. Φαρνάκεια χώρα καὶ πόλις Ποντική, προσεχὴς τῇ Τραπεζοῦντι. Φαναγόρεια πόλις, ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος Ἀσίᾳ. ἡ νῆσος Φαναγόρη καὶ Φαναγόρεια. Φήγεια πόλις Ἀρκαδίας ἀπὸ Φηγέως βασιλέως, ὡς Χάραξ Ἑλληνικῶν δʹ. Φιγάλεια πόλις Ἀρκαδίας. Ῥιανὸς ἐν εʹ Μεσσηνιακῶν «τὴν μὲν ἀνήγετ᾽ ἄκοιτιν ἐπὶ κραναὴν Φιγάλειαν». μετωνομάσθη δὲ Φιάλεια δίχα τοῦ γ ἀπὸ Φιάλου τινός. ἔστι καὶ Φιάλεια Βιθυνίας. Φορίεια κώμη Ἀρκαδίας. Φιλαδέλφεια πόλις Λυδίας, Ἀττάλου κτίσμα τοῦ φιλαδέλφου. ἔστι δὲ τῆς Κεκαυμένης ὑπὸ Μυσῶν καὶ Λυδῶν κατεχομένης· Στράβων ιβʹ (p. 579). ἔστι καὶ ἑτέρα. τῆς Αἰγύπτου, καὶ τρίτη τῆς Συρίας ἐπιφανὴς πόλις ἀπὸ Πτολεμαίου τοῦ φιλαδέλφου. Ἀράντει α· οὕτως ἐκαλεῖτο Φλιοῦς πόλις Πελοποννήσου. Θέσπεια πόλις Βοιωτίας, Θεσπιάδου κτίσμα, κατὰ δέ τινας Θεσπίου τοῦ Τεύθραντος τοῦ Πανδίονος· Ὅμηρος «Θέσπειαν Γραῖάν τε» (Β 498). γράφεται καὶ διὰ τοῦ ι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκτείνεται καὶ συστέλλεται παρὰ Κορίννῃ «Θέσπια, καλλιγένεθλε, φιλόξενε, μουσοφίλητε». καὶ ἐπίγραμμα τῶν ἀναιρεθέντων ὑπὸ τῶν Περσῶν. ἦν δὲ Φιλιάδου Μεγαρέως, ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος, λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος. πληθυντικῶς δὲ Θεσπιαί ὀξυτόνως. ὀξύνεται δὲ καὶ διὰ τὸ πληθυντικῶς λέγεσθαι Ὄρνεια ί, κώμη Ἀργείας· ἔστι καὶ ἑτέρα πόλις μεταξὺ Κορίνθου καὶ Σικυῶνος. Ὅμηρος (Β 571) «Ὀρνειάς τ' ἐνέμοντο». γράφονται δὲ διὰ διφθόγγου αἱ Ὀρνειαί καὶ Βρυσειαί πόλις Ἤλιδος καὶ Αὐγειαί πόλις Λοκρίδος. Ὅμηρος (Β 532) «καὶ Αὐγειὰς ἐρατεινάς». ἔστι καὶ Λακωνικὴ πόλις Αὔγεια. τὸ δὲ ἐγχεία καὶ ἐλεγχεία, ἃ ὤφειλε προπαροξύνεσθαι, οἱ Ἀττικοὶ ἐκτείνοντες τὸ α ὡς ἐν τῷ ἱέρεια ἱερεία παροξύνουσιν.

3,1 281 Τὰ εἰς α συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῇ οι διφθόγγῳ προπαροξύνεται, εὔνοι α , πρόνοι α , ἄνοι α , εὔχροι α , δύσχροι α , εὔπλοι α , δύσπλοι α , παλίρροι α , ἀπόρροι α , ὀρθόπνοι α , δύσπνοι α . Εὔβοια νῆσος, ἀπὸ Εὐβοίας. Ἡρόδοτος (5, 31). ἔστι καὶ τόπος ἐν Ἄργει. ἔστι καὶ πόλις ἐν Μακεδονίᾳ, εἰς ἣν οἱ ἀπὸ τῆς νήσου εἰς Ἰλλυριοὺς ἀποβάντες Ἄβαντες ἐκλήθησαν. Μελίβοια πόλις Θεσσαλίας. Στράβων ἐνάτῳ (p. 436). Περίβοι α , Στενόβοι α , Ἀλίνδοια πόλις Μακεδονίας. Βέροια πόλις Μακεδονίας, ἣν Φέρωνα κτίσαι φασίν, αὐτοὺς δὲ τὸ φ εἰς β μεταποιεῖν, ὡς Φάλακρον Βάλακρον καὶ Βίλιππον καὶ Κεβαλῖνον. ἄλλοι ἀπὸ Βεροίας τοῦ Βέρητος τοῦ Μακεδόνος. ἔστι καὶ πόλις Συρίας. Ἐλίξοια νῆσος Ὑπερβορέων οὐκ ἐλάσσων Σικελίας ὑπὲρ ποταμοῦ Καραμβύκα. οἷς ἀκόλουθον τὸ ἔσσοι α , τρίττοια ἡ θυσία, ἥτις ἐκ τριῶν ζῴων ἐθύετο ἢ ὅτι τριγενῆ ἦν τὰ θυόμενα. τὸ δὲ νεοία μακρὸν ἔχον τὸ α παροξύνεται. Τὰ εἰς α συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῇ υι διφθόγγῳ προπαροξύνεται, ἅρπυια παρὰ τὸ ἅρπω, οὗ παραγωγὸν ἁρπάζω. ἔστι καὶ πόλις ἐν Ἰλλυρίᾳ παρ' Ἐγχελέαις, εἰς ἣν Βάτων ὁ Ἀμφιαράου ἡνίοχος μετὰ τὸν ἀφανισμὸν αὐτοῦ ἀπῴκησε. Πολύβιος. Εἰλείθυια καὶ Εἰλήθυι α· ἔστι καὶ Εἰληθυίας πόλις Αἰγυπτιακή. Ὠρείθυι α , αἴθυι α , ἄγυι α· Ἡρακλέων ὁ Γλαύκου παρὰ τὸ ἄγω φησίν· ἔστι δὲ ὡς παρὰ τὸ ἅρπω ἅρπυια, ὀρέγω ὄργυια, ἃ πληθυντικῶς ὀξύνεται. «μέσην ἐς ἄγυιαν» (Il. Υ 254), «ἐϋκτιμένας» δὲ «κατ' ἀγυιάς» (Ζ 391). Ἴδυι α. τὸ δὲ μητρυιά μακρὸν ἔχον τὸ α ὀξύνεται. Τὰ διὰ τοῦ αια μονογενῆ μακρὸν ἔχοντα τὸ α παροξύνεται, σεληναί α , ἁμαξαί α , Γενηταία ἄκρα ὡς Ἀπολλώνιος (Argonaut. II 378), Ἀθηναία ἡ θεὸς μονογενῶς.

3,1 282 λέγεται δὲ καὶ ἐπὶ γυναικός, ὡς ἄλλοι μὲν πολλοί, Φιλήμων δὲ οὕτως ἐν Πτερυγίῳ νυνὶ δ' ὅταν λάβῃ τις εἰς τὴν οἰκίαν τὰς Ἱππονίκας τᾶσδε καὶ Ναυσιστράτας καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω. Δίδυμος δέ φησιν, ὅτι Ἀθηναίας λέγουσιν ἀντὶ τοῦ Ἀττικάς. ἀστὰς δὲ τὰς γυναῖκας ἔλεγον οὐ διὰ τὸ μὴ δύνασθαι λέγειν Ἀθηναίας, ἀλλ' ἐπειδὴ καὶ τοὺς ἄνδρας ἀστοὺς ἐκάλουν. ἀναγκαί α , ἀρχαί α , θυραία ἐπὶ τῆς διεξόδου, εὐναία τραγικῶς ἡ ἄγκυρα· ἔστι καὶ πόλις Ἄργους Εὐναί α . γαληναί α , σφενδοναί α , δραχμαί α , ὀπαί α, κεραμὶς τὴν ὀπὴν ἐπικλείουσα, περικεφαλαί α , πυκναία παρ' Ἴωνι ἡ πνύξ. Δίδυμος δέ φησιν ὅτι «τὴν πύκνα ἂν εἴη λέγων. τὸ δὲ πυκναία ἀπὸ τοῦ πυκνή παρῆκται, ὅπερ οὐκ εἴρηται. οὐδεὶς γὰρ εἶπε προσηγορικῶς ἢ κυρίως τὸ πυκνή. τὰ γὰρ τοιαῦτα ὡς ἐπίπαν ἀπὸ μακροπαραλήκτων παράγεται, εὐνή εὐναία, Γυρή Γυραία, ἀνάγκη ἀναγκαί α. τὸ ὡς ἐπίπαν εἴρηται διὰ τὸ ἅμαξα ἁμαξαία καὶ κέρας κεραί α» . Ἰουδαία Ἀλέξανδρος ὁ πολυίστωρ ἀπὸ τῶν παίδων Σεμιράμιδος Ἰούδα καὶ Ἰδουμαία, ὡς δὲ Κλαύδιος Ἰούλιος ἀπὸ Οὐδαίου Σπάρτων ἑνὸς ἐκ Θήβης μετὰ Διονύσου ἐστρατευκότος. Ἀλθαία πόλις Ὀλκάδων. Αἰγαί α· οὕτως ἐκαλεῖτο ἡ Κάρυστος ἀπὸ Αἰγαίωνος τοῦ δυναστεύοντος. Ἀναία πόλις Καρίας «ἀντικρὺ Σάμοιο» κέκληται ἀπὸ Ἀναίας Ἀμαζόνος ἐκεῖ ταφείσης, ὡς Ἔφορος. Ἀμφαναία πόλις Δωρική. Θεόπομπος ἐν πέμπτῳ Φιλιππικῶν. Ἀμφανὰς δὲ καλεῖ αὐτὴν Ἑκαταῖος ἐν πρώτῃ γενεαλογιῶν. Ἀνακαία δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. Ἀρταία Περσικὴ χώρα, ἣν ἐπόλισε Πέρσης ὁ Περσέως καὶ Ἀνδρομέδας. Ἑλλάνικος ἐν Περσικῶν πρώτῃ. Ἀταία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλις Λακωνική. Βελγαία ἡ χώρα. Βουραία πόλις Ἰταλίας ὑπὸ Βουραίου κτισθεῖσα. Γορδυαία χώρα Περσικὴ ἀπὸ Γόρδυος Τριπτολέμου παιδός, τοῦ κατὰ ζήτησιν Ἰοῦς ἐξ Ἄργους ἐλθόντος εἰς Συρίαν. ἔστι δὲ ἡ πόλις παρὰ τὰς ἐκβολὰς τοῦ Τίγριδος. Ἐλαία πόλις τῆς Ἀσίας Αἰολική, Περγαμηνῶν ἐπίνειον ἣ Κυδαινίς ὠνομάζετο, Μενεσθέως κτίσμα. ἔστι καὶ πόλις Φοινίκης Ἐλαία μεταξὺ Τύρου καὶ Σιδῶνος, ὡς Φίλων. καὶ Ἐλαία Βιθυνίας ἐπίνειον πλησίον Μυσίας. ἔστι καὶ λιμὴν Αἰθιοπίας καὶ νῆσοι τρεῖς. Ἐλυμαία χώρα Ἀσσυρίων πρὸς τῇ Περσικῇ τῆς Σουσίδος ἐγγύς. Ἐορδαία δύο χῶραι, Μυγδονίας καὶ Μακεδονίας· εἰσὶ δὲ ἄλλαι δύο, ἡ μὲν Ἰβηρίας, ἡ δὲ Θρᾴκης ἀπὸ Ἐορδοῦ τινος. Ἡλιαία δικαστήριον Ἀθηναίων παρὰ τὸ «ἁλέες δεῦτε» παραγωγὸν ἁλία καὶ ἡλιαία.

3,1 283 Ἡραί α· οὕτως ἐκαλεῖτο ἡ ἐλάττων Ὕβλα. Κασταναία πόλις Θεσσαλίας. Εὔδοξος δὲ διὰ τοῦ θ φησί. Λυκόφρων (v. 907) «καὶ Κασταναίαν ἀκτέριστον ἐν πέτραις». Κοσσαία μέρος Περσίδος· Στράβων ιϛʹ (p. 744). ἔστι καὶ Θρᾴκης πολίχνιον. Καρταία πόλις Ἰβηρίας, περὶ ἧς Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων. Κυρταία πόλις ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, εἰς ἣν ὑπερώρισεν Ἀρταξέρξης Μεγάβυζον. Κτησίας τρίτω Περσικῶν. Κυτταία πόλις Κολχική, ἣ καὶ Κύτα. Λυκόφρων (v. 1312) «ὃς εἰς Κυταίαν τὴν Λιβυστίνην μολών». Λιβυσσαία ἀπὸ τοῦ Λίβυσσα. Λιμναία κώμη τοῦ Ἄργους. Θουκυδίδης (2, 80). Νυμφαία ἡ νῆσος Καλυψοῦς παρὰ τῷ Ἀδρίᾳ. Ὀρδαία πόλις Μακεδονίας. Παρθυαία ἡ χώρα. Παροιταία χώρα τῆς Ἐρυθρᾶς θαλάσσης πλησίον. Παρωραία Ἀρκαδίας πόλις ἡ καὶ Παρώρεια. ἔστι καὶ Μακεδονίας πόλις. Περαία πολίχνιον Συρίας. ἔστι καὶ χώρα Κορίνθου Περαία λεγομένη. Πυλαία τόπος Ἀρκαδίας, ὃς καὶ Πύλαι. Πυραία μοῖρα Θεσσαλίας ὠνομασμένη ἀπὸ Πύρας. Πυρηναία πόλις Λοκρίδος. Πυρωναία πόλις Λοκρίδος ἀπὸ Πύρωνος «Λοκρῶν ἀγυιαὶ καὶ Πυρωναῖαι νάπαι» (Lycophr. v. 1149). Ῥηναία μικρὰ νῆσος πλησίον Δήλου, ἣ καὶ Ῥήνη καὶ Ῥηνίς. Αἰθραί α· οὕτως ἐκαλεῖτο ἡ Ῥόδος. Ῥοξονοκαία πόλις. Τιθοραία πόλις Βοιωτίας ἀπὸ νύμφης Τιθοραίας, ὡς Παυσανίας ιʹ (32, 8). Τριταία πόλις Ἀχαΐας. Στράβων ὀγδόῃ (p. 341). Ἰδαία ἡ ὕστερον Τροία. οὕτως ἐκαλεῖτο καὶ ἡ Κρήτη. Τυμφαία πόλις. Ὑλαία χώρα Ποντική, Ἀβικὴ λεγομένη τουτέστιν ὑλαία. Ἀλέξανδρος ἐν τῷ περὶ Πόντου. Φηγαία δῆμος τῆς Αἰγηΐδος φυλῆς. Τὰ εἰς α καθαρὸν μονογενῆ παραληγόμενα ε βαρύνεται, εἰ μὴ πληθυντικὰ ἢ περιεκτικὰ εἴη, Ῥέ α , θέ α, ὅπερ Συρακόσσιοι θάα λέγουσιν, τὸ δὲ θεά ὀξύνεται· ἔστι δὲ καὶ Θέα πόλις Λακωνικῆς. Φιλόχορος τρίτῳ. Βρέα πόλις Θρᾴκης, εἰς ἣν ἀποικίαν ἐστείλαντο Ἀθηναῖοι. γέ α, ἐξ οὗ γῆ συνηρέθη· ἔστι καὶ Γέα πόλις πλησίον Πετρῶν ἐν Ἀραβίᾳ, ὡς Γλαῦκος ἐν Ἀραβικῇ ἀρχαιολογίᾳ. πτελέ α . ἰτέα «ὂν πτελέαι τε καὶ ἰτέαι» (Φ 350) καὶ «ὁ δὲ πτελέην ἕλε χερσίν» (Φ 242). ἐπὶ μὲν οὖν τούτου κατὰ τὴν αἰτιατικὴν πτῶσίν τινες ὀξύνουσι· — διὸ καὶ τὴν εὐθεῖάν τινες ὤξυνον· —καὶ δῆλον ὅτι κατὰ μεταβολὴν τόνου, ὥσπερ καὶ ἐπὶ τοῦ «ἦλθε κατ’ ἰγνύην βεβλημένος» (Ν 212) τὴν μεταβολὴν τῆς τάσεως ἐποιήσατο.

3,1 284 ἔστι καὶ Πτελέα δῆμος Οἰνηΐδος φυλῆς καὶ πόλις. οὕτω γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο, καὶ Ἰτέα δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. συκέ α , ἀμυγδαλέ α , μηλέ α , λεοντέ α , γαλέ α , Νεμέα χώρα τῆς Ἀργολίδος, Τενέ α· κώμη Κορίνθου ἀπὸ Τένου τοῦ Κύκνου, τινὲς δὲ Γενέα γράφουσι. Μαντινέα, ἣ καὶ Μαντίνεια καὶ Μαντίνη. Ὠκαλέα πόλις Βοιωτίας «Ὠκαλέην Μεδεῶνά τ’ ἐϋκτίμενον πτολίεθρον» Ὅμηρος (Β 501). ἐκαλεῖτο δὲ καὶ Ὠκάλεια, ὡς Ἀπολλόδωρος. ἐκλήθη δὲ οὕτω διὰ τὸ ὦκα καὶ συντόμως ἐκεῖθεν εἰς Θήβας πορεύεσθαι ἢ ἀπὸ ποταμοῦ παραρρέοντος. ἀλέα ἐπὶ τῆς θερμασίας καὶ ὁπότε δηλοῖ τὴν φυγὴν βαρύνεται, ἐπὶ δὲ τῆς Ἀθηνᾶς ὀξύνεται. ἐχρῆν δὲ καὶ τοῦτο βαρύνειν. καὶ τὸ Ἀλέα πόλις Ἀρκαδίας Θεόπομπος πεντηκοστῇ ἕκτῃ—ἔστι καὶ Θετταλίας καὶ ἄλλη Καρπητανῶν ἔθνους Κελτικοῦ—βαρύνεται. Ἀρδέα κατοικία τῆς Ἰταλίας. Στράβων πέμπτῃ (p. 228). ἐκλήθη δὲ ἀπὸ ἑνὸς τῶν παίδων Ὀδυσσέως καὶ Κίρκης. Ἀσέα κώμη τῆς Ἀρκαδίας, ἀφ’ ἧς ὁ Ἀλφειὸς ῥέει, ὃς καὶ Ἀσεάτης λέγεται. Τεγέα πόλις Ἀρκαδίας «καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν». Ὅμηρος (Β 607) καὶ Παυσανίας ηʹ (c. 3, 4) «Μαντινεὺς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τεγεάτης καὶ Μαίναλος Τεγέαν κτίζουσι καὶ Μαντίνειαν». ἔστι καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. Θυρέ α, περὶ ἧς Ἀργεῖοι καὶ Λακεδαιμόνιοι ἐπολέμησαν. ἔστι δὲ τῆς Κυνουρίας γῆς, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς. λέγεται καὶ πληθυντικῶς καὶ κατὰ συναίρεσιν Θυρῆ. Ἐλέα πόλις Ἰταλίας. ἐκαλεῖτο δὲ Ὑέλη. ὠνομάσθη δὲ Ἐλέα ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. Μαλέα ἄκρα πρὸς τῇ Πελοποννήσῳ καὶ Μάλεια διὰ διφθόγγου. Ὑδρέα νῆσος πρὸς τῇ Τροιζῆνι. Ἑκαταῖος Εὐρώπῃ. Ἀραιθυρέ α· οὕτως ἡ Φλιοῦς πάλαι. Ὅμηρος (B 571) «Ἀραιθυρέην τ᾽ ἐρατεινήν». Παυσανίας δευτέρῳ περιηγήσεως Ἑλλάδος (c. 12, 5) φησὶν ὅτι «Ἄραντος υἱὸς Ἄορις ἐγένετο καὶ θυγάτηρ Ἀραιθυρέα. τούτους Φλιάσιοί φασι θήρας ἐμπείρους γενέσθαι καὶ τὰ εἰς πόλεμον ἀνδρείους· προαποθανούσης δὲ τῆς ἀδελφῆς Ἄορις εἰς μνήμην τῆς ἀδελφῆς τὴν χώραν οὕτως ἔφη». Μανθυρέα κώμη Ἀρκαδίας. τὸ δὲ Κεγχρεαί πόλις Τρωάδος— δευτέρα πόλις καὶ ἐπίνειον Κορίνθου. τρίτη Ἰταλίας— Γαθεαί πόλις Ἀρκαδίας, Κεδρεαί πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Κορσεαί νῆσος τῆς Ἰωνίας καταντικρὺ Σάμου. Ἑκαταῖος Εὐρώπῃ.

3,1 285 λέγεται δὲ καὶ Κορσία διὰ τοῦ ι . Κροκεαί πόλις Λακωνική, τῶν ἑκατὸν πόλεων μία. λέγεται καὶ ἑνικῶς. Ὀρνεαί κώμη Ἀργείας, ἣ καὶ Ὀρνειαί—ἔστι δὲ καὶ ἑτέρα πόλις μεταξὺ Κορίνθου καὶ Σικυῶνος· καλεῖται δὲ οὕτως ἢ ἀπὸ Ὀρνέως τοῦ Ἐρεχθέως ἢ ἀπὸ Ὀρνέας νύμφης ἢ ὅτι ἐφ᾽ ὕψους κεῖται ἢ ὁμωνύμως Ὀρνέᾳ τῷ ποταμῷ—ὀξύνεται ὡς πληθυντικά. τὸ δὲ γενε ά , δωρε ά , ὀχεά περιεκτικά ἐστιν. Τὰ εἰς α μακρὸν μονογενῆ τῇ ει ἢ τῷ ι μακρῷ παραληγόμενα ἐπὶ οὐσίας τιθέμενα ὀξύνεται, χει ά , ζειά εἶδος κριθῆς, Φειά πόλις Ἠλείας. Ὅμηρος «Φειᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα» (H 135). λέγεται καὶ Φεά. φλι ά , θρι ά· θριαί δὲ αἱ μαντικαὶ ψῆφοι, ἃς εὗρεν Ἀθηνᾶ. ἀχθόμενος δὲ τοὺς τοῦ Ἀπόλλωνος .... ἄπιστον ὁ Ζεὺς ἐποίησε τὴν διὰ τῶν θριῶν μαντικὴν εὐδοκιμοῦσαν. διὸ καὶ Ἀπόλλων ἔφη «πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες». τὸ δὲ Θρῖα δῆμος τῆς Οἰνηΐδος φυλῆς προπερισπᾶται, πληθυντικῶς δὲ λεγόμενον ὀξύνεται Θρια ί. λέγεται καὶ Θριώ καὶ Θριώς. στι ά, οἷς ἠκολούθησε καὶ τὸ σκιά ι βραχεῖ παραληγόμενον. ἔστι δὲ καὶ Σκιά πολίχνιον Εὐβοίας. τὸ δὲ μνεί α , χρεία βαρύνονται, οὐ γὰρ ἐπὶ οὐσίας λαμβάνεται, καὶ τὸ λεία δὲ καὶ Φθία —πόλις καὶ μοῖρα Θετταλίας· Παρμενίσκος δὲ χώραν αὐτήν φησι οὐ πόλιν, οὐκ ὀρθῶς. ἐκλήθη δὲ ἀπὸ Φθίας γυναικὸς ἢ Φθίου Ποσειδῶνος καὶ Λαρίσης—βαρύνονται καὶ τὸ δεία ἡ ἔνδεια. τὸ δὲ θεία τριγενές ἐστι ὡς καὶ τὸ δῖα βραχυκατάληκτον μετὰ τοῦ ΐα καὶ πλεονασμῷ τοῦ μ μί α. ἔστι δὲ καὶ Δῖα πόλις Θεσσαλίας, Αἰακοῦ κτίσμα· β′ Θρᾴκης κατὰ τὸν Ἄθω.

3,1 286 γ′ Εὐβοίας. δ′ νῆσος καὶ πόλις Πελοποννήσου περὶ τὸ Σκύλλαιον. ε′ Λυσιτανίας περὶ τὸν Ὠκεανόν. ϛ′ Ἰταλίας πρὸς ταῖς Ἄλπεσιν. ζ′ Σκυθίας παρὰ τῷ Φάσιδι. η′ Καρίας. θ′ Βιθυνίας πρὸς τῷ Πόντῳ· εἰσὶ καὶ δ′ νῆσοι Δῖαι λεγόμεναι. α′ ἡ Νάξος. β′ ἡ πρὸς Μήλῳ. γ′ ἡ πρὸς Ἀμοργῷ. δ′ κατὰ Κνωσσὸν Κρήτης. Τὰ διὰ τοῦ ια ἐπὶ χωρῶν καὶ πόλεων κείμενα παροξύνεται, Λυκί α , Ἀσί α , Κιλικί α , Παφλαγονί α , Ἰτουρί α , Ἰταλία ἡ χώρα ἀπὸ Ἰταλοῦ, Σικελία ἡ νῆσος Σικανία πρότερον ὠνομάζετο, εἶτα Σικελία ἐκλήθη, ὥς φησιν Ἑλλάνικος Ἱερειῶν τῆς Ἥρας β′ «ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Αὐσόνες ὑπὸ τῶν Ἰαπύγων ἐξ Ἰταλίας ἀνέστησαν, ὧν ἦρχε Σικελός. καὶ διαβάντες εἰς τὴν νῆσον τὴν τότε Σικανίαν καλουμένην περὶ τὴν Αἴτνην καθιζόμενοι ᾤκουν αὐτοί τε καὶ ὁ βασιλεὺς αὐτῶν Σικελὸς βασιλείην ἐγκαταστησάμενος καὶ ἐντεῦθεν ὁρμώμενος ὁ Σικελὸς οὗτος πάσης ἤδη τῆς νήσου τότε ταύτης Σικελίας καλουμένης ἀπὸ τοῦ Σικελοῦ τούτου, ὃς καὶ ἐν αὐτῇ ἐβασίλευσε». καὶ Μένιππος δὲ ταὐτά φησιν. Θουκυδίδης δὲ οὕτως (6, 2) «ἐλθόντες εἰς Σικελίαν στρατὸς πολὺς ἐξ Ἰταλίας τούς τε Σικανοὺς κρατήσαντες μάχῃ ἀπέστειλαν εἰς τὰ μεσημβρινὰ καὶ τὰ ἑσπέρια μέρη αὐτῆς καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς ᾤκησαν ἔχοντες». μεγίστη δὲ αὕτη μαρτυρεῖται τῶν ἑπτά, καθά φησιν Ἄλεξις ὁ κωμικός τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος, ἐστὶν μεγίστη, δευτέρα Σαρδώ, τρίτη Κύρνος. τετάρτη δ᾽ ἡ Διὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρήτη τροφός, Εὔβοια πέμπτη στενοφυής, ἕκτη Κύπρος, Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦς’ ἔχει. ἔστι καὶ ἄλλη Σικελία κατὰ τὴν Πελοπόννησον. Καππαδοκί α , Ἀρμενί α , Τισία πόλις Ἰταλίας. Ἀγκαρία πόλις Ἰταλίας. Αἰολία νῆσος Αἰόλου. Ὅμηρος «Αἰολίην δ’ ἐς νῆσον ἀφικόμεθα» (Od. κ 1). Αἰτωλία χώρα ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ὃς ἐκπεσὼν ἀπὸ Πίσης ὑπὸ Σαλμωνέως συνῴκισε τὴν ἀπ’ αὐτοῦ κληθεῖσαν Αἰτωλίαν. πρότερον δὲ Ὑαντίς ἐκαλεῖτο. ἔστι καὶ Αἰτωλία πόλις Πελοποννήσου, ἣν συγκαταλέγει ταῖς Λακωνικαῖς πόλεσιν Ἀνδροτίων ἕκτῳ (?) Ἀτθίδος. Ἀμαντία Ἰλλυριῶν μοῖρα πλησίον Ὠρικοῦ καὶ Κερκύρας, ἐξ Ἀβάντων τῶν ἀπὸ Τροίας νοστησάντων ᾠκισμένη, κατὰ βαρβαρικὴν τροπὴν τοῦ β εἰς μ ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει.

3,1 287 Καλλίμαχος Ἀμαντίνην αὐτήν φησι ὡς Λεοντίνην «καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην». Ἀετί α· οὕτως ἐκλήθη ἡ Αἴγυπτος ἀπό τινος Ἰνδοῦ Ἀετοῦ. ἀλλὰ καὶ Ὠγυγία ἐκαλεῖτο καὶ Ἡφαιστί α . Αἰλία πόλις Παλαιστίνης ἡ πάλαι Ἱεροσόλυμα ἀπὸ Αἰλίου Ἀδριανοῦ. Ἀκραιφία πόλις Βοιωτίας. οἱ δὲ Ἀκραίφιον, Παυσανίας δὲ (9, 23, 5 et 9) Ἀκραίφνιον καὶ οὐδετέρως. ἦν δὲ ὑπὸ Ἀθάμαντος κτισθεῖσα ἢ ὑπὸ Ἀκραιφέως τοῦ Ἀπόλλωνος. Θεόπομπος δὲ τὰ Ἀκραίφνια φησίν. Ἀλμωπία χώρα τῆς Μακεδονίας, ἣν ᾤκουν Ἄλμωπες. Λυκόφρων (v. 1238) «ἐκ δ’ Ἀλμωπίας παλιμπλανήτην δέξεται Τυρσηνία» περὶ Αἰνείου λέγων. ἐκλήθη δὲ ἀπὸ Ἄλμωπος τοῦ Ποσειδῶνος καὶ Ἕλλης τῆς Ἀθάμαντος. Ἀλωπεκία νῆσος. Στράβων ἑνδεκάτῃ (p. 493). Ἀξία πόλις Λοκρῶν τῶν Ὀζολῶν, ἀπὸ Ἀξίας τῆς θυγατρὸς Κλυμένου ἢ τοῦ παιδὸς τοῦ Ἀξίου. ἔστι καὶ πόλις Ἰταλίας. Ἀπί α· οὕτως οἱ νεώτεροι τὸ Ἄργος. Αἰθιοπί α. Εὐριπίδης Ἐρεχθεῖ «Αἰθιοπίαν νιν ἐξέσως’ ἐπὶ χθόνα». Ἀρδία πόλις Ἰλλυρίας, Βαντία πόλις Ἰταλίας. Ἀντία πόλις Ἰταλίας. Ἀνδρία πόλις Ἠλείας καὶ ἑτέρα Μακεδονίας, ὡς Φιλέας ἐν περίπλοις. Ἀλβία ἡ χώρα διὰ τοῦ β . τὰ δὲ ὄρη Ἄλπεια καὶ Ἄλβια. Ἀμαξία πόλις τῆς τραχείας Κιλικίας. Στράβων ιδ′ (p. 669). Ἀδρία πόλις καὶ παρ’ αὐτὴν κόλπος Ἀδρίας καὶ ποταμὸς ὁμοίως, ὡς Ἑκαταῖος. Ἀτρία πόλις Τυρρηνίας, Διομήδους κτίσμα, χειμῶνος πλεύσαντος καὶ μετὰ τὸ διασωθῆναι καλέσαντος Αἰθρία. καὶ παρεφθάρη παρὰ τοῖς βαρβάροις τὸ ὄνομα. ἔστι καὶ ἄλλη πόλις Βοιῶν, ἔθνους Κελτικοῦ. Ἀραβία ἡ χώρα. Ἀρικία πόλις Λατίνων. Διονύσιος. Ἀρκαδία ἀπὸ τοῦ Ἀρκάς Ἀρκάδος ὡς Τέμμιξ Τέμμικος Τεμμικία. Ἀτροπατία ἡ τῆς Μηδίας δευτέρα μερὶς ἀπὸ τοῦ ἡγεμόνος Ἀτροπάτου. Ἀρρεντία πόλις Ἰταλίας. Ἀρσακία πόλις Μηδίας. Ἀφροδιτία χωρίον Λακωνικῆς. Θουκυδίδης δ′ (c. 56). Ἀχαιΐα παρὰ τὸ Ἀχαιός κύριον. ἔστι καὶ λόφος ἐν Καρύστῳ καὶ τόποι διάφοροι. Βερεκυντία χώρα ἀπὸ Βερεκύντου τινός. Βεσκία πόλις Αὐσόνων. Βιθυνία πρὸς τῷ Πόντῳ χώρα ἀπὸ Βιθυνοῦ τοῦ Διὸς καὶ Θρᾴκης τῆς Τιτανίδος, ἣ ἐκ μὲν Διὸς ἔσχε Βιθυνόν, ἐκ δὲ Κρόνου Δόλογκον. Βισαλτία πόλις καὶ χώρα Μακεδονίας ἀπὸ Βισάλτου τοῦ Ἡλίου καὶ Γῆς. Βοιωτία ἀπὸ Βοιωτοῦ Ἰτώνου τοῦ Ἀμφικτύονος. Κάστωρ δὲ ἀπὸ τῆς καθηγησαμένης Κάδμῳ βοὸς λεχθῆναι τὴν χώραν οὕτως. τινὲς δὲ ὡς οὐκ ὄντας ταῖς διανοίαις τοὺς Βοιωτοὺς ἄγαν εὐκινήτους. ἐκαλεῖτο δὲ καὶ Ἀονία καὶ Μεσσαπία καὶ Ὠγυγία. Βουθία πόλις Ἰωνίας. Θεόπομπος δὲ χωρίον φησί. Βουφία κώμη τῆς Σικυωνίας. Ἔφορος εἰκοστῷ τρίτῳ. Βραχί α· οὕτως ἡ Ἀραβικὴ θάλασσα ἐκαλεῖτο. ἐκλήθη δὲ διὰ τὸ ἐν αὐτῇ εἶναι βράχη πλεῖστα. Βρεττία νῆσος ἐν τῷ Ἀδρίᾳ ποταμὸν ἔχουσα Βρέττιον. ἔστι δὲ καὶ Βρεττία χώρα τῶν Βρεττίων. Ἀντίοχος δὲ τὴν Ἰταλίαν πρῶτόν φησι κληθῆναι Βρεττίαν, εἶτα Οἰνωτρίαν.

3,1 288 Βρικιννίαι πόλις Σικελίας. Βρουτοβρία πόλις μεταξὺ Βαίτιος ποταμοῦ καὶ Τουρδιτανῶν. δηλοῖ δὲ Βρουτούπολιν. τὸ γὰρ βρία τοῦτο σημαίνει ὡς Πολτυμβρία, Σηλυμβρία. Βρουττία μοῖρα Σικελίας. Βρυστακία πόλις Οἰνωτρῶν. Γαιτουλία χώρα Λιβύης. Γαλατία ἡ χώρα. Γαλλία ἐντὸς Ἄλπεων χώρα. Γεδρωσία χώρα Ἰνδική. Γετία ἡ χώρα τῶν Γετῶν. Γλαυκία πολίχνιον Ἰωνίας. Γουνία χώρα Περραιβίας. γράφεται δὲ καὶ χωρὶς τοῦ υ . Δακία χώρα πλησίον Βορυσθένους. Δαρδανία ἡ χώρα ἢ καὶ Δαρδανική. Δελματία Ἰταλίας χώρα. Δηλία πόλις Καρίας. Δολοπία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χώρα. Δρυμία πόλις Φωκίδος. Δρυοπία τῶν Δρυόπων περὶ Τραχῖνα. Ἐλιμία πόλις Μακεδονίας. Στράβων ἑβδόμῳ (p. 326). ἀπὸ Ἐλύμου τοῦ ἥρωος ἢ ἀπὸ Ἑλένου ἢ ἀπὸ Ἐλύμα τοῦ Τυρρηνῶν βασιλέως. Ἀλέξανδρος δ᾿ ἐν Εὐρώπῃ Ἐλίμειον φησὶ διὰ μακροῦ τὴν μει συλλαβήν, τὴν δὲ λι διὰ βραχέος ι . Ἐλλοπία χωρίον Εὐβοίας καὶ αὐτὴ ἡ νῆσος ἀπὸ Ἔλλοπος τοῦ Ἴωνος. ἐλέγετο καὶ ἡ περὶ Δωδώνην χώρα Ἐλλοπία, ἧς οἱ οἰκήτορες Ἑλλοί καὶ Σελλοί. ἔστι καὶ πόλις περὶ Δολοπίαν καὶ χώρα περὶ Θεσπιάς. Εἱλωτία ἡ χώρα. Ἐλπία πόλις ἐν Δαυνίοις, κτίσμα Ῥοδίων. Ἐπουΐα πόλις ἡ νῦν Ἀμβρακία ἡ πρότερον Παραλία. Εὐκρατιδία πόλις Βάκτρων παρὰ τὸν Εὐκρατίδαν. Στράβων ἑνδεκάτῳ (p. 516). Εὐπαλία πόλις Λοκρίδος, ἣν Εὐπάλιον Ἀρτεμίδωρός φησι. Εὐπατρία πόλις Λυδῶν. Ἠλιδί α . Ψωφιδί α . Ἠμαθία πόλις καὶ χώρα ἡ νῦν Μακεδονία. Θαμία πόλις Θεσσαλίας. Ῥιανὸς ιδ′ Θεσσαλικῶν καὶ Θαμίεια. Θαυμακία πόλις Μαγνησίας. Ὅμηρος (B 716) «οἱ δ᾿ ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο» ἀπὸ Θαυμάκου τοῦ Ποίαντος πατρός. δευτέρα πόλις κατὰ τὸν Μαλιακὸν κόλπον ἡ καὶ Θαυμακοί. Θεσπρωτία πόλις καὶ χώρα ἔξω τοῦ Ἀμβρακικοῦ κόλπου. Ἰαιτία πόλις Σικελίας. Φίλιστος Σικελικῶν δευτέρῳ. Ἰβηρία χώρα ἡ μὲν πρὸς ταῖς Ἡρακλείας στήλαις ἀπὸ Ἴβηρος ποταμοῦ. Ἀρτεμίδωρος ἐν τῇ β′ τῶν γεωγραφουμένων «ἀπὸ δὲ τῶν Πυρηναίων ὀρῶν ἕως τῶν κατὰ Γάδειρα τόπων καὶ ἐνδοτέρω Ἰβηρία τε καὶ Ἱσπανία καλεῖται. διῄρηται δὲ ὑπὸ Ῥωμαίων εἰς δύο ἐπαρχίας .... διατείνουσα ἀπὸ τῶν Πυρηναίων ὀρῶν ἅπασα μέχρι τῆς Καινῆς Καρχηδονίας καὶ τῶν τοῦ Βαίτιος πηγῶν, τῆς δὲ δευτέρας ἐπαρχίας τὰ μέχρι Γαδείρων καὶ Λουσιτανίας». ἡ δὲ πρὸς Πέρσας. Ἰλαττία πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτῳ. Ἰναχία ἡ Πελοπόννησος, οὐ μόνον τὸ Ἄργος, ἀπὸ Ἰνάχου τοῦ ποταμοῦ. Ἰξίαι πληθυντικῶς χωρίον τῆς Ῥόδου ἀπὸ Ἴξου λιμένος. Ἰσινδία χωρίον Ἰωνίας, λέγεται καὶ Ἴσινδα καὶ Ἴσινδος. Κανθηλία πόλις περὶ Καρχηδόνα. λέγεται καὶ Κανθήλη. Ἑκαταῖος Ἀσίᾳ. Κανταβρία χώρα. Στράβων τρίτῃ (p. 157). Καρπηΐ α· οὕτως τινὲς Κάλπην πόλιν Βιθυνίας φασίν. Κεκροπία χώρα. Κορησσία πολίχνιον τῆς Κέω καὶ ἐπίνειον. Κωρυκία ἀκρωτήριον Κρήτης καὶ λιμὴν Αἰθιοπίας. Λυδία ἡ χώρα. Ξάνθος ἐν Λυδιακῶν πρώτῳ. Λυκία ἡ χώρα ἀπὸ Λύκου τοῦ Πανδίονος· ἔστι καὶ Λυκία ἡ πρὸς Κιλικίαν, ἧς ἦρχε Σαρπηδών. Λυρνατία χερρόνησος καὶ χωρίον Λυκίας.

3,1 289 Ἀλέξανδρος ἐν δευτέρῳ περὶ Λυκίας. Μαγία πόλις Ἰλλυρίας. Μαριαμμία πόλις Φοινίκων. Μακετία μοῖρα Μακεδονίας ὡς Μαρσύας ἐν πρώτῳ Μακεδονικῶν «καὶ τὴν Ὀρεστείαν δὲ Μακετίαν λέγουσιν ἀπὸ τοῦ Μακεδόνος», ἀλλὰ καὶ τὴν ὅλην Μακεδονίαν Μακετίαν οἶδεν ὀνομαζομένην Κλείδημος ἐν πρώτῳ Ἀτθίδος «καὶ ἐξῳκίσθησαν ὑπὲρ τὸν Αἰγιαλὸν ἄνω τῆς καλουμένης Μακετίας». Μαστία πόλις πρὸς ταῖς Ἡρακλείαις στήλαις. Μεδυλλία πόλις, Ἀλβανῶν κτίσις, Ῥωμαίων ἄποικος. Διονύσιος γ′ Ῥωμαϊκῆς ἀρχαιολογίας. Μελία πόλις Καρίας. Ἑκαταῖος γενεαλογιῶν δ′. Ναυπλία, πόλις Ἄργους. Στράβων ὀγδόῃ (p. 368) «ἀπὸ τοῦ ταῖς ναυσὶ προσπλεῖσθαι». Ξιλία πόλις Λιβύης. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. Ὀρεστία τὸ ἥμισυ μέρος Μεγάλης Πόλεως ἀπὸ τῆς τοῦ Ὀρέστου παρουσίας. ἔστι καὶ πόλις ἐν Ὀρέσταις, ἐν ὄρει ὑπερκειμένῳ τῆς Μακεδονικῆς γῆς. καὶ ἄλλη ἐν Ἀρκαδίᾳ. Μελανδία χώρα Σιθωνίας. Θεόπομπος τριακοστῷ τρίτῳ Φιλιππικῶν. Μεσσαπία χώρα Ἰαπυγίας προσεχὴς Τάραντι. Μηδία χώρα ταῖς Κασπίαις παρακεκλιμένη πύλαις. Ἑκαταῖος Ἀσίᾳ. ἀπὸ Μήδου υἱοῦ Μηδείας. Μολορχία πόλις Νεμέας ἀπὸ Μολόρχου τοῦ ξενίσαντος Ἡρακλέα ἀπιόντα ἐπὶ τὸν ἀγῶνα. Μουνυχία λιμὴν Ἀττικῆς ἀπὸ Μονύχου. λέγεται καὶ Μωνυχία. Μοψοπία ἡ Ἀττικὴ ἀπὸ Μόψοπος, Καλλίμαχος. Μυλαντία ἄκρα ἐν Καμίρῳ τῆς Ῥόδου ἀπὸ Μύλαντος τοῦ πρώτου εὑρόντος ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν. Μασαισυλία χώρα Λιβύης προσεχὴς τῇ τῶν Μαυρουσίων. Μυστία πόλις Σαυνιτῶν. Φίλιστος ἑνδεκάτῳ. Ναξία πόλις Καρίας. Ἀλέξανδρος ἐν πρώτῳ περὶ Καρίας. Νομαντία πόλις Ἰβηρίας. Ἰόβας ἐν δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. λέγεται δὲ καὶ διὰ τῆς ου . Νοστία κώμη Ἀρκαδίας. Θεόπομπος τριακοστῷ δευτέρῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φιλιππικῶν. Ξουθία πόλις Σικελίας. Φίλιστος τρίτῳ Σικελικῶν. Ὀλβία πόλις Λιγυστική. δευτέρα πόλις ἐν Πόντῳ. τρίτη Βιθυνίας ἀπὸ Ὀλβίας νύμφης. τετάρτη Παμφυλίας, ὡς Φίλων. πέμπτη Ἰβηρίας. ἕκτη Σαρδοῦς. ἑβδόμη Ἰλλυρίας. ὀγδόη Ἑλλησπόντου. ἐνάτη Κιλικίας. Ὀλυμπία ἡ πρότερον Πῖσα λεγομένη. Ὀρτυγί α. οὕτως ἐκαλεῖτο ἡ Ἔφεσος. Παμφυλία χώρα προσεχὴς τῇ Ἰσαυρίᾳ. Παλλαντία πόλις Ἰβηρίας. Παραποταμία πόλις Φωκίδος. Πελασγία χώρα τοῦ Ἄργους. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀρκαδία, ὡς Νικόλαος πέμπτη. Πετηλία πόλις Ἰταλική. Πικεντία πόλις Τυρρηνίας. Φλέγων δὲ Πικεντόν αὐτὴν καλεῖ. Περαντία πόλις Αἰτωλίας. Πισιδία χώρα. Πλακεντία πόλις Λιγύρων. Πορθμία καὶ Πόρθμιον κώμη ἐν τῷ στόματι τῆς Μαιώτιδος λίμνης. Πραιτετία χωρίον ἐπὶ τοῦ Ἀδρίου. Πτυχία νῆσος παρὰ τῇ Κερκύρα. Ῥοδία πόλις Λυκίας. Ῥοδουντία χωρίον πλησίον Οἴτης. Ῥοιτία πόλις Βάκτρων. Ῥωμυλία τῶν ἐν Ἰταλίᾳ Σαυνιτῶν πόλις. Σαββατία κώμη Κελτική. Σαγαρτία χερρόνησος παρὰ τῇ Κασπίᾳ θαλάσσῃ. Σαλλεντία πόλις Μεσσαπίων. Σαρματία ἡ χώρα. Σαμυλία πόλις Καρίας Μοτύλου κτίσμα τοῦ τὴν Ἑλένην καὶ Πάριν ὑποδεξαμένου. Σερμυλία πόλις παρὰ τὸν Ἄθω, ὡς Ἑκαταῖος. Σητία πόλις Ἰταλίας Σινδία πόλις Λυκίας.

3,1 290 Ἑκαταῖος Ἀσίᾳ. Σιντία πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ὡς Εὔδοξος ἐν τετάρτῳ γῆς περιόδου. Σκυθί α . Σκυφία πολίχνιον Κλαζομενίων, ὡς Ἔφορος ἐν τρίτῳ «ἐν Σκυφίᾳ κατῴκει». τινὲς δὲ διὰ τοῦ π . Σουματία πόλις Ἀρκαδίας. γράφεται δὲ καὶ διὰ διφθόγγου Σουμήτεια. Στρυβία νῆσος τῶν Σποράδων. Συΐα πόλις μικρὰ Κρήτης. Ταρχία πόλις Σικελική. Φίλιστος ἑβδόμῳ Σικελικῶν. Τερβητία πόλις Σικελίας. Τορρηβία Καρίου μήτηρ. Τραγία νῆσος πρὸς ταῖς Κυκλάσιν. ἔστι καὶ πόλις ἐν Νάξῳ. Εὔπολις διὰ τοῦ ε γράφει καὶ πληθυντικῶς Τραγεαί. Τραλλία μοῖρα τῆς Ἰλλυρίας. λέγεται καὶ Τραλλική καὶ Τράλλα. Τριφυλία ἡ Ἦλις. Τρωγιλία τῆς Μυκάλης, ἣ λέγεται καὶ Τρωγίλιον. Ὑαντία πόλις Λοκρῶν. Ὑδραμία πόλις Κρήτης ὡς Ξενίων ὁ τὰ Κρητικὰ γράψας. Φαβία πόλις Κελτογαλατῶν κτίσμα Φαβίου στρατηγοῦ Ῥωμαίων. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. Φαβεντία πόλις Ἰταλίας. Φημίαι πόλις τῆς Ἀρναίας ἀπὸ Φημίου τοῦ Ἄμπυκος. Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. Φοιβία πόλισμα Σικυωνίων. Φοιτίαι πόλις Ἀκαρνανίας ἀπὸ Φοιτίου τοῦ Ἀλκμέωνος τοῦ Ἀμφιαράου. Πολύβιος τετάρτῳ. λέγεται καὶ Φοίτιον. Φυσκία πόλις Λυκίας ἐφ᾽ ὑψηλοῦ ὄρους κειμένη. Χαλδία χώρα τῆς Ἀρμενίας. Μένιππος ἐν περίπλῳ τῶν δύο Πόντων «τὴν .... μέχρι τούτων τῶν βαρβάρων ἐστὶν ἡ Ποντικὴ βασιλεία». καὶ Ἑκαταῖος «Τιβαρηνίην καὶ Χαλδίην καὶ Σαννικήν». Χηνοβοσκία πόλις Αἰγύπτου. Ἀλέξανδρος ἐν πρώτῳ Αἰγυπτιακῶν Χηνοβόσκιον «ἀντικρὺ δὲ τοῦ Διοσπολίτου νομοῦ Χηνοβόσκιον, μηδὲν εἰς τὴν προσηγορίαν ἐμφέρουσα· νομὰς γὰρ χηνῶν οὐκ ἂν ἴδοι τις, ὑπερβάλλουσαν δὲ τὴν περὶ κροκοδείλους σπουδήν». Χλαμυδί α· οὕτως ἐκαλεῖτο Δῆλος. Χορασμία πόλις πρὸς ἕω Πάρθων. Ἑκαταῖος Ἀσίας περιηγήσει «ἐν αὐτοῖσι πόλις Χορασμίη». Ὠγυγία νῆσος ἀρχαία, ἔνθα Ὀδυσσεὺς ἐκ τοῦ ναυαγίου ἐξερρίφη. λέγεται καὶ ἡ Βοιωτία καὶ ἡ Θήβη Ὠγυγία ἀπὸ Ὠγύγου υἱοῦ Τερμέρας. ἐλέγετο καὶ ἡ Ἀττικὴ πᾶσα Ὠγυγία, ὡς Χάραξ φησὶν ἐν τοῖς χρονικοῖς. Ὠστία πόλις Ἰταλίας. Ἰόβας ἐν πρώτῳ Ῥωμαϊκῆς ἱστορίας «ἀπὸ μὲν τῶν βορείων μερῶν ὁ Τίβερις, Ὠστία πόλις πλησίον». καὶ Πολύβιος ἕκτῳ «ἔκτισε δὲ καὶ πόλιν Ὠστίαν ἐπὶ τοῦ Τιβέριδος». ἐκτίσθη δ᾽ ὑπὸ Μαρκίου βασιλέως, τοῦ ἀπὸ Νουμᾶ τρίτου, ὡς Διονύσιός φησιν ἐν Ῥωμαϊκῇ ἀρχαιολογίᾳ. Στράβων δὲ ἐν τῷ ε′ (p. 219) οὕτω φησὶν οὐδετέρως «τὰ Ὤστια τῆς Ῥώμης ἐπίνειον». Οὕτω καὶ Στρατία Ἀρκαδικὴ πόλις ἀπὸ τῆς θυγατρὸς Φενεοῦ ὀνομασθεῖσα βαρύνεται. Ὅμηρος (Β 606) «Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην» εἰς ἰδιότητα. τὸ γὰρ δηλωτικὸν τοῦ συστήματος τοῦ στρατοῦ μετὰ τῆς αὐτῆς γραφῆς ὀξύνεται. τὸ δὲ ἀξίωμα ἡ στρατεία καὶ διὰ διφθόγγου καὶ βαρύνεται. τὸ δὲ Πλωθιά δῆμος Αἰγηΐδος φυλῆς, Ἁμαξαντιά δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, Ἑρχιά δῆμος τῆς Αἰγηΐδος φυλῆς ἀπὸ Ἐρχίου τοῦ ξενίσαντος Δήμητραν, Κρωπιά δῆμος τῆς Λεοντίδος φυλῆς, Ἀνδροτίων δὲ Κρῶπάς φησι τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆμον, Λακιά δῆμος τῆς Οἰνηΐδος φυλῆς, Αἰγιλιά δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ὀνόματα δήμων ὀξύνεται, μεθ’ ὧν καὶ Κωπια ί, ὡς ὕστερον Θούριοι πόλις Ἰταλίας ἐκαλεῖτο.

3,1 291 ὡσαύτως δὲ ὀξύνονται καὶ τὸ πυρκαϊά καὶ ἐσχατιά περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῦντα. Τὰ διὰ τοῦ εια γινόμενα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων παροξύνεται, ἑρμηνεί α , βασιλεί α , δουλεί α , κολακεί α , ῥητορεί α , ἱκετεί α , περισσεί α , μοιχεί α , πορνεί α , ἀλαζονεί α , εἰρωνεί α , πραγματεί α , προφητεί α , ξενιτεί α , ἀλητεί α , ἀριστεί α , βουλεί α , γοητεί α , δυναστεί α , λαγνεί α , νηστεί α , ληστεί α , θεραπεί α , ξυλεί α , τοξεί α , ὁπλιτεί α , στρατοπεδεί α , πολιτεί α , τερατεί α , πρεσβεί α , δεσποτεί α , ὑδρεί α , ἡνιοχεί α , μαστροπεί α , παιδεία ἡ παίδευσις, παιδιά δὲ τὸ παίγνιον, τὸ δὲ παρειά καὶ φορβειά καὶ φορειά ὁ βόρβορος καὶ στελειά ὀξύνονται· οὐ γὰρ ἀπὸ τῶν διὰ τοῦ ευω καὶ ἐπὶ οὐσίας τίθενται. τὸ δὲ ἀρειά ἡ ἀπειλή παράλογόν ἐστι καὶ κατὰ τὸν τόνον καὶ κατὰ τὸν χρόνον· οὔτε γὰρ ὀξύνεσθαι ὤφειλεν οὔτε ἐκτείνειν τὸα · τὰ γὰρ διὰ τοῦ εια ὀξυνόμενα ἐκτείνοντα τὸ α ἐπὶ οὐσιῶν λαμβάνεται οἷον παρειά «παρειάων ἁπαλάων» (Σ 123), φορβειά· σημαίνει δὲ τὸ περιστόμιον. εἰ οὖν τὸ ἀρειά οὐ τίθεται ἐπὶ οὐσίας, ἀλλ’ ἐπὶ πράγματος, τὴν γὰρ ἀπειλὴν σημαίνει, δηλονότι οὔτε ὀξύνεσθαι ὤφειλεν οὔτε ἐκτείνειν τὸ α , ἀλλ’ ἡμάρτηται, ὡς εἴρηται· ἐπὶ δὲ τοῦ φυτοῦ ἀρία διὰ τοῦ ι καὶ παροξύνεται «χήτει τοι πρινῆς ἀρίας ποιούμεθα γόμφους» ὡς παρ’ Εὐπόλιδι. Τὰ διὰ τοῦ ια μακρὸν τὸ α ἔχοντα παροξύνεται, ἀνία ἡ λύπη ἡ ἄνευ ἰάσεως, φιλί α , πενί α , ξενί α , κακί α , κοπί α , μανί α , γωνί α , ἀγλαΐ α , σοφί α , ὑπερηφανί α , εὐκαιρί α , ἀεργί α , προεδρί α , συνεδρί α , φιλανθρωπί α , ἀσωτί α , ἐμπορί α , παρθενί α , συνοδί α , φιλοπτωχί α , εὐχαριστί α , ἡγεμονί α , κηδεμονί α , ἁρμονί α , εὐωδί α , δυσωδί α , εὐφυΐ α , ἀφυΐ α , εὐτυχί α , τριετί α , εὐσεβία, ὃ καὶ εὐσέβεια, ἀμελία καὶ ἀμέλεια, συνηθία καὶ συνήθεια, κακοηθία καὶ κακοήθεια, αὐθαδία καὶ αὐθάδεια, τὸ δὲ ἀμαθία διὰ βραχέος ι γράφεται, τὸ δὲ ἀνδρεία διὰ τῆς ει διφθόγγου γράφει ἡ παράδοσις.

3,1 292 * Τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ια γινόμενα παροξύνεται, κόνις κόνιος κονί α, ᾗ ἔγκειται ἡ κόνις, Κύπρις Κύπριος Κυπρί α. Τὰ διὰ τοῦ ια παρὰ μελλόντων γινόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, δώσω δοσί α, προδώσω προδοσί α , πανδοσί α· ἔστι δὲ καὶ Πανδοσία φρούριον Βρεττίων ἐρυμνὸν τρικόρυφον, περὶ ὃ ἐφθάρη Ἀλέξανδρος ὁ Μολοττός, ἀπατηθεὶς ὑπὸ χρησμοῦ τοιούτου «Πανδοσίη τρικόλωνε, πολύν ποτε λαὸν ὀλέσσεις». ἔδοξε γὰρ πολεμίων, οὐκ οἰκείων φθορὰν δηλοῦσθαι (Strab. 6 p. 256). ἔστι δὲ καὶ πόλις Θεσπρωτίας. θεοδοσία καὶ Θεοδοσία Ταυρικὴ πόλις παραλία. Στράβων ζ′ (p. 309). θύσω θυσί α, ἄξω ἀξί α, θήσω θεσία «πῇ δὴ συνθεσίαι τε» (Il. B 339), ἥσω ἑσία καὶ ἐξεσία «τῶν ἕνεκ’ ἐξεσίην» (Od. φ 20), λούσω λουσία ἀλουσία, ἕξω ἑξία εὐεξία, τὸ δὲ «πᾶσά τοι ἔσθ’ ὑποδεξί η» (I 73) ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ι . ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τοῦ ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ τῶν ἀντιγράφων. Τὰ εἰς σια τὸ α μακρὸν ἔχοντα βαρύνεται, ἀθανασί α , διχοστασί α , προστασί α , ἱκεσί α , Ἀρσυσία χώρα τῶν Ψύρων καὶ Χίου τραχεῖα καὶ ἀλίμενος ὅσον σταδίων τριάκοντα, οἶνον ἄριστον ἔχοντα καλούμενον Ἀρσυηνόν, οὗ μέμνηται Στράβων ιδ′ (p.

3,1 293 645). Ἀστερουσία ὄρος Κρήτης πρὸς τὸ νότιον μέρος ἀποβλέπον εἰς θάλασσαν, ἀφ’ οὗ καὶ πόλις περὶ τὸν Καύκασον Σινδικὴ Ἀστερουσία κέκληται, Κρητῶν ἀποικίας ἐκεῖ σταλείσης. Γυμνησίαι δύο νῆσοι περὶ τὴν Τυρσηνίδα. Λυκόφρων (v. 633) οἱ δ’ ἀμφικλύστους χοιράδας Γυμνησίας σισυρνοδῦται καρκίνοι πεπλωκότες ἄχλαινον ἀμπρεύσουσι νήλιποι βίον. Κορησσία πολίχνιον τῆς Κέω. Κραβασία πόλις Ἰβήρων. Ἑκαταῖος Εὐρώπῃ. Δελφουσία πόλις Ἀρκαδίας ὡς Ἀνδροτίων ἐν β′ Ἀτθίδος. Διονυσία πόλις Ἰταλίας. Δονουσία νῆσος μικρὰ Ῥόδου, εἰς ἣν Διόνυσος ἐξ Νάξου τὴν Ἀριάδνην μετεκόμισε τοῦ πατρὸς Μίνω διώκοντος αὐτήν. ἔοικε οὖν Διονυσία εἶναι καὶ κατὰ παραφθορὰν Δονουσία. Μασσία χώρα παρακειμένη τοῖς Ταρτησσίοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑκατησί α· οὕτως ἡ Ἰδριὰς πόλις ἐκαλεῖτο Καρίας. Μολοσσία ἡ χώρα τῆς Ἠπείρου. Μυσία ἡ χώρα καὶ πόλις. Λυδοὶ δὲ τὴν ὀξύην μυσόν φασι. Νικασία νησίδιον μικρὸν πλησίον Νάξου. Παρρασία πόλις Ἀρκαδίας. Ὅμηρος (B 608) «Στύμφηλόν τ' εἶχον καὶ Παρρασίην ἐνέμοντο» ἀπὸ Παρράσου ἑνὸς τῶν Λυκάονος παίδων. Χάραξ δὲ κτίσμα Πελασγοῦ ἐν πρώτῳ χρονικῶν οὕτως «Πελασγὸς Ἀκέστορος παῖς τοῦ Ἐκβάσου τοῦ Ἄργου μετοικήσας εἰς Ἄργους εἰς τὴν ἀπ' ἐκείνου μὲν τότε Πελασγίαν, ὕστερον δὲ Ἀρκαδίαν ἐβασίλευσεν ἔτη εἰκοσιπέντε καὶ πόλιν Παρρασίαν ἔκτισε». Νικάνωρ δὲ Παρβασίαν φησὶν αὐτὴν κεκλῆσθαι διὰ τὴν Λυκάονος εἰς τὸν Δία παρανομίαν. Πειρασία πόλις Μαγνησίας. λέγεται καὶ Πειρεσία. Περουσία πόλις Τυρρηνῶν. γράφεται δὲ διχῶς καὶ διὰ τοῦ ο καὶ δίχα αὐτοῦ. Πρυμνησία πόλις Καρίας, ἣν ἔκτισε Μίμαιθος Ῥαδανουσία πόλις Μασσαλίας. Ῥοδανουσία πόλις ἐν Μασσαλίᾳ. Ταυρασία πόλις Ἰταλίας. Χαδισία πόλις Λευκοσύρων. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ «ἡ δὲ Θεμισκύρη πεδίον ἐστὶν ἀπὸ Χαδισίης μέχρι Θερμώδοντος». Μένιππος δὲ Χαδίσιον κώμην καὶ ποταμὸν ἐν περίπλῳ τῶν δύο Πόντων φησίν «ἀπὸ τοῦ Λυκάστου εἰς κώμην καὶ ποταμὸν Χαδίσιον στάδια ἑκατὸν πεντήκοντα, ἀπὸ Χαδισίου ἐπὶ τὸν Ἶριν ποταμὸν στάδια ἑκατόν». Χαλισία πόλις Λιβύης. Ἔφορος ἐν τῷ ε' «ἀναχθέντι δ' ἀπὸ τούτων πόλις ὀνομαζομένη Χαλισία». Χαρισίαι πόλις Ἀρκαδίας ἀπὸ Χαρισίου παιδὸς Λυκάονος. Παυσανίας ὀγδόῳ (3, 4) «ὠνομάσθησαν δὲ καὶ ἀπὸ Κρώμου Κρῶμοι καὶ Χαρισίαι Χαρίσιον ἔχουσαι οἰκιστήν». Χορσία πόλις Βοιωτίας. Παυσανίας ἐνάτῳ (24, 5) «ἐκ δὲ Κυρτώνων ὑπερβάλλοντι τὸ ὄρος πόλισμά ἐστι Χορσίας». Ὠρισία πόλις Ἰβηρίας.

3,1 294 Λαμουσία ἡ παρὰ Λάμον ποταμὸν Κιλικίας χώρα, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν πρώτῳ Λυκιακῶν. Λευκωσία νῆσος μία τῶν Σειρηνουσῶν. Σελλασία πόλις Λακωνική. Θεόπομπος ἐν τετάρτῳ Ἑλληνικῶν. Ἀμαθουσί α. οὕτως ἐκαλεῖτο ἡ Κύπρος. Κυπαρισσία πόλις τῆς Τριφυλίας. Θηρασία νῆσος ἐν τῷ μεταξὺ πόρῳ Κρήτης καὶ Κυρηναίας, τὸ α μακρὸν «μεταξὺ τῆς Θήρας τε καὶ Θηρασίας». Ἀραχωσία πόλις οὐκ ἄπωθεν Μασσαγετῶν Στράβων ἑνδεκάτῃ (p. 513) ἥτις καὶ Κωφὴν ἐκαλεῖτο. Δρεσία πόλις Φρυγίας. Καλησία πόλις Αὐσονική. Διονύσιος τρισκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Καρπασία πόλις Κύπρου, ἣν Πυγμαλίων ἔκτισεν, ὡς Ἑλλάνικος ἐν τοῖς Κυπριακοῖς. ἔστι καὶ νῆσος Καρπασία κατὰ τὴν ἄκραν τὴν Σαρπηδονίαν. Ξεναγόρας δὲ Κάρπαθον αὐτήν φησι. Δημήτριος δ' ὁ Σαλαμίνιος Καρβασίαν φησίν, ὅτι πρὸς τὸν καλούμενον κάρβαν ἄνεμον κεῖσθαι δοκεῖ. Μαγνησία πόλις παρὰ τῷ Μαιάνδρῳ καὶ χώρα ἀπὸ Μάγνητος. Ὑπερασία πόλις Ἀχαΐας. «οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν». Ὅμηρος (B 573). κακῶς δὲ Θέων Ὑπέρειαν αὐτὴν καλεῖ. Ὑπέρεια γὰρ πηγὴ Μεσηΐδος. καὶ πόλις Σικελική. ὠνομάσθη δὲ ἀπὸ Ὑπέρητος τοῦ Λυκάονος υἱοῦ. Ῥυσία πόλις Βοιωτίας. Φαλαισίαι πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ (35, 3). Ἀσία πόλις Λυδίας παρὰ τῷ Τμώλῳ, ἐν ᾗ τρίχορδος εὑρέθη κιθάρα, διὸ καὶ Ἀσιὰς ἐκλήθη. καὶ Ἀσία ἡ ἤπειρος· οἱ μὲν ἀπὸ πόλεως Λυδίας, οἱ δὲ ἀπὸ Ἀσίου τοῦ Λυδοῦ ἢ ἐκ τῆς Προμηθέως γυναικὸς ἢ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν τουτέστιν ἰλύν. ἔστι καὶ Ἀσία νῆσος Αἰθιοπίας. εἴ τι δὲ ὀξυνθῇ, ὄνομα δήμου ἐστὶν ἢ περιεκτικὸν ὑπάρχει. τὸ μὲν προστασιά καὶ πρασιά καὶ τρασιά ὁ τόπος ὅπου ξηραίνονται τὰ σῦκα, καὶ αἱμασιά ὡς ἔννοιαν περιεκτικῶν ἔχοντα ὀξύνεται. τὸ δὲ Κηφισιά καὶ Ἐπικηφισιά δῆμος τῆς Οἰνηΐδος φυλῆς καὶ Ὑσιά καὶ Λουσιά δῆμος τῆς Οἰνηΐδος φυλῆς ἀπὸ Λουσίας μιᾶς τῶν Ὑακίνθου θυγατέρων, καὶ Πρασιαί δῆμος Πανδιονίδος φυλῆς—ἔστι καὶ Λακωνικὸν πολίχνιον—ὀνόματα δήμων, μεθ' ὧν καὶ Βρασιαί πόλις Λακωνική—Παυσανίας τρίτῳ (21, 7 et 24, 3) καὶ Βρυσιαί πόλις Ἤλιδος. Τὰ διὰ τοῦ νια μακρὸν ἔχοντα τὸ α βαρύνεται, κονί α , πενί α , γειτονί α , μανί α , γωνί α , ξενί α , ἀνί α , ἁρμονί α , ταινί α , ἀκρωνία τὸ σύστημα καὶ ἄθροισμα ὡς Αἰσχύλος «ἠδ' ἀκρωνία κακοῦ —λευσμόν τε» (Eum.

3,1 295

187). Χιτωνί α· οὕτως ἡ Ἄρτεμις ἐλέγετο, ὡς Παρμένων ὁ Βυζάντιος καὶ Ἐπίχαρμος ἐν Σφιγγί «καὶ τὸ τᾶς Χιτωνίας αὐλησάτω τίς μοι μέλος». Ἀζανία μέρος τῆς Ἀρκαδίας. λέγεται καὶ Ἀζηνία. Εὔδοξος ἐν ἕκτῃ γῆς περιόδου φησίν· «ἔστι κρήνη τῆς Ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ οἴνου ἀνέχεσθαι, εἰς ἣν λέγουσι Μελάμποδα, ὅτε τὰς Προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ καθάρματα». ἔστι δὲ καὶ Μασσαλίας ἄλλη, ὡς Φίλων. Ἀθαμανία χώρα Ἰλλυρίας, οἱ δὲ Θεσσαλίας. Αἱμονία ἡ Θετταλία ἀπὸ Αἵμονος. εἰσὶ δὲ καὶ Αἱμονιαί πόλις Ἀρκαδίας ἀπὸ Αἵμονος τοῦ Λυκάονος παιδός, ὡς Παυσανίας ὀγδόῳ περιηγήσεως Ἑλλάδος (44, 1). Ἀκαρνανία χώρα κεχωρισμένη τῶν Κουρήτων πρὸς τῷ Ἀχελῴῳ. Ἀκμονία πόλις Φρυγίας ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τρίτῳ περὶ Φρυγίας. κτίσαι δὲ αὐτὴν Ἄκμονα τὸν Μάνεω. λέγεται καὶ Ἀκμόνεια. Ἀλβανία χώρα πρὸς τοῖς ἀνατολικοῖς Ἴβηρσιν. Ἀμαζονία πόλις Μεσσαπίας. Ἀμμωνία ἡ μεσόγειος Λιβύη. καὶ αὐτὴ δὲ πᾶσα ἡ Λιβύη οὕτως ἐκαλεῖτο ἀπὸ Ἄμμωνος. Ἀμυθαονία μοῖρα τῆς Ἤλιδος ἀπὸ Ἀμυθάονος τοῦ Κρηθέως, ὡς Ῥιανός. Ἀπολλωνί α. α′ πόλις Ἰλλυρίας, ἣν ᾤκουν Ἰλλυριοί, κατ᾽ Ἐπίδαμνον. β′ ἐν νήσῳ πρὸς τῇ Σαλμυδησσῷ, ἀποικία Μιλησίων καὶ Ῥοδίων. γ′ Μακεδονίας. δ′ πόλις Λιβύης. ε′ ἐν νήσῳ τῆς Ἀκαρνανίας, μία τῶν Ἐχινάδων. ϛ′ ἐν Κρήτῃ πρὸς τῇ Κνωσσῷ. ζ′ πλησίον Ἀλοντίνων καὶ Καλῆς ἀκτῆς. η′ Μυσίας. θ′ πόλις Μυσίας ἐπὶ Ῥυνδάκῳ ποταμῷ. ι′ κατὰ Θυάτειρα καὶ Ἔφεσον. ια′ Φωκίδος, ἣν Ὅμηρος Κυπάρισσόν φησι διὰ τὸ πολλὰς ἔχειν κυπαρίσσους, ὡς Δίδυμος. ιβ′ περὶ τὴν κοίλην Συρίαν. ιγ′ κατὰ Ἰόπην. ιδ′ τῆς Μεσοποταμίας. ιε′ Λιβύης, ἣ Κυρήνη ἐκαλεῖτο. ις′ Λυδίας. ιζ′ Πισιδίας ἡ πρότερον Μορδιάειον. ιη′ Φρυγίας, ἡ πάλαι Μάργιον. ιθ′ ἐν Σίφνῳ τῇ νήσῳ. κ′ Συρίας κατ᾽ Ἀπάμειαν. κα′ νῆσος πρὸς τῇ Λυκίᾳ. κβ′ τῶν ἐπὶ Θρᾴκης Ἰώνων, ἣν Δημοσθένης φησίν (Philipp. 3 p. 117). κγ′ Κρήτης ἡ πάλαι Ἐλεύθερνα Λίνου πατρίς. κδ′ ἐν Αἰγύπτῳ. κε′ μεταξὺ Βαβυλῶνος καὶ Σούσων. Ἀρμενία χώρα πλησίον τῶν Περσῶν ἀπὸ Ἀρμένου τοῦ Ῥοδίου, ὡς Ἀντίπατρος ἐν τρίτῳ περὶ Ῥόδου. Ἀσκανία πόλις Τρωϊκή. Νικόλαος τετάρτῃ ἱστοριῶν «Σκαμάνδριος Ἕκτορος καὶ Ἀνδρομάχης ἐκ τῆς Ἴδης καὶ τοῦ Δασκυλείου καὶ τῆς Ἀσκανίας καλουμένης, ἣν ἔκτισεν ὁ Αἰνείου παῖς Ἀσκάνιος» .... οὐ μόνον δὲ ἡ λίμνη, ἀλλὰ καὶ ἡ χώρα δισσὴ καὶ ὁμώνυμος, ἡ μὲν Φρυγίας, ἡ δὲ Μυσίας, ἀμφοτέρων δὲ μνημονεύει ὁ ποιητής, τῆς Φρυγίας μὲν «Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς τῆλ᾽ ἐξ Ἀσκανίης» (Β 862), τῆς δὲ Μυσίας «οἵ ῥ᾽ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί» (Il.
3,1 296 Ν 793). Ἀχαιμενία ἡ Περσικὴ μοῖρα ἀπὸ Ἀχαιμένους υἱοῦ Περσέως. λέγεται καὶ Ἀχαιμένιον. Ἀνδανία πόλις Μεσσήνης ὁμώνυμος τῇ χώρᾳ. οὕτω γὰρ καὶ ἡ Μεσσήνη Ἀνδανία ἐκαλεῖτο, ἣν οἰκῆσαί φασί τινας τῶν Κρεσφόντου καὶ οὕτως καλέσαι διὰ τὸ μὴ ἁνδάνειν αὐτοῖς. Ἀτιντανία μοῖρα Μακεδονίας ἀπὸ Ἀτιντᾶνος υἱοῦ Μακεδόνος. Αὐσονία ἡ χώρα. Ἰωνί α. οὕτως ἡ Ἀττικὴ πρότερον ἀπὸ Ἴωνος τοῦ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ἐρεχθέως. «οὕτω μὲν οἱ Ἀθηναῖοι. ἐν μέντοι Δωριεῦσιν Αἰτωλοί, ἐν δὲ Αἰολεῦσι Βοιωτοί, ἐν δὲ τοῖς Ἴωσιν Ἀθηναῖοι». Βαγαδαονία μοῖρα Καππαδοκίας νοτιωτάτη. Βιστονία πόλις Θρᾴκης ἀπὸ Βιστόνος τοῦ Ἄρεος καὶ Καλλιρρόης τῆς Νέστου. Γαστρωνία χώρα Μακεδονίας. Θεόπομπος νδ′. Γερηνία πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. ἀπὸ εὐθείας τῆς ἡ Γέρηνος. Γορδυνία πόλις Μακεδονίας. Ἠσιονία ἡ Σάρδεων χώρα ἡ καὶ Ἀσία. Μαιονία ἡ Λυδία ἀπὸ Μαίονος ποταμοῦ τοῦ περὶ τὴν Ἀχαιΐδα ῥέοντος ἢ ἀπὸ Μαίονος τοῦ οἰκιστοῦ. Κατταβανία κατοικία τῆς εὐδαίμονος Ἀραβίας. Στράβων ἑκκαιδεκάτῃ (p. 768) «φέρει δὲ λιβανωτὸν ἡ Κατταβανία, σμύρναν δὲ ἡ Χατραμωτῖτις». Κυδωνία πόλις Κρήτης ἡ πρότερον Ἀπολλωνία ἀπὸ Κύδωνος τοῦ Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρός. δευτέρα Σικελίας. τρίτη Λιβύης. Λακινία ἡ χώρα. Μακεδονία ἡ χώρα ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος ὥς φησιν Ἡσίοδος ὁ ποιητής ἡ δ᾽ ὑποκυσαμένη Διῒ γείνατο τερπικεραύνῳ υἷε δύω, Μάγνητα Μακεδόνα θ᾽ ἱππιοχάρμην, οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ᾽ ἔναιον. ἄλλοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δ’ ἀπὸ Μακεδόνος τοῦ Αἰόλου, ὡς Ἑλλάνικος ἱερειῶν τρίτῃ τῶν ἐν Ἄργει «καὶ Μακεδόνος τοῦ Αἰόλου οὕτω νῦν Μακεδόνες καλοῦνται, μόνοι μετὰ Μυσῶν τότε οἰκοῦντες». Κεβρηνία χώρα τῆς Τρῳάδος ἀπὸ Κεβρῆνος ποταμοῦ, ἄλλοι δὲ ἀπὸ Κεβριόνου τοῦ Πριάμου. Μαραθωνία πόλις Θρᾴκης οὐκ ἄπωθεν Ἀβδήρων. Κρητινία τόπος Ῥόδου. Καυλωνία πόλις Ἰταλίας, ἣν Αὐλωνίαν Ἑκαταῖος καλεῖ διὰ τὸ μέσην αὐλῶνος εἶναι. ἀπὸ γὰρ τοῦ αὐλῶνος Αὐλωνία ὕστερον μετωνομάσθη Καυλωνία ὡς ἀπὸ Μετάβου ἥρωος Μεταπόντιον καὶ Ἐπίδαυρος Ἐπίταυρος καὶ αἱ Κλαζομεναί Πλαζομεναί. ἔστι δὲ καὶ ἄλλη Σικελίας. ἔστι δὲ καὶ ἄλλη Λοκρῶν. Καταονία μοῖρα ἐσχάτη τοῦ Ταύρου. Στράβων δὲ (12 p. 533) Καππαδοκίας ταύτην φησίν. Κοινία μία τῶν Ἀμαζόνων. Ἰουερνία νῆσος Πρεττανική. Βονωνία πόλις Ἰταλίας. Ἱσπανία ἀπὸ Ἱσπάνου γίγαντος οὕτω λεγομένου δύο τῆς Ἰταλίας ἐπαρχίαι ἡ μὲν μεγάλη ἡ δὲ μικρά. ταύτης ἐμνήσθη Χάραξ ἐν ι′ χρονικῶν «ἐν Ἱσπανίᾳ τῇ μικρᾷ τῇ ἔξω Λουσιτανῶν πάλιν ἀποστάντων ἐπέμφθη ὑπὸ Ῥωμαίων στρατηγὸς ἐπ’ αὐτοὺς Κΰιντος». ὁ αὐτὸς ὁμοῦ ὑπὲρ τῶν δύο «Κύϊντος ὁ τῶν Ῥωμαίων πολέμαρχος ἐν ἀμφοτέραις ταῖς Ἱσπανίαις, ἡσσώμενος δὲ ὑπὸ Οὐιριάθου σπονδὰς πρὸς αὐτὸν ἐποιήσατο».

3,1 297 ταύτην κεκλῆσθαί φησιν Ἰβηρίαν ἐν Ἑλληνικῶν γ′ «τὴν δὲ Ἱσπανίαν Ἕλληνες τὰ πρῶτα Ἰβηρίαν ἐκάλουν, οὔπω ξύμπαντος τοῦ ἔθνους τὴν προσηγορίαν μεμαθηκότος, ἀλλ’ ἀπὸ μέρους τῆς γῆς, ὅ ἐστι πρὸς ποταμὸν Ἴβηρα, Ἰβηρίαν καὶ ἀπ’ ἐκείνου ὀνομάζονται, τὴν πᾶσαν οὕτω καλοῦντες. ὕστερον δέ φασιν αὐτὴν μετακεκλῆσθαι Πανίαν». Καμμανία μοῖρα Θεσπρωτίας. μετωνομάσθη δὲ Κεστρινί α . Γρηστωνία χώρα Θρᾴκης πρὸς τῇ Μακεδονίᾳ. Θουκυδίδης δευτέρᾳ (99, 100). Δαρδανί α· οὕτω πρότερον ἐκαλεῖτο ἡ Σαμοθρᾴκη· καὶ Δαρδανία χώρα Τρῳάδος, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο. Δαρσανία πόλις Ἰνδική. Διωνία πόλις, ἣν συγκαταλέγει ταῖς Κυπρίαις πόλεσι Θεόπομπος πεντεκαιδεκάτῃ Φιλιππικῶν. Ἐλινία χώρα Θεσπρωτίας. Ζειρηνία πόλις Θρᾴκης. Θεόπομπος Φιλιππικῶν γ′. Ζηρανία χώρα Θρᾴκης. Ἔφορος εἰκοστῷ ἑβδόμῳ. Καρμανία χώρα τῆς Ἰνδικῆς. Στράβων πεντεκαιδεκάτῃ (p. 724). Καρνία πόλις Ἰωνίας. Νικόλαος τετάρτῳ. Κρημνί α· οὕτως πρότερον ἐκαλεῖτο Γόρτυν πόλις Κρήτης. Θυνία ἡ χώρα τῶν Θύνων. Καστανία πόλις πλησίον Τάραντος. Κηφηνία ..... Χθονί α· οὕτως καλεῖται ἡ Κρήτη. Λουσιτανία ὅμορος τῆς Βαιτίκης. Λυκαονία χώρα Λυκίας τε καὶ Ἰσαυρίας. Μαριανδυνία χώρα τοῦ Πόντου. Εὔπολις Χρυσῷ γένει «ὁρῶ. θεῶ νῦν τήνδε Μαριανδυνίαν». ἀπὸ Μαριανδυνοῦ τινος Αἰολέως. Μαυριτανίαι δύο, ἡ μὲν Τιγγιτανή, ἡ δὲ Καισαρησία. Μιλωνία πόλις Σαυνιτῶν ἐπιφανεστάτη. Διονύσιος ιζ′. Μυγδονία μοῖρα Μακεδονίας καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης. ἀπὸ Μυγδόνος. ἐλέγετο καὶ Μυχθονί α . Μυονία πόλις Φωκίδος. Παυσανίας ι′ (c. 38, 8). λέγεται καὶ Μύων. Μυρμιδονία χώρα τῶν Μυρμιδόνων· οὕτω γὰρ ἡ Αἴγινα ἐκλήθη. Ναρνία πόλις Σαυνιτῶν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ Νάρνου, ὡς Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Νικωνία πόλις ἐν τῷ Πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἴστρου. Στράβων ἑβδόμῃ (p. 306). Ξιφωνία πόλις Σικελίας. Θεόπομπος Φιλιππικῶν τριακοστῷ ἐνάτῳ. Ξυνία πόλις Θεσσαλίας. Πολύβιος ἐνάτῳ. Παιονί α . Πανία ἐπίνειον Κιλικίας περὶ τὸ Ἀλήϊον πεδίον. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀρκαδία. Παρθενία κώμη Πόντου πλησίον καὶ Σάμος πρότερον ἐκλήθη Παρθενία. Παφλαγονία ἀπὸ Παφλαγόνος τοῦ Φινέως παιδός. Πελαγονία χώρα Σικελίας. Πηλαγονία μοῖρα Μακεδονίας. Πολυρρηνία πόλις Κρήτης ἀπὸ τοῦ πολλὰς ῥῆνας τουτέστι πρόβατα ἔχειν. Ποσειδωνία πόλις Ἰταλίας. Ποτιδανία πόλις Αἰτωλίας. Ῥιζηνία πόλις Κρήτης. Ῥιθυμνία πόλις Κρήτης. Σατορνία ἡ Ἰταλία πρῶτον ἐκαλεῖτο. Σιγνία πόλις Ἰταλίας, ὡς Στράβων πέμπτῃ (p. 237). Σιδωνία πόλις Τρῳάδος. Σιθωνία μέρος Θρᾴκης. Σικανία ἡ περίχωρος Ἀκραγαντίνων. Τελχινία πρότερον ἡ Σικυὼν ἐκαλεῖτο καὶ ἡ Κρήτη. Σιωνία πόλις Ποντική. Ταρκυνία πόλις Τυρρηνίδος ἀπὸ Τάρκωνος. Κρανί α· οὕτως ἐκαλεῖτο Ταρσὸς ἀπὸ κρανίου. Ὑττηνία πρότερον ἐκαλεῖτο τετράπολις τῆς Ἀττικῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 298 Τευθρανία Μυσίας πόλις ἀπὸ Τεύθραντος. Τιβαρηνία χώρα πρὸς τῷ Πόντῳ πρόσοικος Χάλυψι καὶ Μοσσυνοίκοις. Τουρδητανία χώρα τῆς Ἰβηρίας, ἣ καὶ Βαιτίκη καλεῖται παρὰ τὸν Βαῖτιν ποταμόν. Ἀρτεμίδωρος δὲ Τουρτυτανίαν αὐτὴν καλεῖ. Σαρωνία ἐκαλεῖτο Τροιζήν. Τυρρηνία χώρα πρὸς τῷ Ἀδρίᾳ. ἔστι καὶ Τυρρηνία πόλις, ἣ λέγεται καὶ Τυρρηνή. Ὑρκανία πόλις Θρᾴκης. Χαονία μέση τῆς Ἠπείρου. Χαττηνία χώρα τρίτη Γερραίων. Πολύβιος ιγʹ «ἔστι δʼ ἡ Χαττηνία τἆλλα μὲν λυπρά, κώμαις δὲ καὶ πύργοις διεσκεύασται διὰ τὴν εὔκαιρον τῶν Γερραίων. οὗτοι γὰρ αὐτὴν νέμονται». ἔστι δὲ τῆς Ἐρυθρᾶς θαλάσσης. Χωνία χώρα Οἰνωτρῶν. Λυκόφρων (v. 983) «ἄρδων βαθεῖαν Χωνίας παγκληρίαν». —τὸ δὲ ῥοδωνιά καὶ ἰωνιά περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῖ. καὶ τὸ Χελιδονιαί πέτραι—δύο δέ εἰσι κεκλημένη ἡ μὲν Κορύδελα, ἡ δὲ Μελανίππεια, ὡς Φαβωρῖνος ἐν τοῖς παντοδαποῖς—καὶ τὸ Ἁζηνιά δῆμος ἐν Ἀττικῇ τῆς Ἱπποθοωντίδος φυλῆς. καὶ ἔτι τὸ ἱμονιά τὸ ἀντλητήριον παρʼ Ἀττικοῖς ὀξύνεται. τὸ δὲ ἁρμονιῇσιν «γόμφοισιν δʼ ἄρα τήν γε καὶ ἁρμονιῇσιν ἄρασσεν» (ε 248) ἐστὶν Ἰώνων καταβιβασμός. Τὰ εἰς α μακρὸν τῇ ρι παραληγόμενα παροξύνεται, αἰθρί α , κοπρί α , ὑδρία ἐπὶ τοῦ ἀγγείου, ἐπὶ δὲ τῆς ἱδρεύσεως ὑδρεί α , φατρία καὶ φρατρία, ὅ ἐστιν τρίτον φυλῆς, ἥν τινες τριττὺν λέγουσιν. θεωρί α . Ἀλλαρία πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτη. Ἀρία Περσικὴ χώρα ὡς Ἑλλάνικος. Ἀερία ἡ Αἴγυπτος παρὰ τὸν ἀέρα. καὶ γὰρ ἠερόεσσαν αὐτήν φασιν. ἔστι καὶ Κελτικὴ πόλις Ἀερία, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ. καὶ ἄλλη Κρήτης οὐκ ἄσημος, ἣ ἐλέγετο νῆσος Ἀερία καὶ Ἰδαία καὶ Δολίχη διὰ τὸ μῆκος. ὅτι δὲ καὶ οὕτως ἡ Θάσος, δῆλον ἐκ τοῦ χρησμοῦ τοῦ δοθέντος τῷ πατρὶ τοῦ Ἀρχιλόχου· ἄγγειλον Παρίοις, Τελεσίκλεες, ὥς σε κελεύω, νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ. Ἀσσυρία χώρα περὶ Βαβυλῶνα. Ἀστερία πόλις Συρίας. λέγεται καὶ Ἀστερίς. ἔστι καὶ νησίον Ἀστερία μεταξὺ Κεφαλληνίας καὶ Ἰθάκης. Ὅμηρος Ἀστερίδα ταύτην φησίν (Od. δ 844). οὕτως ἐκαλεῖτο καὶ Δῆλος. Βαρβαρία χώρα παρὰ τὸν Ἀράβιον κόλπον. Μηλαρία πόλις ἐπὶ τοῖς πέρασι ἀπὸ τῶν μήλων, ἃ χρύσεα λέγεται Ἡρακλῆς ἐκ τῆς Λιβύης ἀγηοχέναι. Γαλαρία χώρα Σικελίας. Διακρία φυλὴ τῆς Ἀττικῆς, ἣν ᾤκει Πάλλας ὁ Πανδίονος υἱός. Εὐπορία πόλις Μακεδονίας, ἣν Ἀλέξανδρος ταχέως νικήσας ἔκτισε καὶ ὠνόμασε διὰ τὸ εὔπορον.

3,1 299 Θουρία πόλις Ἰταλίας, ἣ καὶ Θούριοι καὶ Θούριον. ἔστι δὲ καὶ Μεσσηνίας πόλις. Παυσανίας δὲ (4, 31, 1) Ἄνθειαν αὐτήν φησι. τινὲς δὲ Θουνίαν. Θυμιατηρία πόλις Λιβύης. Ἰκαρία δῆμος τῆς Αἰγηΐδος φυλῆς ἀπὸ Ἰκαρίου τοῦ πατρὸς Ἠριγόνης. Ἰλλυρία χώρα πλησίον τοῦ Παγγαίου ἀπὸ Ἰλλυριοῦ τοῦ Κάδμου παιδός. Ἰσαυρία μεταξὺ Λυκαονίας καὶ Κιλικίας πρὸς τῷ Ταύρῳ. Ἰστρία χώρα κατὰ τὸν Ἰόνιον κόλπον. ἑσπερία ἡ δύσις καὶ τὸ δυτικὸν μέρος. Καβειρία πόλις τῆς κάτω Ἀσίας ἡ καὶ Κάβειρος καὶ Καβείριον. Καλαβρία χωρίον πλησίον τῆς Ἰταλίας. Καμαρία πόλις Ἰταλική. «Ἀλβανῶν ἀπόκτισις», Διονύσιος δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Καπρία νῆσος Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. λέγονται καὶ Καπρια ί . Καρία ἡ χώρα. ἐκαλεῖτο δὲ καὶ ἡ Μεγάρων ἀκρόπολις Καρία ἀπὸ Καρὸς τοῦ Φορωνέως. Κρουστομερία πόλις Σαβίνων ἀντιστᾶσα Ῥωμύλῳ. Διονύσιος δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Κυθηρία νῆσος πρὸς τῇ Κρήτῃ, ἣ καὶ Κύθηρα. Λαγαρία φρούριον Σικελίας πλησίον Θουρίων, τοῦ Ἐπειοῦ καὶ Φωκέων κτίσμα, ὡς Στράβων (6 p. 263). Λουκερία πόλις Ἰταλίας. Πολύβιος τρίτῳ. παρὰ δὲ Διονυσίῳ διὰ τοῦ α γράφεται. Νουκερία πόλις Ἰταλίας. Μεσημβρία πόλις Ποντική. Νικόλαος πέμπτῳ. ἐκλήθη ἀπὸ Μέλσου. βρία γὰρ τὴν πόλιν φασὶ Θρᾷκες. ὡς οὖν Σηλυμβρία ἡ τοῦ Σήλυος πόλις, Πολτυμβρία ἡ Πόλτυος πόλις, οὕτω Μελσημβρία ἡ Μέλσου πόλις καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεσημβρία. ἔστι καὶ Θρᾴκης Μεσημβρία πρὸς τῷ τέλει τῆς χερρονήσου, ὡς Ἡρόδοτος ἑβδόμῃ (c. 108). Μολυκρία πόλις Αἰτωλίας. Στράβων δεκάτῃ (p. 460). Θουκυδίδης δευτέρα (c. 84) Μολύκρειον αὐτὴν καλεῖ, Εὐφορίων δὲ Μολυκρίαν αὐτήν φησι. Οἰνωτρία χώρα τῆς Ἰταλίας. τινὲς δὲ αὐτὴν Ἰταλίαν οὕτω φασὶ κεκλῆσθαι ἀπὸ Οἰνωτροῦ Ἀρκάδος, ὡς Παυσανίας ὀγδόῳ (c.

3, 5). Πείσανδρος τρισκαιδεκάτῳ ἀπὸ τῆς τοῦ οἴνου χρήσεως κεκλῆσθαι αὐτήν φησιν. Ζεφυρί α. οὕτως ἐκαλεῖτο Μῆλος νῆσος. Ἀνακτορί α. οὕτως ὠνομάσθη Μίλητος πόλις ἀπὸ Ἄνακτος τοῦ Γῆς καὶ Οὐρανοῦ. Νιτρίαι τόπος Αἰγύπτου. Στράβων ἑπτακαιδεκάτῃ (p. 308). Πανδατερία νῆσος. Πιερία πόλις ἐν ὁμωνύμῳ χωρίῳ. Πτερία πόλις Σινώπης καὶ Μήδων, ἣ καὶ Πτέριον λέγεται. Σκαμανδρία πόλις Τροίας. Σφακτηρία νῆσος, ἧς μνημονεύει Παυσανίας ἐν τρίτῳ περιηγήσεως Ἑλλάδος (c. 5, 5). ἐκαλεῖτο καὶ Σφαγία, ὡς Φαβωρῖνος. Σχερία ἡ Φαιακία. κέκληται, ὡς Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητραν φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐπιχεόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι τοῦ Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπισχεθέντων οὖν τούτων ἀντὶ Δρεπάνης Σχερίαν αὐτὴν κεκλῆσθαι. Ταλαρία πόλις Συρακουσίων. Θεόπομπος ἐν Φιλιππικῶν μ′. Ποιμανδρί α· οὕτως ἐκαλεῖτο πρότερον Τάναγρα. Λυκόφρων (v.

3,1 300 326) «ἣν ἐς βαθεῖαν λαιμίσας Ποιμανδρίαν». Τενεβρία κώμη Ἰβηρίας. Σατρία πόλις Ἰταλίας. Νουκρία πόλις Τυρρηνίας. Φίλιστος ια′. εὕρηται καὶ Νακρία διὰ τοῦ α . Ῥεμουρία πόλις πλησίον Ῥώμης. Τρινακρία ἡ Σικελία παρὰ τὸ τρεῖς ἔχειν ἄκρας. ἢ ὅτι θρίνακί ἐστιν ὁμοία. πολλὰ δὲ ἀπὸ τῆς ὁμοιότητος χωρία προσαγορεύεται, Λυρνησσός Βρεντέσιον Σαρδώ. Σίβυλλα δὲ διὰ τὸ Τρίνακον βούκολον τὸν Ποσειδῶνος Σικελίας ἄρξαι· Τρινακίης νήσου, ἣν ἔκτισε Τρίνακος ἥρως, υἱὸς ποντομέδοιο Ποσειδάωνος ἄνακτος. Ὑρία χωρίον πλησίον Αὐλίδος. Ἡσίοδος δ’ ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ’ ἐν Ὑσιαῖς. ἔστι δὲ ἡ μὲν Ὑρία πρὸς τὸν Εὔριπον, αἱ δὲ Ὑσιαί τῆς Παρασωπίας ὑπ’ αὐτὸν τὸν Κιθαιρῶνα. ἔστιν Ὑρία καὶ ἡ κατὰ Ἰσαυρίαν Σελεύκεια, ᾗ παραρρεῖ ὁ Καλύκαδνος, ὃν Κάλυδνόν τινες καλοῦσιν. ἔστιν Ὑρία πρὸς τῇ Ἰαπυγίᾳ, Κρητῶν κτίσμα. Ἡρόδοτος ἑβδόμῃ (c. 170). Φιλωτερία πόλις κοίλης Συρίας, ἣ καὶ Φιλωτέρα. Τὸ μέντοι Στειριά δῆμος Ἀττικὸς τῆς Πανδιονίδος φυλῆς, λέγεται δὲ καὶ οὐδετέρως. Τὰ εἰς α μακρὸν παραληγόμενα τῇ λι , ᾗς προηγεῖται α , βαρύνεται πρᾶγμα σημαῖνον, διδασκαλί α , ἀτασθαλία, ἢ ὀνόματα χωρῶν, Οἰχαλία πόλις, ἣν Ὅμηρος ἐν τῷ Πελασγικῷ Ἄργει τάσσει λέγων «οἵ τ’ ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου» (B 730). οἱ δὲ νεώτεροι τεθείκασιν αὐτὴν ἐν Εὐβοίᾳ. ἔστι καὶ Μεσσηνὶς Οἰχαλία καὶ ἑτέρα ἐν Τραχῖνι. Θεσσαλία ἀπὸ Θεσσαλοῦ ἡ πρότερον Πελασγία. Παραλία τῆς Ἀττικῆς. Χαλία πόλις Βοιωτίας. Θεόπομπος με′ «τὴν δὲ Χαλίαν καὶ τὴν καλουμένην Ὑρίαν, ἥ περ ἐστὶν ἐφεξῆς ἐκείνης, τῆς Βοιωτίας ....» Μαιναλία πόλις Γαλατίας. Μασσαλία πόλις τῆς Λιγυστικῆς κατὰ τὴν Κελτικήν, ἄποικος Φωκαέων. Ἑκαταῖος Εὐρώπῃ. Τίμαιος δέ φησιν ὅτι προσπλέων ὁ κυβερνήτης καὶ ἰδὼν ἁλιέα ἐκέλευσε μάσσαι τὸ ἀπόγειον σχοινίον· μάσσαι γὰρ τὸ δῆσαί φασιν Αἰολεῖς· ἀπὸ γοῦν τοῦ ἁλιέως καὶ τοῦ μάσσαι ὠνόμασται. Κασταλία πόλις Κιλικίας. Ἀλλαλία πόλις ἐν Κύρνῳ τῇ νήσῳ κτίσμα Φωκαέων, ὡς Ἡρόδοτος (I 165). Παυταλία μοῖρα Θρᾴκης. εἰ δὲ μὴ οὕτως, ὀξύνεται, ἀμυγδαλι ά , φυταλι ά , λαλι ά , καλι ά. τὸ δὲ ἀσπαλία ἡ ἁλεία βαρύνεται. Τὰ εἰς α μακρὸν τρισύλλαβα παραληγόμενα τῷ ι ἐπὶ οὐσίας λαμβανόμενα βαρύνεται χωρίς τινων, καρδί α· ἔστι Καρδία καὶ πόλις τῆς ἐν Θρᾴκῃ Χερρονήσου ἡ ὕστερον Λυσιμάχεια. Ἑρμοχάρου δὲ τοῦ κτιστοῦ θύοντος κόρακα τὴν καρδίαν ἁρπάσαντα καὶ ἀναπτάντα ἐς τόνδε τὸν χῶρον μεθεῖναι καὶ διὰ τοῦτο οὕτως ἐκλήθη. ἢ ὅτι Σκυθῶν γλώσσῃ οὕτω κεκλῆσθαι. σχεδί α , ζημί α , σηπί α , οἰκί α , φυλί α , τηλί α , ἁλί α.

3,1 301 τὸ μέντοι σκοπιά καὶ σποδιά ὀξύνονται ὡς ἔχοντα τὸ ο πρὸ τοῦ ι , ὥσπερ καὶ τὸ πολιά καὶ τροχιά καὶ ἁματροχιά καὶ ὁρμι ά. Τὰ παραληγόμενα τῷ ι ἀπὸ τῶν εἰς ξ βαρύνεται, Φρυγία, δύο χῶραι. Στράβων (12 p. 517) «Φρυγία τε γὰρ ἡ μὲν καλεῖται μεγάλη, ἧς ὁ Μίδας ἐβασίλευε, καὶ τῆς ἄλλης μέρος οἱ Γαλάται κατέσχον ἡ δὲ μικρὰ ἡ ἐφ’ Ἑλλησπόντῳ καὶ ἡ περὶ τὸν Ὄλυμπον, ἡ καὶ ἐπίκτητος λεγομένη». ἔστι καὶ Φρυγία τόπος τῆς Οἴτης ἀπὸ τοῦ ἐκεῖ πεφρύχθαι τὸν Ἡρακλέα». Βεβρυκί α , Ὀρτυγί α , Αἰθικί α. Θεόπομπος τριακοστῇ ἐνάτῃ Φιλιππικῶν. Κιλικί α , Ἀμβρακία ἀπὸ Ἄμβρακος τοῦ παιδὸς Θεσπρωτοῦ τοῦ Λυκάονος ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θυγατρός, περὶ ἧς Φιλέας. εὕρηται καὶ διὰ τοῦ π ἀντὶ τοῦ β . Τεμμικία παρὰ τῷ Λυκόφρονι (v. 786) «ὃν Βομβύλεια κλιτὺς ἡ Τεμμικία». Νεφελοκοκκυγγία πόλις κωμικῶς ἐπινοηθεῖσα παρὰ Ἀριστοφάνει, καὶ ἑνικῶς καὶ πληθυντικῶς λεγομένη. Κωρυκία ἀκρωτήριον Κρήτης, Ἰαπυγία δύο πόλεις, μία ἐν τῇ Ἰταλίᾳ καὶ ἑτέρα ἐν τῇ Ἰλλυρίδι, ὡς Ἑκαταῖος. Καππαδοκία χώρα τῇ Κιλικίᾳ πρόσχωρος, ὥς φησι Μένιππος, ἀπὸ Σινώπης εἰς Εὔαρχον ποταμόν, ὃς ὁρίζει Παφλαγονίαν καὶ Καππαδοκίαν. σεσημείωται τὸ ἀνθρακιά ὀξυνόμενον. Τὰ διὰ τοῦ οα σπάνια καὶ κατὰ πάθος γενόμενα παρ' Ἀττικοῖς παροξύνεται, οἷα ὄα τὸ δέρμα· ἔστι καὶ δῆμος τῆς Ἀττικῆς τῆς Πανδιονίδος φυλῆς Ὄ α. Διονύσιος δὲ ὁ Τρύφωνός φησι πληθυντικῶς Ὀεῖς λέγεσθαι ἀπὸ τοῦ Ὀεὺς ὡς ἄλλα πολλά. χροία χρό α. ποία πό α. Γενόα πόλις τῶν Λιγύρων τῆς Ἰταλίας, καλουμένη νῦν Ἰάνουα, ὡς Ἀρτεμίδωρος. Θεισόα πόλις Ἀρκαδίας. Λυκόα πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῃ (c. 36, 7). Μεσόα ἢ Μεσσόα τόπος Λακωνικῆς. Στράβων ὀγδόῃ (p. 364). ἔστι καὶ φυλὴ Λακωνική. Νόαι πόλις Σικελίας. Ἀπολλόδωρος δευτέρῳ χρονικῶν. τὰ δὲ ἐν ἐπενθέσει ὀξύνεται στοιά στο ά, ῥοιά ῥο ά. Τὰ διὰ τοῦ οια μακρά, ὅσα ἀπὸ ψιλοῦ συμφώνου ἄρχονται, βαρύνεται, ποία ἡ βοτάνη, Τροία ἀπὸ Τρωός κατὰ Βοιωτοὺς ἢ μᾶλλον ὡς Βοιωτιακόν.

3,1 302 ἀπὸ γὰρ Τρώς Τρωός Τρώϊος καὶ Τρωΐα Τροία ὡς Ἀχελώϊος Ἀχελοῖος. εἰσὶ δὲ καὶ ἄλλαι Τροῖαι. ἐν Ἀττικῇ κώμη, ἥτις νῦν Ξυπετή δῆμος καλεῖται. ἔστι καὶ πόλις ἐν Κεστρίᾳ τῆς Χαονίας. ἔστι καὶ Αἰγύπτου πόλις. ἔστι καὶ Τροία πρὸς τῷ Ἀδρίᾳ τῆς Βενετίας, καὶ ἄλλη Λατίνων. κοία ἡ σφαῖρα, ἡ χρῆσις παρὰ Ἀντιμάχῳ «κοίας ἐκ χειρῶν σκόπελον μέτα ῥιπτάζουσιν». ἔστι καὶ Κοία μία Ἀμαζόνων. οὕτω καὶ Οἴα ἡ κώμη. τὸ μέντοι χροι ά , στοιά ὀξύνεται. τὸ δὲ Στοῖαι πόλις Λιβύης, ὡς Ἑκαταῖος περιηγήσει αὐτῆς, βαρύνεται. * Τὰ εἰς οια ὑπερδισύλλαβα σπάνια ὄντα προπαροξύνεται, οἷον ἄγνοι α , πρόνοι α. Τὰ εἰς α μακροκατάληκτα βαρύνεται παραλήγοντα τῷ υ , ὀξύα εἶδος ξύλου, καρύ α· ἔστι καὶ χωρίον τῆς Λακωνικῆς Καρύ α. Θεόπομπος νε'. κωδύα ἡ τῆς μήκωνος κεφαλή. Δατύα πόλις. οἰσύ α , ἰξύ α , σιπύ α , σικύ α , μελανδρύ α , ἀφύ α . Μαρσύα πόλις Φοινίκης ὡς Ἀλέξανδρος καὶ Φίλων, ἀπὸ Μάρσου.

3,1 303 Μινύα πόλις Θεσσαλίας ἡ πρότερον Ἁλμωνία ἀπὸ Μινύου κληθεῖσα ἔστι καὶ ἑτέρα ἐν τοῖς ὁρίοις Λυκίας. Κρύα πόλις Λυκίας. Ἀρτεμίδωρος. Ἁλικύαι πόλις Σικελίας. Θεόπομπος. μεταξὺ κειμένη Ἐντέλλης καὶ Λιλυβαίου. Καφύαι πόλις Ἀρκαδίας ἀπὸ Κάπυος τοῦ πατρὸς Ἀγχίσου ἢ ἀπὸ Κηφέως. Καπύα πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κάπυος τοῦ Τρωϊκοῦ. Τραμπύα πόλις τῆς Ἠπείρου πλησίον Βουνείμων. Φλεγύα πόλις Βοιωτίας ἀπὸ Φλεγύου τοῦ Ἄρεως καὶ Χρυσῆς παιδός. Σιγγύα πόλις Παμφυλίας. Μαντύα πόλις Ῥωμαίων. γράφεται δὲ καὶ Μάντουα τῷ τῶν Ῥωμαίων ἔθει. ἰγνύ α , ὀρύ α. Ἀρίσταρχος (?) συστέλλει τὸ α καὶ ἐκτείνει τὸ υ καὶ προπαροξύνει, ἐναλλαγὴν τόνου καὶ χρόνου πεποιηκώς. Τὰ εἰς α μακρὸν καθαρὸν τῷ ω παραληγόμενα βαρύνεται, ὤα ἡ μηλωτή, Κριώα δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ψοθώα ἡ ψώρα. ὡσαύτως καὶ Μινῴα πόλις ἐν Ἀμοργῷ τῇ νήσῳ μιᾷ τῶν Κυκλάδων. δευτέρα πόλις Σικελίας. τρίτη ἐν Σίφνῳ μιᾷ τῶν Κυκλάδων. ἔχει δὲ καὶ Μινῴαν κρήνην. ἐκαλεῖτο καὶ ἡ Γάζα Μινῴα, ὅτι Μίνως σὺν τοῖς ἀδελφοῖς Αἰακῷ καὶ Ῥαδαμάνθυι ἰὼν ἐξ αὐτοῦ ταύτην ἐκάλεσεν. ἔστι καὶ Ἀραβίας. ἔστι καὶ Κρήτης. ἔστι καὶ ἄλλη νῆσος οὐ πόρρω Μεγάρων καὶ ἡ Πάρος Μινῴα. ἠῴ α , προθυρῴ α , ὑπερῴα τριγενῆ. ταῦτα δὲ οὐ παρὰ πᾶσιν ἔχει τὸ ι . * Τὰ εἰς α διφθόγγῳ παραληγόμενα τῇ διὰ τοῦ υ δισύλλαβα προπερισπᾶται, Ταῦα πόλις Αἰγύπτου, Εὖα πόλις Ἀρκαδίας. Θεόπομπος ἐν ἕκτῳ, τὰ δὲ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται. Ἔρευα ἡ καὶ Ἐλευθερά, ἀφ' ἧς Ἐρευάτης πόλις Λυκίας. ΠΕΡΙ ΤΩΝ ΕΙΣ η ΘΗΛΥΚΩΝ ΚΑΙ ΤΩΝ ΕΙΣ ω .

3,1 304 ΒΙΒΛΙΟΝ ιβ'. Τὰ εἰς η λήγοντα θηλυκὰ παρὰ γενικῆς σχηματισθέντα βαρύνεται, χιτῶνος Χιτώνη, ἡγεμόνος Ἡγεμόνη, σώφρονος Σωφρόνη, εὔφρονος εὐφρόνη, ἀμύμονος Ἀμυμώνη ἡ θυγάτηρ Δαναοῦ, πέρατος περάτη, κάλυκος Καλύκη, χιόνος Χιόνη ὄνομα ἡρωΐδος. τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁρπαγή ὀξύνεται, διότι ἀπὸ ἁρπάζω. τὸ δὲ ἁρπάγη σιδήριόν τι βαρυνόμενον ἀπὸ τοῦ ἅρπαγος. καὶ τὰ παρώνυμα ὁμοίως, ἀμφίρυτος ἀμφιρύτη, δορύκτητος δορυκτήτη, ἀμφίλυκος ἀμφιλύκη, ἄσβεστος ἀσβέστη «τῆς δ’ αἶψα κατ’ ἀσβέστη κέχυται φλόξ» (Π 123), εὐποίητος εὐποιήτη «εὐποιήτῃσι πύλῃσι» (Il. Ε 466), πάγκαλος παγκάλη · Παγκάλη δ’ ἐκαλεῖτο καὶ Ἀμοργὸς νῆσος. πάναιθος παναίθη, περίξεστος περιξέστη, ἀρίγνωτος ἀριγνώτ η. Τὰ εἰς η σύνθετα καὶ παρασύνθετα βαρύνεται, Ὠκυπέτ η , Ὑψιπύλ η , Ἐριφύλ η , Βερονίκ η , Πολυκάστ η. Τὰ εἰς η προσηγορικὰ ἢ βαρύνεται ἢ ὀξύνεται σύνθετα ὄντα. ὅσα οὖν ἔχει τι ἄλλο μέρος λόγου καὶ ἄρχεται χωρὶς προθέσεως βαρύνεται, κυνάγχ η , βουκάπη ἡ τῶν βοῶν φάτνη, ποντοκύκη γυνή ἡ ταραχώδης γυνή, ὀξάλμ η , τολύπη ἡ ἐργασία, ἱστοδόκ η , καπνοδόκ η , λατύπ η , οἰνοχό η.

3,1 305 τὸ δὲ ἀστεροπή ὀξύνεται ὡς σύνθετον παρὰ τὸ ὄπα καὶ ἀστήρ. καὶ τὸ ὑδρορρόη οἱ παλαιοὶ ἐβάρυναν, οἱ δὲ μεταγενέστεροι ὀξύνουσιν οὐχ ὑγιῶς. Τὰ εἰς η θηλυκὰ προσηγορικὰ ἀπὸ προθέσεως συντεθειμένα τότε μὲν ὀξύνεται, ὅτε τὰ ἑαυτῶν ἁπλᾶ, καὶ τότε βαρύνεται, ὅταν τὰ ἑαυτῶν βαρύνηται, ἀνατολ ή , μεταβολ ή , ἀναβολ ή , ἐπιτολ ή , ἐπιτομ ή , ἀνοχ ή , παραψυχή τὸ προσηγορικόν, Παραψύχη δὲ τὸ κύριον. τὸ δὲ ἀναρρόη παροξύνεται, καίτοι ἀπὸ τοῦ ῥοή, καὶ τὸ ἀναδέσμη ἀπὸ τοῦ ἀνάδεσμος. τὰ δὲ βαρύτονα ταῦτα· συνθήκ η , παρακαταθήκ η , συγγνώμ η , συνάγχ η. Τὰ εἰς η συναληλιμμένα περισπᾶται, λεοντέα λεοντ ῆ, συκέα συκ ῆ, γαλέα γαλ ῆ, ἀμυγδαλέα ἀμυγδαλ ῆ, βοέα βο ῆ, κυνέα κυν ῆ, τραγέα τραγ ῆ. Τὰ εἰς η καθαρὸν μονογενῆ οὐ πολλὰ βαρύνεται, Δαύη πόλις Ἀραβίας. Δανά η . Ἀγαυή ὀξύνεται ἐπιθετικὸν ὄν, ὡσαύτως καὶ Κραναή νῆσος Λακωνική. Ὅμηρος «νήσῳ δ’ ἐν Κραναῇ ἐμίγην» (Il. Γ 445). οὕτως δὲ ἐκαλεῖτο καὶ ἡ Ἀττικὴ ἀπὸ Κραναοῦ. ἐξειλήφασι γάρ τινες τὸ Ὁμηρικὸν τὸ Κραναῇ ἀντὶ τοῦ Ἀτθίδι. καὶ τὰ διὰ τοῦ ευη παροξύνεται, χλεύ η , Βεύη πόλις Μακεδονίας, Εὔ η. τὸ δὲ σκευή ὀξύνεται, καὶ τὰ ἀπ’ αὐτῆς κατασκευ ή , ἐπισκευ ή , ὑποσκευ ή. Τὰ εἰς η καθαρὸν δισύλλαβα τῷ ο παραληγόμενα ὀξύνεται καὶ βαρύνεται. καὶ βαρύνεται τὰ ἀπὸ δύο συμφώνων προηγουμένου τοῦ δασέος, φθόη ἡ φθορά, χλό η , χνόη αἱ χοινικίδες τῶν ἁρμάτων, μεθ’ ὧν καὶ Ὄη δῆμος τῆς Οἰνηΐδης φυλῆς. τὰ δὲ μὴ οὕτως ἔχοντα ὀξύνεται, χοή ἡ σπονδή, βο ή , θοή τὸ ἐπίθετον, Θόη δὲ τὸ κύριον, πνο ή. ἔτι καὶ τὰ ὑπερδισύλλαβα, Οἰνόη μία τῶν ἐν Ἰκάρῳ δύο πόλεων.

3,1 306 οὕτως δὲ καὶ Σίκινος νῆσος περὶ τὴν Κρήτην πρότερον ἐκαλεῖτο. Χωλόη τὸ ὄρος τῆς Ἰταλίας, ἐν ᾧ φασι γεννηθῆναι τὸν Ἥφαιστον χωλόν. Ἀρόη πόλις Ἀχαΐας. Παυσανίας ἑβδόμῳ (c. 18, 2). ἐκλήθη δὲ ἀπὸ τῆς ἐργασίας τῆς γῆς. λέγεται καὶ Πάτραι. Βερόη πόλις Συρίας ἣν οἱ ἐγχώριοι Βερόειαν. Βουθόη πόλις Ἰλλυρίδος ὡς Φίλων διὰ τὸ Κάδμον ἐπὶ ζεύγους βοῶν ὀχούμενον ταχέως ἀνύσαι τὴν ἐς Ἰλλυριοὺς ὁδόν. οἱ δὲ τὸν Κάδμον ἀπὸ τῆς Αἰγυπτίας Βουτοῦς ὀνομάσαι αὐτὴν καὶ παραφθαρεῖσαν καλεῖσθαι Βουθόην. Οὐδονόη λέγεται ὑπὸ τῶν Λιβύων Ἱστός νῆσος Λιβύης. Μερόη πόλις Αἰθιόπων. Ἡρόδοτος δευτέρᾳ (c. 29). ἀπὸ Μερόης. ἔστι καὶ Μερόη κατὰ ἀνατολὰς τῆς περὶ Δάφνην Ἀντιοχείας· ἔστι καὶ Μερόη πόλις Λυκίας. Ἀρσινόη πόλις Λιβύης ἀπὸ τῆς τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου ἀδελφῆς καὶ γυναικός. δευτέρα πόλις Παραιτονίου Λιβύης ἡ πρότερον Ταύχειρα. τρίτη πόλις Συρίας ἐν Αὐλῶνι. τετάρτη τῆς κοίλης Συρίας. πέμπτη Κιλικίας. ἕκτη τῆς Αἰγύπτου πόλις ἐπὶ τοῦ Δέλτα. ἑβδόμη Κύπρου ἡ πρότερον Μάριον λεγομένη. ὀγδόη Αἰτωλίας. ἐνάτη Λύκτου. δεκάτη τῆς Τρωγλοδυτικῆς ἡ πρότερον Ὀλβία καλουμένη. ἔστι καὶ ἄλλη Λυκίας. Νινόη ἡ ἐν Καρίᾳ Ἀφροδισιὰς κτισθεῖσα ὑπὸ τῶν Πελασγῶν Λελέγων. καὶ ἐκλήθη Λελέγων πόλις. εἶτα ἐκλήθη Μεγάλη πόλις. εἶτα ἀπὸ Νίνου Νινόη. Ὀγχόη πόλις Φωκίδος. Ῥοδόη πόλις Ἰνδική. Σεθρόη πόλις Αἰγύπτου. Φολόη πόλις Ἀρκαδίας ἀπὸ Φόλου τοῦ Κενταύρου. Κολό η . Καλλιρρόη Νέστου θυγάτηρ· ἔστι καὶ Μαιάνδρου θυγάτηρ. λέγεται δὲ καὶ οὕτως λίμνη Συρίας. τὸ δὲ ἀκοή ἐκ τοῦ ἀκούω. Τὰ εἰς η δισύλλαβα παραληγόμενα τῷ υ , σπάνια ὄντα, τὰ μὲν βαρύνεται, λύη ἡ στάσις ἀπὸ τῆς διαλύσεως, δύη ἡ κακοπάθεια, γύη ἡ γῆ καὶ μέρος ἀρότρου, ψύη ἡ ψύα καὶ ψόαι. τὰ δὲ ὀξύνεται, φυή καὶ Φλυή

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆμος Ἀττικὸς τῆς Κεκροπίδος φυλῆς. λέγεται καὶ Φλυεῖς. Τὰ εἰς υη ὑπερδισύλλαβα βαρύνεται, ἰγνύη «ἰγνύην βεβλημένος» (Ν 212), ὀρύ η , νορύη εἶδος ὀσπρίου, Λιβύη χώρα πολυώνυμος, ὡς πολυίστωρ «γῆ Ὀλυμπία, Ὠκεανία, Ἐσχατιά, Κορυφή, Ἑσπερία, Ὀρτυγία, Ἀμμωνίς, Αἰθιοπία, Κυρήνη, Ὀφιοῦσσα, Λιβύη, Κηφηνία, Ἀερία».

3,1 307 Βιζύη πόλις Θρᾴκης τὸ τῶν Ἀστῶν βασίλειον, Μιλύη ἡ γυνὴ Σολύμου, ἀφ' ἧς Μιλύαι. Μοτύη πόλις Σικελίας ἀπὸ Μοτύης γυναικὸς μηνυσάσης Ἡρακλεῖ τοὺς ἐλάσαντας τοὺς αὐτοῦ βοῦς. Ἑκαταῖος Εὐρώπῃ. Φίλιστος δὲ φρούριον αὐτήν φησι Σικελίας παραθαλάσσιον. Πισύη πόλις Καρίας. λέγεται καὶ Πιτύ η . Μαντύη πόλις Ῥωμαίων, ἣ καὶ Μαντύα. Τὰ διὰ τοῦ ωη ὀξύνεται, ζω ή , θωή ἡ ζημία, τοῦτο δὲ καὶ σὺν τῷ ι , ἐξ οὗ καὶ τὸ ἀθῷος, δμῳ ή , ἐρω ή , ἰω ή , ἀλῳ ή· τοῦτο δὲ ἀπὸ τοῦ ἀλοιῶ ῥήματος γεγονὸς σὺν τῷ ι γράφεται. τὸ δὲ Στρώη πόλις Λιβύης, ὡς Ἑκαταῖος Ἀσίας περιηγήσει. καὶ Οἰνώη πόλις τῆς Ἀργείας, ὅθεν Οἰνωᾶτις Ἄρτεμις, βαρύνεται ὡς κύρια. Τὰ εἰς βη ἔχοντα πρὸ τοῦ β σύμφωνον κατ' ἐπιπλοκὴν ἢ κατὰ διάστασιν βαρύνεται, εἰ μὴ ῥηματικὰ εἴη προσηγορικὰ καὶ παραλήγοι τῷ ο , τύρβ η , Κόμβη ἡ Χαλκίς καλουμένη, θυγάτηρ Ἀσωποῦ, ἀφ' ἧς Χαλκίς πόλις Εὐβοίας, κύμβη νηὸς εἶδος. Θίσβη πόλις Βοιωτίας. Ὅμηρος «πολυτρήρωνά τε Θίσβην» (Β 502) ἀπὸ Θίσβης τοῦ Ἀσωποῦ. λέγεται καὶ πληθυντικῶς. καὶ ὁ λιμὴν δὲ τῶν Θισβαίων, ὥς φησιν Ἐπαφρόδιτος, καὶ τὸ ἐπίνειον περιστερῶν πλῆρες. κράμβ η , Ἄλβη πόλις Ἰταλίας, ἣ καὶ Ἄλβα λέγεται. ἔστι καὶ Ἄλβη πόλις Κρήτης. Βόλβη πόλις καὶ λίμνη. ἔστι καὶ Βόλβαι πόλις Καρίας. Δέρβη φρούριον Ἰσαυρίας καὶ λιμήν. Κύρβη πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. Στράμβαι πόλις Θρᾴκης. Ὕσβη πόλις Λυδίας. τὸ δὲ φορβή ἐστι ῥηματικὸν προσηγορικὸν καὶ ἔχει τὸ ο . τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε παραληγομένων μόνῳ, οἷον τρέπω τροπ ή, τρέφω τροφ ή, νέμω νομ ή, στρέφω στροφ ή , ῥοπ ή , σπονδ ή , ὁλκ ή , πλοκ ή.

3,1 308 οὕτως καὶ φορβή. προσέθηκα τῷ ε παραληγόμενα μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπ η. τοῦτο γὰρ ἀπὸ τοῦ πείρω. Τὰ εἰς βη ὑπερδισύλλαβα μὴ παραληγόμενα τῇ οι διφθόγγῳ βαρύνεται, Ἀλύβη «τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη» (Β 857). Ἑλλάνικος δέ φησιν λίμνην εἶναι Ποντικήν. καλύβ η. ἔστι καὶ Καλύβη πόλις Θράκης, ἄποικος Μακεδόνων, Νιόβ η , ἀστράβη εἶδος ἁμάξης. οὕτως δὲ ἐκαλεῖτο Κάσος μία τῶν Κυκλάδων. Ἑκάβ η . Ἀρίσβη πόλις τῆς Τρῳάδος Μυτιληναίων ἄποικος, ἧς οἰκισταὶ Σκαμάνδριος καὶ Ἀσκάνιος υἱὸς Αἰνείου. Κεφάλων δέ φησιν, ὅτι Δάρδανος ἀπὸ Σαμοθρᾴκης ἐλθὼν εἰς τὴν Τρωάδα τὴν Τεύκρου τοῦ Κρητὸς θυγατέρα γαμεῖ Ἀρίσβην. Ἑλλάνικος δὲ Βάτειαν αὐτήν φησιν. ἔστι ἑτέρα ἐν Λέσβῳ ἀπὸ Ἀρίσβης τῆς Μάκαρος θυγατρός. Ἔφορος δὲ Μέροπος αὐτὴν γενεαλογεῖ καὶ πρώτην Ἀλεξάνδρῳ τῷ Πριάμου γαμηθῆναι. Ἡρόδοτος δὲ καὶ ἰάζων Ἀρίσβαν καλεῖ ἐν πρώτῃ (c. 151). Ἀστελέβη πόλις Λυδίας. Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν. Κακκάβ η. οὕτως ἐκαλεῖτο Καρχηδών. τούτῳ δὲ κατὰ τὴν οἰκείαν αὐτῶν λέξιν ἵππου κεφαλὴ δηλοῦται. Ὑποθῆβα ι· τινὲς οὕτως φασὶ τὰς Ποντίας τῆς Βοιωτίας κεκλῆσθαι. οἱ δὲ πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὠνομασμένον, ὡς τὴν Ὑποχαλκίδα καλοῦσι διὰ τὸ ὑπὸ τὸ ὄρος τὴν Χαλκίδα κεῖσθαι. πολλοὶ δὲ μετὰ προθέσεως τόποι, Ἐπικνημίδιοι, Ὑπερβόρεοι, Παραποτάμιοι, Προποντίς, Παρωκεανῖται. κολόβ η. Ἀττικοὶ δὲ ὀξύνουσιν. τὸ δὲ ἀμοιβή ὀξύνεται ὡς ἔχον τὴν οι δίφθογγον. Τὰ εἰς βη ἰαμβικὰ κύρια ἢ παρώνυμα βαρύνεται, Ἄβη πόλις Φωκική, ἣ καὶ Ἄβα καὶ πληθυντικῶς Ἄβαι ὡς Ἀμύκλα Ἀμύκλαι. Λυκόφρων (v. 1074) «ποθοῦντες Ἄμφισσάν τε καὶ κλεινὰς Ἄβας». κέκληται δὲ ἀπὸ ἥρωος Ἄβα. Τάβαι πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας «ἄστυ Ταβῶν ἐρικυδὲς ἐλεύθερον οἰκίζεσθαι». καὶ Ἀπολλώνιος ἐνάτῳ «ἐδεήθησαν ὅπως αὐτοὺς εἰς Τάβας καταγάγωσι». ἐκλήθη δὲ ἀπὸ Τάβου ἥρωος. οἱ δέ φασι τὸν Κιβύραν καὶ Μαρσύαν ἀδελφοὺς τὸν μὲν κτίσαι Κιβύραν πόλιν, τὸν δὲ Τάβας, καὶ καλέσαι ἀπὸ τοῦ ἐπὶ πέτρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκεῖσθαι· τάβαν γὰρ τὴν πέτραν Ἕλληνες ἑρμηνεύουσιν. ἔνιοι ἀπὸ Ταβηνοῦ Ἀργείου. ἔστι καὶ ἄλλη πόλις Καρίας Τάβαι. καὶ τρίτη τῆς Περαίας, ἣν Ἀλέξανδρος ἐν τῷ περὶ Συρίας ἑρμηνεύει ἀγαθήν. Σάβαι πόλις μεγάλη πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης. Λάβαι πόλις Χαττηνίας. Πολύβιος τρισκαιδεκάτῳ. βλάβ η. ὀξύνεται δὲ ταῦτα, λαβ ή , τριβή ῥηματικὰ ὄντα. Τὰ εἰς οιβη κύρια μὲν ὄντα βαρύνεται, Φοίβ η , Βοίβη πόλις Θεσσαλίας.

3,1 309 Ὅμηρος «Βοίβην καὶ Γλαφυρὰς καὶ ἐϋκτιμένην Ἰαωλκόν» (Β 712) ἀπὸ Βοίβου τοῦ Γλαφύρου τοῦ τὰς Γλαφυρὰς κτίσαντος. ἔστι καὶ ἐν Κρήτῃ Βοίβη τῆς Γορτυνίδος. προσηγορικὰ δὲ ὀξύνεται, λοιβ ή , στοιβ ή , ἀμοιβ ή. Τὰ εἰς βη δισύλλαβα φύσει μακρᾷ παραληγόμενα μὴ προσηγορικὰ τῇ οι παραληγόμενα βαρύνεται, ἥβ η , Θήβη πόλις Βοιωτίας διάσημος ἀπὸ Θήβης τῆς Προμηθέως. ἔστι καὶ ἄλλη Αἰγυπτία, περὶ ἧς Καλλίμαχός φησιν ὅτι «κατὰ τὰς Αἰγυπτίας Θήβας ἐστὶ σπήλαιον ὃ ταῖς μὲν ἄλλαις ἡμέραις πληροῦται ἀνέμου, κατὰ δὲ τὰς τριακάδας οὐ πνεῖ παντελῶς». τρίτη Θεσσαλίας τῆς Φθιώτιδος. τετάρτη ἐν Κιλικίᾳ, Ὑποπλακία, πλησίον τῆς Τροίας. πέμπτη Ἰωνίας κατὰ Μίλητον. ἕκτη ἐν τῇ Ἀττικῇ. ἑβδόμη τῆς Καταονίας. ὀγδόη Ἰταλίας. ἐνάτη Συρίας. Βαῖβαι πολίχνιον τῆς Καρίας. στίβη ἡ ψύχρα. «μή μ’ ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση» (Od. ε 467). λώβη ἐκ τοῦ λαβή, ὃ σημαίνει τὸ ξίφος, λάβη. γίνεται καὶ τροπῇ τοῦ α εἰς ω λώβη ὡς φᾶρος φωριαμός. Τὰ εἰς γη δισύλλαβα ἔχοντα τὴν πρώτην εἰς σύμφωνον λήγουσαν, προσηγορικὰ ὄντα, ὀξύνεται, φθογγ ή , κλαγγ ή , ὀργ ή , στοργ ή. τὰ δὲ κύρια βαρύνεται, Βέργη πόλις Θρᾴκης πρὸς τῇ Χερρονήσῳ. Στράβων δὲ (2 p. 102. 104) κώμην αὐτὴν λέγει. Σέλγη πόλις Πισιδίας ἄποικος Λακεδαιμονίων. Πέργη πόλις Παμφυλίας. Βάργη ἡ μήτηρ Βαργάσου, ἀφ’ οὗ Βάργασα πόλις Καρίας. Γάργη πόλις Λιβύης ὡς πολυίστωρ ἐν τρίτῃ Λιβυκῶν. Βέλγ η, ἀφ’ οὗ Βελγίκη ἡ χώρα ὡς Ἀκτή Ἀττική. Θίγγη πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει. Γάγαι πόλις Λυκίας, ἣν καὶ Παλαιὸν τεῖχος καὶ χώραν φησὶν Ἀλέξανδρος ἐν πρώτῃ Λυκιακῶν. Τὰ εἰς γη ἰαμβικὰ ῥηματικὰ ὄντα ὀξύνεται, ταγή ἀπὸ τοῦ τάσσω, φυγ ή , σφαγ ή. παρώνυμα δὲ βαρύνεται, πάγ η , τρύγ η , στέγ η. τὸ μέντοι σαγή τὸ πλῆθος ὡς σφαγή ὀξύνεται, τινὲς δὲ βαρύνουσι. καὶ τὸ ἄγη ἡ ἔκπληξις «ἄγη μ’ ἔχει ὄρχαμε λαῶν» (Φ 221) ἀπὸ φωνήεντος ἀρχόμενον βαρύνεται.

3,1 310 Τὰ εἰς γη δισύλλαβα ἀσυνάλειπτα φύσει μακρᾷ παραληγόμενα, εἰ μὴ διαστολή τις εἴη ἢ ἀπὸ τοῦ γ ἄρχοιτο, ὀξύνεται, πληγ ή , σιγ ή , Σίγη δὲ πόλις Τρῳάδος, ὡς Ἑκαταῖος Ἀσίᾳ, κραυγ ή , Κραύγη δὲ τὸ κύριον. ἀγή ἡ ἀπόκλασις τοῦ κύματος, αὐγ ή , Αὔγη δὲ ἡ γυνὴ τοῦ Τεύθραντος, ῥωγ ή , Ῥώγη δὲ νῆσος ἐν τῇ Λυκίᾳ, πηγή καὶ Πηγαί παροικία Μεγαρέων. ἔστι δὲ καὶ πόλις ἐν Κερυνείᾳ τῆς Κύπρου. πυγ ή. τὸ δὲ Γύγη ἡ πόλις ἀπὸ τοῦ γ ἄρχεται. τὸ δὲ αἰγῆ ἀπὸ τοῦ αἰγέα συναλειφθὲν περισπᾶται. Τὰ εἰς γη ὑπερδισύλλαβα προσηγορικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν ὀξύνεται, μαρμαρυγ ή , κορκορυγή ὁ θόρυβος, ὀλολυγ ή , βορβορυγ ή , ὠρυγή ἡ κραυγή, οἰμωγ ή , ἀρωγ ή , ἀνωγ ή , ὑπιωγ ή , ἁρμογ ή , πλαταγ ή , λαλαγ ή . Λαλάγη δὲ κύριον, ὥσπερ τὸ ἠλύγη ἡ σκιά καὶ πανάγη ἡ ἁγνὴ ἱέρεια. καὶ Φαρύγαι πόλις Λοκρίδος, ἣν Ὅμηρος Τάρφην καλεῖ (Il. Β 533). τὸ δὲ πατάγη βαρύνεται, οὐ γὰρ ἐκ τοῦ πατάσσω γίνεται, ὠξύνετο γὰρ ἂν ὡς τὸ ἀλαλαγή, ἀλλ’ ἀπὸ τοῦ πάταγος, οὗ τὸ θηλυκὸν πατάγη. Τὰ εἰς γη ὑπερδισύλλαβα, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, βαρύνεται, ὀλίγγη ἡ ἀνάπαυσις, Ἐλιβύργη πόλις Ταρτησσοῦ. Ἑκαταῖος Εὐρώπῃ. ἀμόργη ἡ τοῦ ἐλαίου τρύξ. σεσημείωται τὸ ἀμολγή ὀξυνόμενον. Τὰ εἰς δη ἔχοντα πρὸ τοῦ τέλους τὸ ο εἰς σύμφωνον καταλῆγον προσηγορικὰ ὄντα ὀξύνεται, χορδ ή , σπονδ ή.

3,1 311 τὸ μέντοι Χόνδη κύριον βαρύνεται καὶ τὸ Μένδη πόλις Θρᾴκης ἀπὸ Μένδης γυναικός. Ἀπολλόδωρος Μένδαν αὐτήν φησι, καὶ τὸ Τίνδη Θρᾴκης Χαλκιδικὴ πόλις καὶ τὸ ἄλδη. Τὰ εἰς δη προσηγορικὰ μακρᾷ παραληγόμενα ὀξύνεται, ᾠδ ή , ἀοιδ ή , σπουδ ή , ἐδωδ ή , αὐδ ή. τὸ μέντοι Λήδη κύριον, καὶ Ἴδη Τροίας ὄρος. Ὅμηρος (Il. Γ 276) «Ἴδηθεν μεδέων» ἀπὸ Ἴδης τινὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλίσσης, ὡς Χάραξ. καὶ Μήδη καὶ Λύδ η. Τὰ εἰς δη λήγοντα ἔχοντα πρὸ τέλους συλλαβὴν βραχεῖαν μὴ εἰς σύμφωνον καταλήγουσαν, εἰ μὲν κύρια ὦσιν ἢ οὐσίαν σημαίνει, βαρύνεται, πέδ η , κνίδ η , σίδ η. ἔστι καὶ Σίδη πόλις Παμφυλίας ὡς Ἑκαταῖος Ἀσίᾳ. κέκληται δὲ ἀπὸ Σίδης τῆς θυγατρὸς μὲν Ταύρου, γυναικὸς δὲ Κιμώλου. Νέδη πόλις Ἀρκαδίας ἀπὸ νύμφης Νέδης. Εὐφορίων δὲ Νεδέην αὐτήν φησι. Ὕδη πόλις Λυδίας, ἐν ᾗ ᾤκει Ὀμφάλη δυναστεύουσα Λυδῶν, Ἰαρδάνου θυγάτηρ, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. Ὅμηρος δὲ διὰ τοῦ λ (Il. Η 221). «σκυτοτόμων ὄχ' ἄριστος Ὕλῃ ἐνὶ οἰκία ναίων». Μαιάνδριος δ', ὃν Νικάνωρ παρατίθησι ἐν μετονομασίαις, τὴν αὐτὴν Ὕδην καὶ Σάρδεις φησίν. κράδη καὶ Κράδη πόλις Καρίας. Ἑκαταῖος Ἀσίας περιηγήσει. Λάδη νῆσος Αἰολίδος. Ἑκαταῖος Ἀσίᾳ. Ῥόδη πόλις Ἰβηρίας καὶ πληθυντικῶς πόλις Ἰταλίας. εἰ δὲ κατὰ πράγματος τάσσοιτο, ὀξύνεται, κομιδή ἡ ἐπιμέλεια, ἁδή ἡ ἡδονή, φραδή ἡ βουλή, χλιδή ὁ κόσμος. * Τὰ εἰς δη ὑπερδισύλλαβα κύρια βαρύνεται, Χαρμάνδη πόλις πέραν τοῦ Εὐφράτου. Σοφαίνετος ἐν Κύρου ἀναβάσει «ἐπὶ δὲ ταῖς Βαβυλωνίαις πύλαις πέραν τοῦ Εὐφράτου ποταμοῦ πόλις ᾤκιστο ὄνομα Χαρμάνδη». Ἀγαμήδη τόπος περὶ Πύρραν τῆς Λέσβου ἀπὸ Ἀγαμήδης τῆς Μάκαρος, τῆς καὶ Πύρρας ἐπίκλησιν. ἔστι καὶ κρήνη Ἀγαμήδη, ὡς Νικόλαος ε'. Τὰ εἰς θη δισύλλαβα βαρύνεται, εἰ μὴ ἰαμβικὰ εἴη τῷ ο παραληγόμενα, μάλθη ὁ κηρός, τήθ η , τίτθ η , Ξάνθη οὕτως ἡ Τρῳάς ἐκαλεῖτο.

3,1 312 σπάθ η , σάθ η , πόσθη τὸ αἰδοῖον ἐκ τοῦ πρόσθη γεγονός, μέθ η , Αἴθη ὄνομα κύριον, λήθη ἐπί τε τοῦ προσηγορικοῦ καὶ τῆς πόλεως. Βρένθη πόλις Ἀρκαδίας. Σμίνθη πόλις Τροίας. Σκίθαι πόλις Θρᾴκης πλησίον Ποτιδαίας. Σίθη ὄνομα κύριον. τὸ δὲ Ὀρθή πόλις Περραιβίας ἢ Θετταλίας, καλουμένη καὶ Κορσέα (Β 739), ἐπιθετικῶς τεταγμένον ὀξύνεται. εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα. σεσημείωται τὸ κριθή ὀξυνόμενον καὶ τὸ ποθή ἔχον τὸ ο . Ἀρίσταρχος Ἰλιάδος Α (240) ὀξύνει. ὥσπερ γὰρ χόλος τὸ πάθος, χολὴ δὲ ἀφ' οὗ τὸ πάθος, οὕτω καὶ πόθος τὸ πάθος, ποθή δὲ ἡ ἐπιπόθησις καὶ ἐπιθυμία. ἔστι δὲ κανὼν ὁ λέγων, ὅτι τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα, ποιοῦντα θηλυκὰ ὀξύτονα αὐτὰ ποιοῦσιν οἷον στρόφος στροφή, νόμος νομή, ῥόος ῥοή. ὁ δὲ Φιλόξενος ἐν τῷ ῥηματικῷ λέγει, ἀπὸ τοῦ πεύθω πευθή καὶ ποθή. Τὰ εἰς θη μονογενῆ ὑπερδισύλλαβα βαρύνεται, καλάθη καὶ Καλάθη πόλις οὐ πόρρω τῶν Ἡρακλείων στηλῶν. Ἑκαταῖος Εὐρώπῃ. Ἔφορος δὲ Καλάθουσαν αὐτήν φησι. Βισάνθη πόλις Μακεδονίας κατὰ Θρᾴκην Ἑλληνίς, ἄποικος Σαμίων. Ἰάνθ η , λυκάνθ η , Οἰάνθη πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπῃ. Ἑλλάνικος δὲ Οἰάνθειαν αὐτήν φησι. Ἀμάθη πόλις Φοινίκης. ἔστι καὶ Σικελίας Ἀμαθαί πληθυντικῶς. Ἀριάνθη πόλις Οἰνωτρῶν. Ἀρίνθη πόλις Οἰνωτρῶν ἐν μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ. Γαβάθη πόλις Γαλιλαίας ὡς Ἰώσηπος ἕκτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 5). Καλαμένθη πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει. Καλαμίνθη δὲ διὰ τοῦ ι πόλις Φοινίκων. Ἀρκεύθ η· οὕτως ἐκαλεῖτο πόλις Ἰσαυρίας Δέλβεια, ὅ ἐστι τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθος. Λεκίθη ἡ πόλις. Λυκέθη ὄνομα κύριον. Ῥαββώθ η· οὕτως ἐκαλεῖτο πρότερον ἡ Φοινίκη. Λαπίθη πόλις Θεσσαλίας, ὡς Ἐπαφρόδιτος. ἐν τοῖς Ὁμηρικοῖς, ἀπὸ Λαπίθου τοῦ Περίφαντος. Ἀγάθη πόλις Λιγύων ἢ Κελτῶν.

3,1 313 Σκύμνος δὲ Φωκαέων αὐτήν φησιν ἐν τῇ Εὐρώπῃ. Τιμοσθένης δὲ ἐν τῷ σταδιασμῷ Ἀγαθὴν τύχην αὐτήν φησι. εἰ δὲ οὕτως λέγοιτο, καὶ ὀξύνοιτ' ἂν ὡς ἐπιθετικόν, ὡς τὸ Ἡραῖον τεῖχος καὶ Ἥραιον καὶ Ἑρμαῖος λόφος καὶ Ἕρμαιος. ἔστι δὲ καὶ ἄλλη πόλις, ὡς Φίλων, Λιγυστίων ἐπὶ λίμνης Λιγυστίας. τάχα δ' ἡ αὐτή ἐστι τῇ πρώτῃ, ὡς Εὔδοξος. βαρύνεται δέ. τὸ δὲ ἀγαθός ἀγαθή τριγενὲς ὡς καὶ τὸ κακηθός κακηθ ή. Τὰ εἰς κη δισύλλαβα φύσει μακρᾷ παραληγόμενα ἀσυνάλειπτα βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου ἢ συμφώνων, μὴ ποιότητα φωνῆς ἀλόγου ζώου σημαίνοντα, Γλαύκη τὸ κύριον, γλαυκή δὲ τὸ ἐπιθετικόν «γλαυκὴ δέ ς' ἔτικτε θάλασσα» (Il. Π 34). λεύκη τὸ προσηγορικὸν καὶ Λεύκη κύριον, λευκή δὲ τὸ ἐπίθετον καὶ Λευκή νῆσος ἐπιθετικώτερον τεταγμένη. πεύκ η. ἔστι καὶ νῆσος ἐν τῷ Ἴστρῳ, νίκ η , φρίκ η , βήκ η , θήκ η ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φώκ η· ἔστι καὶ Φώκη Ἰωνικὴ πόλις, ἣ καὶ Φώκαια. Θρᾴκη χώρα ἀπὸ Θρᾳκὸς βασιλέως τοῦ πάλαι ἐν αὐτοῖς τελευτήσαντος ἢ ἀπὸ Θρᾴκης νύμφης Τιτανίδος, μεθ’ ἧς καὶ Σαμοθρᾴκη νῆσος πρὸς τῇ Θρᾴκῃ συνθέτως ἐκ τοῦ Θρᾳκία Σάμος. τὸ δὲ μυκή ὀξύνεται σημαῖνον φωνὴν λέοντος. τὸ δὲ ἠκή ἄρχεται ἀπὸ φωνήεντος. τὸ δὲ συκῆ ἀπὸ τοῦ συκέα συναλειφθὲν περισπᾶται. ἔστι καὶ Συκῆ πόλις ἀντικρὺ Βυζαντίου. Στράβων (7 p. 319) ἑνικῶς λέγει Συκῆν. οἰκειότερον δέ, ὡς λέγονται, Συκαῖ λέγοιντ’ ἄν. ἔστι καὶ ἄλλη Συκῆ πλησίον Συρακουσῶν. καὶ Κιλικίας. ἔστι καὶ ἑτέρα Ἀλεξανδρείας. Τὰ εἰς κη ἰαμβικὰ ἀσυνάλειπτα, εἰ μὲν τῷ ο παραλήγοιτο, ὀξύνεται ῥηματικὰ ὄντα, πλέκω πλοκ ή, δέκω δοκή ἡ ὑπόνοια, πέκω ποκή τὸ ἔριον. τὸ μέντοι κρόκη ἀπὸ τοῦ κροκός. εἰ δὲ ἄλλῳ φωνήεντι, βαρύνεται, δίκ η. ἔστι δὲ τοῦτο σημειῶδες. τὰ γὰρ εἰς κη λήγοντα θηλυκὰ δισύλλαβα μονογενῆ βαρύτονα, ὅτε ἔχει πρὸ τέλους τὸ ι , ἢ συνεσταλμένον ἔχει αὐτὸ ἢ ἐκτεταμένον καὶ τότε μὲν συνεσταλμένον ὁπότε σύμφωνον ὁρᾶται πρὸ τοῦ κ καταλῆγον, τότε δὲ ἐκτεταμένον, ὁπότε οὐχ οὕτως ἔχει οἷον Κίρκη, Δίρκη, Τρίκκη. συνέσταλται δὲ τούτων τὸ ι , ἐπεὶ σύμφωνον ἦν πρὸ τοῦ κ . τοῦ δὲ ἑτέρου νίκη, φρίκη. λείπει ἄρα ἡ δίκη ἢ χρόνῳ ἢ συμφώνῳ. Λύκη κύριον, κάκη ἡ κάκωσις. τὸ μέντοι ἀκή ἡ ἡσυχία ὀξύνεται πρὸς ἀντιδιαστολὴν κυρίου.

3,1 314 ἔστι δὲ Ἄκη πόλις Φοινίκης ἡ ὕστερον Πτολεμαΐς. ἐκαλεῖτο δὲ Ἄκη ἀπὸ τῆς ἰάσεως τοῦ γενομένου δήγματος Ἡρακλεῖ ὑπὸ ὄφεως. τὰ δὲ εἰς κη λήγοντα δισύλλαβα ἐπὶ πόλεων ἢ χωρῶν βαρύνεται, Πλάκη πόλις Ἑλλησποντία. τὸ δὲ φακῆ περισπᾶται ἐκ συναιρέσεως. Τὰ εἰς κη δισύλλαβα πρὸ τοῦ κ σύμφωνον ἔχοντα μὴ τὸ λ βαρύνεται, κάκκη κόπρος, κάκη δὲ ἡ δειλία, λόκκη ἡ χλαμύς, κρόκκη ἡ παράλιος ψηφίς. Τρίκκη πόλις Θεσσαλίας ἀπὸ Τρίκκης τῆς Πηνειοῦ θυγατρός. Δίρκ η , Κίρκ η , νάρκ η , Βάρκη πόλις Λιβύης ἥτις καὶ Πτολεμαΐς. λέγεται καὶ Βάρκαια. ἄσκη ἡ ἄσκησις. πέρκη εἶδος ἰχθύος, ἣ καὶ Θρᾶττα ἐκαλεῖτο. Ἄρκη πόλις Φοινίκης. Ἰώσηπος ἐν πέμπτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας (1, 22). Θρίγκη πόλις περὶ τὰς στήλας. Ἑκαταῖος Ἀσίᾳ. τὸ δὲ ὁλκή καὶ ἀλκή ὀξύνονται, ὡς ἔχοντα τὸ λάμβδα. τὸ δὲ Χάλκη πρὸς ἀντιδιαστολὴν τοῦ χαλκῆ βαρύνεται. ἔστι δὲ πόλις Λιβύης «μετὰ δ’ αὐτὴν πόλις Φοινίκων Χάλκη». ἔστι καὶ νῆσος. Θουκυδίδης ὀγδόῃ (c. 44) «ἀπέπλευσαν εἰς Χάλκην, ἐντεῦθεν δ’ εἰς Σάμον». Θεόφραστος δὲ Χαλκίαν αὐτὴν καλεῖ. ἔστι καὶ ἄλλη Χάλκη Λαρισαίας πόλις. λέγεται καὶ πληθυντικῶς Χάλκαι. Θεόπομπος πρώτῳ Φιλιππικῶν ...... καὶ τρίτῳ «ἔτι συνεπολέμησεν ὡρμημένος ἐκ Χαλκῶν τῆς Λαρισαίας». Τὰ εἰς κη ὑπερδισύλλαβα τῷ α παραληγόμενα εἴτε κύρια εἴτε προσηγορικὰ βαρύνεται, εἰ μὴ εἴη ῥηματικά, Ἰθάκη νῆσος πρὸς τῇ Κεφαλληνίᾳ ἀπὸ Ἰθάκου ἥρωος. ἔστι καὶ Συρίας ὑπὸ τὸν Εὐφράτην. Ἀρτάκη πόλις Φρυγίας ἄποικος Μιλησίων. Δημήτριος δὲ νησίον εἶναί φησι κατὰ Τιμοσθένην λέγων «Ἀρτάκη, τοῦτο μὲν ὄρος ἐστὶ τῆς Κυζικηνῆς, τοῦτο δὲ νησίον ἐστὶν ἀπὸ γῆς ἀπέχον στάδιον· κατὰ τοῦτο λιμὴν ὑπάρχει βαθὺς ναυσὶν ὀκτὼ ὑπὸ τῷ ἀγκῶνι ὃν ποιεῖ τὸ ὄρος ἔχεσθαι τοῦ αἰγιαλοῦ».

3,1 315 Σκυλάκη πόλις περὶ Κύζικον. Ἑκαταῖος Ἀσίᾳ. Ἀνάκη πόλις Ἀχαΐας. Ἀναριάκη πόλις πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. Στράβων (11 p. 507 seqq. 514). Ἀρβάκη πόλις ἐν Κελτιβηρίᾳ ὡς Ἰόβας. Ἀρσάκ η. οὕτως μετωνομάσθη Ῥάγα πόλις ἐν Μηδίᾳ ἀπὸ Ἀρσάκου βασιλέως Περσῶν. Ἀφάκη πόλις Λιβύης, ὡς πολυίστωρ ἐν Λιβυκῶν τρίτῃ. Μαινάκη Κελτικὴ πόλις. Μαλάκη πόλις Ἰβηρίας. Ἀρτεμίδωρος. Λαμψάκη ἐπιχωρία τις κόρη, ἀφ’ ἧς Λάμψακος πόλις. Βαβυτάκη πόλις Περσική. Ὀμφάκη πόλις Σικελίας. Φίλιστος Σικελικῶν τετάρτῳ. Σιδάκη πόλις Λυκίας ἀπὸ Σιδάκης τῆς Ἀμισωδάρου. Τυριτάκη πόλις Πόντου. Σιττάκη πόλις Περσική, ὡς Ἑκαταῖος Ἀσίᾳ. Ψευδαρτάκη λόφος ἐν τῇ Σκυθίᾳ μετὰ τὸ λεγόμενον Ἅγιον ὄρος. Βαιάκη πόλις Χαονίας. Ἑκαταῖος. Βαράκη νῆσος τῆς Γεδρωσίας. Σαμυδάκη πόλις Καρμανίας. Χανδανάκη πόλις Περσική. Ἑκαταῖος Ἀσίας περιηγήσει. Ψιττάκη πόλις πρὸς τῷ Τίγριδι, ἐν ᾗ τὸ φυτὸν τῶν ψιττακίων, ὡς Δαμόφιλος. Τυράκ η. οὕτως Τυρακίνας πόλιν Σικελίας Ἀλέξανδρος ἐν Εὐρώπῃ καλεῖ. Φυλάκη πόλις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θεσσαλίας «οἱ δ’ εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα» (Β 695) ἀπὸ Φυλάκου τοῦ Δηϊόνος. ἡ δὲ φυλακή ἀπὸ τοῦ φυλάσσω καὶ ἰακή ἀπὸ τοῦ ἰάζω καὶ ὑλακή ἀπὸ τοῦ ὑλάσσω. τὸ δὲ ἀνάγκη εἰ ἦν ἀπὸ ῥήματος τοῦ ἀνάσσω ὀξύνοιτο ἂν ὡς στενάχω στεναχ ή. Τὰ εἰς κη ὑπερδισύλλαβα τῷ ε ἢ τῷ ο παραληγόμενα σπάνιά εἰσιν. Ζεβέκη πόλις τῆς Γαλιλαίας. Ἰώσηπος Ἰουδαϊκῆς ἀρχαιολογίας πέμπτῳ (5, 2). σημαίνει δὲ τὸ ὄνομα κύριος. τὸ Ἀλωπεκή δῆμος τῆς Ἀντιοχίδος φυλῆς ὀξύνεται. τὸ δὲ βορβορόκη βαρύνεται, καὶ τὸ ψοθόκη ἡ ἀκαθαρσία. Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ι συνεσταλμένῳ παροξύνεται, Ἑλίκη πόλις Πελοποννήσου.

3,1 316 Ὅμηρος «οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς» (Il. Θ 203) ἀπὸ Ἑλίκα τοῦ Λυκάονος ἢ ἀπὸ Ἑλίκης τῆς Ἴωνος μὲν γυναικός, Σελινοῦντος δὲ τοῦ Ποσειδῶνος θυγατρός. ἔστι καὶ ἄλλη Θετταλική. μυρίκ η. ἔστι καὶ νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, οὕτως δὲ κέκληται καὶ Ἀμφίπολις πόλις. Βαιτίκη χώρα, οὕτως δὲ παρὰ τὸν Βαῖτιν ποταμὸν καλεῖται ἡ Τουρδητανία. μηδίκ η. Στράβων (12 p. 525) «καὶ τὴν βοτάνην μὲν μάλιστα τρέφουσαν τοὺς ἵππους, ἣν μηδίκην καλοῦμεν». Βελγίκη ἡ χώρα. Ἰταλίκη πόλις Ἰβηρίας. Λαοδίκ η , Κυζίκ η. τὰ δὲ ἔχοντα ἔννοιάν τινος προσυπακουομένου ὀξύνονται, μουσικ ή , ἰατρικ ή , γραμματικ ή . Περσική εἶδος εὐτελοῦς ὑποδήματος ἔοικε δὲ γυναικεῖον εἶναι. Σκυθική εἶδος ὑποδήματος. Λακωνική εἶδος ὑποδήματος. Ἀβική χώρα Ποντική. Ἐλμαντική πόλις Ἰβηρίας τῆς ἐκτὸς Ἴβηρος ποταμοῦ. Πολύβιος γ′. Ἰνδική πόλις Ἰβηρίας πλησίον Πυρήνης. Κυρρεστική χώρα Συρίας. Στράβων ἑκκαιδεκάτῃ (p. 751). Κωλική χώρα πρὸς τῷ Καυκάσῳ. Αἰζική Θράκης μέρος. Ἑκαταῖος Εὐρώπῃ. Ἁλική χώρα τῆς Κιλικίας. Κορπιλική χώρα Θρᾴκης «ἡ γὰρ Αἶνος κεῖται κατὰ τὴν πρότερον Ἀψυνθίδα, νῦν δὲ Κορπιλικὴν λεγομένην». Πρετανική νῆσος παρὰ τῇ Κελτικῇ. Χαλδαϊκή χώρα. Κορσική ἡ νῆσος Κορσίς. Ταυρική νῆσος μεγάλη καὶ λίαν ἐπίσημος καὶ πολλὰ ἔχουσα ἔθνη καὶ περικλείουσα τῇ θέσει τὴν Μαιῶτιν λίμνην. λέγεται δὲ Ὄσιριν ἐκεῖ ζεύξαντα βοῦς ἀρόσαι τὴν γῆν. διὰ οὖν τὸ ζεῦγος τοῦ ταύρου τὸ ἔθνος κληθῆναι. Μαγιστρική χώρα τῶν Ταυρίσκων πρὸς τὰ Ἄλπεια ὄρη. Κροβυζική ἡ γῆ τῶν Κροβύζων. Τραλλική ἡ Τραλλία μοῖρα τῆς Ἰλλυρίας. Λαζική παλαιὰ χωρίον, ὡς Ἀρριανός (Peripl. P. E. p. 19). Ἔτι τὰ ἔχοντα τὸ ι ἐκτεταμένον κύρια ἢ προσηγορικὰ βαρύνεται, Φοινίκη ἡ χώρα ἀπὸ τῆς Φοίνικος γενικῆς ὡς Κρής Κρητός Κρήτη. Λίβυς Λίβυος Λιβύη. Βερενίκη πόλεις ἕξ. πρώτη Ἠπείρου ἡ ὑπὸ Πύρρου τοῦ νεωτέρου κτισθεῖσα. δευτέρα ..... ἡ ὑπὸ Φιλαδέλφου Πτολεμαίου. τρίτη ἐν τῇ Τρωγλοδυτικῇ. τετάρτη ἡ πρότερον Χίος. πέμπτη ἐν Κιλικίᾳ. ἕκτη Λιβύης ἡ πρότερον Ἑσπερίς, ἐκλήθη δὲ Βερενίκη ἀπὸ τῆς Πτολεμαίου γυναικὸς Βερενίκης. Θεσσαλονίκη πόλις Μακεδονίας. Φίλιππος τοῦ Ἀμύντου ἐκεῖ Θετταλοὺς νικήσας οὕτως ἐκάλεσε. Λούκιος δὲ ὁ Ταρραῖος περὶ Θεσσαλονίκης βιβλίον ἔγραψεν, ὅς φησιν ὅτι Φίλιππος θεασάμενος κόρην εὐπρεπῆ καὶ εὐγενῆ (Ἰάσονος γὰρ ἦν ἀδελφιδῆ) ἔγημε καὶ τεκοῦσα τῇ εἰκοστῇ ἡμέρᾳ τῆς λοχείας τέθνηκεν.

3,1 317 ἀναλαβὼν οὖν ὁ Φίλιππος τὸ παιδίον ἔδωκε Νίκῃ τρέφειν καὶ ἐκάλεσε Θεσσαλονίκην· ἡ γὰρ μήτηρ τοῦ παιδίου Νικασίπολις ἐκέκλητο. Στράβων δὲ Θεσσαλονίκειαν αὐτήν φησι (7 p. 323). ἐρίκη εἶδος φυτοῦ. φερίκη εἶδος δένδρου, ἃ διὰ τοῦ ι ἐκτεταμένου γράφονται, τὸ δὲ Εὐνείκη ὄνομα μιᾶς τῶν Νηρηΐδων διὰ τῆς ει καὶ τὸ νείκη ἡ φιλονεικία ἐκ τοῦ νεῖκος. τὸ δὲ Παλική πόλις Σικελίας ὡς κτητικὸν ὀξύνεται. τὸ μέντοι ἀϊκή ὠξυτονήθη, ἴσως ὅτι ῥηματικὸν ὑπῆρχε ἀπὸ τοῦ ἀΐσσω ὡς φυλάσσω φυλακή, ὑλάσσω ὑλακή. καὶ τὰ ἔχοντα ς πρὸ τοῦ κ παροξύνεται, λεκανίσκ η , παρθενίσκ η , θυΐσκ η , παιδίσκ η , στεφανίσκ η . Τριποδίσκη κώμη τῆς Μεγαρίδος. λέγεται καὶ Τριποδίσκος. Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ υ βαρύνεται, Καλύκη κύριον ἀπὸ τῆς κάλυκος γενικῆς, σαμβύκη εἶδος ὀργάνου, Ἰτύκη πόλις Λιβύης. Ἐρύκη Σικελικὴ πόλις. Φίλιστος Σικελικῶν δευτέρᾳ. Ναρύκη πόλις Λοκρίδος, ἣ καὶ Νᾶρυξ, Βεβρύκη, ἀφ’ ἧς κατά τινας Βέβρυξ τὸ ἔθνος ἐν Ἀσίᾳ. ζαμβύκ η , ἰαμβύκ η , καρύκκη εἶδος βρώματος ἐκ πολλῶν ἐδεσμάτων συνεστὸς διὰ δισσοῦ τοῦ κ . Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀξύνεται, ἀκωκ ή , ἰωκή ἡ δίωξις. τὸ δὲ Ἐώκη βαρύνεται. ἔστι δὲ ὄνομα πόλεως. Τὰ εἰς λη μετ' ἐπιπλοκῆς συμφώνου, εἰ μὴ παραλήγοιτο ο ἐν προσηγορικοῖς, βαρύνεται. Ζάγκλη πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. οἱ μὲν ἀπὸ Ζάγκλου τοῦ γηγενοῦς ἢ ἀπὸ κρήνης Ζάγκλης. οἱ δὲ διὰ τὸ ἐκεῖ Κρόνον τὸ δρέπανον ἀποκρύψαι, ᾧ τὰ τοῦ πατρὸς ἀπέκοψεν αἰδοῖα.

3,1 318 Νίκανδρος ἐν τῷ η' Σικελίας «καί τις καὶ Ζάγκλης ἐδάη Δρεπανηΐδος ἄστυ». τὸ γὰρ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσι. αἴγλ η· οὕτως δὲ πρότερον ἐκαλεῖτο Σύμη νῆσος Καρική. σίγλη τὸ ἐνώτιον, ζεύγλη, ὅπερ παρὰ τοῖς ἀρχαίοις κατὰ ποιητικὴν ἐξουσίαν συνέστειλε τὸ η εἰς α ζεῦγλα. φύτλ η , τρώγλ η . Ὕβλη πόλις ἐν Σικελίᾳ ἡ ὕστερον Μέγαρα ἀπὸ Ὕβλωνος βασιλέως. εἰσὶ δὲ τρεῖς πόλεις Σικελίας Ὕβλαι. ἔστι καὶ πόλις Ἰταλίας. κίχλ η , χύτλ η , τρίγλ η , στρέβλη, ὃ παραλόγως στρέβλα γραφὲν ὑπό τινων διορθωτέον, ὁμίχλ η , γενέθλ η . Ἀμύκλαι πόλις Λακωνικὴ τῶν ἑκατὸν πόλεων, ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισεν. Μόκλη κώμη Φρυγίας. Πρόκλη πόλις Λυδίας. τὸ μέντοι ὁμοκλή καὶ ὁπλή προσηγορικά εἰσι καὶ παραλήγουσιν ο , καὶ τὸ κεβλή ἀπὸ τοῦ κεφαλή γέγονε. Τὰ εἰς λη μονογενῆ δισύλλαβα ἑτέρῳ λ παραληγόμενα βαρύνεται, Ἕλλ η , πέλλ η , Ὕλλη πόλις. τὸ δὲ κυλλή τριγενές. Τὰ εἰς λη μονογενῆ δισύλλαβα παραληγόμενα τῷ α ἢ ε βαρύνεται, ἀσυνάλειπτα ὄντα, πάλ η , σάλη ἡ φροντίς, ὅθεν ἀσαλής ὁ ἀμέριμνος. Αἰσχύλος «ἀσαλὴς μανία» καὶ ἀσαλίαν Σώφρων τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. ζάλ η , ἄλη ἡ πλάνη, ἕλ η , Ζέλη πόλις Τρῳάδος ἣ καὶ Ζέλεια. Πέλη πόλις Θεσσαλικὴ διττή, μία μὲν ὑπὸ Εὐρυπύλῳ, ἑτέρα δὲ ὑπὸ Ἀχιλλεῖ, καὶ ἀπὸ τοῦ Πέλη Πέλεια. Ἁλή δὲ πόλις πρόσχωρος τῇ Ἀργείᾳ καὶ Ἁλαί Ἀραφηνίδες καὶ Ἁλαί Αἰξωνίδες, δῆμοι τῆς Ἀττικῆς ὀξυτόνως. ἔστι δὲ καὶ λίμνη ἐκ θαλάσσης. εἰσὶ δὲ καὶ Ἁλαί πόλισμα Βοιωτίας. Παυσανίας ἐνάτῳ (24, 5). καὶ τῆς Κιλικίας δὲ πόλις. τὸ δὲ γαλῆ περισπᾶται ἀπὸ συναιρέσεως. Τὰ διὰ τοῦ ηλη δισύλλαβα βαρύνεται, εἰ μὴ ἀπὸ δασέος ἄρχοιτο συμφώνου, στήλ η· ἔστι καὶ Στῆλαι πόλις Κρήτης πλησίον Παραισοῦ καὶ Ῥιθύμνης. μήλ η , κήλ η , Πήλη μικρὰ νῆσος, μεθ' ὧν καὶ ἴλη ἄθροισις, τὸ δὲ χηλή καὶ θηλή ὀξύνεται ὡς ἀπὸ δασέος ἀρχόμενα. Τὰ εἰς λη δισύλλαβα μὴ κύρια παραληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ υ ὀξύνεται, βουλ ή , εὐλή ὁ σκώληξ, αὐλή ἡ ἔπαυλις «χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον» (Il.

3,1 319 E 138). λέγεται καὶ αὖλις. εἰσὶ καὶ Αὐλαί ἐπίνειον Κιλίκων μεταξὺ Ταρσοῦ καὶ Ἀγχιάλης. εἰσὶν Αὐλαί καὶ Λυκίας χωρίον. οὐλή τὸ μονογενές «οὐλὴν μὲν πρῶτον» (Od. ω 331). τὸ γὰρ οὖλος οὔλη βαρύνεται ὁ ὀλέθριος καὶ ὁ οὐλότριχος· καὶ τὸ «ἑτέρῃ δ' ἔχεν οὔλας» (Od. γ 441), λέγω δὲ ἐπὶ τῶν κριθῶν ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. τὸ δὲ Θούλη νῆσος μεγάλη ἐν τῷ ὠκεανῷ ὑπὸ τὰ Ὑπερβόρεια μέρη, ἔνθα τὴν θερινὴν ἡμέραν ὡρῶν εἴκοσιν ὁ ἥλιος ἰσημερινῶν ποιεῖ, τὴν δὲ νύκτα τεσσάρων, τὰς δὲ χειμερινὰς τοὐναντίον— κύριον, καὶ τὸ δούλη τριγενές. Τὰ εἰς λη δισύλλαβα παραληγόμενα τῇ ει ἢ τῷ ι βαρύνεται, εἵλη ἡ θερμασία κατὰ πλεονασμὸν τοῦ ι παρὰ τὸ ἕλη, δείλ η, ὃ ἐτυμολογεῖται παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη. τὸ δὲ δειλή τριγενές. σεσημείωται τὸ σμιλή τὸ σμιλίον ὀξυνόμενον. * Τὰ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ τῷ υ παραληγόμενα βαρύνεσθαι θέλει· τύλ η, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνης Ἀμφιάρεῳ καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν. ὠνομάσθη δὲ ἀπὸ τοῦ κνάφου, ἥτις σημαίνει ἀκανθώδη ὕλην, ᾗ περιπεταννύντες τὰς ἐσθῆτας ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐσθῆτας χνοῦ, ᾧ καὶ πρὸς τὰς τύλας ἐχρῶντο, ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ ὥσπερ κνεφάλλων ἢ πτίλων σεσαγμένος. ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ α εἰςε · ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ γράφουσιν. ἔν τισιν ἐν Μαλθακοῖς Κρατίνου παρεφύλαξε Σύμμαχος. Ἀναδράμωμεν ἐπὶ τὸ προκείμενον, παραθέμενοι τὸ τύλη, ὅπερ οὐκ ἦν παρ' Ἀττικοῖς.

3,1 320

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ μέμνηται Σαπφὼ ἐν δευτέρῳ ἐγὼ δ’ ἐπὶ μαλθάκαν τύλαν κασπολέω μέλεα καὶ ἀσάμενον τύλᾳ κασπολέω. οὐ γὰρ ὁ τέ σύνδεσμος. μύλη καὶ Μύλαι πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. καὶ Θετταλίας. πύλ η. ἔστι καὶ τόπος Ἀρκαδίας Πύλα ι, ὃς καὶ Πυλαία. σύλη ἐν Σαμίων ὥροις. «καὶ οὐδένα κατέδησεν ὧν τῆς σύλης μετασχεῖν». Λύλη πόλις Ἀρκαδίας, ὕλη καὶ Ὕλη πόλις Βοιωτίας. Ὅμηρος (Β 500) «οἵ τ’ Ἐλεῶν’ εἶχον ἠδ’ Ὕλην καὶ Πετεῶνα». εἴρηται ἀπὸ Ὕλης τῆς Θεσπιέως ἢ ὅτι ὑλώδης ἐστίν. ἔστι δὲ καὶ πόλις Κύπρου καὶ Ὕλη χωρίον μεταξὺ τῆς Σαβίνων καὶ Ῥωμαίων πόλεως. μονῆρες ἄρα τὸ φυλή ὀξυνόμενον. ἔστι δὲ τὸ τρίτον εἶδος τῶν παρ’ Ἕλλησι κοινωνιῶν καὶ δῆμος Οἰνηΐδος φυλῆς. Ἀριστοφάνης Ἀχαρνεῦσι (1023) «πόθεν; ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι». καὶ ἐν Πλούτῳ (1146) «μὴ μνησικακήσῃς εἰ σὺ Φυλὴν κατέλαβες». * Τὰ διὰ τοῦ ολη ῥηματικὰ ὄντα ὀξύνεται, στέλλω στολ ή, βάλλω βολ ή, χέω χολ ή. * Δισύλλαβον εἰς ωλη ἀσυνάλειπτον οὐχ εὕρηται, τὸ δὲ πωλῆ περισπᾶται ἀπὸ συναιρέσεως. Τὰ διὰ τοῦ αλη ὑπερδισύλλαβα μονογενῆ ἀσυνάλειπτα βαρύνεται· Ἑκάλη δῆμος τῆς Λεοντίδος φυλῆς, μασχάλ η , αἰθάλη καὶ Αἰθάλη νῆσος Τυρρηνῶν. Ἑκαταῖος Εὐρώπῃ. ἔοικε δὲ κεκλῆσθαι διὰ τὸ σίδηρον ἔχειν τὸν ἐν αἰθάλῃ τὴν ἐργασίαν ἔχοντα. Φίλιστος δ’ ἐν ε′ Σικελικῶν Αἰθάλειαν αὐτὴν καλεῖ. δαμάλ η , ἀγκάλ η , φιάλ η , ξυάλ η , Ἀγχιάλη πόλις Κιλικίας παραθαλασσία πρὸς τῇ Ταρσῷ καὶ Ζεφυρίῳ. ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρός, ὡς Ἀθηνόδωρος περὶ τοῦ αὐτοῦ πατρίδος γράφων καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ «γίνεται δ’ Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ κτίζει πόλιν Ἀγχιάλην, Ἀγχιαλέα τε τὸν παρακείμενον ποταμόν. γεννᾷ δ’ υἱὸν Κύδνον, ἀφ’ οὗ ποταμὸς Κύδνος ἐν Ταρσῷ, ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ’ οὗ ἡ πόλις μετωνομάσθη Παρθενία. μεταπεσόντος δὲ τοῦ ὀνόματος Ταρσὸς ἐκλήθη».

3,1 321 Αἰγιάλη μία τῶν τριῶν πόλεων ἐν Ἀμόργῳ τῇ νήσῳ. Ψυττάλη νῆσος περὶ Σαλαμῖνα. λέγεται καὶ Ψυττάλεια. ἔοικε δὲ Ψυττάλεια πρωτότυπον εἶναι ὡς Ἀγάμμεια, Μαντίνεια, Ἐρύθεια, Ζέλεια, ἀφ’ οὗ κατὰ συναλοιφὴν ἐγένετο ὡς Ἀγάμμη, Μαντίνη, Ζέλη, Ἐρύθη. Μυκάλη πόλις Καρίας. Ἡρόδοτος πρώτῃ (c. 148). Δίδυμος δ’ ὄρος τὴν Μυκάλην φησίν. ἐκλήθη δὲ ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπ’ οἴκτῳ μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ Μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μέσῳ κεῖται τῆς Καρικῆς ἁλός. Πατάλη πόλις Ἰνδική, ἣ καὶ Πάταλα λέγεται, Πετάλ η , Μυρτάλ η . Ἀρβουκάλη πόλις μεγίστη τῶν ἐντὸς Ἴβηρος ποταμοῦ, ἣν μόλις εἷλεν Ἀννίβας, ὡς Πολύβιος τρίτῃ. Σφενδάλη δῆμος Ἱπποθοωντίδος φυλῆς. Μεγάλη νῆσος ἐγγὺς Λυκίας καὶ Θεττάλη δρᾶμα Μενάνδρου βαρύνεται παρὰ Ἀττικοῖς εἰς ἰδιότητα τεθέν. σεσημείωται ἄρα τὸ κεφαλή ὀξυνόμενον ἐπὶ τοῦ μερικοῦ εἴτε ἐπὶ τοῦ κυρίου. ἔστι δὲ δῆμος. εἰσὶ δὲ καὶ Βοὸς κεφαλαί τόπος καθ’ ὃν ἐπολέμησε Προυσίας πρὸς Ἄτταλον, ὡς Ἐρατοσθένης ἐν ἑβδόμῃ Γαλατικῶν. τὸ γὰρ ἀλαλή ὁ θόρυβος παρὰ τὸ λαλῶ οὐ φύσει τρισύλλαβον «κλῦθ’ ἀλαλά, πολέμου θυγάτηρ». τὸ δὲ μυγαλῆ περισπᾶται, ἐπεὶ παρὰ τὸ γαλῆ συντέθειται συναληλιμμένον καὶ περισπώμενον. κέχρηται δὲ τῷ ὀνόματι Κηφισόδωρος ἐν Ὑΐ ὧ καὶ λέων καὶ μυγαλῆ καὶ σκορπίος. τὸ δὲ ἀμυγδαλῆ ἐκ συναιρέσεως. ἐκλήθη δὲ ἀμυγδαλῆ παρὰ τὸ ἐν τῷ μετὰ τὸ χλωρὸν ὡσπερεὶ ἀμυχὰς ἔχειν πολλάς. καὶ οὐδετέρως ἀμύγδαλον λέγεται. Δίφιλος «τρωγάλια, μυρτίδες, πλακοῦς, ἀμύγδαλα». Περὶ δὲ τῆς προφορᾶς τοῦ τόνου τῆς ἀμυγδαλῆς Πάμφιλος μὲν ἀξιοῖ ἐπὶ τοῦ καρποῦ βαρύνειν ὁμοίως τῷ ἀμυγδάλῳ, τὸ μέντοι δένδρον θέλει περισπᾶν, ἀμυγδαλῆ καὶ ῥοδῆ. καὶ Ἀρχίλοχος «ῥοδῆς τε καλὸν ἄνθος». Ἀρίσταρχος δὲ καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίως προφέρεται κατ’ ὀξεῖαν τάσιν. Φιλόξενος δ’ ἀμφότερον περισπᾶ. Εὔπολις «ἀπολεῖς με, ναὶ μὰ τὴν ἀμυγδαλῆν». Ἀριστοφάνης· ἄγε νῦν, τὰς ἀμυγδαλᾶς λαβὼν τασδί, κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ. Φρύνιχος· ἀμυγδαλῆ, τῆς βηχὸς ἀγαθὸν φάρμακον. ἄλλοι δὲ ἀμυγδαλάς ὡς καλάς.

3,1 322

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τρύφων δὲ ἐν Ἀττικῇ προσῳδίᾳ ἀμυγδάλην μὲν καρπὸν βαρέως, ἀμυγδαλῆ δὲ τὰ δένδρα, κτητικοῦ παρὰ τὸν καρπὸν ὄντος τοῦ χαρακτῆρος καὶ διὰ τούτου περισπωμένου. Τὰ διὰ τοῦ ελη μονογενῆ ὑπερδισύλλαβα παροξύνεται, Σεμέλ η , ἀγέλ η , κυψέλη ὁ ῥύπος τῶν ὤτων καὶ τὸ ἀγγεῖον τῶν κηρίων. θυμέλ η , ἀγέλ η , μακέλ η . Κυβέλη πόλις Φοινίκης. λέγεται δὲ καὶ ἡ Ῥέα Κυβέλη ἀπὸ Κυβέλων ὄρους ἱεροῦ. Ὑβέλη πόλις περὶ Καρχηδόνα. Ἑκαταῖος Ἀσίᾳ. Μαστραμέλη πόλις καὶ λίμνη τῆς Κελτικῆς. Ἀρτεμίδωρος. Ἀρβέλη πόλις Σικελίας. εἰ δέ τι ὀξύνεται, τὴν πρώτην συλλαβὴν φύσει ἢ θέσει μακρὰν ἔχει, πιμελή τὸ λίπος καὶ Ἀγγελή δῆμος τῆς Πανδιονίδος φυλῆς καὶ Πεντελή δῆμος Ἀντιοχίδος φυλῆς ὀξύνεται. Τὰ διὰ τοῦ ηλη ὑπερδισύλλαβα βαρύνεται, ἀνθήλη καὶ Ἀνθήλη πόλις. Ἡρόδοτος ἑβδόμῃ (c. 200) «κώμη Ἀνθήλη». καὶ Ἀνθήνη ἐκλήθη. Γαβήλη πόλις Φοινίκης, κωβήλη ἡ συνουσία. Κανθήλη πόλις Λιβυφοινίκων. Ἑκαταῖος Ἀσίᾳ. Σιδήλη πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ, καπήλ η , ξυήλ η , κιχήλ η , Στυμφήλ η , ὀπήλ η , βαρβήλ η. τὸ δὲ γαμφηλή ὀξύνεται καὶ τὸ θυηλή ἡ θυσία. Τὰ εἰς ιλη ὑπερδισύλλαβα βαρύνεται, παστίλη ἡ τελευταία ἡμέρα τοῦ ἐνιαυτοῦ, σπατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων, μαρίλη ἡ κόνις, μυστίλη ὁ κοῖλος ἄρτος, πραδίλ η , βασίλη ἡ βασιλίς· Ἀβίλη πόλις ἐπὶ τῷ Ἰορδάνῃ ποταμῷ. Πενθίλη πόλις Λέσβου ἀπὸ Πενθίλου, Τρεμίλ η. οὕτως ἐκαλεῖτο ἡ Λυκία ἀπὸ Τρεμίλου. τὸ μέντοι ὠτειλή — γέγονε δὲ ἀπὸ τοῦ οὐτήσω οὐτηλή τροπῇ τῆς ου διφθόγγου εἰς ω καὶ τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτιακῶς ὡς πένης πένεις. λέγεται δὲ παρ' Αἰολεῦσιν ὠτέλλη—καὶ ἀπειλή καὶ ὀφειλή ὀξύνεται, ὡς ἔχοντα τὸ ε πρὸ τοῦ ι .

3,1 323 Τὰ διὰ τοῦ ολη ὑπερδισύλλαβα βαρύνεται, εἰ μὴ σύνθετα εἴη ἐκ προθέσεως, ἀσβόλ η , θερσόλ η , τριβόλ η , ἀπαιόλη ἡ ἀπάτη. Ἰόλ η , Ὁμόλη ὄρος Θετταλίας. Παυσανίας ἐνάτῳ (c. 8, 6). λέγεται καὶ Ὅμολος. Νακόλη νύμφη, ἀφ' ἧς Νακόλαιον. τὸ δὲ ἐντολ ή , ἀνατολ ή , ἐμβολ ή , Ἐπιπολαί χωρίον ἀπόκρημνον προσεχὲς Συρακούσαις. Θουκυδίδης ἕκτῃ (c. 96). Προπολαί πόλις Σικελίας καὶ τἆλλα ἐκ προθέσεως ὀξύνονται. Τὰ διὰ τοῦ υλη ὑπερδισύλλαβα βαρύνονται· κορδύλ η , κοτύλ η , γογγύλ η , κρωβύλ η , ἀρβύλ η , ἡδύλ η , Κροκύλ η , Βραχύλη πόλις Κερήτων. Βαβύλη πόλις ἐν Ὀδρύσαις. Καβύλη πόλις Θρᾴκης οὐ πόρρω τῆς τῶν Ἀστῶν χώρας. Πολύβιος τρισκαιδεκάτῃ. Καρδαμύλη πόλις Μεσσηνίας. Ὅμηρος «Καρδαμύλην Ἐνόπην τε» (Il. I 150). Ἡρόδοτος (8, 73) δὲ Λακωνικὴν αὐτήν φησιν. ἔοικε δ' ἑτέρα εἶναι πλησίον Χίου. Μοτύλαι Σικελίας φρούριον. παρὰ τὴν Μοτύην. Φίλιστος Σικελικῶν πέμπτῳ. Τριφύλη ἡ Κλυτίου μήτηρ. Παμφύλη θυγάτηρ Ῥακίου καὶ Μαντοῦς. Στρογγύλη μία τῶν ἑπτὰ Αἰόλου νήσων «ἀπὸ τοῦ σχήματος καλουμένη, καὶ φλογὸς μὲν λειπομένη, φέγγους δὲ μετέχουσα». ἔστι καὶ ἄλλη πρὸς τῇ Λυκίᾳ. Σκαπτησύλη πόλις Θρᾴκης μικρὰ ἀντικρὺς Θάσου, σταφύλη τὸ τεκτονικὸν ἐργαλεῖον, σταφυλή δὲ ὁ καρπός. τὸ μέντοι Ἀγκυλή καὶ Ἀγρυλή ὀνόματα δήμων ὀξύνονται.

3,1 324 τὸ δὲ Ἀγρυλή δῆμος Ἀθήνησι τῆς Ἐρεχθηΐδος φυλῆς γράφεται καὶ μετὰ τοῦ α Ἀγραυλή ἀπὸ Ἀγραύλου τῆς Κέκροπος θυγατρός. ἔστι δὲ καὶ πόλις Ἀθηναίων ἄποικος ἐν Σαρδοῖ ἀπὸ τοῦ δήμου κληθεῖσα Ἀγρυλή. Τὰ εἰς ωλη ὑπερδισύλλαβα ὀξύνεται, παυσωλ ή , τερπωλ ή , εὐχωλ ή , ἀδμωλή ἡ ἄγνοι α , θερμωλ ή , γαμψωλ ή , χαριτωλ ή , μεμφωλ ή , θεραπωλ ή. τὸ δὲ ἐριώλη ἡ μεγάλη πνοή ἀπὸ τοῦ ἐρί καὶ τοῦ ἄω τὸ πνέω βαρύνεται. ὡσαύτως καὶ Ῥακώλη χωρίον, ὅθεν αἱ γέρανοι ὁρμῶσι, οἱ δὲ Πυγμαῖοι κατῴκουν ἐν Καττούζᾳ, πόλει Θρᾴκης. Τὰ εἰς μη λήγοντα προσηγορικὰ ἔχοντα κατ' ἐπιπλοκὴν σύμφωνον μὴ δασὺ ἔχον ἐν τῇ ἀρχῇ, ὀξύνεται, δεσμ ή , δυσμ ή , πυγμ ή , νυγμ ή , ξυσμ ή , αἰχμ ή , ὀχμ ή , δυθμ ή, μεθ' ὧν καὶ ἐφετμή καὶ ἀϋτμ ή , τὸ δὲ ἴθμ η , στάθμ η , λόχμη βαρύνεται. καὶ τὸ δόχμη Τρύφων ὡς ὄχθη καὶ στάθμη βαρύνει, Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ καὶ ὁ κωμικὸς ἐν τῷ «οὔτοι ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά». ἐν μέντοι, φησί, τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχθη, ὄχνη. τὸ δὲ Μέδμη κόρη τις, ἀφ' ἧς πόλις Ἰταλίας καὶ κρήνη ὁμώνυμος, Ἑκαταῖος Εὐρώπῃ, κύριόν ἐστι, μεθ' οὗ καὶ Ἀλύχμη τρισύλλαβον, ἐν ᾗ τιμᾶται Ἀλύχμιος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑρμῆς. τὸ μέντοι χάσμη βαρύνεται δασὺ ἔχον τὸ σύμφωνον. Τὰ εἰς μη ἔχοντα σύμφωνον κατὰ διάστασιν βαρύνεται, τόλμ η , ἅλμ η , χάρμ η , σκάλμ η , θέρμ η. ἔστι καὶ πόλις Θρᾴκης. Ἀπολλόδωρος δὲ Μακεδονίας φησὶ καὶ Θουκυδίδης (1, 61). Γέρμη πόλις Ἀσίας. Μάρμη πόλις Φοινίκης, Πάρμη πόλις Ἰταλίας. σεσημείωται τὸ ὁρμή καὶ τὸ γραμμή ὀξυνόμενα. Τὰ διὰ τοῦ αμη εἴτε δισύλλαβα εἴτε ὑπερδισύλλαβα μονογενῆ βαρύνεται, εἰ μὴ εἴη ἐκ συναιρέσεως, Σάμη νῆσος, καλάμη καὶ Καλάμαι πόλις Πελοποννήσου.

3,1 325 Παυσανίας τετάρτῳ (c. 31, 3). παλάμ η , Ζαδράμη βασίλειον τῶν Κυναιδοκολπιτῶν. θαλάμ η , Θαλάμαι πόλις τῆς Μεσσηνίας. Θεόπομπος τριακοστῷ δευτέρῳ Φιλιππικῶν. Κοροκονδάμη πλησίον Σινώπης. Ἀρτεμίδωρος ἑνδεκάτῳ γεωγραφουμένων. Ὀργάμη πόλις ἐν τῷ Ἴστρῳ. Ἑκαταῖος Εὐρώπῃ. τὸ δὲ σπιθαμή ὀξύνεται καὶ τὸ Ἱεραμαί πόλις Καρίας. τὸ δὲ σησαμῆ περισπᾶται ὡς ἐκ συναιρέσεως. * Τὰ εἰς μη παραληγόμενα τῷ ε σπάνια ὄντα βαρύνεται οἷον Κρέμη πόλις Πόντου. Φλέγων ὀγδόῳ χρονικῶν. Τὰ εἰς μη ἰαμβικὰ παραληγόμενα τῷ ο ἀπὸ ῥημάτων παραληγόντων ε ὀξύνεται, δρέμω δρομ ή, τέμνω τομή καὶ ἀνατομ ή, νέμω νομή καὶ προνομ ή, δέμω δομ ή, τὸ μέντοι κόμη βαρύνεται ἀπὸ τοῦ κόσμος γεγονυῖα, κόσμη γάρ. ὡσαύτως καὶ τὸ Εὐρυνόμη καὶ Ἀμφινόμη βαρύνονται. Τὰ εἰς μη φύσει μακρᾷ παραληγόμενα βαρύνεται, μνήμ η , κνήμ η , φήμ η , χήμ η , νοσήμ η , θελήμ η , φιλήμη ἡ φιλία. ῥώμη καὶ Ῥώμη διασημοτάτη πόλις Ἰταλίας, γνώμ η , κώμη εἴρηται ἀπὸ τοῦ ἐν αὐταῖς κοιμᾶσθαί τε καὶ αὐλίζεσθαι, ὡς Φιλόξενος. βρώμ η , τρώμ η , Ἰθώμη πόλις Θεσσαλίας τῆς Πελασγιώτιδος. Ὅμηρος «οἵ τ’ εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν (Β 729). ἔστι καὶ Μεσσήνης. ἀπὸ Ἰθώμου βασιλέως. καλεῖται δὲ ὁ τόπος τῆς Θεσσαλικῆς Θούμαιον ἀποβολῇ τοῦ ι καὶ τροπῇ τοῦ ω εἰς τὴν ου δίφθογγον Θούμαιον. κοίμη ἐπὶ τοῦ ὕπνου, οἴμη ἀπὸ τοῦ οἶμος. ῥύμη ὁ στενωπός, τρύμη ἡ ταλαιπωρία, ζύμ η , Σύμη νῆσος Καρική, ὡς Στράβων τεσσαρεσκαιδεκάτῃ (p. 656). ὠνόμασται δὲ ἀπὸ Σύμης τῆς Ἰαλύσου. Στρύμη πόλις Θρᾴκης, ὡς Ἀνδροτίων ἑβδόμῳ.

3,1 326 Κύμη πόλις Αἰολίδος πρὸ τῆς Λέσβου ἀπὸ Κύμης Ἀμαζόνος· ἔστι καὶ ἑτέρα Ἰταλίας. τρίτη τῆς Ἠλείας. τετάρτη Παμφυλίας. Δύμη πόλις Ἀχαΐας ἐσχάτη πρὸς δύσιν, ὅθεν καὶ Καλλίμαχος ἐν ἐπιγράμμασιν «εἰς Δύμην ἀπιόντα τὴν Ἀχαιῶν». λέγεται καὶ πληθυντικῶς ὡς Ἀπολλόδωρος «τούτων ἀπέχουσα σταδίους ρκʹ ἐσχάτη, κεῖται πρὸς δύσιν Δῦμαι». Δρύμη πόλις Λιβύης. Στράβων ιζʹ (p. 834). σεσημείωται τὸ τιμή προσηγορικὸν ὀξυνόμενον. Τίμη δὲ τὸ κύριον βαρύνεται. * Τὰ εἰς μη ὑπερδισύλλαβα υ παραληγόμενα βαρύνεται, Οἰσύμη πόλις Μακεδονίας. Θουκυδίδης τετάρτῃ (c. 107). ταύτην Αἰσύμην Ὅμηρος (Il. Θ 304) ἔφη «τόν ῥ’ ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ». Ἠδύμη πόλις Καρίας. Ἰδύμη πόλις Καρίας ἡ καὶ Ἴδυμα. Διδύμη μία τῶν Αἰόλου νήσων ἀπὸ τοῦ σχήματος ὀνομασθεῖσα. ἔστι καὶ πόλις Λίβυσσα. ἔστι καὶ κώμη Κιλικίας Διδυμα ί, ὀξυτόνως. Δινδρύμη πόλις Μακεδονίας. Τὰ εἰς νη μονογενῆ μετ’ ἐπιπλοκῆς συμφώνου βαρύνεται, πάχν η , λάχν η , ἄχνη καὶ Ἄχναι πόλις Θεσσαλίας. ἔστι καὶ Βοιωτίας, τέχν η , Αἴτνη πόλις Σικελίας ἀπὸ Κατάνης, Ἱέρωνος κτίσμα, ὡς ..... φάτν η , δάφνη καὶ Δάφνη προάστιον ἐπισημότατον τῆς ἑῴας Ἀντιοχείας. ἔστι καὶ ἄλλη Δάφνη Λυκίας χωρίον. ἔστι καὶ ἄλλη πλησίον Πηλουσίου παρὰ τῶν ἐκεῖ πολλῶν φυομένων δαφνῶν. ὄρφνη ἡ νύξ. Ἴγνη πόλις πλησίον Πριάπου. Ἴχναι πόλις Μακεδονίας. Ἡρόδοτος ἑβδόμῃ (c. 123). Ἐρατοσθένης δὲ Ἄχνας αὐτήν φησι. Φιλητᾶς δὲ ἄλλην φησὶ διὰ τοῦ α . ἔστι καὶ ἑτέρα ἑῴα πόλις. λίμνη καὶ Λίμναι πόλις ἐν Ἑλλησπόντῳ, περὶ Σηστόν. Ἑκαταῖος Εὐρώπῃ. καὶ ἕτερος τόπος Ἀττικῆς Λίμναι καλούμενος, ἔνθα ὁ Διόνυσος ἐτιμᾶτο. Καλλίμαχος «Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς». Ὄννη ἐμπόριον τῆς εὐδαίμονος Ἀραβίας. ποίμν η . Βάτναι πόλις τῆς Ὀσροήνης. τὸ δὲ ψεδνός ψεδνή τριγενές. τὸ δὲ πρυμνή ἐπίθετον, ὅταν δὲ ἰδίως ἐπὶ τοῦ πλοίου, βαρύνομεν ὡς λευκή καὶ λεύκη.

3,1 327

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντιπίπτει δὲ τὸ στρωμν ή. * Ὡσαύτως καὶ τὰ ὑπερδισύλλαβα βαρύνεται, Πολίχνη Κρήτης πόλις. ἔστι καὶ Πολίχνα πόλις Τρῳάδος. Εὐδείπνη νῆσος Λιβυφοινίκων. Ἑκαταῖος περιηγήσει Λιβύης. Θεράπναι πόλις Λακωνική, ἥν τινες Σπάρτην φασίν, ἔστι δὲ τόπος ἔχων ναὸν τῶν Διοσκούρων διὰ τὸ ἐκεῖ τούτους τιμᾶσθαι. θεραπεύειν γὰρ τιμᾶν σημαίνει καὶ ὁ ναὸς τὴν οἰκίαν, ἔνθα θεοὶ θεραπεύονται. Καλύδναι νῆσοι, Ἀφίδναι δῆμος Ἀττικῆς, λέγεται δὲ καὶ Κάλυδνα, Ἄφιδνα. Ἀκάνναι ἐμπόριον περὶ τὴν Ἐρυθρὰν θάλασσαν. τὸ δὲ Ἐρυμναί πόλις Λυκίας—Ἀλέξανδρος ἐν πρώτῃ Λυκιακῶν—ὀξύνεται ἐπιθετικὸν ὄν. Τὰ εἰς νη μονογενῆ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν βαρύνεται, πτέρν η , Λέρνη ἡ κρήνη, πέρνη καὶ Πέρνη πόλις Θρᾴκης ἀντικρὺ Θάσου, Τάρνη πόλις Ἀχαΐας, Ἄρνη πόλις Βοιωτίας. Ὅμηρος «οἵ τε πολυστάφυλον τ' Ἄρνην ἔχον» (Il. B 507) καὶ Λυκόφρων (v. 644) «Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι». δευτέρα πόλις Θεσσαλίας, ἄποικος τῆς Βοιωτίας, περὶ ἧς χρησμός «Ἄρνη χηρεύουσα μένει Βοιώτιον ἄνδρα». θυγατέρα δέ φασιν Αἰόλου τὴν Ἄρνην. τρίτη Μεσοποταμίας. τετάρτη τῆς Γρασινίων πρὸς τῇ Θρᾴκῃ. Θέρνη πόλις Θρᾴκης, Κάρνη πόλις Φοινίκης ἀπὸ Κάρνου τοῦ Φοίνικος, ὡς Ἴστρος φησίν. Ἀρτεμίδωρος δ' ἐν τῷ δεκάτῳ βιβλίῳ φησίν «ἔστι Κάρνος καὶ συνεχῶς Πάλτος, εἶτα Γάβαλα πόλις». ἔστι δὲ ἄλλη Αἰολίδος. Κέρνη πόλις καὶ λιμήν. τὸ δὲ φερνή ἡ προίξ παρὰ τὸ φέρω ὀξύνεται. Αἰολεῖς δὲ φέρεναν αὐτὴν λέγουσιν ὁμοίως τῇ Ἔλεναν. * Ἔτι καὶ τὰ εἰς νη μονογενῆ ὑπερδισύλλαβα ἔχοντα πρὸ τοῦ ν ρ βαρύνεται, Ἰέρνη νῆσος ἐν τῷ πέρατι πρὸς ταῖς δυσμαῖς, Ἰουέρνη πόλις ἐν τῷ πόντῳ τῷ Πρετανικῷ. Ἀχάρναι δῆμος τῆς Οἰνηΐδος φυλῆς. Τὰ διὰ τοῦ ανη δισύλλαβα μονογενῆ βαρύνεται, ἄνη ἡ ἄνυσις, πλάν η , Κάνη καὶ Κάναι «πολίχνιον Λοκρῶν τῶν ἐκ Κύνου κατὰ τὰ ἄκρα τῆς Λέσβου».

3,1 328 ἔστι καὶ ὄρος καὶ λιμήν. Στράβων ιγ' (p. 615). ἔστι καὶ πόλις Κάναι τοῦ Τίγρητος ποταμοῦ. εἰσὶ δὲ καὶ Κάνναι διὰ δύο νν . Σάνη πόλις Θρᾴκης μεταξὺ Ἄθω καὶ Παλλήνης. τὸ δὲ φανή παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον· οἵ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον. ὀξύνεται. τὸ μέντοι παρὰ Κορίννῃ βανά οὐ κοινὸν οὐδὲ εἰς νη λῆγον, ἀλλὰ ἴδιον θέμα Βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή. Τὰ διὰ τοῦ ανη μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, θηγάνη ἡ ἀκόνη, Ἐργάνη ἡ Ἀθηνᾶ, ὀρκάνη ἡ εἱρκτή, σαργάν η , πτισάν η , δαπάν η , λεκάν η , βοτάν η , δρεπάνη · Δρεπάνη δὲ ἐκαλεῖτο καὶ ἡ Φαιακία. ἔστι καὶ Λυκίας Δρεπάνη· ἔστι καὶ Δρεπάνη Βιθυνίας πρὸς τῷ Ἀστακηνῷ κόλπῳ, ἣν ....... φησὶν ὠνομάσθαι, ὅτι «Δρεπάνην κλείουσιν ἀπὸ Κρονίδαο σιδήρου». ἔστι καὶ ὄρος Αἰθιοπίας. βρυκάν η , τρυπάν η . Λευκάνη ἡ τῶν Λευκῶν πόλις ἀπὸ Λευκίου τινός. Κατάνη πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Κατάνη πόλις, ὑπὲρ δὲ ὄρος Αἴτνη». κέκληται δὲ οὕτως, ἐπειδὴ κατέβη πρὸς τὸν Ἀμενανὸν ποταμὸν ἡ Θεοκλέους τοῦ Χαλκιδέως ναῦς, ἣν Δωριεῖς χωρὶς τοῦ υ νᾶν φασιν, ἢ ὅτι τῆς Αἴτνης κατατεθείσης τὸ ἄνω κάτω γέγονεν. Μασχάνη πόλις πρὸς τῶν Σκηνιτῶν Ἀράβων. Κορομάνη πόλις πρὸς τὸν Περσικὸν κόλπον. Μαλσάνη πόλις τῆς εὐδαίμονος Ἀραβίας. Πιτάνη πόλις Αἰολίδος. Σικάνη πόλις Ἰβηρίας, ὡς Ἑκαταῖος Εὐρώπῃ. Ῥωγάνη πόλις ἐν τῇ Ἰνδικῇ. Στεφάνη πόλις Φωκίδος. Ταπροβάνη νῆσος μεγίστη ἐν τῇ Ἰνδικῇ θαλάσσῃ. Ἀλέξανδρος ὁ καὶ Λύχνος νῆσος τετράπλευρος, ἁλιστέφανος Ταπροβάνη θηρονόμος πέπληθεν ἐϋρρίνων ἐλεφάντων. ἣ πάλαι μὲν ἐκαλεῖτο Σιμούνδου, νῦν δὲ Σαλική, πλοῦ μῆκος. οὖσα ἑπτάκις που χιλίων σταδίων, πλάτος δὲ πεντακοσίων. τὰ αὐτὰ δὲ καὶ Ἀρτεμίδωρος ἐνάτῳ γεωγραφουμένων. Τελάνη πόλις ἀρχαιοτάτη Συρίας, ἣν ᾤκει Νίνος πρὸ τῆς Νίνου κτίσεως. Χανδάνη πόλις Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ «ἐν δὲ Χανδάνη πόλις, μετὰ δὲ Πευκαῖοι». Ἀδράνη πόλις Θρᾴκης, ἣ μικρὸν ὑπὲρ τῆς Βερενίκης κεῖται, ὡς Θεόπομπος. Πολύβιος δὲ διὰ τοῦ η τὴν μέσην λέγει ἐν τρισκαιδεκάτῃ, Ἀδρήνη. Ἀφάναι χωρίον Σικελίας ἄσημον, ἀφ' οὗ ἡ «εἰς Ἀφάνας» ἐπὶ τῶν ἀδήλων καὶ ἐκτετοπισμένων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 329 Παρικάνη πόλις Περσική. Ἑκαταῖος Ἀσίᾳ «ἐν δ᾽ αὐτοῖσι πόλις Παρικάνη οὔνομα». τὸ δὲ μηχανή ὀξύνεται. ὡσαύτως καὶ Ἀμφαναί πόλις Δωρική. Ἑκαταῖος ἐν πρώτῃ γενεαλογιῶν. Θεόπομπος Ἀμφαναίαν αὐτὴν καλεῖ ἐν πέμπτῳ Φιλιππικῶν. ἔστι καὶ χωρίον Θεσσαλίας ὡσαύτως. τὰ δὲ εἰς ανη α μακρῷ παραληγόμενα ἔχοντα ἔννοιάν τινος προσυπακουομένου ἐπὶ χωρῶν καὶ ἐπὶ πόλεων ὀξύνεται, Ματιανή μοῖρα τῆς Μηδίας. Στράβων ἑνδεκάτῃ (p. 505) «τοῦτο δὲ γίνεται καὶ τῆς Μηδίας ἐν τῇ Ματιανῇ». Ἀσιανή πόλις Ἠλείας. Ἀχριανή πόλις Ὑρκανίας. Πολύβιος δεκάτῳ. Σογδιανή χωρίον περὶ τὴν Βακτριανήν. Σουσιανή ἡ χώρα καὶ κώμη Σουσιανή. Συρβανή νῆσος ἐν τῷ Εὐφράτῃ. Τὰ εἰς νη δισύλλαβα τῷ ε παραληγόμενα καὶ βαρύνεται καὶ ὀξύνεται. βαρύνεται τὸ ἕν η, ὀξύνεται τὸ Θεναί πόλις Κρήτης, τινὲς δὲ Ἀρκαδίας. οἱ δ᾽ ὄρος· καὶ τὸ Μεναί πόλις Σικελίας ἐγγὺς Παλικῶν. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. καὶ τὸ εὐνή μετὰ τοῦ υ . γέγονε γὰρ ἀπὸ τοῦ εἷς ἑνός ἑνή καὶ εὐνή, ψιλουμένης τῆς ευ διφθόγγου, ἐπεὶ τὸ υ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα, ἕκηλος εὔκηλος, ἕαδε εὔαδε. εἰσὶ δὲ καὶ Εὐναί πόλις Καρίας, ἐν ᾗ ποταμὸς Εὐναῖος. Τὰ διὰ τοῦ ενη ὑπερδισύλλαβα μονογενῆ βαρύνεται, ὠλέν η , Ἑλένη νῆσος τῆς Ἀττικῆς. Ἑκαταῖος Εὐρώπῃ. ἐκεῖ γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλωσιν Ἰλίου. ἔστι καὶ κρήνη Ἑλένη ἐν Χίῳ, ἐν ᾗ Ἑλένη ἐλούσατο. Κλυμέν η . Κασμένη πόλις Σικελίας. Ἡρόδοτος ζʹ (c. 155): Κτιμένη πόλις Θεσσαλίας, ὑπὸ Πηλέως Φοίνικι δωρηθεῖσα, ἧς τοὺς πολίτας Ὅμηρος Δόλοπάς φησιν, ὡς Σίντιας τῆς Λήμνου, καὶ Τρῶας τῆς Ἰλίου καὶ Ζελείας, καὶ Ἐπειοὺς τῆς Ἤλιδος, καὶ Φαίακας τῆς Σχερίας καὶ Ἄβαντας τοὺς Εὐβοέας. οὕτω καὶ «Κτιμένην Δολοπηΐδα» (Apollon. Rhod. I 68). Δυναμέν η . Μελπομέν η . Κατακεκαυμένη χώρα τῆς Ἐφεσίας. Στράβων τρισκαιδεκάτῳ (p. 628). Σταμένη πόλις Χαλύβων. Ἑκαταῖος Ἀσίᾳ. Ἀρμένη κώμη Παφλαγονίας. Μένιππος ἐν περίπλῳ, παρὰ δὲ Ξενοφῶντι ἐν ἀναβάσεως ςʹ (1, 9) Ἀρμήνη διὰ τοῦ η . Λυκοσθένη πόλις Λυδίας. Ξάνθος πρώτῃ Λυδιακῶν, ἣν καὶ Λυκοσθένειαν Νικόλαός φησιν.

3,1 330 τὸ δὲ Κλαζομεναί πόλις ὀξύνεται ὡς καὶ Ἀκεσαμεναί πόλις Μακεδονίας, κτίσμα Ἀκεσαμενοῦ ἑνὸς τῶν ἐν Πιερίᾳ βασιλευσάντων, Ἀλαλκομεναί πόλις Βοιωτίας, ἢ καὶ Ἀλαλκομένιον, καὶ πόλις ἐν Ἰθάκῃ τῇ νήσῳ καὶ Ἰλλυρίας καὶ Ἰδομεναί πόλις Μακεδονίας καὶ Εὐρυμεναί πόλις Θεσσαλίας. Ἑκαταῖος Εὐρώπῃ καὶ Μισγομεναί πόλις Θεσσαλίας. Ἑλλάνικος πρώτῳ Δευκαλιωνείας. καὶ Ὀργομεναί πόλις Ἰλλυρίας καὶ Δεξαμεναί μέρος τῆς Ἀμβρακίας ἀπὸ Δεξαμενοῦ τοῦ Μεσόλου παιδὸς καὶ Ἀμβρακίας τῆς θυγατρὸς Φόρβαντος τοῦ Ἡλίου καὶ τὸ Εἰδομενή πόλις Μακεδονίας. Θουκυδίδης βʹ (c. 100). καὶ τὸ δεξαμεν ή , εἰαμενή ὁ κάθυγρος τόπος τοπικὴν ἔννοιαν ἔχοντα. Τὰ διὰ τοῦ ηνη μονογενῆ δισύλλαβα βαρύνεται, εἰ μὴ περιεκτικὰ εἴη, Ῥήνη νῆσος μικρὰ πλησίον Δήλου. λέγεται καὶ Ῥηνίς καὶ Ῥηναία. Σήνη πόλις Κελτική, φήνη τὸ ὄρνεον «φήνῃ ἐειδομένη» (γ 372), γλήνη ὁ ῥύπος, κρήν η , μήνη ἡ σελήνη. χήνη καὶ καταχήνη τὸ γέλασμα. Λήν η , Βήνη πόλις Κρήτης ὑπὸ Γόρτυν τεταγμένη. τὸ μέντοι σκηνή ὀξύνεται ὡς προσηγορικὸν περιεκτικὴν ἔχον ἔννοιαν. ὡσαύτως καὶ Σκηναί πόλις ἀξιόλογος Περσική ὡς Στράβων ιςʹ (p. 748). Τὰ διὰ τοῦ ηνη τρισύλλαβα μονογενῆ βαρύνεται, Ἀρήνη πόλεις δύο, Μεσσήνης καὶ Τριφυλίας. Ὅμηρος «καὶ Ἀρήνην ἐρατεινήν» (Β 591). Ἀθήνη πόλεις κατὰ Φίλωνα ἕξ. ἡ ἐν Ἀττικῇ, περὶ ἧς φησι Χάραξ, ὅτι ὁ Θησεὺς τὰς ἕνδεκα πόλεις τὰς ἐν τῇ Ἀττικῇ συνοικίσας εἰς Ἀθήνας συνοίκια ἑορτὴν κατεστήσατο. δευτέρα πόλις Λακωνική, τρίτη Καρίας, τετάρτη Λιγυστίων, πέμπτη Ἰταλίας, ἕκτη Εὐβοίας, Δίαντος κτίσμα, ὡς Ἔφορος τρίτῃ «Ἄβαντος δὲ γίγνονται παῖδες Ἄλκων καὶ Δίας καὶ Ἀρέθουσα, ὧν ὁ μὲν Δίας κτίσας πόλιν οὕτως ἀπὸ τῆς πατρίδος ὠνόμασεν». αὗται δ᾽ Ἀθῆναι Διάδες λέγονται. ἑβδόμη Ἀκαρνανίας, ὡς Δημήτριος, Ἀθηναίους ἐν τῇ Κουρήτιδι κτίσαντας πόλιν Ἀθήνας προσαγορεῦσαι. ὀγδόη Βοιωτίας ἡ ἐκ τῆς λίμνης ἀναφανεῖσα μετὰ τὸ πρότερον ἐπικλυσθῆναι τῆς Κωπαΐδος, ὅτε Κράτης αὐτὴν διετάφρευσεν. ἐκλήθη δὲ πόλις, ὥς τινες μέν φασιν, Ἀθῆναι,

ἄλλοι δὲ Ὀρχομενός, ὡς οἱ Βοιωτοί. ἔστι δὲ καὶ ἐν τῷ Εὐξείνῳ πόντῳ χωρίον Ἀθῆναι, ὡς Ἀρριανός (Peripl. P. Eux. p. 3). ἀνθρήνη εἶδος μελίττης, Μεσσήνη καὶ χώρα καὶ πόλις. Στράβων ὀγδόῃ (p. 342). χώρα δὲ Μεσσηνία καὶ Μέσση κατὰ ἀποκοπὴν ἢ Μέση Μεσήνη, ὥς τινες. ἔστι καὶ ἄλλη Μεσσήνη τῆς Σικελίας καὶ χώρα Περσίδος Μεσήνη δι' ἑνὸς ς ὑπὸ τῶν δύο ποταμῶν Εὐφράτου καὶ Τίγριδος μεσαζομένη ἡ καὶ Μέση τῶν ποταμῶν.

3,1 331 γαλήν η , εἰρήν η· ἐκαλεῖτο δὲ καὶ Καλαύρεια νησίδιον πρὸς τῇ Κρήτῃ Εἰρήν η . σαγήν η , λευκήν η , τιθήν η , Πειρήνη ἡ πόλις, Κισθήνη ἡ πόλις, συβήν η , ἀπήν η , Χαλδήνη ὄνομα κύριον, Καβήνη ἡ Κρήνη Λυκίας, Σαρδήνη ἡ Ἀμαζών. σελήν η. ἔστι καὶ σελήνη πόπανόν τι τῷ ἄστρῳ παραπλήσιον. ὑπήν η . Παλλήνη πόλις Θρᾴκης ἀπὸ Παλλήνης τῆς Σίθωνος μὲν θυγατρὸς Κλείτου δὲ γυναικός, ὡς Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς «Παλλήνη δ' ἐστὶ χερρόνησος τρίγωνος, τὴν βάσιν ἔχουσα πρὸς μεσημβρίαν ἐστραμμένην. ἐκαλεῖτο δὲ Φλέγρα τὸ παλαιὸν καὶ ᾠκεῖτο ὑπὸ τῶν Γιγάντων. καὶ ἡ τῶν θεῶν καὶ τῶν Γιγάντων μάχη ἐνταῦθα μυθεύεται γενέσθαι». ἔστι δὲ καὶ δῆμος Ἀττικὸς τῆς Ἀντιοχίδος φυλῆς οὕτω λεγόμενος Παλλήνη. Κυλλήνη ὄρος Ἀρκαδίας, σταδίων Ὀλυμπιακῶν ἐννέα παρὰ πόδας ὀγδοήκοντα κατ' Ἀπολλόδωρον. ἀπὸ Κυλλήνης Ναΐδος νύμφης. ἔστι καὶ Ἠλείων ἐπίνειον Κυλλήνη. Κυρήνη πόλις Λιβύης ἀπὸ Κυρήνης τῆς Ὕψεως κατὰ τὸν Πίνδαρον ἢ Κύρης πηγῆς ἐγχωρίου. ἔστι καὶ Ἰβηρίας· καὶ Μασσαλίας ἄλλη. Κυδρήνη πόλις Ἀρμενίας. Ἰσμήνη ἡρωῒς καὶ κώμη Βοιωτίας, Ἀλμήνη πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ ὡς Ἀρριανός. Ἀνθήνη, οὕτως Χάραξ Ἀνθάναν φησί, πόλιν Λακωνικὴν μίαν τῶν ἑκατόν. κέκληται δέ, ὡς Φιλοστέφανος, παρὰ Ἄνθην τὸν Ποσειδῶνος, .... ὃν Κλεομένης ὁ Λεωνίδου ἀδελφὸς ἀνελὼν καὶ ἐκδείρας ἔγραψεν ἐν τῷ δέρματι τοὺς χρησμοὺς ὧδε τηρεῖσθαι. ἔστι καὶ Ἀρκαδίας πόλις. Ἀτήνη δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Διονύσιος Ἀτηνίαν. Ἀτρήνη πόλις .... Φιλοστέφανός φησιν ἀπὸ Δέσου καὶ Ἀτρῶνος καὶ Ἀτρήνης τῶν Ἄργητος τοῦ Κύκλωπος καὶ Φρυγίας νύμφης, προσηγορεῦσθαι. Ξιφήνη χώρα Παλαιστίνης. Σιδήνη πόλις Λυκίας ὡς Ξάνθος ἐν Λυδιακῶν τετάρτῳ. Βαρήνη πόλις Μηδίας ἐγγὺς Ἀγβατάνων. Συήνη πόλις μέση Αἰγύπτου καὶ Αἰθιοπίας ἐπὶ τῷ Νείλῳ, μεθ' ἣν ὠνόμασται Σῖρις ὁ ποταμός. μέμνηται δὲ πόλεως Παυσανίας (I 33, 4 e. g.), κέκληται δὲ ἀπὸ Συήνου Ἀετοῦ παιδός. Φιδήνη πόλις Ἀλβανῶν. ἔοικε καὶ Φίδηνα λέγεσθαι ὡς Ῥάβεννα. Μυκῆναι πόλις Πελοποννήσου. Ὅμηρος «οἳ δὲ Μυκήνας εἶχον (B 569) ἀπὸ Μυκηνέως τοῦ Σπάρτωνος τοῦ Φορωνέως ἀδελφοῦ. ἢ ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει Περσεύς, ἔνθα κρατεῖ τις, οὗ πεσόντος ἐκ Περσέως κατὰ κέλευσιν Ἑρμοῦ τὴν πόλιν ἔκτισεν. ἢ ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰὼ βοῦν ἐκεῖ γενομένην. Πελλήνη πόλις Ἀχαΐας. λέγεται καὶ Πελλίνα ὡς Μιτυλίνα. Πριήνη πόλις Ἰωνίας. Πυλήνη πόλις Αἰτωλίας. Πυρήνη ὄρος Εὐρώπης.

3,1 332 Χαζήνη σατραπεία πρὸς τῷ Εὐφράτῃ τῆς Μεσοποταμίας. Ἀρριανὸς ἐν τρισκαιδεκάτῳ Περσικῶν «ἐν ταύτῃ τῇ Ὀλβίᾳ καὶ τὰ πεδία τῆς Χαζήνης σατραπείου ἐπὶ μήκιστον ἀποτεταμένα». Καρήνη πόλις Μυσίας. Ἡρόδοτος ἑβδόμῃ (c. 42). Ξερξήνη ἀπὸ Ξέρξου Περσικὴ χώρα τῇ μικρᾷ Ἀρμενίᾳ ὅμορος. τὸ δὲ Εὐθηναί πόλις Καρίας ὀξύνεται ἐπιθετικὸν ὄν. τὸ δὲ Γερμηνή ἡ συνήθεια ὀξύνει· ὡσαύτως καὶ Τυρρηνή πόλις πρὸς τῷ Ἀδρίᾳ, ἣ λέγεται καὶ Τυρρηνία. Σωφηνή χώρα τῶν πρὸς Ἀρμενίαν, ὡς Στράβων ἐν ἑνδεκάτῃ (p. 527), παρὰ δὲ Ἀρριανῷ Σωφανηνή τετρασυλλάβως. Δραγγηνή χώρα Περσική. Ὠτηνή μοῖρα Ἀραβίας. Σαιδηνή ὄρος Κύμης. Τὰ διὰ τοῦ ηνη ὑπερτρισύλλαβα ὀξύνεται, Καμασην ή , Μελιτηνή πόλις Καππαδοκίας. Στράβων ἑνδεκάτῃ (p. 521) «τὸ δ' Ἄμανον ὄρος μέχρι τοῦ Εὐφράτου καὶ τῆς Μελιτηνῆς πρόεισι, καθ' ὃ ἡ Κομμαγηνὴ τῇ Καππαδοκίᾳ παράκειται». Παλαιστην ή . Ἀδραμυττην ή , Κομμαγην ή , Κοδομην ή , Παραιτακην ή , Σιπυληνή ἡ Δημήτηρ, Γοαρηνή χώρα Ἀραβίας πλησίον Δαμασκοῦ· λέγεται καὶ Γοάρεια. Γωγαρηνή χωρίον μεταξὺ Κόλχων καὶ Ἰβήρων τῶν ἀνατολικῶν. Καμβυσηνή ἀπὸ Καμβύσου Περσικὴ χώρα. Μοτιηνή χωρίον Ἰβηρίας. Ναβατηνή ἡ χώρα. Παρθυηνή ἡ χώρα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πιμωλισηνή ἡ χώρα. Περπερην ή. οὕτως τινὲς Παρπάρωνα χωρίον ἐν Ἀσίᾳ Αἰολικὸν καλοῦσι. Ψιττακηνή χώρα παρὰ τῷ Τίγριδι, ἧς καὶ Ἀριστοτέλης μέμνηται ἐν τοῖς θαυμασίοις. Σαπφειρηνή νῆσος ἐν τῷ Ἀραβίῳ. Σιττακηνή ἡ χώρα. Ἀβρεττηνή χώρα Μυσίας ἀπὸ Βρεττίας νύμφης. Ἀδιαβηνή χώρα μέση τῶν ποταμῶν Εὐφράτου καὶ Τίγριδος, ἥτις καὶ Μεσήνη ὠνόμασται. Χολοβητηνή μοῖρα Ἀραβίας. Ἀρριανὸς ἕκτῳ Παρθικῶν «Τιγράνης ἀρχόμενος ἄρχεται σατράπης. ἡ δὲ χώρα ἧς ἐπῆρχε Χολοβητηνὴ ὀνομάζεται». Ἀραξηνή ἡ χώρα. τὸ δὲ Μιτυλήνη, βαρύνεται. ἔστι δὲ πόλις ἐν Λέσβῳ μεγίστη. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Μυτιλήνης τῆς Μάκαρος ἢ Πέλοπος θυγατρός. οἱ δὲ ὅτι Μυτίλης ἦν ὁ κτιστής. οἱ δὲ ἀπὸ Μύτωνος τοῦ Ποσειδῶνος καὶ Μυτιλήνης· ὅθεν Μυτωνίδα καλεῖ τὴν Λέσβον Καλλίμαχος ἐν τῷ τετάρτῳ, Παρθένιος δὲ Μυτωνίδας τὰς Λεσβικάς φησιν. λέγεται δὲ καὶ Μυτιλήνη. καὶ τὸ Πακτυήνη καὶ Δινδυμήνη ἡ Ῥέα ἀπὸ Δινδύμων ὀρῶν τῆς Τρωάδος.

3,1 333 καὶ Πορδοσελήνη νῆσος περὶ τὴν Λέσβον πόλιν ὁμώνυμον ἔχουσα. τινὲς δὲ ἐκκλίνοντες τὸ δύσφημον τοῦ ὀνόματος Ποροσελήνην ἐκάλεσαν. καὶ Ἀμφισσήνη χώρα τῆς μικρᾶς Ἀρμενίας, ὡς Στράβων ια′ (p. 528). τὸ δὲ Παταληνή νῆσος Ἰνδική ὀξύνεται, τινὲς δὲ καὶ βαρυτόνως Παταλήνην ὡς Πριήνην ἀναγινώσκουσιν. Τὰ εἰς νη δισύλλαβα μονογενῆ τῷ ι παραληγόμενα ἢ τῇ ει διφθόγγῳ βαρύνεται, κλίν η , δίνη ἡ συστροφή, Βίνη ἡ πόλις, πείν η, λέγεται δὲ καὶ πεῖνα, ῥίνη ὁ ἰχθῦς, τὸ δὲ ὄργανον ὀξύνεται. Τὰ εἰς νη ὑπερδισύλλαβα μονογενῆ παραληγόμενα τῷ ι βαρύνεται, εἰλαπίν η , μυρσίν η , θριδακίν η , ἀξίν η , ὑσμίν η , σατίν η· ἔστι δὲ εἶδος ἅρματος. μυρσίνη καὶ Μυρρίνη διὰ δύο ρρ , δωτίν η , πυτίν η , Αἰητίν η , ἰατρίν η , ἡρωΐν η , Ὠκεανίν η , Μολυβδίνη πόλις Μαστιηνῶν. Ἑκαταῖος Εὐρώπῃ. Μαντίνη ἡ Μαντίνεια, κηρυκίν η , ὀρφίν η , Ἀρικίν η , Ἐρυκίν η , Ἀδρηστίν η , Εὐηνίν η , Μενεκίνη πόλις Οἰνωτρῶν ἐν μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ, μελίνη κέγχρος, χοιρίνη ἡ δικαστικὴ ψῆφος, Καρίνη ἡ πόλις, Ὑρμίνη πόλις τῆς Ἤλιδος «ὅσσον ἐφ’ Ὑρμίνη καὶ Μύρσινος ἐσχατόωσα» (B 616). Εὐκολίν η , Λογίν η , Ἀμαντίν η· οὕτως Καλλίμαχος καλεῖ Ἀμαντίαν μοῖραν Ἰλλυριῶν «καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην». Ἀρκεσίνη μία τῶν τριῶν πόλεων τῶν ἐν Ἀμόργῳ τῇ νήσῳ. Πολύβιος δὲ ἀρσενικῶς τὸν Ἀρκεσίνην φησίν. Ἀχραδίνη νῆσος πόλιν ἔχουσα πρὸς ταῖς Συρακούσαις, ἣν ἐπολέμησε Μάρκος ὁ Ῥωμαίων στρατηγός, ἀλλὰ καὶ Ἀχραδίνη μοῖρα Συρακουσῶν. Χάραξ δὲ χώραν αὐτὴν καλεῖ καὶ νῆσον. Ἀσίνη πόλις Λακωνικὴ ἀπὸ Ἀσίνης θυγατρὸς Λακεδαίμονος, δευτέρα Μεσσήνης παρὰ τὴν Λακωνικήν, οἰκισθεῖσα ὑπὸ Ἀργείων. τρίτη Κύπρου. τετάρτη Κιλικίας. ἔστι δὲ καὶ πόλις πρὸς Ἑρμιόνῃ. Βιβλίνη χώρα Θρᾴκης. ἀπὸ ταύτης ὁ Βίβλινος οἶνος. οἱ δὲ ἀπὸ Βιβλίας ἀμπέλου. Σῆμος δ’ ὁ Δήλιος τὸν Νάξιόν φησιν, ἐπειδὴ Νάξου ποταμὸς Βίβλος. Βολβιτίνη πόλις Αἰγύπτου. Ἑκαταῖος. Βολίνη πόλις Ἀχαΐας, ὡς Ῥιανὸς ἐν Ἀχαϊκῶν δευτέρῳ. Βουλίνη πόλις περὶ Ἰλλυρίαν, ὥς φησιν Ἀρτεμίδωρος, ἀφ’ ἧς τὸ ἐθνικὸν Βουλῖνοι. Ἐλεφαντίνη πόλις Αἰγύπτου. Παρθένιος δὲ Ἐλεφαντίδα αὐτήν φησιν. Ἐχῖναι νῆσοι περὶ τὴν Αἰτωλίαν, αἷς Ἀχελῷος ὁ ποταμὸς προσβάλλει ἰλύν.

3,1 334 λέγονται καὶ Ἐχινάδες διὰ τὸ τραχὺ καὶ ὀξὺ παρὰ τὸν ἐχῖνον ἢ διὰ τὸ πλῆθος ἔχειν ἐχίνων. Ἀπολλόδωρος δὲ ἀπὸ Ἐχίνου μάντεως. Καινίνη πόλις Σαβίνων ἡ ὑπὸ Ῥωμύλου ἁλοῦσα. Λιγυστίνη πόλις Λιγύων τῆς δυτικῆς Ἰβηρίας ἐγγὺς καὶ τῆς Ταρτησσοῦ πλησίον. Πλινθίνη πόλις τῆς Αἰγυπτίας ἐπὶ τῆς Μαρείας. Μοτίνη πόλις Ἰταλίας, ἄποικος Ῥωμαίων. Πολύβιος τρίτῳ (c. 40, 8)· Φλέγων δὲ Μουτίνην αὐτήν φησι. Σαβίνη ἐπὶ τῆς γυναικὸς καὶ ἐπὶ τῆς χώρας. Σιβερίνη πόλις Οἰνωτρῶν. τὸ δὲ ἐχινῆ ἡ τραχεῖα δορὰ ἀπὸ τοῦ ἐχινέα γέγονε, διὸ περισπᾶται. τὸ δὲ Φωτεινή κύριον διὰ τῆς ει διφθόγγου γραφόμενον ὀξύνεται. μετάγεται γὰρ ἀπὸ ἐπιθέτου. Τὰ εἰς νη δισύλλαβα μονογενῆ παραληγόμενα μὲν τῇ οι διφθόγγῳ βαρύνονται, οἴνη ἡ ἄμπελος καὶ ὁ ἐν τοῖς βόλοις κενός· ἔστι καὶ Οἴνη πόλις Ἄργους. Ἑκαταῖος ἱστοριῶν πρώτῳ. θοίνη ἡ τροφή. τὸ δὲ ποινή ὀξύνεται. παραληγόμενα δὲ ο ὀξύνεται, μον ή , γονή καὶ φονή ἡ ὀλεθρία. *

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὰ διὰ τοῦ οινη ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ν τὴν οι δίφθογγον οὐκ εἰσὶ γνήσια. τὸ μὲν γὰρ ἀγκοίνη βαρυνόμενον παρὰ τὴν ἀγκῶνος γενικὴν πεποιημένον τροπὴν ἔσχε τοῦ ω εἰς τὴν οι δίφθογγον. τὸ δὲ μενοινή ὀξυνόμενον καὶ αὐτὸ τροπὴν ἔσχε τοῦ ω εἰς τὴν οι δίφθογγον. ὤφειλεν γὰρ εἶναι μενωνή. τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ ἀπὸ ῥημάτων γινόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς τὸ αὐτὸ σύμφωνον ἢ ἀντίστοιχον, τῷ ω μεγάλῳ παραλήγεται. ὁ δὲ λόγος ἐπὶ τρισυλλάβων οἷον ἀγωγή ἔδει εἶναι ἀγή καὶ γέγονεν ἀγωγή, ὁμοίως ἔδω ἐδή ἐδωδή, ὄζω ὀδή ὀδωδή, ὄπτω ὀπή ὀπωπή, ἔχω ὀχή ὀκωχή, ἄκω ἀκή ἀκωκή, οὕτω μένω τὸ προθυμοῦμαι μενή μενωνή, εἰ καὶ μὴ τὸ αὐτὸ σύμφωνον ἢ καὶ ἀντίστοιχον ἔχει ἐν τῇ τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς συλλαβῇ, καὶ ἴσως ὡς κατὰ τοῦτο γέγονεν τροπῇ τοῦ ω εἰς τὴν οι δίφθογγον μενοινή. παρατηρήσεις γὰρ τοῦτο, ὅτι τὰ οὕτω διπλασιασθέντα ἀπὸ φωνήεντος ἤρχετο οἷον ἀγωγή, ἀκωκή, ἐδωδή. τὸ δὲ μενοινή μόνον ἀπὸ συμφώνου· καὶ ἐπεὶ παρήλλαξεν κατὰ τὴν ἄρχουσαν πρὸς τὰ προκείμενα, παρήλλαξεν καὶ περὶ τὴν παραλήγουσαν. * Τὸ Κελαιναί πόλις τῆς μικρᾶς Φρυγίας ἡ καὶ Ἀπάμεια μόνον εἰς αινη καταλῆγον ὀξύνεται ἐπιθετικὸν ὄν. Τὰ διὰ τοῦ ονη ὑπερδισύλλαβα βαρύνονται καὶ ὀξύνονται.

3,1 335 βαρύνεται μὲν τὰ παρώνυμα κύρια, Ἀντιγόν η , Ἠριγόνη θυγάτηρ Ἰκαρίου, Ἡγεμόνη ἀπὸ τῆς ἡγεμόνος γενικῆς, Ἑρμιόνη ἀπὸ τῆς Ἑρμιόνος γενικῆς, Χιόνη νύμφη, Νακόνη πόλις Σικελίας. Καλλιγόν η , Ἀλκυόν η , Πληϊόν η. ἔτι καὶ ταῦτα, σφενδόν η , ὀθόν η , ἀκόν η. ἔστι δὲ καὶ Ἀκόναι πολίχνιον πλησίον Ἡρακλείας. ἐπικέκληται δὲ διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πρὸς ἀκόνας πεποιημένων λίθων, βελόν η , περόν η , εὐφρόνη καὶ Εὐφρόν η , ἀμπεχόν η. ὀξύνεται δὲ ἡδον ή , φλεγμον ή , πλησμον ή , αὐον ή , καλλον ή , χαρμον ή. Τὰ εἰς νη δισύλλαβα τῷ υ μακρῷ παραληγόμενα βαρύνεται, μύνη ἡ προτροπή, Βύν η , Φρύν η , Θύνη πόλις Λιβύης ὡς ὁ πολυίστωρ Ἀλέξανδρος. τὸ δὲ Κυνή πόλις Λυδίας. Ἑκαταῖος Εὐρώπῃ. καὶ γυνή ὀξύνεται τὸ υ βραχὺ ἔχοντα. Τὰ εἰς νη ὑπερδισύλλαβα μονογενῆ παραληγόμενα τῷ υ βαρύνεται, αἰσχύν η , ὀδύν η , Δελφύν η , χελύν η , κορύν η , Ταμύν η , τορύν η , σιγύν η , δουλοσύν η , ἀγνωμοσύν η , κερδοσύνη «ὣς φαμένη καὶ κερδοσύνῃ ἡγήσατ’ Ἀθήνη» (Il. Χ 247), βριθοσύν η , ὑποθημοσύν η , ἁγιωσύν η , μεγαλωσύν η , χαρμοσύν η , δικαιοσύν η , εὐφροσύν η , ξεινοσύνη «ἀρχὴν ξεινοσύνης» (Od. φ 35) « πλαγκτοσύνης δ’ οὐκ ἔστι κακόν» (Od. ο 343). «τὴν δ’ ᾖνις’ ἥ οἱ πόρε μαχλοσύνη ν» (Il. Ω 30). « δρηστοσύνῃ οὐκ ἄν μοι» (Od. ο 321). » ταρβοσύν ῃ, φὰν γάρ μιν» (Od. ς 342). « γηθοσύνῃ δὲ θάλασσα διίστατο» (Ν 29). ὁ δὲ Ἀρίσταρχος γηθοσύνη δὲ θάλασσα ἀντὶ τοῦ γηθόσυνος, χαίρουσα. ἀλλὰ τὰ διὰ τοῦ συνη θηλυκὰ εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος. οὐ γὰρ ἀγαθοφροσύνη γυνή. οὐκ ἄρα γένοιτο γηθοσύνη θάλασσα. εἰκός τινα φήσειν ὑπὲρ Ἀριστάρχου καὶ τῶν ἄλλων ὡς ὅτι αὐτὸς ἤδη ὁ ποιητὴς ἀρσενικῶς τοῦτο ἀπεφήνατο «γηθόσυνος δ’ οὔρῳ» (Od. ε 269). οὕτως ἀκόλουθον θηλυκὸν γένοιτο ἂν τὸ γηθοσύνη. ὃν διδάξομεν ὡς ὅτι τὰ διὰ τοῦ συνος εἰ παράγοιτο ἐπιθετικῶς ἀρσενικὰ ὑπάρχοντα μηκέτι ποιεῖ κατὰ τὸ πλεῖον θηλυκοῦ γένους παρασχηματισμόν. τὸ οὖν δικαιόσυνος Ζεὺς οὐκ ἔχει τὸ δικαιοσύνη θηλυκὸν ἔτι ἐπιθετικῶς κατά τινος θεοῦ τασσόμενον. Τὰ εἰς ωνη δισύλλαβα παροξύνεται, ζών η· ἔστι καὶ πόλις Κικόνων.

3,1 336 Ἑκαταῖος Εὐρώπῃ. μνών η , σμώνη ἡ πλῆξις τοῦ ἀνέμου, γρών η , χών η. ἔστι καὶ Χώνη πόλις Οἰνωτρῶν, ἧς Στράβων μέμνηται ἐν ἕκτῃ (p. 255) «καὶ τὴν γῆν ὀνομάσαι Χώνην». «καὶ Χώνη πόλις ὑπὲρ αὐτῆς, ἀφ’ ἧς οἱ ταύτῃ Χῶνες ἐκλήθησαν». τὸ δὲ φωνή ἀπὸ τοῦ φωνῶ καὶ τὸ ὠνή ἀπὸ τοῦ ὠνῶ ὀξύνεται. Τὰ διὰ τοῦ ωνη κύρια καὶ προσηγορικὰ ὑπερδισύλλαβα βαρύνεται, Δωδώνη πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ’ ἣν Δωδωναῖος Ζεύς «Δωδώνης μεδέων δυσχειμέρου» (Il. Π 234). Φιλόξενος δὲ ὁ τὴν Ὀδύσσειαν ὑπομνηματίζων δύο φησί, Θετταλικὴν καὶ Θεσπρωτικήν, οὕτως «Δωδώνην νῦν φησι τὴν Θεσπρωτικὴν ἐν ᾗ τὸ μαντεῖον ἐκ τῆς δρυός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑτέρα δὲ ἡ Θετταλικὴ ἀφ' ἧς ὁ Ἀχιλλεὺς καλεῖ τὸν Δία.» ἔοικε δὲ οὗτος ἐπιλελῆσθαι τὸ «ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίους' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι» (Il. Π 234). πῶς γὰρ τούτων μέμνηται ἀπὸ τῆς Θεσσαλικῆς καλῶν αὐτόν; οὕτω δὲ καὶ Ἐπαφρόδιτος ἐν τῇ Π τῆς Ἰλιάδος «τιμᾷ τοὺς ἐν Δωδώνῃ ἔχοντας ἐπιφανὲς μαντεῖον, «τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι». ἐπικέκληκε δὲ Ἀχιλλεὺς τὸν ἐν τῇ Θετταλίᾳ γειτνιῶντα θεόν, ὡς καὶ ὁ Πάνδαρος εὔχεται τῷ Λυκηγενεῖ καὶ ὁ Χρύσης τῷ Σμινθεῖ. τὸν δὲ Δωδωναῖον ἔλεγον καὶ Νάϊον. Ζηνόδοτος δὲ γράφει Φηγωναῖε, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο». καὶ Σουίδας δέ φησι Δωδωναίου Διὸς ἱερὸν εἶναι ἐν Θεσσαλίᾳ καὶ τοῦτον ἐπικαλεῖσθαι. ἕτεροι δὲ γράφουσι Βωδωναῖε. πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. Κινέας δέ φησι πόλιν ἐν Θεσσαλίᾳ εἶναι καὶ φηγὸν καὶ τὸ τοῦ Διὸς μαντεῖον εἰς Ἤπειρον μετενεχθῆναι. ὠνόμασται δὲ κατὰ Θρασύβουλον, ὡς Ἐπαφρόδιτος ὑπομνηματίζων τὸ β' Αἰτίων «ἀπὸ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων νυμφῶν. Ἀκεστόδωρος δὲ ἀπὸ Δώδωνος τοῦ Διὸς καὶ Εὐρώπης». εἰκὸς δὲ ἀπὸ Δώδωνος ποταμοῦ Ἠπείρου. διτταὶ δ' εἰσὶ Δωδῶναι, ἡ ἐν Ἠπείρῳ καὶ ἡ ἐν Θετταλίᾳ, καθάπερ ἄλλοι καὶ Μνασέας. ἡ δὲ Δωδῶνος γενικὴ μετὰ τῆς λοιπῆς κινήσεως ἠδύνατο κλίσις εἶναι τῆς Δωδών, εἴπερ ἦν ἐν χρήσει τῆς πόλεως ἡ εὐθεῖα. ἀλλ' οὐκ εἴρηται· διόπερ μεταπλασμὸς ἔοικε εἶναι. λήγεται δὲ καὶ εἰς ω . Σιμμίας ὁ Ῥόδιος «Ζηνὸς ἕδος Κρονίδαο μάκαιρ' ὑπεδέξατο Δωδώ». Βωδώνη πόλις Περραιβική, ὡς Ἀπολλόδωρος. οἱ δ' ὀρθῶς Θετταλίας ἀπὸ Βωδωνοῦ ἥρωος. Μεθώνη πόλις Θρᾴκης. Μαγνησίας, ἣν Ὅμηρος διὰ τοῦ η «οἱ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο» (B 716). ἔστι δὲ καὶ Μακεδονίας. ἐκλήθη δὲ ἀπὸ τοῦ μέθυ. πολύοινος γάρ ἐστι. καὶ τῆς Λακωνικῆς. δ' ἐν Περσίδι. ε' Εὐβοίας. Μοθών η , εἰρεσιών η , χελών η , κορών η.

3,1 337 ἔστι καὶ πόλις Μεσσηνίας, ὡς Ἀπολλόδωρος ἑβδόμῳ τοῦ καταλόγου, καὶ μοῖρα τῆς Σαλαμῖνος τῆς ἐν Κύπρῳ. ἔστι δὲ καὶ Βιθυνίας. μελεδών η . Ἰτώνη χώρα ὑπὸ τὸν Αἷμον, ὡς Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις Ἰτώνη ἐν Ἠπείρῳ καὶ Ἰταλίας καὶ Βοιωτίας καὶ Λυδίας καὶ ἡ Ἀθηνᾶ Ἰτώνη. ἐντεριών η . Ἀτρυτών η , Ἀκρισιών η , Ἠλεκτρυών η , Ἠϊώνη πόλις Βοιωτίας. Ἀμυμών η , Ἠριών η , Διών η , Μηκών η· οὕτως ἐκαλεῖτο ἡ Σικυών. Ἀργειώνη ὡς Ἀντίμαχος· οὕτως ἡ Ἑλένη. ῥᾳστών η . Ἰών η· οὕτως ἐκαλεῖτο ἡ Γάζα ἀπὸ Ἰοῦς προσπλευσάσης καὶ μεινάσης ἐκεῖ καὶ ἡ Ἀντιόχεια ἡ παρὰ Δάφνην, ἣν ᾤκησαν Ἀργεῖοι. Χιτών η· οὕτως ἡ Ἄρτεμις ἐλέγετο καὶ Χιτωνία. Ἠλώνη πόλις Περραιβική. Ὅμηρος «Ὀρθὴν Ἠλώνην τε» (B 739), νῦν δὲ Λειμώνη διὰ τὸν ἐν αὐτῇ λειμῶνα. Κολών η , γρονθών η . Γυρτώνη πόλις τῆς Θεσσαλίας καὶ Περραιβίας. Ὅμηρος (B 738). λέγεται καὶ Γυρτών. Βιζώνη πόλις Ποντική. Βρυσώνη ἡ πηγή. Αἰγών η· οὕτως Ῥιανὸς ἑκκαιδεκάτῃ Αἰγώνειαν πόλιν Μηλιέων λέγει. Ἁλώνη νῆσος πρὸς τῇ Κυζίκῳ, ἥτις καὶ Νεβρὶς καὶ Προχώνη ἐκαλεῖτο. ὠνομάσθη δὲ οὕτως, ὁπότε οἱ ἐποικοῦντες τὴν τῶν ἁλῶν ἐργασίαν ἐπενόησαν. τινὲς δὲ αὐτὴν εἶπον πόλιν Παφλαγονίας. Ἀργανθών η· οὕτως λέγεται Ἀργανθὼν ὄρος Μυσίας καὶ ἡ Ῥήσου γυνή. Ἰστώνη ὄρος προσεχὲς τῇ Κερκύρᾳ. Θουκυδίδης τρίτῃ (c. 85). Λογγώνη Σικελίας πόλις. Κελαδώνη πόλις Λοκρίδος. Κρηστώνη πόλις Θρᾴκης. Λυκόφρων (v. 937) «ὁρκωμοτῆσαι τόν τε Κρηστώνης θεόν». ἔοικε δὲ εἶναι ἡ Κρηστών παρ' Ἡσιόδῳ. Λυκώνη πόλις Θρᾴκης. Εὐφορίων Ἱππομέδοντι. Σαλμώνη πόλις τῆς Πισάτιδος καὶ κρήνη ὁμώνυμος ἀπὸ τοῦ Σαλμωνέως τοῦ βασιλέως. Σαλῶναι πόλις Δελματίας. Κυρτώνη ἀρχαῖον ὄνομα τοῦ Βοιωτίας πολίσματος ὃ λέγεται Κύρτωνες. Σκιώνη πόλις Θρᾴκης, ἔνθα λέγεται τὰς Τρῳάδας αἰχμαλώτους, διὰ τὸ μὴ ὑπὸ τῶν Ἑλλήνων εἰς δουλείαν ἀπενεχθῆναι τῶν αὐτῶν γυναικῶν, ἐμπρῆσαι τὰς ναῦς. οἱ δὲ πλοίων ἀποροῦντες ἐξ ἀνάγκης κατέμειναν αὐτοῦ πόλιν Σκιώνην οἰκίσαντες. Οἰνώνη νῆσος τῶν Αἰακιδῶν. Τορώνη πόλις Θρᾴκης ἀπὸ Τορώνης τῆς Πρωτέως ἢ Ποσειδῶνος καὶ Φοινίκης. ἔστι καὶ ἄλλη Τορώνη μετὰ Τροίαν κτισθεῖσα. τὸ δὲ Αἰξωνή δῆμος τῆς Κεκροπίδος φυλῆς ὀξύνεται, ὡς εἴθισται ἐπὶ πολλῶν τῶν δήμων, καὶ τὸ Κλεωναί καὶ Κολωναί πόλεις πληθυντικῶς λεγόμεναι. Τὰ εἰς ξη θηλυκὰ οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνον τὸ αὐξή καὶ αὐτὸ ἀμφίβολον περὶ τόνον· οἱ μὲν γὰρ βαρύνουσι λέγοντες αὐτὸ ἀπὸ τῆς αὔξησις ἀποκεκόφθαι, ἐγὼ δὲ συγκατατίθεμαι τοῖς ὀξύνουσιν.

3,1 338 Τὰ εἰς πη δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν μὴ τὸ ο ἢ ι βαρύνεται, νάπ η· ἔστι καὶ Νάπη πόλις Λέσβου, ἣν Λάπην ὀνομάζει Ἑλλάνικος ἐν δευτέρῳ Λεσβιακῶν. λύπ η , σκέπ η , κώπ η· εἰσὶ καὶ Κῶπαι πόλις Βοιωτιακή. Ὅμηρος «Κώπας Εὔτρησίν τε» (Β 502) ἀπὸ Κωπέως τοῦ Πλαταιέως τοῦ Ὀγχηστοῦ τοῦ Ποσειδῶνος. σήπ η , λώπ η , γύπ η , κύπη εἶδος πλοίου· ἔστι καὶ Σικελίας φρούριον Κύπ η. Φίλιστος Σικελικῶν ἐνάτῳ. Ῥύπαι πόλις Ἀχαϊκή. λέγεται καὶ Ῥυπαίη. Κάπαι πόλις Ἑλλησποντία. Ἀνδροτίων γʹ Ἀτθίδος. τὸ δὲ τυπή ὀξύνεται καὶ τὸ ῥοπή καὶ τροπή καὶ ὀπή καὶ κλοπ ή. καὶ ῥιπ ή. τὸ δὲ Ῥίπη Ἀρκαδικὴ πόλις βαρύνεται εἰς ἰδιότητα «Ῥίπην τε Στρατίην τε» (Β 606). Τὰ εἰς πη δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους εἰς σύμφωνον καταλήγουσαν βαρύνεται, ἅρπ η , λάμπ η· ἔστι καὶ Λάμπη πόλις Κρήτης Ἀγαμέμνονος κτίσμα ἀπὸ Λάμπου τοῦ Ταρραίου. ἔστι καὶ δευτέρα τῆς Ἀκαρνανίας. καὶ τρίτη τῆς Ἀργολίδος, ὡς Φίλων. Ξενίων δὲ ἐν Κρητικοῖς διὰ δύο ππ γράφει τὴν πόλιν τὴν Κρητικήν. καὶ διὰ δύο αα καὶ διὰ τοῦ η . Κάλπη τὸ ὄρος. ἔστι καὶ πόλις Βιθυνῶν. Θεόπομπος ὀγδόῳ Ἑλληνικῶν. λέγεται καὶ Κάρπεια, σάλπ η , κάμπη σκώληξ, καμπή δὲ ἡ κάμψις. Τράμπη πόλις Ἰωνίας, Ἄμπη πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Ἡρόδοτος ἕκτῃ (c. 20). Τάρπη πόλις Ἰταλίας. Ὄλπαι φρούριον κοινὸν Ἀκαρνάνων καὶ Ἀμφιλόχων δικαστήριον. Θουκυδίδης τρίτῃ (c. 105). Στίλπαι πόλις Σικελίας. πόρπη παρὰ τὸ πείρω. τὸ δὲ μολπή ἀπὸ τοῦ μέλπω καὶ πομπή παρὰ τὸ πέμπω ὀξύνεται. τὸ δὲ Πόμπη κύριον ὂν παροξύνεται. Τὰ εἰς πη κύρια ὄντα ὑπερδισύλλαβα βαρύνεται, Καλλιόπ η· ἔστι καὶ πόλις Παρθυαίων.

3,1 339 Πολύβιος δεκάτῳ. Ἀντιόπ η . Στερόπη τὸ κύριον, στεροπή δὲ ἡ ἀστραπή, Μερόπ η· οὕτως ἐκαλεῖτο Σίφνος νῆσος. Κασσιόπ η . Κορόπη πόλις Θεσσαλίας. Ὀρόπη πόλις Εὐβοίας, ὅπου Ἀπόλλωνος διασημότατον ἱερόν. Ἰόπη πόλις Φοινίκης πλησίον Ἰαμνίας, ὡς Φίλων, ὡς δὲ Διονύσιος Παλαιστίνης. Φοινίκη γὰρ καὶ ἡ Παλαιστίνη. ἐκλήθη δὲ ἀπὸ Ἰόπης τῆς Αἰόλου θυγατρός, τῆς γυναικὸς Κηφέως τοῦ κτίσαντος καὶ βασιλεύσαντος. ἔστι καὶ Θεσσαλίας ἄλλη. Πηνελόπ η . Ἐνόπη πόλις Μεσσηνίας. Ὅμηρος «Καρδαμύλην Ἐνόπην» (Il. I 150), μέμνηται αὐτῆς καὶ Παυσανίας τρίτῳ (c. 26, 8). Πελόπη κώμη Λυδίας πρὸς τῇ Φρυγίᾳ. Ἀλόπη πόλις Θεσσαλίας ἀπὸ Ἀλόπης τῆς Κερκυόνος, ὡς Φερεκύδης, ἢ τῆς Ἄκτορος, ὡς Φίλων. ἔστι δὲ μεταξὺ Κρεμαστῆς καὶ Ἐχίνου. δευτέρα ἐστὶ καὶ τῆς Ἀττικῆς. τρίτη Πόντου, ἀφ’ ἧς Πενθεσίλεια. τετάρτη περὶ Εὔβοιαν. πέμπτη περὶ Δελφούς. ἕκτη περὶ Λοκρίδα. Ὅμηρος τὴν μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας παράλιόν φησιν «ἐλθόντ’ ἐξ Ἀλόπης, ὅθ’ Ἀμαζονίδων γένος ἐστίν» (Β 857). Ῥοδόπη πόλις Ἰωνίας. Διόπη πόλις Ἀρκαδίας, ὡς Φερεκύδης. Πανόπη πόλις Φωκίδος ἡ καὶ Πανοπεύς. κέκληται δὲ ἀπὸ Πανοπέως τοῦ Φώκου παιδός. Παρθενόπη μία τῶν Σειρήνων καὶ πόλις ἐν Ὀπικοῖς τῆς Ἰταλίας κτίσμα Ῥοδίων. Δρυόπη ἡ Εὐρυπύλου θυγάτηρ καὶ πόλις περὶ τὴν Ἑρμιόνα. γράφεται καὶ Δρυόπα. Ἀρύπη πόλις, ἧς οἱ πολῖται Ἄρυπες. Σινώπη πόλις διαφανεστάτη τοῦ Πόντου, κτίσμα Κρητίνου καὶ Κῴου, ὥς φησι Φλέγων. Εὐρώπη ἡ χώρα ἐκ τῆς Φοίνικος θυγατρὸς ἢ τοῦ Ἀγήνορος. λέγεται καὶ Εὐρώπεια ὡς Ὑψιπύλη Ὑψιπύλεια, Ἀπάμη Ἀπάμεια, Πηνελόπη Πηνελόπεια, Λαοδίκη Λαοδίκεια, ἐρήμη ἐρήμεια, κολώνη κολώνεια. καὶ διὰ τοῦ ι Εὐρωπία παρὰ Σοφοκλεῖ Αἰχμαλώτισι «καὶ νησιώτας καὶ μακρᾶς Εὐρωπίας». καὶ Εὐριπίδης ἐν Θησεῖ «σχεδὸν παρ’ αὐτοῖς κρασπέδοις Εὐρωπίας». Κερκώπ η . Μετώπη ὁ ποταμός. Κασώπη πόλις ἐν Μολοσσοῖς δι’ ἑνὸς ς . Κωνώπη πόλις Ἀκαρνανίας. Πολύβιος πέμπτῳ. Νησώπη πόλις Λέσβου ἡ τὸν Σίγριον λιμένα ποιοῦσα. Ἐπώπη ἡ Ἀκροκόρινθος διὰ τὸ Σίσυφον ἐντεῦθεν ἐπιδεῖν τὴν τῆς Αἰγίνης ὑπὸ Διὸς ἁρπαγήν. Ὑώπη πόλις Ματιηνῶν προσεχὴς τοῖς Γορδίοις. Ἑκαταῖος Ἀσίᾳ «ἐν δὲ πόλις Ὑώπη, οἱ δ’ ἄνθρωποι ἐσθῆτα φορέουσιν οἵηνπερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παφλαγόνες». Ὀλύμπη πόλις Ἰλλυρίας ὡς Δομίτιος Καλλίστρατος ἑβδόμῳ περὶ Ἡρακλείας. Ζαριάσπη καὶ Ζαρίασπα πόλις Βακτριανή.

3,1 340 Στράβων ἑνδεκάτῃ (p. 514). Χάραξ δὲ οὐδετέρως τὰ Ζαρίασπα. Ἐνίσπη πόλις Ἀρκαδίας «καὶ ἠνεμόεσσαν Ἐνίσπην» (Β 606). νῦν δ’ οὐκ ἔστι. φασὶ δὲ ἢ τῆς Κλειτορίας γῆς εἶναι ἢ τῆς Ψωφῖδος. Εὐίππη δῆμος Καρίας. Κυδίππη Ὀχίμου θυγάτηρ. Γοργίππη πόλις Σινδική, ἣ καὶ Γοργίππεια. τὸ μέντοι σιωπή ὀξύνεται καὶ ἐνωπ ή , ἐσωπ ή , περιωπή καὶ τὸ ἐνοπή καὶ ἀστραπή καὶ ἀστεροπή καὶ ἐνιπή ἡ ἐπίπληξις. σεσημείωται τολύπη βαρύτονον ἡ ἐργασία καὶ λατυπ ή , χαμαιτύπη καὶ Ἀμφιτροπή ὀξύτονον δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Τὰ εἰς ρη ἰωνικώτερα κατὰ τροπὴν τοῦ α εἰς η βαρύνεται, κόρ η , Ἄσκρη πόλις Βοιωτίας, Ὀλύκρη πόλις περὶ Ναύπακτον. Ἑκαταῖος περιηγήσει Εὐρώπης. Ἀντισάρη καὶ αὕτη πόλις. τινὲς δὲ Τισάρη γράφουσι, δέρη ὁ τράχηλος, τὸ δὲ δειρή πλεονασμῷ τοῦ ι ὀξύνεται. ἀθάρ η. ἔστι δὲ σιτῶδές τι ἑψητόν, ὅπερ ἐν τῇ συνηθείᾳ λάθυρον καλοῦσι. Ἐφύρη ὄνομα πόλεως, ὡς παρὰ τῷ ποιητῇ (Il. Ζ 152) ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο. ἔστι δὲ ἡ νῦν λεγομένη Κόρινθος. ἔστι δὲ καὶ Ἐφύρη παρὰ τῷ Θουκυδίδῃ (I, 46, 2). Κύρ η· ἔστι δὲ ὄνομα πηγῆς, ἀφ’ ἧς καὶ Κυρήνη πόλις. ἔστι δὲ καὶ νῆσος ἐν τῷ Περσικῷ κόλπῳ. Ἑκαταῖος ἐν περιηγήσεως δευτέρῳ. Τερψιχόρ η. Ἀττικοὶ δὲ διὰ τοῦ α φασὶ Τερψιχόρα. ἐπὶ κόρρης, σημαίνει δὲ τὸ ἐπὶ κεφαλῆς. κόρση γὰρ ἡ κεφαλὴ καὶ ἀπὸ τοῦ κόρση καὶ κόρρη ὡς ἄρσην καὶ ἄρρην. Κάτρη καὶ αὕτη πόλις Κρητικὴ ἀπὸ Κάτρεως. Ἄγρη πόλις Λυδίας. Τάφραι καὶ Τάφρη ἑνικῶς, χώρα ταφρευθεῖσα περὶ τὴν Μαιῶτιν λίμνην ὑπὸ δούλων ταῖς δεσποίναις συμμιγέντων κατὰ τὸν πολυχρόνιον πόλεμον τῶν Σκυθῶν, τῶν δεσποτῶν πολεμούντων τοῖς Θρᾳξὶν ἢ τοῖς ἐντὸς Ἴστρου, ὡς Καλλίστρατος ἐν τρίτῳ.

3,1 341 Σπαλέθρη πόλις Θεσσαλίας. Ἑλλάνικος δὲ Σπάλαθρον αὐτήν φησι. Μαζάρη φρούριον Σελινουντίων. Φαναγόρη καὶ Φαναγόρεια νῆσος τῇ Ταυρικῇ παρακειμένη. Φαλώρη πόλις Θετταλίας. ταύτην Ῥιανὸς Φαλώρειαν καλεῖ. Ἀγκώρ η· οὕτως ἐκαλεῖτο πρότερον Νίκαια πόλις Βιθυνίας. τὸ δὲ καρή ὀξύνεται. τὸ γὰρ κάρη τὸ βαρυτονούμενον οὐδέτερόν ἐστιν· ἀπὸ γὰρ τοῦ κάρηνον γενόμενον κατὰ ἀποκοπήν ἐστιν. καὶ τὸ Ἱρή παρὰ τῷ ποιητῇ—ἔστι δὲ ὄνομα πόλεως οἷον Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν (Il. Ι 150)— Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ· εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα ὥσπερ ἐπὶ τοῦ «Ῥίπην τε Στρατίην τε» (Β 606). ὀξύνονται δὲ καὶ Γυρ ή, ἀφ’ οὗ Γυραία. καὶ Καιρ ή· οὕτως μετωνομάσθη Ἄγυλλα πόλις Τυρρηνίας. καὶ Δουσαρή σκόπελος καὶ κορυφὴ ὑψηλοτάτη Ἀραβίας ἀπὸ τοῦ Δουσάρου θεοῦ παρὰ Ἄραψιν τιμωμένου. καὶ Περιστερή πόλις Φοινίκων. τὸ δὲ Θυρῆ κατὰ συναίρεσιν ἐκ τοῦ Θυρέα. Τὰ εἰς η λήγοντα προηγουμένου τοῦ ς βαρύνεται, ἄση ὁ ῥύπος, κόρση ὁ κρόταφος καὶ Κόρση δούλη βουκόλος, ἀφ’ ἧς Κορσίς νῆσος. Μέσση πόλις κατ’ ἀποκοπὴν ἐκ τοῦ Μεσσήνη καὶ Μέσ η . Χρύση ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σοφοκλῆς Λημνίαις «ὦ Λῆμνε Χρύσης τ’ ἀρχιτέρμονες πάγοι»· καὶ ἐν Αἰχμαλώτισι «ταύτην ἐγὼ Κίλλαν καὶ Χρύσην νέμω». εἰσὶ καὶ ἄλλαι Χρῦσαι ὁμώνυμοι πόλεις καὶ τόποι πολλοί. περὶ Σκῦρον. καὶ τῆς Λεσβίας τόπος. καὶ περὶ Ἡφαιστίαν τῆς Λήμνου ἀκρωτήριον πρὸς Τένεδον βλέπον. καὶ ἐν Βιθυνίᾳ περὶ Χαλκηδόνα. καὶ τῆς Καρίας ἐν τῇ Ἁλικαρνασσίδι, Δώριον πεδίον· καὶ ἐν Ἑλλησπόντῳ πόλις μέση Ὀφρυνίου καὶ Ἀβύδου. ἔστι καὶ ἄλλη περισπωμένως λεγομένη νῆσος Ὠνεανῖτις. ἔστι καὶ ἄλλη χερρόνησος τῆς Ἰνδικῆς Χρυσῆ καλουμένη. Γενέση πόλις Λακωνικῆς. Τεμέση πόλις Ἰταλίας καὶ ποταμός. Ὅμηρος «ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ’ αἴθωνα σίδηρον» (Od. α 184). Πολύβιος δὲ ἐν τῷ πρώτῳ Τεμέσειαν τὴν πόλιν καλεῖ. Ἀγχίση πόλις Ἰταλίας ἀπὸ τοῦ προπάτορος Ἀγχίσου, ὡς Διονύσιος ἐν πρώτῃ περὶ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ λισσή ὀξύνεται «ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη» (Od.

3,1 342 γ 293). τινὲς μὲν ὄνομα κύριον τὴν νῦν Βλισσὴν καλουμένην. ὁ δὲ Κράτης σὺν τῷ ν γράφει Λισσήν. καλεῖται δὲ καὶ Λισσής. ἔστι δὲ τῆς Φαιστιάδος. καὶ τὰ τῶν δήμων ὀνόματα Βησσή καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περγασή δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς. ἔτι καὶ τὰ πληθυντικῶς λεγόμενα Ἀσαί κώμη Κορίνθου. Θεόπομπος λβʹ Φιλιππικῶν «Ἀσαὶ καὶ Μαυσὸς κῶμαι μεγάλαι καὶ πολυάνθρωποι». ἔστι καὶ Θρᾴκης Ἀσαί. καὶ Τραγασαί χωρίον ἐν ἠπείρῳ ἀπὸ Τραγάσου, οὗ εἰς χάριν ὁ Ποσειδῶν ἁλὸς πῆξιν ἐποίησεν, ὅθεν Τραγασαῖοι ἅλες, ὡς Ἑλλάνικος ἐν πρώτῳ Λεσβιακῶν. ἀφ' οὗ καὶ τὸ πεδίον Ἁλήσιον καλεῖται. καὶ Ἀκεσαί πόλις Μακεδονίας καὶ Παγασα ί. Τὰ εἰς τη παραληγόμενα τῷ α ἢ τῷ η βαρύνεται, εἰ μὴ ἐπὶ δήμου τάττοιτο, πλάτη καὶ ὠμοπλάτ η , μάτ η, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ «οὔτι τοι μέτρον μάτας», ἄτη καὶ τρισυλλάβως ἐν συστολῇ τοῦ α ἀάτ η, ὡς παρὰ τῷ Κυρηναίῳ εἴτε μιν Ἀργείων χρὴ καλέειν Ἀάτην καὶ ἀπάτ η , ἐλάτ η , Ἑκάτ η , Κρήτη ἡ μεγίστη νῆσος, ἣν Κρεήτην ἔφη Ἀρχίλοχος κατὰ πλεονασμόν. οἱ μέν φασιν ἀπὸ τοῦ Κουρής Κουρήτην καὶ Κρήτην κατὰ συγκοπήν, οἱ δὲ ἀπὸ Κρητὸς τοῦ Διός. οἱ δὲ ἀπὸ Κρήτης μιᾶς τῶν Ἑσπερίδων, οἱ δὲ ἀπό τινος γηγενοῦς Κρητός. ἄμεινον δὲ παρὰ τὸ Κρής Κρητός Κρήτη ὡς Θρᾴκη καὶ Χιτώνη καὶ εὐφρόνη. λέγεται καὶ ποιητικῶς Κρῆται (Od. ξ 99, π 61). Ἀρήτ η , ἀρητή δὲ τὸ ἐπίθετον. ἀήτ η . Λήτη πόλις Μακεδονίας ἀπὸ τοῦ πλησίον ἱδρυμένου Λητοῦς ἱεροῦ. Διαβήτη νῆσος δυσμικωτέρα Σαρδοῦς καὶ Κύρνου. εἰσὶ καὶ Διαβῆται νῆσοι περὶ Σύμην. Ὑπάτη πόλις Αἰνιάνων. λέγεται δὲ καὶ Ὕπατα. ἔστι καὶ χώρα πλησίον Σαγγάρου ποταμοῦ. Ἰωταπάτη πόλις Συρίας, ἣ καὶ Ἰωτάπατα. Ναπάται πόλις Λιβύης. πρὸς τῇ Αἰθιοπίᾳ. τὸ δὲ Βατή ἐπὶ τοῦ δήμου τῆς Αἰγηΐδος φυλῆς ὀξύνεται, τὸ δὲ βάτη ἡ γῆ παρὰ Μεσσηνίοις βαρύνεται. Τὰ εἰς τη παραληγόμενα τῷ ε ἢ ο κύρια ὄντα βαρύνεται, Βρεμέτ η , Ὠκυπέτ η , Δημαρέτ η .

3,1 343 Ταΰγέτη ἡ μήτηρ Εὐρώτα. καὶ Φανότη πόλις Φωκίδος ἣ καὶ Φανότεια καὶ Φανοτεύς. καὶ Θεοδότ η. τὸ δὲ Ἀφεταί πόλις τῆς Μαγνησίας. Ἑκαταῖος· ὅτι ἐντεῦθεν δευτέραν ἄφεσιν ἡ Ἀργὼ ἐποιήσατο ἢ ὅτι ἐκεῖ οἱ Ἀργοναῦται τὸν Ἡρακλέα κατέλιπον. κεῖται δ' ἐν Παγασιτικῷ κόλπῳ. —καὶ Ἰεταί φρούριον Σικελίας. Φίλιστος ἕκτῃ—πληθυντικῶς λέγεται. καὶ τὸ Ξυπετή ἐπὶ δήμου τάττεται. ἔστι δὲ δῆμος Κεκροπίδος φυλῆς. τὰ δὲ προσηγορικὰ ὀξύνεται, ἀρετ ή , τελετ ή , βιοτ ή. τὸ δὲ μελέτη παροξύνεται σύνθετον ὂν παρὰ τὸ μέλειν καὶ ἐτεὸν τὸ ἀληθές. Τὰ εἰς τη παραληγόμενα τῷ ι ὑπερδισύλλαβα κύρια ὄντα βαρύνεται, Μελίτη ἡ Αἰγαίου τοῦ ποταμοῦ καὶ νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας. ἔστι καὶ πόλις ἄποικος Καρχηδονίων καὶ δῆμος Οἰνηΐδος φυλῆς. Ἀμφιτρίτ η , Ἀφροδίτ η. τὸ δὲ λιτή δισύλλαβον ὀξύνεται ὡς καὶ Λιταί πόλις Λακωνική. τὸ δὲ Τρίτη πόλις περὶ τὰς Ἡρακλείας στήλας βαρύνεται ἐπιθετικὸν ὄν. Τὰ εἰς τη πρὸ τέλους ἔχοντα τὸ υ ὀξύνεται, ἀϋτή ἡ βοή, πινυτή τὸ ἐπίθετον «μήτηρ πινυτή» (Od. υ 131), Πινυτή δὲ καὶ τὸ κύριον. τὸ δὲ προσηγορικὸν εἰσὶν οἳ παροξύνουσιν, Ἀρίσταρχος δὲ ὀξύνει καὶ ἐπεκράτησεν οὕτως ἡ παράδοσις. Λυταί χωρίον Θεσσαλίας διὰ τὸ λῦσαι τὰ Τέμπη Ποσειδῶνα καὶ σκεδάσαι τὸ ἀπὸ τοῦ κατακλυσμοῦ ὕδωρ. τὸ δὲ Ἀφύτη πόλις πρὸς τῇ Παλλήνῃ Θρᾴκης, ἣ καὶ Ἄφυτις καὶ Ἄφυτος ἀπὸ Ἀφύτου τινὸς ἐγχωρίου, καὶ Προχύτη νῆσος Σικελίας βαρύνεται. Τὰ εἰς τη ὑπερδισύλλαβα τῷ ω παραληγόμενα βαρύνεται, Κριθώτη πόλις Ἑλλησπόντου· ἔστι καὶ ἄκρα Ἀκαρνανίας. Περκώτη καὶ Παλαιπερκώτη πόλις Τρωάδος. Γεφυρώτη πόλις Λιβύης, Γιγγλυμώτη Φοινίκης πόλις ὡς Ἑκαταῖος. τὸ μέντοι μηλωτ ή , κηρωτή ὀξύνεται καὶ τὸ οἰσπωτή ὁ ῥύπος. τὸ δὲ Πρωτή νῆσος παρὰ τῇ Σφακτηρίᾳ καὶ Πύλῳ δισύλλαβον ὀξύνεται. Τὰ εἰς τη δισύλλαβα διφθόγγῳ παραληγόμενα βαρύνεται, βλαύτη εἶδος ὑποδήματος, Προίτη ἡ πόλις, κοίτ η , δροίτη ἡ πύελος, λοίτ η , Οἴτη ὄρος περὶ Τραχῖνα.

3,1 344 ἔστι καὶ πόλις Μηλιέων. βαίτη ἡ διφθέρα. δαίτη ἡ εὐωχία. τὸ δὲ τελευτή τρισύλλαβον. Τὰ εἰς τη δισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ τ σύμφωνον ὀξύνεται, εἰ μὴ παραλήγοι φωνήεντι ι ἢ ε , βροντ ή , εἱρκτ ή , πηκτή ὄργανον μουσικόν. φυστή μᾶζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου. ἀκτ ή· οὕτως δὲ καὶ ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός. ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ καὶ ἀφ' ἑαυτοῦ οὕτως τὴν χώραν ὠνόμασε καὶ τοὺς λαούς. Ἀπολλόδωρος δὲ τἀναντία φησίν «οὕτω γὰρ ἐκλήθη διὰ τὸ πολὺ μέρος αὐτῆς καθικνεῖσθαι εἰς θάλασσαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριγώνου γὰρ οὔσης αἱ συννεύουσαι ἐπὶ τὸ Σούνιον ἑκατέρωθεν δύο πλευραὶ παράλιοι τυγχάνουσι, δι' ἃς τῶν ἐπὶ Κέκροπος φυλῶν τεττάρων οὐσῶν δύο προσηγόρευσαν Ἀκταίαν καὶ Παραλίαν». ἔστι καὶ Ἀκτή Μαγνησίας, ἀφ' ἧς Ἄκτιος καὶ Ἐπάκτιος Ἀπόλλων τιμᾶται. ἔστι καὶ ἑτέρα Ἀκαρνανίας, ἧς μέμνηται Δημάγητος. ἔστι καὶ Πελοποννήσου, ὡς Θουκυδίδης, καὶ ἄλλη ἐν Βοσπόρῳ καὶ ε' ἐν Ἰωνίᾳ. Δημήτριος δὲ τῆς σημαντικῆς τοῦ αἰγιαλοῦ καὶ τῆς περὶ τὸν Ἄθω χώρας μόνον ἐμνημόνευσεν. βλαστ ή. τοῦτό τινες βαρύνουσιν. τὸ μέντοι κίστη βαρύνεται καὶ τὸ πέλτη ἡ ἀσπίς. τὰ δὲ κύρια βαρύνεται, Δίκτη ὄρος Κρήτης. Καλλίμαχος ... Σπάρτη Λακωνικὸν χωρίον ἀπὸ τῶν μετὰ Κάδμου Σπαρτῶν, περὶ ὧν Τιμαγόρας φησίν. «ἐκπεσόντας δὲ αὐτοὺς εἰς τὴν Λακωνικὴν Σπάρτην ἀφ' ἑαυτῶν ὀνομάσαι» ἢ ἀπὸ Σπαρτοῦ τοῦ Ἀμύκλαντος τοῦ Λέλεγος τοῦ Σπαρτοῦ ἢ διὰ τὸ τοὺς πρώτους συνοικίσαντας τὴν πόλιν Λέλεγας. διεσπαρμένους γὰρ εἰς ταὐτὸν συνελθεῖν καὶ μίαν οἴκησιν ποιήσασθαι. ἔστι καὶ Σπάρτη κώμη πλησίον τοῦ Εὐξείνου πόντου. Σάρτη πόλις περὶ τὸν Ἄθων, Πέμπτη πόλις Αἰγύπτου. Τὰ εἰς τη ὑπερδισύλλαβα ἔχοντα κατὰ σύλληψιν σύμφωνον ἢ πρὸ τέλους τὸ ρ κύρια ὄντα βαρύνεται, Ἀδρήστ η , Ἰοκάστ η . Ὀρέστη πόλις Εὐβοίας. Ἑκαταῖος Εὐρώπης περιηγήσει. Ἀκέστη πόλις Σικελίας καὶ Ἄγεστα, παρὰ τὸν Ἀκέστην. Μεγίστη πόλις καὶ νῆσος τῆς Λυκίας, ὡς πολυΐστωρ, ἀπὸ Μεγιστέως τινός. Δολιχίστ η· οὕτως Ἀλέξανδρος ἐν τῷ Λυκίας περίπλῳ Δολίχην νῆσον πρὸς τῇ Λυκίᾳ καλεῖ.

3,1 345 Ἀστάρτη νῆσος ἐν Αἰθιοπίᾳ. ἔστι καὶ πόλις Συρίας ἡ ὕστερον Φιλαδέλφεια. τὸ μέντοι ἑορτή ὀξύνεται καὶ τὸ παλαιστή καὶ λεπαστή ἡ κύλιξ. τὸ δὲ Σεβαστή ἐπιθετικῶς τέτακται· ἔστι δὲ πόλις Ἀρμενίας ἡ νῦν Σεβάστεια καλουμένη, ὡς Ἀλέξανδρος ὁ Ἐφέσιος. ἔστι δὲ καὶ ἐν τῇ Σαμαρείτιδι πολίχνιον. λέγεται καὶ ἡ πρὸς τῇ Κωρύκῳ χερρόνησος οὕτως. * Τὰ εἰς τη ὑπερδισύλλαβα ἔχοντα κατὰ διάστασιν σύμφωνον βαρύνεται, Ἀλλάντη πόλις Μακεδονίας καὶ Ἀρκαδίας. Θεόπομπος δ' ἐν πρώτῳ Φιλιππικῶν Ἀλλάντιον αὐτὴν εἶπε. Ἀργάντη πόλις Ἰνδίας, ὡς Ἑκαταῖος. Ἀταλάντη, ἡ ὑπ' Ἀθηναίων κτισθεῖσα παρὰ Λοκροῖς. Θουκυδίδης δευτέρᾳ (c. 23). ἔστι δὲ νῆσος. καὶ ἄλλη πρὸς τῷ Πειραιεῖ. Τὰ εἰς φη λήγοντα δισύλλαβα προσηγορικὰ παραληγόμενα α ὀξύνεται, ἀφ ή , βαφ ή , ῥαφ ή , γραφ ή , ταφ ή , σκαφή τὸ σκάμμα, σκάφη τὸ πλοῖον παρώνυμον ἀπὸ τοῦ σκάφος ὡς κάρφη ἀπὸ τοῦ κάρφος. Τὰ δὲ κύρια βαρύνεται, Τάρφη πόλις Λοκρῶν. Ὅμηρος (B 533) «Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα». λέγουσι δ' αὐτὴν ἀπὸ τῆς περὶ Φαρύγας κρήνης. οἱ δὲ καὶ αὐτὴν καὶ τὸν τόπον διὰ τὴν τῆς ὕλης πυκνότητα τὰ πυκνὰ γὰρ τάρφεα Ὅμηρος λέγει «βαθείης τάρφεσιν ὕλης» (Il. E 555). Σκάρφη πόλις Εὐβοίας, ἣ πρότερον Ἐτεωνός ἐκαλεῖτο. Τράφη πόλις πρὸς τῷ Πόντῳ. Ἄμφ η· οὕτως ἐκαλεῖτο Κάσος, μία τῶν Κυκλάδων, Σάμφη πόλις Φοινίκης καὶ τὰ τοιαῦτα. * Τὰ εἰς φη δισύλλαβα ἔχοντα πρὸ τοῦ φ σύμφωνον, ὁπότε μὴ ἔχοι πρὸ τέλους ο , βαρύνεται, νύμφ η , σίλφ η, ἥν τινες τίλφην λέγουσι, Σέμφη πόλις τῆς κατὰ Εὐφράτην Ἀραβίας. Τύμφη ὄρος Θεσπρωτικόν. Σκίρφαι πόλις Φωκική. τὸ δὲ ὀμφ ή , μορφή πρὸ τέλους ἔχουσιν ο . Τὰ εἰς φη παραληγόμενα τῷ ο ἢ τῷ υ συνεσταλμένῳ ὀξύνεται, ὀμφ ή , μομφ ή , μορφ ή , τροφ ή , ὀροφ ή , γλυφ ή , δρυφ ή , κορυφ ή. Τὰ εἰς φη παραληγόμενα φύσει μακρᾷ ἢ ἑνὶ φωνήεντι βαρύνεται, Σίφη ἐπίνειον τῆς Θεσπιακῆς· λέγεται καὶ πληθυντικῶς. ἀγρίφη τὸ σκάφιον, κνήφ η , ἀκαλήφη ἡ κνίδη.

3,1 346 τὸ δὲ ἀλοιφή ὀξύνεται δύο φωνήεντα ἔχον. Τὰ εἰς φη ὑπερδισύλλαβα κύρια ἢ παραληγόμενα α βαρύνεται, ἀράφ η , Ἀνάφη νῆσος μία τῶν Σποράδων πλησίον Θήρας, ἥτις ἀπὸ Μεμβλιάρου τοῦ σὺν Κάδμῳ πλεύσαντος εἰς ἀναζήτησιν Εὐρώπης Μεμβλίαρος ἐκαλεῖτο· τοῖς δ' Ἀργοναύταις ὑπὸ χειμῶνος τρυχομένοις καὶ σκοτομήνης ἀναφανεῖσα Ἀνάφη ἐπικέκληται. σκιδάφη ἡ ἀλώπηξ, Ἱεράφη νῆσος Λιβύης. Ἑκαταῖος περιηγήσει. Ἐρίφη κύριον. Τηλέφη ἡ τῆς Εὐρώπης μήτηρ, ἣ καὶ Τηλεφάη καλεῖται. Τὰ εἰς χη δισύλλαβα παραληγόμενα φωνήεντι προσηγορικὰ ὀξύνεται, ἠχ ή , βληχ ή , ψυχ ή , βρυχή ὁ κτύπος, βροχ ή , ὀχ ή, τὸ δὲ Ὄχη ὄρος τῆς Εὐβοίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρύνεται. ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς ἐκεῖ ὀχείας ἤτοι τῶν θεῶν μίξεως Διὸς καὶ Ἥρας ἢ διὰ τὸ τὰ πρόβατα κυΐσκεσθαι ὀχευόμενα ἐν τῷ τόπῳ. οἱ γὰρ Ἀχαιοὶ τὴν τροφὴν ὀχήν φασι. λέγεται καὶ ἀρσενικῶς ὁ Ὄχης. τὸ δὲ τύχη καὶ μάχη βαρύνεται· ἔστι δὲ καὶ Τύχη πόλις Σικελίας πλησίον Συρακουσῶν. Ἔφορος ἐν δωδεκάτῳ νῆσον Τυχίαν φησίν. βαρύνεται δὲ καὶ Τρῦχαι πόλις Εὐβοίας. Λυκόφρων δὲ (v. 374) μεταφράσας Τρύχαντα καλεῖ. τὸ δὲ Χωχή κώμη πρὸς τῷ Τίγριδι ποταμῷ ὀξύνεται. Ἀρριανὸς δεκάτῳ «καὶ βασιλεὺς δ' ἐξελαύνει ἐκ Σελευκείας, οὐ πρόσω τοῦ ποταμοῦ τοῦ Τίγριδος ἐς κώμην, ᾗτινι Χωχὴ ὄνομα». Τὰ εἰς χη ἔχοντα ἄλλο σύμφωνον κατὰ σύλληψιν ἢ διάστασιν βαρύνεται, βάκχ η , κόγχ η , λέσχ η , λόγχ η, τὸ δὲ Λογχή κύριον, Ῥύγχαι χωρίον Εὐβοίας. τὸ δὲ ἀρχή ὀξύνεται. Τὰ εἰς χη ὑπερδισύλλαβα εἰς α ἢ υ παραληγόμενα, εἰ μὴ κύρια εἴη, ὀξύνεται, στοναχ ή , ταραχ ή , ἰαχ ή , ἀλυχ ή , διδαχ ή, τὸ δὲ μαλάχη βαρύνεται. τὸ δὲ Μαράχη πόλις Ἰνδικὴ κύριόν ἐστιν. Τὰ εἰς χη παραληγόμενα ι βαρύνεται, Δολίχη νῆσος πρὸς τῇ Λυκίᾳ, ὡς Καλλίμαχος. ἔστι καὶ Δολίχη πόλις τῆς Κομμαγηνῆς. δολιχή δὲ ἡ μακρά. μαστίχ η , σαβαρίχη τὸ τῆς γυναικὸς αἰδοῖον, πυρρίχ η , Μυστίχ η . Ἐρυσίχη πόλις Ἀκαρνανίας, ἥτις ὕστερον Οἰνιάδαι ὠνομάσθη. καὶ τινὲς δὲ τὴν χώραν τῶν Οἰνιαδῶν πᾶσαν Ἐρυσίχην ὠνόμασαν ἀπὸ Ἐρυσίχης τῆς Ἀχελῴου θυγατρός. * Τὰ εἰς χη ὑπερδισύλλαβα παραληγόμενα ο σπάνια ὄντα βαρύνεται, οἷον Ἀστυόχη ἡ μήτηρ Τληπολέμου. Τὰ εἰς ψη οὐχ εὕρηται πλὴν τοῦ Τεράψη νῆσος πρὸς Καρχηδόνα οὐ μεγάλη.

3,1 347 Τὰ εἰς ω λήγοντα θηλυκὰ ὀξύνεται, Κλωθ ώ , Ἐρατ ώ , Θεαν ώ , Σαπφ ώ , Λητώ παρὰ τὸ λήθω τὸ λανθάνω λήθη καὶ Ληθώ καὶ Λητώ. τὸ γὰρ ἥμερον καὶ πραῢ ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμελημένων ἐμφαίνεται. ὁ δὲ Πλάτων φησὶν ἐλεητώ· ἐλεήμων γὰρ ἡ θεὸς καὶ πραεῖα καὶ πάντας ἐλεοῦσα. ὁ δὲ Ἀρίσταρχος παρὰ τὸ λῶ τὸ θέλω, ἔνθεν τὸ λῇς ἀντὶ τοῦ θέλεις μετὰ τοῦ ι Εὐριπίδης καὶ τὸ λῇ τὸ θέλει Δωρικῶς· ἐπειδὴ ὃ ἄν τις θέλῃ, παρ' αὐτῆς λαμβάνει. Λατώ δ' ἐλέγετο Καμάρα πόλις Κρήτης. πειθ ώ , φειδ ώ , χρει ώ , βασιλ ώ . Κλει ώ . Καλυψ ώ . Δηώ ἡ Δημήτηρ· καὶ διφορεῖται· οἶδε γὰρ ἡ παράδοσις τὸ η μετὰ τοῦ ι καὶ χωρίς. καὶ εἰ μὲν μὴ ἔχει τὸ ι , ἐστὶ παρὰ τὸ δήω τὸ σημαῖνον τὸ εὑρίσκω· καὶ γὰρ ἡνίκα περιήρχετο εἰς ζήτησιν τῆς θυγατρὸς αὐτῆς, κατ' εὐφημισμὸν ἔλεγον πάντες «δήεις» τουτέστιν εὑρήσεις· ἢ ἐπειδὴ αὕτη ἐφεῦρε τὸν σῖτον. εἰ δὲ ἔχει τὸ ι , γέγονε παρὰ τὸ δαίω τὸ κόπτω κατὰ τροπὴν Ἰωνικὴν τοῦ α εἰςη · καὶ γὰρ ἡ Δημήτηρ γῆ ἐστιν. ἡ δὲ γῆ διακόπτεται ἐν τῷ ἀποτριᾶσθαι. ἢ παρὰ τὸ δαίω τὸ καίω, ὅτι μετὰ λαμπάδων ἐζήτει τὴν θυγατέρα. τινὲς δέ φασιν, ὅτι ὑποκοριστικόν ἐστιν ἀπὸ τοῦ Δημήτηρ Δηώ ἀγνοοῦντες τὸν σχηματισμὸν τῶν τοιούτων ὑποκοριστικῶν. τὰ γὰρ τοιαῦτα ὑποκοριστικὰ θέλει φυλάττειν τὸ σύμφωνον τῆς δευτέρας συλλαβῆς τῶν ἰδίων πρωτοτύπων οἷον Ὑψιπύλη Ὑψ ώ, Εἰδοθέα Εἰδώ παρ' Αἰσχύλῳ· εἰ οὖν Δημήτηρ, Δημώ ὤφειλεν εἶναι, ἀλλ' οὐκ ἔστιν ὑποκοριστικόν. Βουτώ κώμη Αἰγύπτου, ἀφ' ἧς καὶ Λητὼ Βουτώ, ἧς τινος χρηστήριον ἦν. ἐκαλεῖτο δὲ καὶ Βοῦτος. Δωδ ώ· οὕτως ἐλέγετο Δωδώνη Σιμμίας ὁ Ῥόδιος «Ζηνὸς ἕδος Κρονίδαο μάκαιρ' ὑπεδέξατο Δωδώ». Ἐλβώ νῆσος. Ἡρόδοτος δευτέρᾳ (c. 140). Ἀμαζώ θυγάτηρ τῆς Ἐφέσου, ἀφ' ἧς αἱ Ἀμαζόνες. Ἡρώ πόλις Αἰγυπτία. Στράβων δὲ Ἡρώων πόλιν αὐτὴν καλεῖ (17 p. 836). Θρι ώ· οὕτως λέγεται Θρῖα δῆμος τῆς Οἰνηΐδος φυλῆς, ὅθεν Θριῶθεν Θριῶζε. Ἰώ ἤτοι σελήνη· ἰώ γὰρ ἡ σελήνη κατὰ τὴν τῶν Ἀργείων διάλεκτον.

3,1 348 Μωθώ κώμη Ἀραβίας. Πυθώ ἡ τοῦ Ἀπόλλωνος πόλις «ὡς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων Πυθοῖ ἐν ἠγαθέῃ» (Od. θ 80). Σαβώ πόλις μεγάλη πέραν τῆς Ἐρυθρᾶς θαλάσσης. Σαρδώ νῆσος· τῇ Σαρδοῖ ἀναλόγως λέγεται καὶ Σαρδών ὡς τῇ Πυθοῖ παράκειται Πυθών. Σαμαθώ ὅ ἐστι μεγάλη κατὰ τὴν τῶν Λιβύων φωνήν, καλεῖται Μάγνα νῆσος Λιβυκή. Καβειρώ ἡ Πρωτέως καὶ Ἀγχινόης, ἀφ' ἧς καὶ Ἡφαίστου Καδμῖλος. Ῥοιώ ἡ Ζάρηκος θυγάτηρ. Συρακώ λίμνη. Ταχεμψώ νῆσος Αἰθιοπίας πρὸς τῇ Λιβύῃ, ὡς Ἡρόδοτος δευτέρᾳ (c. 29). Χομψώ νῆσος ἐν τῷ Νείλῳ, μέση Αἰθιοπίας καὶ Αἰγύπτου. Ὑρνηθώ ἡ Τημένου θυγάτηρ. Ψεβώ χώρα ἐνδοτάτη

Αἰθιοπίας, περὶ ἧς Ἀρισταγόρας ἐν Αἰγυπτιακοῖς τάδε γράφει «οὗτοι δή φασιν εἶναι χώραν ἀπέχουσαν Αἰθιοπίας ἡμερῶν πέντε καλουμένην Ψεβώ». Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων λίμνην εἶναί φησι. Ψενακώ κώμη τῆς Ἀθριβίτου νομοῦ, ὡς Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων. Κυβ ώ, ἣ καὶ Κύβος, πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων. Ἑκαταῖος περιηγήσει αὐτῆς «καὶ λιμήν, Ἵππου ἄκρη καὶ Κυβώ». Χορτασώ πόλις Αἰγύπτου· ἀπὸ μέλλοντος ὁ σχηματισμός· ὡς γὰρ τοῦ καλύψω ἡ Καλυψώ, οὕτω καὶ τοῦ χορτάσω Χορτασώ. ἱστοροῦσι γὰρ Κλεοπάτραν εἰς πόλεμον μὴ ἔχειν σιτία· τοὺς δ' οἰκοῦντας τὸν τόπον τοσαύτην παρασχέσθαι τούτου τὴν ἀφθονίαν, ὥστε χορτάσαι πᾶσαν τὴν στρατιὰν καὶ ὄνομα τῇ πόλει παρ' αὐτῆς ἐντεῦθεν τεθῆναι. ΠΕΡΙ ΤΟΝΟΥ ΟΥΔΕΤΕΡΩΝ ΟΝΟΜΑΤΩΝ. ΒΙΒΛΙΟΝ ιγʹ. Πᾶν οὐδέτερον ὄνομα παρεσχηματισμένον ἀρσενικῷ ὁμοτονεῖ τῷ ἀρσενικῷ, φίλος φίλον, κοῦφος κοῦφον, καλός καλόν, χρυσοῦς χρυσοῦν, οὕτω καὶ ὁ πᾶς τὸ πᾶ ν. τὸ δὲ εἷς ἕν μονοσύλλαβον ἀντίκειται διὰ τὸ μὴ δύνασθαι περισπωμένην ἐπὶ βραχείας εἶναι. Πᾶν οὐδέτερον κατὰ ἀποβολὴν τοῦ ς γενόμενον ἀπὸ ἀρσενικοῦ τὸν αὐτὸν τόνον φυλάττει τῷ ἀρσενικῷ, μέγας μέγ α, λειπόπατρις λειπόπατρι, ἄπολις ἄπολ ι, ὀξύς ὀξ ύ, ταχύς ταχ ύ, ἥμισυς ἥμισ υ, Λίβυς Λίβ υ, οὗτος τοῦτ ο, ἐκεῖνος ἐκεῖνο, αὐτός αὐτ ό.

3,1 349 αἱ γὰρ ἀντωνυμίαι εἰς ο περατοῦνται κατὰ τὸ τρίτον πρόσωπον κατὰ γένος οὐδέτερον. οἱ δὲ Ἀθηναῖοι μετὰ τοῦ ἄρθρου φασὶ τὸ οὐδέτερον τῆς αὐτός ταὐτόν. ἀναλόγως· ἡ γὰρ ἐκεῖνος καὶ ἡ οὗτος ἀντωνυμίαι στεροῦνται ἄρθρου. ἵν' οὖν διαστῇ γένος ἀρσενικὸν καὶ οὐδέτερον, εἰς τὸ ο περατοῦνται κατὰ τὸ οὐδέτερον ἐκεῖνο, τοῦτο, ἵνα τὸ μὲν εἰς ο σημαίνῃ τὸ οὐδέτερον, τὸ δὲ εἰς ν τὸ ἀρσενικὸν ἐκεῖνον, τοῦτον. ἡ δὲ αὐτός ἄρθρον λαμβάνει. οὐκέτι ἄρα ὀφείλει ἔχειν τὸ οὐδέτερον εἰς ο ὁμοίως τῇ χωρὶς ἄρθρου. ἔχει γὰρ διὰ τοῦ ἄρθρου σημαίνειν τὸ γένος. Ἀθηναῖοι τοίνυν τὸ ἄρθρον προσνέμοντες καὶ τὸ ν διδοῦσι «ταὐτὸν θύμον φαγόντες» (Arist. Plut. 253). ταὐτὸ γὰρ ὤφειλεν εἶναι. ὅταν οὖν Ἀττικοὶ λέγουσι ταὐτόν, τὸ ὀφειλόμενον ἀποδιδόασιν, οὐ πλεονάζουσιν. οὐδὲ ἐνθάδε πλεονάζουσι· τοσοῦτον, τηλικοῦτον. οὐ γὰρ ἔγκειται ἡ οὗτος ἀντωνυμία. ἀλλὰ μᾶλλον τὸ τοσοῦτο καὶ τοιοῦτο πέπονθεν ἔνδειαν τοῦ ν . ὡσαύτως καὶ ἄλλος ἄλλο, τοῦτο δὲ ἐπιλαμβάνει τὸ ν ἐν τῷ ἀλλοπρόσαλλον καὶ ἐν τῷ ἔξαλλον καὶ ἄπαλλον. Πᾶν εἰς ον ἐπιθετικὸν οὐδέτερον παρεσχηματισμένον τοῖς εἰς ος λήγουσιν ἀρσενικοῖς τούτων φυλάττει τὸν τόνον, φιλόσοφος φιλόσοφον, ἀχρεῖος ἀχρεῖον Ἀττικῶς καὶ ἄχρειος ἄχρειο ν. Τὰ εἰς ους λήγοντα τῶν ὀνομάτων ἔχοντα οὐδετέρου παρασχηματισμὸν ὁμοτονοῦν ἔχουσι τὸ οὐδέτερον, χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, εὔνους εὔνου ν. Τὰ εἰς ως λήγοντα ἔχοντα οὐδετέρου παρασχηματισμὸν ὁμοτονοῦν ἔχουσι τὸ οὐδέτερον, ἀξιόχρεως ἀξιόχρεων, ἀνάπλεως ἀνάπλεω ν. Τὰ εἰς ας ἔχοντα οὐδετέρου παρασχηματισμὸν ὁμοτονοῦν ἔχουσι τὸ οὐδέτερον, ἅπας ἅπα ν, σύμπας σύμπα ν , τάλας τάλαν, μέλας μέλα ν.

3,1 350 Τὰ ἀπὸ τῶν εἰς εις ὑπὲρ μίαν συλλαβὴν οὐδέτερα εἰς εν λήξαντα ἐν μὲν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον φυλάττουσι, οὐ μὴν δὲ ἀεὶ τὸν αὐτόν, φωνήεις φωνῆεν, αὐδήεις αὐδῆε ν , χαρίεις χαρίε ν. τὸ γὰρ προπαροξύτονον ἐπίρρημά ἐστιν. τυφθείς τυφθέ ν. Τὰ εἰς ες οὐδέτερα τῶν εἰς ης ὀξυτόνων ὁμοτονοῦσιν αὐτοῖς, εὐσεβής εὐσεβές, ἀληθής ἀληθές καὶ ἄληθες παρ' Ἀττικοῖς τὸ ἐπίρρημα, ἑξαετής ἑξαετές, τριετής τριετές, αὐτοετής αὐτοετές, τὸ δὲ αὐτόετες ἐπιρρηματικῶς προπαροξύνεται, ὡσαύτως ἐπιτηδής ἐπιτηδέ ς , ἐπίτηδες δὲ ἐπίρρημα. Τὰ βαρύτονα εἰς ης ἔχοντα δὲ οὐδέτερα εἰς ες ἢ προπερισπώμενα αὐτὰ ἔχει ἢ προπαροξύτονα. Τὰ μὲν οὖν διὰ τοῦ ηρης ἔχει προπερισπώμενα, ὀλιγήρης ὀλιγῆρες, θυμήρης θυμῆρες, τὸ δὲ θυμαρές ἀπὸ τοῦ θυμαρής γέγονε, ξιφήρης ξιφῆρες, πλήρης πλῆρε ς. Τὰ διὰ τοῦ ωδης , εἰ ἔχει οὐδέτερα, προπερισπώμενα αὐτὰ ἔχει, εὐώδης εὐῶδες, γεώδης γεῶδε ς. Ἔτι τὰ διὰ τοῦ ωρης , νεώρης νεῶρες, αὐτώρης αὐτῶρες καὶ τὰ παρὰ τὸ ὄλω συντεθειμένα, ἐξώλης ἐξῶλες, πανώλης πανῶλε ς. τὰ δὲ ἄλλα προπαροξύνονται, ἐξαιρέτως τὰ παρ' οὐδετέρων συντεθέντα βαρύτονα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐμήκης εὔμηκες, κακοήθης κακόηθες, μεγακήτης μεγάκητε ς. καὶ τὰ παρὰ τὸ ηκης , τανυήκης τανύηκε ς. καὶ τὰ παρὰ τὸ αδης καὶ αρκης , αὐθάδης αὔθαδες, αὐτάρκης αὔταρκε ς. τὸ μέντοι ποδάρκης βαρύτονον ἔχει τὸ ποδαρκές οὐδέτερον ὀξυνόμενον, ἡ δὲ κλητικὴ πόδαρκες ὡς αὔταρκες, τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ. Τὰ παρὰ τὸ αντης οὐδέτερα προπαροξύνονται, κατάντης κάταντες, προσάντης πρόσαντες, ἀνάντης ἄναντες καὶ τὰ ὅμοια. Τὰ εἰς ον μετοχῶν οὐδέτερα ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς, ὁ λαβών τὸ λαβόν, ὁ φαγών τὸ φαγό ν. Τῶν εἰς ων βαρυτόνων τὰ οὐδέτερα ὁμοτονοῦσι ταῖς κλητικαῖς τῶν ἀρσενικῶν, ὁ σώφρων ὦ σῶφρον καὶ τὸ σῶφρον, ὁ ἀγνώμων ὦ ἄγνωμον καὶ τὸ ἄγνωμον, ὁ ἀμείνων ὦ ἄμεινον τὸ ἄμεινον, ὁ βελτίων ὦ βέλτιον τὸ βέλτιον, ὁ ἀρείων ὦ ἄρειον τὸ ἄρειο ν.

3,1 351 τοῖς δὲ εἰς ων ὀξυνομένοις ὀνόμασι οὐδέποτε παράκειται οὐδετέρου παρασχηματισμός. Τὰ ἀπὸ τῶν εἰς ην ἀρσενικῶν εἰς εν οὐδέτερα ὁμοτονοῦσιν αὐτοῖς, ἄρσην ἄρσεν, τέρην τέρε ν. * Τὰ εἰς ων μετοχῶν δευτέρας συζυγίας τῶν περισπωμένων οὐδέτερα ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς, ὁ βοῶν τὸ βοῶ ν, ὁ γελῶν τὸ γελῶν, ὁ ὁρῶν τὸ ὁρῶ ν, ὁ ἀγαπῶν τὸ ἀγαπῶν, ὁ μελετῶν τὸ μελετῶ ν. μονογενὲς δὲ οὐδέτερον εἰς ων λῆγον ὄνομα οὐκ ἔστιν εὑρεῖν. * Αἱ εἰς ως μετοχαὶ ἀπὸ περισπωμένων κατὰ πάθος γενόμεναι καὶ φυλάττουσαι τὸ ω ἐπὶ τῆς γενικῆς τοῦ ἀρσενικοῦ ὁμοτονοῦντα ἔχουσι τὰ οὐδέτερα, βεβώς βεβῶτος τὸ βεβώς, γεγώς γεγῶτος τὸ γεγώς, ἑστώς ἑστῶτος τὸ ἑστώς, τεθνώς τεθνῶτος τὸ τεθνώ ς. μονογενὲς δὲ οὐδέτερον εἰς ως οὐκ ἔστιν εὑρεῖν πλὴν τοῦ φῶς καὶ τοῦ ὧς. Τὰ εἰς α λήγοντα οὐδέτερα μονογενῆ βαρύνεται καὶ συστέλλει τὸ α καὶ τὸ μ παραλήγεται καὶ διὰ τοῦ τος θέλει κλίνεσθαι. πρόσκειται μονογενῆ διὰ τὸ μέγ α. τοῦτο γὰρ λήγει εἰς α καὶ πρὸ τοῦ α οὐκ ἔχει τὸ μ διὰ τὸ μὴ εἶναι μονογενές, ἀπὸ γὰρ τοῦ μέγας. τὸ γὰρ Πάσχα βάρβαρον, διὸ ὃ καὶ ἄκλιτον. τὸ φάβα καὶ αὐτὸ βάρβαρον, εἰ καὶ κλίνοιτο. καὶ τὰ τῶν στοιχείων ὀνόματα, ἄλφ α , βῆτ α , γάμμ α , δέλτα —ἔστι καὶ Δέλτα πόλις πρὸς τῇ Συρίᾳ καὶ νῆσος Αἰγύπτου, ὡς Ἔφορος, κατ' Αἰγυπτίους καλουμένη Πυραμίς ἀπὸ τῆς τοῦ σχήματος ὁμοιότητος—βάρβαρα καὶ ἄκλιτά εἰσιν. τὸ δὲ ἄλειφα ἐγένετο ἐκ τοῦ ἄλειφαρ ἢ ἄλειφας ὑποστολῇ τοῦ ρ ἢ τοῦ ς , τὸ δὲ λίπα ἐκ τοῦ λίπας καὶ τὸ ὕφα ἐκ τοῦ ὕφασμα κατὰ ἀποκοπήν.

3,1 352 καὶ τὸ γάλα ἀπὸ τοῦ γάλαξ κατ' ἔνδειαν τοῦ ξ . ἡ γὰρ κλίσις αὐτοῦ ἀπὸ εὐθείας τῆς εἰς ξ καταληγούσης ἐγένετο· γάλακος γὰρ ἡ γενικὴ καὶ κατὰ πλεονασμὸν τοῦ τ γάλακτος ὥσπερ ἄναξ ἄνακος καὶ ἄνακτος. πᾶσα γὰρ γενικὴ διὰ τοῦ κος κλινομένη ἢ διὰ τοῦ κτος τὴν εὐθεῖαν ἔχει εἰς ξ καταλήγουσαν, οἷον Φοῖνιξ Φοίνικος, θώραξ θώρακος, νύξ νυκτός, ἄναξ ἄνακτος· εἰ οὖν γάλακτος, δῆλον ὅτι εἰς ξ γάλαξ. ἄλλως τε δὲ πᾶσα δοτικὴ πληθυντικῶν εἰς ι λήγουσα μετὰ διπλοῦ ἀποβολῇ τοῦ ι τὴν εὐθεῖαν τῶν ἑνικῶν ἀποτελεῖ, οἷον Φοίνιξι Φοῖνιξ, κήρυξι κῆρυξ, Πέλοψι Πέλοψ, Κύκλωψι Κύκλωψ. εἰ οὖν ἐστιν ἡ δοτικὴ τῶν πληθυντικῶν γάλαξι, δῆλον ὅτι ἀποβολῇ τοῦ ι γίνεται ἡ εὐθεῖα τῶν ἑνικῶν γάλαξ· ἀλλ' ἐπειδὴ τὸ ξ οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων, τούτου χάριν ἀπεβλήθη καὶ ἐγένετο γάλα. Ἀμέλει συντιθέμενον τὸ γάλα καὶ γινόμενον εἰς ἀρσενικὸν γένος, ἀναδέχεται τὸ ὀφειλόμενον ξ οἷον ὁ ἀρτιγάλαξ, ὁ νεογάλαξ. καὶ ἐκ τοῦ γάλαξ ὁ γαλαξίας γενέσθαι δοκεῖ. Περὶ δὲ τοῦ κρᾶτα οἷον «ἐς τὸ κείνου κρᾶτα ἐνήλαθ' ἡ τύχη» παρὰ Σοφοκλεῖ (Oed. Tyr. 263) μήποτέ ἐστιν εἰπεῖν ὅτι τοῦτο ἀπὸ ἀρσενικοῦ ἢ θηλυκοῦ γέγονεν. ἀπὸ ἀρσενικοῦ μὲν ἀπὸ τοῦ ὁ κράς τοῦ κρατός τῷ κρατί τὸν κρᾶτα, ἀπὸ θηλυκοῦ δὲ ἀπὸ τοῦ ἡ κράς τῆς κρατός τῇ κρατί τὴν κρᾶτα καὶ τὸ κρᾶτα. τὸ μὲν γὰρ κράς ἀρσενικῶς καὶ θηλυκῶς λέγεται οἷον ὁ κράς καὶ ἡ κράς. Τὰ μὲν οὖν δισύλλαβα εἰς μα λήγοντα οὐδέτερα παροξύνεται ἢ προπερισπᾶται, στόμ α , πλύμ α , ῥύμ α , φύμ α , θύμ α , λύμ α , θέμ α , δέμ α , ἅρμα —ἔστι καὶ πόλις Βοιωτίας τῆς Ταναγρικῆς. Παυσανίας ἐνάτῳ (c. 19, 4). ἐκλήθη δὲ οὕτως ἢ διότι ἐκεῖ κατεάγη τὸ τοῦ Ἀδράστου ἅρμα ἢ ἀπὸ Ἀμφιαράου τοῦ ἅρματος· ἐνταῦθα γὰρ καταφυγεῖν φασι μετὰ τοῦ ἅρματος καὶ οὐκ ἐκδοθῆναι τοῖς διώκουσιν ὑπὸ τῶν κατοικούντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστι καὶ τῆς Ἀττικῆς Ἅρμα ἐν Πάρνηθι περὶ τὴν Φυλὴν καλουμένην. ἔστι καὶ Ἅρματα πόλις πληθυντικῶς Ἰνδικῆς— αἷμ α , βῆμ α , ῥῆμ α , χρῆμ α , σῆμ α, ὅθεν Κυνόσσημα τόπος Λιβύης. Ἑκαταῖος περιηγήσει αὐτῆς. ἔστι καὶ ἄλλο χωρίον. λῦμα καὶ φῦμα καὶ θῦμα παρ' Ἀττικοῖς τὸ υ ἐκτείνουσιν, ζεῦγμα καὶ Ζεῦγμα πόλις Συρίας ἐπὶ τῷ Εὐφράτῃ, ὃν Ἀλέξανδρος ζεύξας ἁλύσεσι διεβίβασε τὰ στρατόπεδα.

3,1 353 ῥῆγμα καὶ Ῥῆγμα πόλις καὶ κόλπος περὶ τὸν Περσικὸν κόλπον. δῆγμ α , δεῖγμ α , λῆμμ α , τύμμ α , οἶμ α, ὅπερ ἐστὶ μονῆρες. οὐδὲν γὰρ εἰς μα λῆγον καθαρὸν δισύλλαβον οὐδέτερον πρὸ τέλους ἔχει τὴν οι δίφθογγον, ἀλλὰ μόνον τὸ οἶμα, τὸ γὰρ οἶδμα οὐ καθαρεῦον. δύναται γὰρ καὶ ἀπὸ συμφώνου ἄρχεσθαί τινα ἢ ἀπὸ συμφώνων, ἵνα μή τις λέγῃ, ὅτι ἄλλο οἶμα ἐπιζητῶ. διὸ ἔθηκα πρὸ τέλους. —τὰ δὲ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ποίημ α , ὄρυγμ α , τέλεσμ α , μελέτημ α , βούλημ α , εὕρημ α. λέγεται καὶ εὕρεμα διὰ τοῦε · καί εἰσι μὲν καὶ ἀμφοτέρων χρήσεις, κρείττων δὲ ἡ διὰ τοῦ η ὡς ἀπὸ περισπωμένου τοῦ εὑρῶ, οὗ τὴν περίσπασιν ἐλέγχει ὁ εὑρήσω μέλλων, περιττεύων τοῦ ἐνεστῶτος μιᾷ συλλαβῇ. ὄνομ α, ὅ ἐστι μονῆρες. οὐδὲν γὰρ εἰς μα λῆγον οὐδέτερον ἁπλοῦν ἐν ταῖς πρὸ τέλους δύο συλλαβαῖς δισσὸν ἔχει τὸ ο , ὡς δῆλον ἐκ τῶν τοιούτων, ποίημ α , νόημ α , δόνημ α , φίλημ α , ἀνάθημ α , φώνημ α , στεφάνωμ α , χρύσωμ α , κώλυμ α , ἔλυμ α , ἔρυμα καὶ ἄλλο μυρίον πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον ποιεῖ τὸν κανόνα. δῆλον ὡς τὸ ὄνομα μονῆρές ἐστι· καὶ γὰρ ἥ τε τρίτη ἀπὸ τέλους τὸ ο ἔχει καὶ ἡ πρὸ τέλους. Αἰολεῖς δὲ ὄνυμα λέγοντες αὐτὸ ἀπολύουσι τοῦ προκειμένου ἐλέγχου. πρόσκειται τῷ κανόνι ἁπλοῦν, ἵνα μή τις ταῦτα σύνθετα ὄντα ὡς ἀντιπίπτοντα παρατάξῃ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα, λέγω δὲ τὸ πρόδομα ἢ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται. τούτων οὖν οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι, διατί ἐν τῷ ὄνομα οἱ Αἰολεῖς τὸ ἐν τῇ παραληγούσῃ ο ἔτρεψαν εἰς τὸ υ οἷον ὄνυμα καὶ μὴ τὸ ἐν τῇ προπαραληγούσῃ οἷον ὕνομα. Ἔστιν οὖν εἰπεῖν τὰς αἰτίας ταύτας· πρῶτον μὲν ὅτι τὸ ἐν τῇ παραληγούσῃ ο γνήσιόν ἐστιν, ἀπὸ γὰρ τοῦ νέμω γέγονε νόμα καὶ κατὰ πλεονασμὸν τοῦ ο ὄνομα, τὸ δὲ ἐν τῇ ἀρχούσῃ ἀπὸ πλεονασμοῦ ἐστιν. ἄτοπον δέ ἐστι τὸ ἀπὸ πλεονασμοῦ τραπῆναι, ἵνα εὑρεθῶσι δύο πάθη, πλεονασμὸς καὶ τροπή. δεύτερον δὲ ὅτι καὶ ὁ χαρακτὴρ ἀπαιτεῖ τὸ ἐν τῇ παραληγούσῃ ο τραπῆναι. πολλὰ γάρ εἰσιν εἰς α οὐδέτερα διὰ τοῦ υμα ἐκφερόμενα οἷον κώλυμα, ἔρυμα, κῦμ α, θῦμα. οὕτως οὖν καὶ ὄνομα. καὶ τούτου χάριν τὸ ἐν τῇ παραληγούσῃ ἐτράπη καὶ οὐ τὸ ἐν τῇ ἀρχούσῃ. Εἰς α μακρὸν ἢ εἰς η ἐπὶ ἑνικῆς εὐθείας ὀνόματος οὐδετέρου οὐκ ἔστιν εὑρεῖν· τὸ γὰρ κάρα ἀπὸ τοῦ κάρανον καὶ τὸ κάρη ἀπὸ τοῦ κάρηνον ἀποκέκοπται. τὸ γὰρ καρή ὀξύτονον θηλυκόν ἐστιν. Τὰ εἰς ι μονογενῆ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, μέλ ι· δίχα δὲ τούτου καὶ τῶν παρ' αὐτοῦ συντεθέντων ἀπόμελ ι , ὀξύμελ ι , εὐκρατόμελ ι , οἰνόμελι καὶ τοῦ μονοσυλλάβου τί οὐδέν ἐστι ὄνομα οὐδέτερον Ἑλληνικὸν ἀπαθές.

3,1 354 τὸ γὰρ κίκι εἶδος ἐλαίου παρ' Αἰγυπτίοις, κόμι τὸ κομίδιον, πέπερ ι , κιννάβαρι, ὅπερ Ἀττικοὶ τιγγάβαρυ, σίνηπ ι , κοῖφ ι , στάχι σύνηθες Αἰγυπτίοις, ὅπερ σημαίνει εἶδος πυρροῦ, στίμμι, ὅπερ γυναῖκες κατὰ τοὺς ὀφθαλμοὺς χρίονται, ὅπερ ἐν τῇ συνηθείᾳ λαχᾶς καλεῖται, κόρι τὸ κορίανον, τάγυρ ι , χνάσμ ι , κάρ ι , σίσελι οὐχ Ἑλληνικά, ξένα δέ. τὸ δὲ τρόφι ἀπὸ τοῦ τρόφιμον γέγονε κατ' ἀποκοπὴν ὡς ἀπὸ τοῦ κρίμνου τὸ κρ ῖ, ὡσαύτως καὶ ἄλφι ἀπὸ τοῦ ἄλφιτον καὶ τὸ ἔρι ἀπὸ τοῦ ἔριον. Τὰ δὲ εἰς ι ἐπιθετικὰ ὁμοτονεῖ τοῖς ἀρσενικοῖς, λειπόπατρις λειπόπατρι, φυγόπολις φυγόπολι, φιλόπατρις φιλόπατρι, εὔχαρις εὔχαρ ι. Τὰ εἰς υ μονογενῆ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, δόρ υ , γόν υ , μέθ υ , δάκρ υ , πῶ ϋ , ἄστυ —ἐκλήθη δὲ ἄστυ, ὡς Φιλόχορος ἐν α' τῆς Ἀτθίδος «διὰ τὸ πρότερον νομάδας καὶ σποράδην ζῶντας τότε συνελθεῖν καὶ στῆναι ἐκ τῆς πλάνης εἰς τὰς κοινὰς οἰκήσεις, ὅθεν οὐ μετανεστήκασιν. Ἀθηναῖοι δὲ πρῶτοι τῶν ἄλλων ἄστη καὶ πόλεις ᾤκησαν». λέγεται ἄστυ καὶ ὁ δῆμος, ὡς Ἐρατοσθένης ἐν Ἠριγόνῃ «ἡ δ' ὅτε δὴ Θορικοῦ καλὸν ἵκανεν ἕδος ....» ὅτι δὲ δῆμος Θορικός δῆλον. ἔστι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κώμη πλησίον Κανώβου παρὰ τὴν Ἀλεξάνδρειαν— νᾶπυ τὸ σίνηπι, κόνδ υ , κάχρ υ , φῖτυ τὸ φίτυμα, μῶλ υ , τρῆν υ , ἄσχυ ἀπόρευμα δένδρου. τὸ δὲ Αἶπυ πόλις Μεσσηνίας «καὶ Θρύον Ἀλφειοῖο πόρον καὶ ἐΰκτιτον Αἶπυ» (Β 592) ἀπὸ τῆς ἐρυμνότητος καλουμένη, ἀμφίβολόν ἐστιν. Ἀρίσταρχος γὰρ ὡς ὀξύ, συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος.

3,1 355 Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τὸ δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. Λ 711) εἴρηκεν «ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη» ὃ νῦν εἴρηκε Αἰπύ καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι μὲν κύριον εἶναι τὸ Αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός· χρὴ μέντοι γινώσκειν ὅτι ἀναλογώτερον ἀνάγνωσις ἦν ἡ βαρεῖα. τὰ γὰρ εἰς υ μονογενῆ βαρύνεται. * Εἰς ων οὐδέτερον μονογενὲς ἢ εἰς ην ἢ εἰς αν ἢ εἰς εν ἢ εἰς ιν ἢ εἰς υν οὐκ ἔστιν εὑρεῖν. τὸ γὰρ ἰθύτρην παρὰ Δημοκρίτῳ βεβίασται. Τὰ εἰς λεον ὀξύνεται, Χαλεόν ἡ πόλις, ἐλεόν ἡ μαγειρικὴ τράπεζα. «βάλλον δ' ειν ἐλεοῖσιν», στελεόν, ὃ καὶ στελειόν λέγεται ποιητικῶς, καὶ στελεός, κολεόν ἢ κουλεό ν . Πτελεόν πόλις Ἰωνίας καὶ Τρῳάδος καὶ τῶν περὶ Θετταλίαν Ἀχαιῶν. καλεῖται δὲ ὅτι πολλὰς ἔχει πτελέας· ἔστι δὲ καὶ Μεσσηνίας, μία τῶν τριῶν, ὧν Ὅμηρος μνημονεύει «καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον» (Β 594). Δικαίαρχος δὲ τέτταρας ταύτας εἶναί φησι καὶ Πτελέας οὐ Πτελεόν κατὰ τὸ πρῶτον τοῦ βίου τῆς Ἑλλάδος βιβλίον. εἰ δὲ μὴ ἔχουσι τὸ λε , προπαροξύνονται, ὄστρεον, ὃ καὶ ὄστρειον λέγεται, ὄρνεο ν , δένδρεο ν , ὤεο ν, ὅπερ ἐν πλεονασμῷ τοῦ ε ἀπὸ τοῦ ὠόν, κάνεο ν. τὸ δὲ ὀστέον παροξύνεται ὡς δισύλλαβον· ἀπὸ γὰρ τοῦ ἵστημι στέον καὶ ὀστέον· οὐκ ἀγνοῶ δὲ ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ «ἀλλ' οὐδὲ λάχανον οὐδὲν οὐδ' ὀστοῦν ἔτι ὁρῶ». τοῦτον τὸν τρόπον καὶ τὸ κάνεον κανοῦν. Τὰ εἰς ον δισύλλαβα παραληγόμενα τῷ ι μόνῳ ἢ τῇ ει διφθόγγῳ βαρύνεται, μνίο ν , ῥίο ν. ἔστι καὶ πόλις Μεσσήνης ἢ Ἀχαΐας καὶ ἄλλη Αἰτωλίας. σίον λαχάνου εἶδος, ἴο ν , δρίον, ὅπερ τινὲς καὶ δρίος γράφουσι, Δῖον πόλις Εὐβοίας περὶ τὸ Κήναιον. Ὅμηρος «Κήρινθόν τ' ἔφαλον Δῖόν τ' αἰπὺ πτολίεθρον» (Β 538). ἔστι καὶ Μακεδονίας, ἔνθα τὸν Ὀλυμπικὸν ἀγῶνα ἐτέλουν· γ' ἔστι πρὸς τῷ Ἄθῳ, ὡς Θουκυδίδης (4, 109), δ' Θεσσαλίας.

3,1 356 ε' Πισιδίας. ϛ' Ἰταλίας. ζ' κοίλης Συρίας, κτίσμα Ἀλεξάνδρου. κρεῖον ἀγγεῖον κρεῶν, εἶο ν, ὃ καὶ ἤϊον ἐν διαλύσει λέγεται, τὸ εἰς τὸ ἰέναι ἐπιτήδειον, νεῖον τῆς νηὸς τὸ πυθμενοειδὲς ξύλον. Τὰ διὰ τοῦ ιον τριβράχεα ὑποκοριστικὰ προπαροξύνεται, κτένιο ν , πτύχιο ν , πόδιο ν , θρόνιον, ὡσαύτως καὶ Θρόνιον πόλις Λοκρῶν· Ὅμηρος «Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα» (Β 533), σχόλιο ν , χόριο ν , ῥάχιο ν , πτέριο ν , ζύγιο ν , σπόδιο ν , φλέβιο ν , τρίχιο ν , πέδιον ὁ δεσμός, τὸ δὲ πεδίον ἐπὶ τῆς γῆς παροξύνεται· εἰ μέντοι ἡ πρώτη τούτων μακρὰ ὑπάρχοι, ὑπεσταλμένων τῶν διὰ τοῦ διον παρηγμένων, παροξύνεται, κλειδίο ν , παιδίο ν , δᾳδίο ν· οὐ γὰρ διὰ τοῦ διον , ἀλλὰ διὰ τοῦ ιον . τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐστίν. ἔτι σφηκίο ν , χαρτίο ν , ὠτίο ν , μηρίο ν , θηρίο ν , κηρίο ν , ξηρίο ν , σφαιρίο ν , φορτίο ν , σταυρίο ν , σχοινίο ν , σπαρτίο ν , τιτθίο ν , στρουθίο ν , σαρκίο ν , βιβλίο ν , χρυσίο ν , καρφίο ν , χωρίο ν , κρουνίο ν , σιτίο ν , ψωμίο ν , νησίο ν. οὕτω καὶ τὸ κλισίον παρὰ τοῖς Ἀττικοῖς τὸ ι ἐκτεῖνον παροξύνεται ὡς τὸ θηρίον, παρὰ δὲ Ὁμήρῳ συστέλλει τὸ ι καὶ προπαροξύνεται οἷον «περὶ δὲ κλίσιον θέε πάντῃ» (Od. ω 208). τὸ δὲ φρούριον προπαροξύνεται οὐ γὰρ ὑποκοριστικόν. ὡσαύτως καὶ τὸ ἴχνιον προπαροξυντέον ὁμοτόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται.

3,1 357 Τὰ διὰ τοῦ διον ἀπὸ παραγωγῆς ἔχοντα τὸ δ προπαροξύνεται, μύδιο ν , βοτρύδιο ν , ἰχθύδιο ν , σικύδιο ν , ὀφρύδιο ν , πιτύδιο ν , ὀσφύδιο ν . Βοιωτίδιον ἐκ Βοιώτιος. Ἀριστοφάνης Ἀχαρνεῦσιν (v. 872) «ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον. κῴδιο ν , βοΐδιο ν , βιβλίδιο ν , ὀΐδιον καὶ ἐν συναιρέσει οἴδιο ν , ζῴδιο ν , στῴδιο ν , καλώδιο ν , φυσείδιο ν , λεξείδιο ν , γήδιο ν ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κλινήδιο ν , πορνήδιο ν. τὸ δὲ παιδίο ν , κλειδίο ν , δᾳδίον τὸ δ οὐκ ἔχει ἐκ παραγωγῆς. τὸ δὲ δορκάδιο ν , ἀσπίδιο ν. Μένανδρος «ἀσπίδιον ἐπριάμην τι καὶ μαχαίριον» καὶ κροκύδιον ὑπερτρισύλλαβα προπαροξύνεται. Τὰ διὰ τοῦ ιον τρισύλλαβα ἔχοντα πρὸ τοῦ ι ρ ἢ λ , μὴ ὄντα ὑποκοριστικὰ μηδὲ ἔχοντα τὸ η ἐν τῇ προπαραληγούσῃ, προπαροξύνεται, ἴκριον τὸ σανίδωμα, ἴτριο ν , ὄσπριο ν , ἔριο ν , μείλιον τὸ δῶρον, τρύβλιο ν , λείριον τὸ ἄνθος, ῥάκτριο ν . ὄβριον τὸ τῶν λεόντων ἢ τῶν λύκων σκυλάκιον. φράτριον τόπος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνάγονται· τὸ δὲ θηρίον ἔχει τὸ η καὶ ὑποκοριστικόν ἐστιν. ἔτι τὸ βιβλίον καὶ σμιλίο ν. * Τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους μακράν, διὰ τοῦ ι ἐκφερομένην, ἤτοι μόνου ἢ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, Ἴλιο ν , ποίμνιο ν , Σίγριο ν , λείριο ν , ἴτριο ν , μείλιο ν. σπάνια δὲ τὰ παροξυνόμενα ὥσπερ τὸ ἰνίο ν.

3,1 358 τὸ γὰρ τειχίον ὑποκοριστικὸν καὶ τὸ κλειδίο ν. * Τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν παροξύνεσθαι θέλει, ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον οἷον ἱστίο ν , κυμβίο ν , ἰσχίο ν , ἑρκίο ν. τὸ μέντοι ὅρκιον προπαροξυνόμενον κτητικοῦ τύπου ἔχεται· ἐπεὶ δὲ ταὐτόσημόν ἐστι τῷ ὅρκῳ, παρωνύμῳ εἴδει ὑποπεπτωκέναι φαμὲν ὡς τὸ Αἰτώλιος, κάπριος, αἰζήϊος· εἶπον ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον, διὰ τὸ ἴκριον καὶ ἴχνιο ν. Τὰ διὰ τοῦ ιον τρισύλλαβα κύρια προπαροξύνονται, Ἴλιον πόλις Τρῳάδος ἀπὸ Ἴλου, ἣν οἱ Τρῶες Ἄτην ἐκάλουν καὶ Ἄτης λόφον. οὐδετέρως παρὰ πᾶσι, παρ' Ὁμήρῳ δὲ θηλυκῶς. τὸ γὰρ «Ἴλιον αἰπύ» (Il. Ο 71) νοθεύει Ἀρίσταρχος. δευτέρα ἐν τῇ Προποντίδι παρὰ Ῥυνδάκῳ ποταμῷ. τρίτη Μακεδονίας Ἑλένου κτίσμα. τετάρτη Θεσσαλίας. πέμπτη Θρᾴκης κατὰ Βιζύην. Δέρριο ν . Ῥήγιον πόλις Ἑλληνίς. Ἴσθμιο ν . Ῥύτιον πόλις Κρήτης (Il. Β 648), ὅπερ Τυραννίων οὐκ εὖ παροξύνει ὡς πεδίον· οὔτε γὰρ ὑποκοριστικόν, οὔτε εἰ ἦν ὑποκοριστικόν, παρωξύνετο, καθότι τρίβραχυ. Θρόνιο ν , Σπήλιο ν . Ὄβριον τὸ ὄρος. Κούριον πόλις Κύπρου ἀπὸ Κουρέως τοῦ Κινύρου παιδός. Ἡρόδοτος πέμπτῃ (c. 113). ἔστι καὶ πόλις Αἰτωλίας. Χώριον ἡ πόλις, ἐπὶ γὰρ ὑποκοριστικοῦ παροξύνεται. Δαύνιον πόλις Ἰταλίας. Λυκόφρων (v. 1254) «ὑπὲρ Λακίου Δαυνίου τ' ᾠκισμένην». Οἴνιο ν . Σέστιον πόλις ἐν μεσογείᾳ Οἰνωτρῶν. Αἴγιον πόλις Ἀχαΐας, ὡς Εὔδοξος ἐν ἕκτῃ. Σούνιον δῆμος Λεοντίδος φυλῆς. Ὅμηρος δὲ ἄκρον καλεῖ «ἀλλ' ὅτε Σούνιον ἄκρον» (Od. γ 278). Δώριον πόλις Μεσσηνίας μία τῶν τριῶν, ὧν Ὅμηρος μνημονεύει «καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον» (Β 594). Πύθιον τὸ πάλαι μεσαίτατον τῆς ἐν Κρήτῃ Γόρτυνος. καὶ Μακεδονίας Πύθιον, ἐν ᾧ καὶ τὰ Πύθια ἐπιτελεῖται. ἔστι καὶ Πύθιον πλησίον τοῦ Ἀστακηνοῦ κόλπου. Ἄκτιον πόλις Ἀκαρνάνων πρώτη ἀπὸ τοῦ Ἀμβρακικοῦ κόλπου ἀρξαμένοις. ὁμωνύμως δὲ λέγεται καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος καὶ ἡ ἄκρα ἡ ποιοῦσα τὸ στόμα τοῦ κόλπου καὶ ἡ πόλις. Ἅγιον τόπος Σκυθίας, ἐν ᾧ Ἀσκληπιὸς ἐτιμᾶτο, ὡς Πολυίστωρ.

3,1 359 Πάριον πόλις ἐν Ἑλλησπόντῳ ἀπὸ Παρίου τοῦ Ἰασίωνος. Ὄριον τόπος Κρήτης. Πάνιον σπήλαιον Παλαιστίνης, ἀφ' οὗ ἐκρεῖ ὁ ποταμὸς Ἰορδάνης. Ὅλκιον πόλις Τυρρηνίας. Πολύβιος ἕκτῳ. Ὅλμιον πόλις Βοιωτίας, ὡς Ἐπαφρόδιτος ἐν τοῖς Ὁμηρικοῖς. Νότιον πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ. Ἄντιον πόλις μετὰ Λωρεντὸν τῆς Ἰταλίας ἡ καὶ Ἄντεια. Βάκτριον πόλις. Μόψιον πόλις τῆς Πελασγιώτιδος χώρας Θεσσαλίας. «ὠνόμασται οὐκ ἀπὸ Μόψου τοῦ Μαντοῦς τῆς Τειρεσίου, ἀλλ' ἀπὸ τοῦ Λαπίθου τοῦ συμπλεύσαντος τοῖς Ἀργοναύταις. ἄλλος δ' ἐστὶ Μόψος, ἀφ' οὗ ἡ Ἀττικὴ Μοψοπία» (Strab. p. 443). Μάσιον ὄρος ὑπὲρ τῆς Νισίβιος. Στράβων ἑνδεκάτῃ (p. 527). Κάστνιον ὄρος ἐν Ἀσπένδῳ τῆς Παμφυλίας. Κρήσιον πόλις Κύπρου. Θεόπομπος Φιλιππικῶν πεντεκαιδεκάτῳ. Καύδιον πόλις Ἰταλίας. Διονύσιος ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας, Κόριον τόπος ἐν Κρήτῃ ἀπὸ κόρης τινός. Κάσιον ὄρος καὶ πόλις Αἰγύπτου πρὸς τῷ Πηλουσίῳ. ἐκλήθη δὲ ἀπὸ τῆς Κυκλάδος νήσου ἢ ἀπὸ Κάσου τοῦ Κλεόχου,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφ’ οὗ καὶ Κασίου Διὸς ἱερόν. Θύριον πόλις Ἀκαρνανίας. Μάριον πόλις Κύπρου ἡ μετονομασθεῖσα Ἀρσινόη ἀπὸ Μαριέως. Δήλιον πολίχνιον Βοιωτίας ἐν τῇ Τανάγρᾳ καὶ ἱερὸν Ἀπόλλωνος. Δαύνιον πόλις Ἰταλίας. Δάλμιον πόλις Δαλματίας. Γράμμιον πόλις ἐν Κρήτῃ. Γόλγιον πόλις Κύπρου, ἣ καὶ Γολγο ί . Ἤπιον πόλις Τριφυλίας. Βρύλλιον πόλις ἐν τῇ Προποντίδι, Ἔφορος δὲ ἐν τῷ ε′ Κίον αὐτήν φησιν εἶναι. Βρύγιον πόλις Μακεδονίας. Βαίτιον πόλις Μακεδονίας. Θεόπομπος εἰκοστῇ τετάρτῃ. Βούτριον τῆς Ἰταλίας πόλις. Βέργιον πόλις Θρᾴκης, ἣ καὶ Βέργη. Πλούτιον πόλις Τυρρηνῶν. Δώτιον πεδίον Θεσσαλίας, ὅπου μετῴκησαν οἱ Κνίδιοι, ὧν ἡ χώρα ἡ Κνιδία. Καλλίμαχος ἐν τοῖς ὕμνοις (in Cerer. 24) «οὔπω τὰν Κνιδίαν, ἔτι Δώτιον ἱρὸν ἔναιον». ἐκλήθη δὲ ἀπὸ Δωτίας τῆς Ἐλάτου. Φερεκύδης δὲ ἀπὸ Δώτιος τοῦ Ἀστερίου καὶ Ἀμφικτυόνης τῆς Φθίου. ὡς δὲ Ἀρχῖνος ἀπὸ Δώτου τοῦ Νεώνου τοῦ Ἕλληνος. Μνασέας δὲ ἀπὸ Δώτου τοῦ Πελασγοῦ. Πήλιον πόλις Θετταλίας. λέγεται καὶ Πηλία. καλεῖται δὲ καὶ Πηλεῖς πληθυντικῶς ἀπὸ τοῦ Πηλεύς ἑνικοῦ. τὸ δὲ ὄρος Πήλιον. Πόλιον ἐν Λέσβῳ τόπος. Πρόσχιον χώρα Αἰτωλίας. Πτέριον πόλις Μήδων. λέγεται καὶ θηλυκῶς ἡ Πτερία. Σάμνιον πόλις Πρετανίας. Σίγριον Λέσβου λιμήν. Σίρμιον πόλις Παιόνων. Σκίριον τόπος Ἀττικός. λέγεται καὶ Σκῖρον καὶ ὁ Σκῖρος. Σόλλιον Κορίνθου πολίχνιον. Θουκυδίδης δευτέρᾳ (c. 30). Σκύλλιον ὄρος Κρήτης. Σμίνθιον τόπος. Στράβων τρισκαιδεκάτῃ (p. 605). Σούτριον πόλις ἡ πρότερον Τυρρηνῶν, ὕστερον δὲ Ῥωμαίων. Στράτιον πόλις Ἀκαρνανίας. Θούριον πόλις Ἰταλίας πρότερον Σύβαρις ὀνομασθεῖσα ἡ καὶ Θούριοι, ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἧδε θανόντα, Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν, Δωρίδος ἐκ πάτρης βλαστόν τ’ ἄπο· τῶν γὰρ ἄτλητον μῶμον ὑπεκπροφυγὼν Θούριον ἔσχε πάτρην.

3,1 360 Τείρια πόλις Λευκοσύρων. Ἑκαταῖος Ἀσίᾳ. Τέμβριον πόλις Φρυγίας. Χάραξ δὲ Τύμβριον αὐτήν φησι. Ἀλέξανδρος δὲ Τεμβρίειόν φησιν ὡς Γορδίειον. Τίνδιον πόλις Λιβύης. Τράλλιον πόλις Βιθυνίας, ἣ καθήκει πρὸς τὸν Ἀστακηνὸν κόλπον. Ὕπια ὄρη ὑπὸ τὴν Ποντικὴν Ἡράκλειαν, ὡς Νύμφις ἐν πρώτῳ περὶ Ἡρακλείας. Φάκιον πόλισμα Θεσσαλίας. Θουκυδίδης δ′ (c. 78). Φοίτιον πόλις Ἀκαρνανίας. λέγεται καὶ Φοιτίαι. Φρίκιον ὄρος ὑπὲρ Θερμοπυλῶν Λοκρικόν, ἀφ’ οὗ Φρικᾶνες καὶ Φρικανεῖς οἱ αὐτόθι οἰκήσαντες Αἰολεῖς, ὡς Ἑλλάνικος ἐν ἱερειῶν Ἥρας β′. ἐκλήθη δὲ ἀπὸ Φρικίου τοῦ Κενταύρου, ὃν ἀπέκτεινεν Ἡρακλῆς. καλεῖται καὶ Φρίκειον, ὃ καὶ Δρίος ὠνομάζετο. Φρύγια τόπος μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς. Χήσιον πολίχνιον Ἰωνίας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν πρώτῳ. Ψίλιον ποταμὸς μεταξὺ Θυνίας καὶ Βιθυνίας. Δομίτιος Καλλίστρατος ἐν τρίτῳ περὶ Ἡρακλείας «ἐγκυριεύσαντος ἀπὸ τοῦ Σαγγάρου χωρίου ἐντὸς τοῦ Ψιλίου ποταμοῦ». Ψύχιον τόπος Κρήτης, ἐν ᾗ πόλις ἦν ὁμώνυμος. Πόρθμιον καὶ Πορθμία κώμη ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος λίμνης. Μέντιον τὸ ὄρος. Τὰ διὰ τοῦ νιον ἔχοντα πρὸ τοῦ ν σύμφωνον προπαροξύνεται χωρὶς εἰ μὴ ἔχοι ἡ πρώτη τὸ α μὴ μεθ’ ἑτέρου φωνήεντος μηδὲ μετὰ συμφώνων κατὰ σύλληψιν, ἄνευ τῶν ὑποκοριστικῶν, ποίμνιο ν , δέμνιο ν , παίγνιον, τὸ γὰρ α οὐκ ἔστι μόνον, σάννιον τὸ αἰδοῖον· τὰ γὰρ σύμφωνά ἐστι κατὰ διάστασιν. φέρνιον ἡ σπυρὶς τῶν ἰχθύων, ἴχνιο ν , κέρνιο ν. τὸ δὲ ἀμνίον παροξύνεται καὶ τὸ σκυμνίο ν. Τὰ διὰ τοῦ ιον τρισύλλαβα ἔχοντα δίφθογγον ἐν τῇ ἀρχούσῃ προπαροξύνεται, μὴ ὄντα ὑποκοριστικά, φρούριο ν , παίγνιο ν , ποίμνιο ν , Σούνιο ν , Αἴγιο ν , αὔλιον ἡ ἐν τοῖς ἀγροῖς οἴκησις, πλαίσιον ἡ τετραγωνοειδὴς τῶν στρατιωτῶν σύνταξις. γέγονε δὲ παρὰ τὸ πέλας πελάσιος καὶ συγκοπῇ πλάσιος καὶ πλεονασμῷ τοῦ ι πλαίσιος. τὸ δὲ σχοινίο ν , κρουνίον ὑποκοριστικά. * Τὰ διὰ τοῦ νιον τρισύλλαβα ἔχοντα η ἐν τῇ ἀρχούσῃ παροξύνεται, ἠνίο ν , σπληνίο ν. τὸ δὲ ὤνιον προπαροξύνεται. Τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, ὧν οὐδέτερον ἢ τὸ ἓν οὐκ ἔστιν ἀμετάβολον, παροξύνεται, ἰσχίο ν , ἱστίο ν , ὀγκίο ν , κυμβίο ν , ἀντίον τὸ τοῦ ἱστοῦ.

3,1 361

τὸ σίλφιον καὶ ὅρκιον προπαροξύνεται. Τὰ διὰ τοῦ ηϊον Ἰωνικὰ προπαροξύνεται, λήϊο ν , νήϊο ν· ἔστι καὶ Νήϊον ὄρος Ἰθάκης, ἀφ' οὗ κατὰ Κράτητα αἱ νηϊάδες, οἱ δὲ τὰς διατριβούσας περὶ τὰ νάματα. αἱ δὲ νηϊάδες ἀπὸ τοῦ νήϊος ἢ ἀπὸ τοῦ νηΐς. τὸ δὲ Ὑπονήϊον σύνθετον ὡς τὸ Ἐπικνημίδιοι. Λυκήϊο ν , Μιδήϊον πόλις Φρυγίας, ἣ Μιδάϊον καὶ Μιδάειον λέγεται. Ταρσήϊον πόλις πρὸς ταῖς Ἡρακλείαις στήλαις. Πολύβιος τρίτῳ (c. 24). ποσιδήϊον «ποσιδήϊον, ἀγλαὸν ὕδωρ» (B 506), ἐκ τοῦ ποσίδειον παρὰ τὸ Ποσιδέης ὡς Ἡράκλειον παρὰ τὸ Ἡρακλέης. σημήϊο ν , μνημήϊο ν , βασιλήϊο ν , παρήϊον «τῆς τήκετο καλὰ παρήϊα» (Od. τ 208). λαισήϊο ν. λέγονται δὲ πάντα τὰ κατὰ μάχην σκεπαστήρια λαισήϊα διὰ τὸ ἐν τῇ λαιᾷ φέρεσθαι. * Τὰ διὰ τοῦ ωϊον προπαροξύνεται. Ἀλώϊον πόλις Θεσσαλίας ἐπὶ τῶν Τέμπεων, ἣν ἔκτισαν οἱ Ἀλωάδαι καθελόντες τοὺς Θρᾷκας. ὡς εἶναι αὐτὴν ἀπὸ Ἀλωέος. Ὁμολώϊον τεμενικὸν κατὰ πλεονασμὸν τοῦ ω ἐκ τοῦ Ὁμόλιον. Πᾶν εἰς ιον ὑπὲρ τρεῖς συλλαβὰς μονογενὲς κύριον ἢ προσηγορικὸν ἢ ὑποκοριστικὸν προπαροξύνεται, Περγάντιον πόλις Λιγύων, Αἰάντιο ν , Βυζάντιο ν , ἀρτοπώλιο ν , πλοιάριο ν , παρθένιο ν , Διωνύσιο ν , οἰνοπώλιο ν , κωδώνιο ν , αὐχένιο ν , διαβούλιο ν. * Τὰ εἰς ιον ὑπὲρ τρεῖς συλλαβὰς β , γ , δ , ζ , θ παραληγόμενα προπαροξύνεται, ἱπποφόρβιο ν , συφόρβιο ν , Κανήβιον πόλις Καρίας ἡ ὕστερον Κύον, Λανούβιον πόλις περὶ τὴν Ῥώμην. κυνήγιο ν , ὀρροπύγιο ν , Σηράγγιο ν , φαλάγγιο ν . Ἀμύργιον πεδίον Σακῶν. Ἑλλάνικος Σκυθικοῖς. Ἁρπάγια τόπος περὶ Κύζικον, ὅθεν ἡρπάσθαι φασὶ Γανυμήδην. Στυλλάγιον πόλις Τριφυλίας. Σεσίνδιον πόλις Ἰνδική. Σιλίνδιον πόλισμα περὶ τὴν Ἴδην, ὡς Δημήτριος ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου.

3,1 362 τραπέζιο ν . Ὑρνήθιον χωρίον ἐν Ἐπιδαύρῳ ἀπὸ Ὑρνηθοῦς τῆς Τημένου θυγατρός. Παυσανίας δευτέρῳ περιηγήσεως (c. 28, 30). * Ἔτι τὰ εἰς ιον ὑπερτρισύλλαβα κ παραληγόμενα προπαροξύνεται, περδίκιον καὶ Περδίκια χώρα καὶ λιμὴν Λυκίας. πινάκιο ν , πιττάκιο ν , θρινάκιο ν , δελφάκιο ν , σκυλάκιο ν , Ναρύκιον πόλις Λοκρίδος, ἣ καὶ Νᾶρυξ λέγεται. Βρυσάκιον πόλις τῆς Παρθίνης. Στυράκιον ὄρος Κρήτης. Φαρνάκιον πόλις Φρυγίας, ὡς Ἀλέξανδρος περὶ Φρυγίας τρίτῳ. * Τὰ διὰ τοῦ λιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Ὁμόλιον πόλις Μακεδονίας καὶ Μαγνησίας. Στράβων ἑβδόμῃ (p. 443). πηδάλιο ν , κειμήλιο ν , κανθήλιον τὸ ἐπὶ τῇ πρύμνῃ ἐπικαμπὲς ξύλον. ἑδώλιον τὸ βάθρον τῆς νεώς, ἐφ' ὃ καθέζονται οἱ ἐρέσσοντες. τραγάλιο ν , οἰνοπώλιο ν , ἀρτοπώλιο ν . Βαργύλια πόλις Καρίας, ἣν Ἄνδανον οἱ Κᾶρές φασιν, Ἀχιλλέως κτίσμα λέγοντες. ὠνομάσθη δὲ ἀπὸ Βαργύλου, ὃς πληγεὶς ὑπὸ Πηγάσου τελευτᾷ, Βελλεροφόντης δ' ἀνιαθεὶς ἐπὶ τῷ ἑταίρῳ ἔκτισε Βαργύλια. Ἰδάλιον πόλις Κύπρου. Ὀμφάλιον τόπος Κρήτης πλησίον Θενῶν καὶ Κνωσσοῦ. ἔστι καὶ Θετταλίας. Ἐπιτάλιον πόλις τῆς Τριφυλίας. Πολύβιος τετάρτη. Ἀμφιμάλιον πόλις Κρήτης ἀπὸ Ἀμφιμάλου. λέγεται καὶ Ἀμφίμαλα. Σανδάλιον Πισιδίας χωρίον. Ταυροπόλιον ἐν Ἰκαρίᾳ νήσῳ παρακειμένῃ τῇ Σάμῳ Ἀρτέμιδος ἱερόν. Στράβων ιδ' (p. 639). Διοβούλιον πολίχνιον πλησίον τοῦ Πόντου. Δασκύλιον πόλις Καρίας ἐπὶ τοῖς ὅροις τῆς Ἐφεσίας ἀπὸ Δασκύλου τοῦ υἱοῦ Περιαύδου. ἔστι καὶ ἑτέρα πόλις μετὰ τὰ Τρωϊκὰ κτισθεῖσα. τρίτη τῆς Ἰωνίας τὸ μέγα λεγόμενον ὡς μεῖζον τῶν ἄλλων. τετάρτη περὶ Βιθυνίαν. πέμπτη τῆς Αἰολίδος καὶ Φρυγίας. * Ὡσαύτως καὶ τὰ εἰς υλλιον ὑποκοριστικά, παιδαρύλλιο ν , κρεύλλιο ν , μειρακύλλιο ν. * Τὰ διὰ τοῦ μιον προπαροξύνεται, Μενεδήμιον πόλις Λυκίας. Ἀφόρμιον τόπος Θεσπιέων. Ἀφροδίσιος ἤτοι Εὐφήμιος ἐν τῷ περὶ τῆς πατρίδος. ὅθεν καὶ τὸν κυβερνήσαντα τὴν ναῦν τὴν Ἀργὼ Τῖφυν. «καὶ λόγος παρ' ἡμῖν τῆς νεὼς ἀφορμησάσης ἐντεῦθεν μετὰ τῶν ἀριστέων, ἀφ' οὗπερ ἀπέπλευσεν ἡ ναῦς».

3,1 363 Τορτόμιον πόλις μεταξὺ Συρίας καὶ Ἀρμενίας. Ὑάμιον πόλις Τρωϊκή. * Τὰ διὰ τοῦ νιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Μαλάνιον πόλις μία μεσογείας τῶν Οἰνωτρῶν τῶν ὑπὸ Ἑκαταίου καταλεχθεισῶν ἐν Εὐρώπῃ. ὀπτάνιον παρ' Ἀττικοῖς, γράφεται δὲ καὶ ὀπτανεῖον. βοτάνιο ν , λεκάνιο ν . Ἀρβάνιον πόλις πρὸς τῷ Πόντῳ. Βρυάνιον πόλις Θεσπρωτίας. Ἀζάνιο ν·

οὕτω τινὲς Αἰζανούς, πόλιν Φρυγίας, φασίν, ἣν Στράβων δωδεκάτῃ (p. 576) Ἀζανούς λέγει «τῆς δ’ Ἐπικτήτου Φρυγίας Ἀζανοί τέ εἰσι καὶ Νακόλεια». Μεδιολάνιον πόλις Ἀκυτανίας. Ὑρκάνιον πεδίον τῆς Λυδίας, ὡς Ἐρατοσθένης ἐν πέμπτῳ Γαλατικῶν. ἑλένιο ν , Ὁρμένιο ν , Παρθένιον πόλις Εὐβοίας. ἔστι δὲ καὶ Θρᾴκης. ἔστι δὲ καὶ ὄνομα ὄρους. αὐχένιο ν. τοῦτο δὲ διφορεῖται κατὰ τὴν παραλήγουσαν, ὡς καὶ διὰ τῆς ει διφθόγγου γράφεται. Ἀχαιμένιον ἡ Περσικὴ μοῖρα ἀπὸ Ἀχαιμένους υἱοῦ Αἰγέως, ἣ καὶ Ἀχαιμενία. Ποιμένιον ὄρος ἐν Μακεδονίᾳ. Ταυρομένιον πόλις Σικελίας. Τημένιον χωρίον Μεσσήνης, ἐν ᾧ τέθαπται Τήμενος. Ἀλαλκομένιον πόλις Βοιωτίας ἀπὸ τοῦ Ἀλαλκομενέως, ὃς καὶ ἵδρυσε τὴν Ἀθηνᾶν Ἀλαλκομενηΐδα. λέγεται καὶ Ἀλαλκομεναί. Ἀπέννιον ὄρος διὰ μέσης Ἰταλίας τεταμένον. Ἐλευσίν Ἐλευσίνιο ν. σκηνή προσκήνιο ν , περισκήνιον, σελήνη σεληνιο ν. θίς θινός θίνιον καὶ ἀκροθίνιο ν . Δελφίνιον φρούριον Χίων, ὡς Θουκυδίδης ὀγδόῃ (c. 38). Κυτίνιον μία πόλις τῶν τριῶν τῶν Δωρικῶν. Αἰγίνιον πόλις Ἰλλυριῶν, ὡς Στράβων (7 p. 327). Λαβίνιον πόλις Ἰταλίας, Αἰνείου κτίσμα. Ἰόβας ἐν πρώτῳ. ἀπὸ τῆς τοῦ βασιλέως θυγατρὸς Λαβινίας. Λακίνιον ὄρος Κρότωνος. Λυκόφρων «καὶ Λακινίους μυχούς» (v. 856). δαιμόνιο ν , χελιδόνιο ν , ὀθόνιο ν , ἀκόνιο ν , εἰκόνιο ν . Ἰκόνιον πόλις Λυκαονίας πρὸς τοῖς ὅροις τοῦ Ταύρου· φασὶ δ’ ὅτι ἦν τις Ναννακός, ὃς ἔζησεν ὑπὲρ τὰ τριακόσια ἔτη. τοὺς δὲ πέριξ μαντεύσασθαι, ἕως τίνος βιώσεσθαι. ἐδόθη δὲ χρησμός, ὅτι τούτου τελευτήσαντος πάντες διαφθαρήσονται. οἱ δὲ Φρύγες ἀκούσαντες ἐθρήνουν σφοδρῶς. ὅθεν καὶ παροιμία «τὸ ἐπὶ Ναν"νακοῦ κλαύσειν» ἐπὶ τῶν λίαν οἰκτιζομένων. γενομένου δὲ κατακλυσμοῦ ἐπὶ Δευκαλίωνος πάντες διεφθάρησαν. ἀναξηρανθείσης δὲ τῆς γῆς ὁ Ζεὺς ἐκέλευσε τῷ Προμηθεῖ καὶ τῇ Ἀθηνᾷ εἴδωλα ἀναπλάσαι ἐκ τοῦ πηλοῦ καὶ προσκαλεσάμενος τοὺς ἀνέμους ἐμφυσῆσαι πᾶσιν ἐκέλευσε καὶ ζῶντα ἀποτελέσαι.

3,1 364 διὰ οὖν τὰς εἰκόνας ἐκεῖ διαγραφῆναι Ἰκόνιον κληθῆναι. καὶ ἔδει διὰ διφθόγγου. Πελεθρόνιον ὄρος Θετταλίας. Παραιτόνιον πόλις πλησίον Ἀλεξανδρείας, ἣν Ἀμμωνίαν καλοῦσι. Λινδόνιον πόλις τῆς Βρεττανίας. Φλυγόνιον πόλις Φωκίδος. λέγεται καὶ θηλυκῶς Φλυγονία. Ἀργύννιο ν. Ἀριστοφάνης δὲ Ἀργύννειον διὰ διφθόγγου. Βιθύνιον πόλις Βιθυνίας. Παυσανίας ὀγδόῳ (9, 7). Ἑρκύνιον ὄρος Ἰταλίας, ἀφ’ οὗ Ἑρκυνίς ἡ χώρα καὶ Ἑρκύνιος τὸ κτητικόν. Ἀλέξανδρος Εὐρώπῃ. Ἀρδύνιον πόλις ἐν Θήβης πεδίῳ, ὡς Ξάνθος ἐν Λυδιακῶν δευτέρῳ. παιώνιο ν , κωδώνιο ν , χελώνιο ν , ὀψώνιο ν , χιτώνιο ν , τριβώνιο ν , πωγώνιο ν , Πλατώνιο ν , Ἱππώνιον πόλις Βρεττίων, ἀπὸ ἥρωος. Ἀσκαλώνιο ν. καὶ οὕτως λέγεται ἡ πόλις Ἀσκάλων. Πανιώνιον τέμενος καὶ πόλις ἐν τῇ παραλίᾳ τῶν Ἐφεσίων καὶ Σαμίων. Μεταγώνιον πόλις Λιβύης. Ἑκαταῖος Ἀσίᾳ. θηλυκῶς δὲ ταύτην φασί. Θεμισώνιον χωρίον Φρυγίας. Ἀρτεμίδωρος. Λαμπώνιον πόλις Τρῳάδος. Ἑλλάνικος, Ἑκαταῖος δὲ Ἀσίᾳ Λαμπώνειαν αὐτήν φησι. Θηγώνιον πόλις Θεσσαλίας. Ἑλλάνικος πρώτῃ Δευκαλιωνείας. Κυτώνιον πόλις μεταξὺ Μυσίας καὶ Λυδίας. Θεόπομπος Ἑλληνικῶν ὀγδόῳ. Πολεμώνιον ἐν Πόντῳ λιμὴν καὶ πόλις. Ποπλώνιον πόλις Τυρρηνῶν. Σκιρτώνιον πόλις Ἀρκαδίας, ὡς Παυσανίας ὀγδόῳ (27, 4). Ταρχώνιον πόλις Τυρρηνίας, ἀπὸ Τηλέφου παιδὸς Τάρχωνος. Τιθρώνιον Φωκικὴ πόλις. Τιμώνιον πόλις Παφλαγονίας. Τριχώνιον πόλις Αἰτωλίας. Γερούνιον πόλις Ἰταλίας. Ἐλύμνιον νῆσος Εὐβοίας πόλιν ἔχουσα. λέγεται καὶ Ἐλυμνία. * Τὰ εἰς ιον ξ ἢ π παραληγόμενα οὐδέτερα ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Ἀμφάξιον πόλις. δύο μέρη λόγου. Ὑπερδέξιον χωρίον Λέσβου, ἐν ᾧ Ζεὺς Ὑπερδέξιος καὶ Ὑπερδεξία Ἀθηνᾶ. ἐρείπιο ν. καὶ λέγει ὁ Δίδυμος, ὅτι τὸ ἐρίπω καὶ ἐρίπια διὰ τοῦ ι ὤφειλε γράφεσθαι, ἐπειδὴ παρὰ τὸ ἐρίπνη ἐστίν, ὅπερ σημαίνει τὴν μεγάλως περιπνεομένην. τὸ δὲ ἐρίπνη διὰ τοῦ ι παρὰ τὴν ἐρί ἐπίτασιν. ὁ δὲ Φιλόξενος λέγει, ὅτι ἐρίπω διὰ τοῦ ι ὤφειλεν, ὡς καὶ Δίδυμος. εἰπὼν δὲ «ὤφειλεν» ἐδήλωσεν οὐ διὰ τοῦ ι γράφεσθαι, ἀλλὰ διὰ τῆς ει διφθόγγου. οὕτως γὰρ ἔχει ἡ παράδοσις. ἔστι δὲ καὶ ἀπὸ τοῦ ἔρα ἡ γῆ ἐρέπτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πλεονασμῷ τοῦ ι καὶ ἀποβολῇ τοῦ τ ἐρείπω καὶ ἐρείπια. ἐνώπιον τὸ ἔνδον τῶν θυρῶν, προνώπιον τὸ ἔμπροσθεν τῶν θυρῶν ἔνθα αἱ εἰκόνες τίθενται, ἀνθρώπιο ν , παρώπιον τὸ ἐπιτιθέμενον τοῖς ἵπποις δέρμα ἀνὰ τὰς ὄψεις.

3,1 365 εἰσώπιο ν , Μεσσάπιον ὄρος Εὐβοίας ἀπὸ Μεσσάπου τοῦ μετοικήσαντος εἰς Ἰταλίαν. Μελανίππιον πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ, τινὲς δὲ Λυκίας φασί. Ἐλλόπιον πόλις Αἰτωλίας. Πολύβιος ια'. Τριόπιον πόλις Καρίας ἀπὸ Τριόπου τοῦ πατρὸς Ἐρυσίχθονος. λέγεται καὶ Τριοπία. Αἰθόπιον χωρίον Λυδίας παρὰ Ὕλλῳ ἢ πλησίον τοῦ Εὐρίπου, ἀφ' οὗ ἡ Ἄρτεμις Αἰθοπία. οἱ δὲ ὅτι παρὰ τοῖς Αἰθίοψι διάγουσαν Ἀπόλλων ἤγαγεν αὐτήν, οἱ δὲ τὴν αὐτὴν τῇ σελήνῃ παρὰ τὸ αἴθειν ὡς Καλλίμαχος, οἱ δὲ ὅτι ἡ αὐτή ἐστι τῇ Ἑκάτῃ, ἥτις ἀεὶ δᾷδας ἔχει, ὡς Ἐρατοσθένης. Κωνώπιον πόλις τῆς Μαιώτιδος λίμνης. * Τὰ διὰ τοῦ ριον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, ὀψάριο ν , οἰνάριο ν , ἱππάριο ν , φυτάριον καὶ σουδάριο ν , κελλάριον ἀπὸ τῆς τῶν Ῥωμαίων διαλέκτου ἐκτεταμένου τοῦ α . Ὁμάριον πόλις Ἰταλίας. Θεόπομπος Φιλιππικῶν κα'. Μαρμάριον πόλις Εὐβοίας. — περιστέριο ν , διφθέριο ν . Κυτέριον πόλις Οἰνωτρῶν ἐν τῇ μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ. Κιέριο ν· οὕτως Ἄρνη πόλις Θεσσαλίας καλεῖται. Κρασέριον Σικελίας φρούριον. Φίλιστος ὀγδόῳ. Ἀμέριον πόλις Ἰταλίας. Ἐλευθέριον πολίχνιον Μυσίας. ἀστέριον καὶ Ἀστέριον πόλις Θετταλίας. Ὅμηρος «οἵ τ' ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα» (B 735). οὕτω δὲ καλεῖται διὰ τὸ λαμπρόν, ὅτι ἐφ' ὑψηλοῦ ὄρους κειμένη τοῖς πόρρωθεν ὡς ἀστὴρ φαίνεται. ἢ ἀπὸ Ἀστερίου τινὸς ἥρωος. Ἀτέριον πόλις Σικελίας. Τολέριον πόλις Ἰταλίας. Φαλέριον πόλις Τυρρηνίας. Χειμέριον ἄκρα Θεσπρωτίας. θυτήριο ν , μοναστήριο ν , ἱλαστήριο ν . Σφακτήρια μεθόριον Ἠλείων τῆς πρὸς Μεσσήνην χώρας. κέκληται δ' οὕτως, ὥς φησιν Ἐχεφυλλίδης, διὰ τὸ ἐν αὐτῷ σφαγιασαμένους τοὺς Ἡρακλείδας πρὸς Ὄξυλον ποιήσασθαι συνθήκας περὶ φιλίας καὶ ὁμονοίας. Καβείριον πόλις τῆς κάτω Ἀσίας ἡ καὶ Καβειρία καὶ Κάβειρος. ὀσχοφόριο ν , προσφόριο ν , θεσμοφόριο ν , ὠμοφόριο ν , ἐμπόριο ν. ἔστι δὲ καὶ Ἐμπόριον πόλις Κελτική, κτίσμα Μασσαλιωτῶν. δευτέρα Μακεδονίας. τρίτη Σικελίας. τετάρτη Καμπανίας. παλινδόριον τὸ εἰργασμένον δέρμα, κιχόριον εἶδος βοτάνης. Ἀνακτόριον Ἀκαρνανίας πόλις, Κορινθίων ἄποικος. Θουκυδίδης τετάρτῃ (c. 49). ἀρσενικῶς παρὰ Σοφοκλεῖ. Χαλκητόριον πόλις Κρήτης. Νικηφόριο ν. οὕτως ἡ Κωνσταντῖνα ἡ περὶ Ἔδεσσαν πόλις. Βοσπόριον τοῦ Βυζαντίου λιμήν, ὃς καὶ Βόσπορος λέγεται. Ἀμόριον πόλις τῆς μεγάλης Φρυγίας. Στράβων δωδεκάτῃ (p. 576). Φιληνόριον πόλις ἐν Ἀρναίᾳ χώρᾳ τῆς Βοιωτίας ἀπὸ Φιλήνορος τοῦ Αἰτωλοῦ.

3,1 366 Ἀλαβούριον πόλις Συρίας. Χάραξ ὀγδόῃ χρονικῶν. Ἀγκύριον πόλις Ἰταλίας. Ὀνθύριον πόλις Θεσσαλικὴ περὶ τὴν Ἄρνην. Μανδύριον πόλις Ἰαπυγίας. Ἀταβύριον ὄρος Σικελίας, ὡς Τίμαιος. κέκληται δὲ τὰ ὄρη ἀπό τινος Τελχῖνος Ἀταβυρίου. ἔστι καὶ Περσικὴ πόλις· ἔστι καὶ Φοινίκης. Ζεφύριο ν. ἡ Ἁλικαρνασσὸς τῆς Καρίας οὕτως ἐκαλεῖτο, ὡς Φίλων, καὶ πόλις Κιλικίας. ἔστι καὶ Σκυθίας χωρίον. ἔστι καὶ Ἰταλίας Ζεφύριον, ἀφ' οὗ Λοκροὶ Ἐπιζεφύριοι. ἔστι καὶ ἄκρα τῆς Αἰγύπτου, ἀφ' ἧς ἡ Ἀφροδίτη καὶ Ἀρσινόη Ζεφυρῖτις, ὡς Καλλίμαχος. Πλημμύριον φρούριον Συρακουσῶν. Σατύριον χωρίον πλησίον Τάραντος. νεώριο ν . Μακτώριον πόλις Σικελίας. Φίλιστος πρώτῳ. κασώριον τὸ πορνεῖον. Ἀριστοφάνης «ἐν κασωρίοισι λείχων» (Eq. 1285). Ἀσσώριον πόλις Σικελίας. ταύτην τρισυλλάβως Ἄσσωρον καλεῖ Ἀπολλόδωρος ἐν δ' χρονικῶν. Ἰσσώριον ὄρος τῆς Λακωνικῆς, ἀφ' οὗ ἡ Ἄρτεμις Ἰσσωρία. Πολιτώριον πόλις Λατίνων, ἣν ἑλὼν Μάρκιος ὁ βασιλεὺς μετήγαγεν εἰς Ῥώμην. Φαγρώριον πόλις, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν Αἰγυπτιακοῖς, ἐξ οὗ σύνθετον Φαγρωριόπολις. ἀνεμούριο ν , σισύμβριον ἡ βοτάνη. Τενέβριον ἀκρωτήριον Ἰβηρίας. ἀνδράγρι α , ζωάγρι α , μοιχάγρι α . τρωγλύδριο ν , Πριαμιλλύδριο ν , νεανισκύδριο ν . Μεθύδριον πόλις Ἀρκαδίας. καὶ ἑτέρα πόλις Θεσσαλίας, ὡς Φίλων. Τελέθριον ὄρος τῆς ἐν Εὐβοίᾳ Ἐλλοπίας. Στράβων δεκάτῃ (p. 445). Παντομάτριον πόλις

Κρήτης. Δημήτριον τόπος περὶ Θεσσαλίαν περὶ τὸ Κροκωτὸν πεδίον κείμενος παρὰ τὸν Ἄμφρυσον. ἔστι καὶ πόλις Αἰολίδος. * Τὰ διὰ τοῦ σιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Βουπράσιον πόλις καὶ ποταμὸς καὶ χώρα τῆς Ἤλιδος «οἳ δ' ἄρα Βουπράσιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον» (B 615). γυμνάσιο ν , ἱππάσιο ν , κοράσιο ν . Ὀρεσθάσιον πόλις Ἀρκαδικὴ ἀπὸ Ὀρεσθέως τοῦ Λυκάονος. Παυσανίας ὀγδόῳ (27, 3). Κορυφάσιον χωρίον Λακωνικὸν πλησίον Πύλου. Θουκυδίδης τετάρτῃ (c. 3 et 118). Ψευδοκοράσιον αἰγιαλὸς μέγας μεταξὺ Κωρύκου καὶ τῆς Σελευκείας τῆς παρ' Ἰσαύροις. Ἀρτεμίδωρος ἐνάτῳ τῶν γεωγραφουμένων «παραλλάξαντι δὲ ταύτην αἰγιαλὸς ἄλλος ἐκδέχεται σταδίων τριῶν, μηνοειδὴς καὶ ὕφορμος, καλούμενος Ψευδοκοράσιον» Θαυμάσιον ὄρος Ἀρκαδίας, ἐν ᾧ τὸν λίθον ὁ Κρόνος κατέπιεν. κυνηγέσιο ν . Βρεντέσιον πόλις παρὰ τὸν Ἀδρίαν ἀπὸ Βρέντου Ἡρακλέους ἢ ὡς εὐλίμενος οὖσα· ἑνὶ γὰρ στόματι λιμένες πολλοὶ κατακλείονται.

3,1 367 ὡς ἐοικυῖα τοίνυν κεφαλῇ ἐλάφου οὕτως ὠνομάσθη βρέντον γὰρ παρὰ Μεσσαπίοις ἡ τῆς ἐλάφου κεφαλή, ὡς Σέλευκος ἐν δευτέρῳ γλωσσῶν. Εἰλέσιον πόλις Βοιωτίας. Ὅμηρος «καὶ Εἰλέσιον καὶ Ἐρυθράς» (B 499). Μαραθήσιον πόλις Καρίας. ἔστι καὶ πόλις Ἐφεσίων. Ἀκακήσιον πόλις Ἀρκαδίας, ἀπὸ Ἀκάκου παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῃ (3, 2). Ἀλήσιον τῆς Ἤλιδος «πέτρης τ' Ὠλενίης καὶ Ἀλησίου» (Il. Λ 757). ἀπὸ Ἀλησίου τοῦ Σκιλλοῦντος υἱοῦ. γράφεται καὶ Ἀλείσιον. ἔστι καὶ Ἀλήσιον πεδίον τῆς Ἠπείρου, ὡς πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. Μανήσιον πόλις Φρυγίας. Ἀλέξανδρος. ἀπὸ Μανοῦ σφόδρα εὐπόρου κτιστοῦ. Γαλλήσιον πόλις Ἐφέσου. Παρθένιος ἐν ἐπικηδείῳ τῷ εἰς Αὐξίθεμιν. Ἀρτεμίσιον πόλις Οἰνωτρῶν ἐν μεσογείῳ. Ἑκαταῖος Εὐρώπῃ. Φίλιστος δὲ Ἀρτεμίτιον αὐτὴν καλεῖ, ἴσως δωρικῶς. ἔστι καὶ πόλις Εὐβοίας. ζευγίσιο ν. πόσις πόσιον καὶ συμπόσιο ν. βόσις ἡ τροφὴ ἱπποβόσιο ν . Διονύσιο ν , Κανύσιον μεγίστη τῶν Ἰταλιωτίδων πόλεων. Στράβων ἕκτῃ (p. 283). λέγεται καὶ Καινύσιον. Περραίσιον πόλις μία τῶν δώδεκα τῶν παρὰ τοῖς Τυρρηνοῖς ἀρχητίδων καλουμένων. Μερούσιον χωρίον Σικελίας, ὡς Θεόπομπος Φιλιππικῶν τριακοστῷ ἐνάτῳ. τινὲς δὲ ἀπὸ Μερόης τῆς Αἰθιοπίας. Πηλούσιον πόλις Αἰγύπτου, εἰς ἣν ἐκρεῖ τὸ πρῶτον στόμα τοῦ Νείλου. ἔστι καὶ Πηλούσιον λιμὴν Θετταλίας. Δαφνούσιον Αἰγύπτου κώμη. Τιλφούσιον πόλις Βοιωτίας. Στράβων ἐνάτῃ (p. 410). * Τὰ διὰ τοῦ τιον ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, ἁλάτιο ν , ἀκάτιο ν , γονάτιο ν , δωμάτιο ν , κεράτιο ν , Παλάτιο ν . Ῥεάτιον πόλις Ἰταλίας. Φοροβρεντάτιον πόλις Λιβύης. Ἐργέτιον πόλις Σικελίας. Φίλιστος Σικελικῶν δευτέρᾳ. Ἀρρήτιον πόλις Τυρρηνίας. Κορυφήτιον τὸ ὄρος Ἀζανίας. Βαρήτιον χωρίον πρὸς τῷ Ἀδρίᾳ. Θεόπομπος πεντηκοστῷ δευτέρῳ. Σκυλλήτιον πόλις Σικελίας, ὡς Εὔδοξος ἕκτῃ. Παπίτιον πόλις Παφλαγονίας. Ζηνοδότιον πόλις Ὀσροηνῆς πλησίον Νικηφορίου. Ἀρριανὸς Παρθικῶν δευτέρῳ. Ζιποίτιον πόλις Βιθυνίας ἀπὸ Ζιποίτου βασιλέως. Αἰάντιον ἡ πόλις. βαλάντιον τὸ ἀκόντιον. Περγάντιον Λιγύων πόλις. Ἀκαμάντιον πόλις τῆς μεγάλης Φρυγίας, Ἀκάμαντος κτίσμα τοῦ Θησέως, ᾧ συμμαχήσαντι πρὸς τοὺς Σολύμους τὸν τόπον δέδωκεν Ἴσανδρος. Βυζάντιον πόλις διασημοτάτη πρὸς τῇ Προποντίδι πρὸς τῷ μέρει τῆς Εὐρώπης.

3,1 368 ἐκλήθη δ' ἀπὸ Βύζαντος τοῦ Κεροέσσης τῆς Ἰοῦς θυγατρὸς καὶ Ποσειδῶνος. ἢ ὅτι τοῦ στόλου Βύζης ἦν ἡγεμών. ἔστι καὶ Βυζάντιον ἕτερον ἐν τῇ Ἰνδικῇ. Βαβράντιον τόπος περὶ Χίον. Πολύβιος ἑκκαιδεκάτῳ. ἔοικε δ' ὑποκοριστικὸν τοῦ Βάβρας. Παλλάντιον πόλις Ἀρκαδίας ἀπὸ Πάλλαντος, ἑνὸς τῶν Λυκάονος παιδῶν ὡς Ἡσίοδος. τινὲς δὲ Παλλαντιάδα καλοῦσιν. Παρέντιον πόλις καὶ λιμὴν πλησίον Ἰστρίας. Μοργέντιον πόλις Ἰταλίας ἀπὸ Μοργήτων. λέγεται καὶ Μοργεντία. Πολλέντιον ἡ Πολλεντός. πόλις. Συρρέντιον πόλις Τυρρηνίας καὶ Συρρεντόν. Φερέντιον πόλις Σαυνιτῶν ἐν Ἰταλίᾳ. λεόντιο ν , δρακόντιο ν , ἀκόντιο ν. ἔστι καὶ Ἀκόντιον πόλις Ἀρκαδίας ἀπὸ Ἀκοντίου τοῦ Λυκάονος. ἔστι καὶ ἑτέρα Εὐβοίας, ὡς Ξεναγόρας καὶ Ἀνδροτίων ὀγδόῃ. ὀδόντιον ἡ βοτάνη καὶ τὸ τοῦ στόματος. γερόντιο ν , Μεταπόντιον πόλις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰταλίας ἡ πρότερον Σῖρις ἀπὸ Μετάβου τοῦ Σισύφου τοῦ Αἰόλου. τὸν γὰρ Μετάποντον οἱ βάρβαροι Μέταβον ἔλεγον. Ἱερόντιον ἡ πόλις. Δυσπόντιον πόλις Πισαίας, ἀπὸ Δυσπόντου τοῦ Πέλοπος, παρὰ τὴν ὁδὸν τὴν ἐξ Ἤλιδος εἰς Ὀλυμπίαν. Μαμέρτιον πόλις Ἰταλίας. Λαφύστιο ν. * Τὰ διὰ τοῦ φιον οὐδέτερα μονογενῆ προπαροξύνεται, ζωΰφιο ν , δενδρύφιο ν , ὀρνύφιο ν , ὠΰφιο ν , χρυσάφιο ν , ἀργυράφιο ν , μοιράφιο ν. * Τὰ διὰ τοῦ χιον ὑπὲρ τρεῖς συλλαβὰς οὐδέτερα προπαροξύνεται, ὀνύχιο ν. ἔστι καὶ Ὀνύχιον τόπος Κρήτης, ἀπὸ ὄνυχος ἀγκύρας ἐνσχεθείσης ἐν αὐτῷ τῶν Ἀμυκλαίων ἀποικησάντων. Δυρράχιον πόλις Ἰλλυρικὴ καὶ Ἐπίδαμνος κληθεῖσα ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ τοῦ Ποσειδῶνος ὁ Δυρράχιος. Στράβων ἐν η′ (p. 316) φησί «μετὰ δὲ τὸν Ῥιζονικὸν Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ χερρονήσῳ λεγομένη, ἐφ’ ἧς ἵδρυται». Ἐρατοσθένης γ′ γεωγραφουμένων «ἐχόμενοι δ’ οἰκοῦσι Ταυλάντιοι. πόλις δὲ Ἑλληνὶς Ἐπίδαμνος ἐπὶ χερρονήσου τῆς καλουμένης Δυρραχίου. ποταμοὶ δὲ Δρίλων καὶ Ἀῷος, περὶ οὓς οἱ Κάδμου καὶ Ἁρμονίας τάφοι δείκνυνται». λέγει δὲ Παυσανίας ς′ (c. 10, 8) περὶ τῆς ἀρχαίας καὶ τῆς νῦν πόλεως οὕτως «Ἐπιδάμνιοι μὲν χώραν ἥνπερ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ αὐτὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δ’ ἀφεστηκυῖαν ὀλίγον. ὄνομα δὲ τῇ πόλει τῇ νῦν Δυρράχιον ἀπὸ τοῦ οἰκιστοῦ». Ἀλέξανδρος δὲ ἐν Εὐρώπῃ μετὰ τοῦ ς Δυσράχιον αὐτὴν καλεῖ «Δυσραχίου τ’ Ἐπίδαμνος ἐπ’ ἀγχιάλου χθονὸς ἀκτῆς».

3,1 369 δυσράχιον γάρ ἐστι, ὅ ἐστι δυσέξοχον. τρέψαν δὲ τὸ ς εἰς ρ εὐφωνότερον λαλεῖται Δυρράχιον, καθάπερ καὶ Τυρσηνός Τυρρηνός, ταρσός ταρρός, πυρσός πυρρός. Δουλίχιον μία τῶν Ἐχινάδων νήσων, ἡ καὶ Δολίχα καλουμένη ἀπὸ Δουλιχίου τοῦ Τριπτολέμου. Ὠρύχιον τόπος τῆς Ἀττικῆς. Τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Ἥραιον τὸ τέμενος καὶ πόλις Θρᾴκης. Ἡρόδοτος τετάρτη (c. 90). τὸ δὲ Ἡραῖον τεῖχος. ἔλαιο ν , Δίρκαιο ν , Κίρκαιον τὸ ὄρο ς , τρόπαιον καὶ τροπαῖον Ἀττικῶς, νόμαιον τὸ μονογενές, οὔραιο ν , Σκύλλαιον ἄκρα, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ φησίν. πρέμναιο ν . Κότταιον τὸ ὄρος, Ἕρμαιο ν , Φοίβαιο ν , Κύταιον πόλις Κρήτης, γύναιο ν , Λύκαιον τὸ ὄρος, κώπαιο ν , δέραιο ν , νύμφαιον καὶ Νύμφαιον πόλις Ταυρικὴ μεταξὺ Παντικαπαίου μητροπόλεως καὶ Θεοδοσίας, ὥς φησι Στράβων (7 p. 309), τὸ δὲ νυμφαῖον κτητικόν. Λέχαιο ν , Φύταιον πόλις Αἰτωλίας. Πολύβιος ἑνδεκάτῳ. Χάλαιον πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπῃ «μετὰ δὲ Λοκροί· ἐν δὲ Χάλαιον πόλις, ἐν δὲ Οἰάνθη πόλις». σπήλαιον τὸ ἄντρον. Τύπαιον ὄρος Ἤλιδος. Παυσανίας Ἠλιακῶν α′ (c. 6, 7). Σάρδαιον ὄρος περὶ Ἀσωπόν. Μάρκαιον ὄρος τῆς Τρῳάδος πρὸς τῇ Γέργιθι. Λήναια ἀγὼν Διονύσου ἐν ἀγροῖς. τὸ δὲ Τομαῖον ὄρος παρὰ τὸ Κορυφάσιον τῆς Πύλου καὶ Σηταῖον χωρίον παρὰ Σύβαριν καὶ Συρμαῖον πεδίον μεταξὺ Νομάδων τε καὶ Ναβαταίων. Τυχαῖον ὄρος μεταξὺ Ἐρετρίας καὶ Βοιωτίας καὶ Θυραῖον πόλις Ἀρκάδων καὶ Πισσαῖον πόλις Πελαγονίας. Μαζαῖον τόπος ἐν Βιθυνίᾳ κατὰ παραφθορὰν ἐκ τοῦ Ἀμαζόνειον, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. Ῥιπαῖα ὄρος Ὑπερβορέων—προπερισπᾶται ἐπιθετικὰ ὄντα. τὸ ἀρχαῖον προπερισπᾶται ὡς τριγενὲς καὶ τὸ χαῖον ὡς δισύλλαβον. Τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, Ἀθήναιον τὸ τέμενος, Λιλύβαιον ἡ πρὸς δύσιν ἄκρα τῆς Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις. κεφάλαιο ν , περιβόλαιο ν , Φωτίναιον πόλις Θεσσαλίας ὡς Ἑκαταῖος περιηγήσει Εὐρώπης.

3,1 370 Νακόλαιον πόλις Φρυγίας, ἣ καὶ Νακόλεια, ἀπὸ Νακόλης νύμφης· ὥσπερ γὰρ ἀπὸ τοῦ νύμφη νύμφαιον καὶ Ἥρα Ἥραιον, οὕτω Νακόλη Νακόλαιον. Κοτύλαιον ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀρχέμαχος ἐν Εὐβοϊκῶν β′. Κυδαθήναιον δῆμος τῆς Πανδιονίδος φυλῆς. Παντικάπαιον πόλις μεγίστη, τῶν κατὰ Βόσπορον μητρόπολις. ᾠκίσθη δὲ παρὰ Αἰήτου παιδός, λαβόντος τὸν τόπον παρὰ Ἀγαήτου τοῦ Σκυθῶν βασιλέως καὶ καλέσαντος τὴν πόλιν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ Παντικάπου. Λαπίθαιον ὄνομα ὄρους τῆς Λακωνικῆς. Φοινίκαιον ὄρος

Κορίνθου. Ἔφορος ἐννεακαιδεκάτῳ. Προστρόπαια πόλις Σικελίας. Τυμέναιον ὄρος περὶ Φρυγίαν. χωρὶς τοῦ Χαλαστραῖον νίτρον καὶ Ἠλακαταῖον ὄρος Θεσσαλίας καὶ Καναστραῖον ἄκρον Θρᾴκης καὶ Μακεδονίας, ὃ καὶ Κάναστρον λέγεται, καὶ Ἀραχναῖον ὄρος Ἄργους. Καλλίμαχος Αἰτίων α′. καὶ Ἀμυκλαῖον πόλις ἐν Κρήτῃ καὶ ὅρμος. τὰ γὰρ διὰ τοῦ αιον ἁπλᾶ ὑπὲρ τρεῖς συλλαβὰς ἔχοντα τὴν τετάρτην ἀπὸ τέλους διὰ τοῦ α καὶ τὴν ἑξῆς διὰ τοῦ α ἢ διὰ τοῦ υ περισπᾶται. πρόσκειται δ᾽ ἁπλᾶ διὰ τὸ κατάγαιο ν. ἔτι δὲ καὶ τὸ Στεφαναῖον πόλις Φωκίδος, ἣ καὶ Στεφάνη λέγεται, καὶ τὸ Κορυφαῖον, ὄρος ἐστὶ τῶν Ἐπιδαυρίων, ἐν ᾧ τιμᾶται Ἄρτεμις Κορυφαία. Παυσανίας δευτέρῳ (c. 28, 2). καὶ τὸ Τιλφωσσαῖον ὄρος ἐν Ἀλαλκομενίᾳ. Ἔφορος—προπερισπᾶται. Τὰ διὰ τοῦ ειον τρισύλλαβα προπαροξύνεται κύρια ὄντα, Βούδειο ν. Ὅμηρος «ὅς ῥ᾽ ἐν Βουδείῳ εὖ ναιομένῳ» (Il. Π 572). πόλις ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην ἀπὸ τοῦ οἰκίσαντος Βουδείου. λέγεται καὶ Βούδεια. Χλούνειον τόπος ἐν Αἰτωλίᾳ, ὅπου ἦν ὁ χλούνης. Σίγειον πόλις Τρῳάδος, ὡς Στράβων τρισκαιδεκάτῳ (p.

3,1 371 595). Λάγειον τὸ ἱπποδρόμιον Ἀλεξανδρείας ἀπὸ Λάγου τινός. Λύκειον τὸ γυμνάσιον Ἀθήνησι. Γύθειον πόλις Λακωνική. Λυκόφρων «δισσὰς σαλάμβας κ᾽ ἀπὸ Γυθείου πλακάς» (v. 98). τινές φασι, ὅτι Πύθιον ἐκαλεῖτο, κακῶς. Σέρρειον ἀκρωτήριον τῆς Θρᾴκης. ἔστι καὶ πόλις Σαμοθρᾴκης. λέγεται καὶ Σέρρα, ἧς ἡ γενικὴ κατ᾽ Ἴωνας Σέρρης. Λαύρειον τόπος ἐν Ἀττικῇ ἔχων μέταλλα. Φίκειον ὄρος Βοιωτίας. τοῦτο δὲ εὕρηται καὶ διὰ βραχέος τοῦ ι . ἴσως δὲ συνεξέδραμεν τῷ Ῥύτιον, Αἴγιον, Σούνιον. Λέπρειον, Καυκώνων πόλις. Ῥοίτειον πόλις Τρῳάδος. Φύτειον πόλις Ἤλιδος τῆς κοίλης ἀπὸ Φυτέως λέγει αὐτὴν ὠνομάσθαι Ἴστρος δ′ τῶν Ἠλιακῶν. Κράνειον γυμνάσιον ἐν Κορίνθῳ. Νάξειον τὸ ὄρος. Ἄσχειον πόλις Ἀχαΐας. Τήνειον πόλις Ἀχαΐας. Τίβειον τόπος Φρυγίας ἀπὸ Τιβίου τινός. Σύλειον πόλις Φρυγίας. ἐν δυσὶ λλ καὶ δι᾽ ἑνός. γράφεται δὲ καὶ Σύλαιον. Φίνειον τόπος τοῦ Πόντου κτίσμα Φινέως. Χάλκεια πόλις Λιβύης. ὁ πολυίστωρ ἐν Λιβυκῶν τρίτῳ, ὡς Δημοσθένης, ᾧ μεμφόμενος Πολύβιος ἐν τῷ δωδεκάτῳ ὧδε γράφει «ἀγνοεῖ δὲ μεγάλως καὶ περὶ τῶν χαλκείων· οὐδὲ γὰρ πόλις ἐστίν, ἀλλὰ χαλκουργεῖα». ἔστι καὶ Καρίας Χάλκεια. Ὄγκειον χωρίον Ἀρκαδίας ἀπὸ Ὄγκου δυναστεύσαντος ὡς Παυσανίας δηλοῖ ὀγδόῳ (c. 25, 4). Μούσειον τόπος περὶ τὸν Ὄλυμπον τὸν ἐν Μακεδονίᾳ. Πολύβιος τριακοστῷ ἑβδόμῳ. Λύρκειον ὄρος Ἄργους. Καλλίμαχος Ἑκάλῃ. Ζοίτειον πόλις Ἀρκαδίας. Παυσανίας η′ (27, 3 et 35, 27). λέγεται καὶ Ζοίτεια. ἀπὸ Ζοιτέως. Ἄφνειον πόλις Φρυγίας πλησίον Κυζίκου ἢ Μιλήτου πόλεως. ἢ ἀπὸ Ἀφνειοῦ ἢ ἀπὸ Ἀφνείας ναΐδος νύμφης. ἔστι καὶ Λυδίας πόλις. Γάμβρειον πόλις Ἰωνίας. γράφεται δὲ διὰ διφθόγγου ὡς δηλοῖ τὸ Γαμβρήϊον. Τίειο ν· οὕτως Στράβων ἐν τῷ δωδεκάτῳ (p. 542) Τίον πόλιν Παφλαγονίας τοῦ Πόντου φησί. τὸ δὲ Ἰσεῖον πόλις Αἰγύπτου προπερισπᾶται ὡς Ἰρεῖον καὶ Νεμεσεῖον καὶ ὅσα μὴ τῆς γενικῆς τὸ δ ἐφύλαξαν τεμενικῶν. τοιοῦτος γὰρ ὁ τύπος. Τὰ διὰ τοῦ ειον τρισύλλαβα ν μόνῳ παραληγόμενα προπαροξύνονται, εἰ ἡ πρὸ τέλους συλλαβὴ εἰς φωνῆεν ἓν λήγοι, ὄνειο ν , κόνειον ἢ κώνειο ν , γένειο ν , δάνειο ν , κράνειο ν , κάνειον ὃ καὶ κάνεο ν , Φάνειο ν , Πάνειο ν , κτένειον, ὃ φοροῦσιν αἱ γυναῖκες ἐπὶ τοῦ ἀναδήματος, κύνειο ν.

3,1 372 τὸ δὲ κοινεῖον προπερισπᾶται οὐκ εἰς ἓν φωνῆεν λῆγον καὶ λυχνεῖον καὶ πορνεῖον, οὐ μόνον ἔχοντα τὸ ν . * Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα ἀπὸ ἑνὸς συμφώνου ἀρχόμενα ἔχοντα τὸ η ἢ τὸ ω , μὴ ἔχοντα τὸ μ πρὸ τῆς ει διφθόγγου, προπαροξύνεται, κώρειο ν , ζήτρειον καὶ ζώτειον, ὁ μύλος ὅπου αἱ ζειαὶ ἐκόπτοντο ἢ τόπου ὄνομα ὅπου οἱ δοῦλοι ἐκολάζοντο, γήτειο ν , χήλειον ὃ καὶ χέλειον, γήρειο ν , βήχειον ἡ βοτάνη, κήτειον ἡ βοτάνη τῇ ἀνθέρικι παραπλήσιον εἰς ἔμετον ἐπιτήδειος, μεθ᾽ ὧν καὶ βρένθειον εἶδος πολυτελοῦς μύρου. Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα χωρὶς τῶν εἰρημένων προπερισπᾶται, πορθμεῖο ν , στοιχεῖο ν , ἀγγεῖο ν , γραφεῖο ν , ᾠδεῖο ν , σημεῖο ν , μνημεῖο ν , πρωτεῖο ν , σφηκεῖο ν , ἠχεῖο ν , πορνεῖο ν , λυχνεῖο ν , ἀρχεῖο ν , φυλλεῖον τῶν λαχάνων τὸ ἕωλον καὶ φαῦλον, χυτρεῖο ν , χυρρεῖον τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξύλινον δεσμωτήριον. τοπεῖον τὸ σχοινίον τῆς νεώς. σκαφεῖον τὸ γεωργικὸν ἐργαλεῖον, κουρεῖον τὸ κοινῶς λεγόμενον. τὸ δὲ ἰδίως παρ' Ἀθηναίοις προπαροξύνεται· οὕτω γὰρ καλεῖται ἐν Ἀττικῇ τὸ ἱερεῖον θυόμενον, ἡνίκα ἐγράφοντο οἱ κοῦροι εἰς τοὺς φράτορας. χαλκεῖον τόπος καὶ ἑορτή. τοῦτο γὰρ ἡ πλείων χρῆσις προπερισπᾷ. πρεσβεῖο ν , λοφεῖον ἡ θήκη τῆς περικεφαλαίας. μουσεῖο ν , βραβεῖο ν , φορεῖο ν , πορεῖον ἀντὶ τοῦ ὀχήματος. ποδεῖον εἴλημα τῶν ποδῶν. πομπεῖον ὁ τόπος. ὀχεῖον ἡ ἄγκυρα. τὸ δὲ παρειόν «ὦχρος δέ μιν εἷλε παρειά» (Γ 35) ὀξύνεται. τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα. διάφορον γὰρ τὸ σημαινόμενον· οὕτως παρειαί παρειά.

3,1 373 φασὶ μέντοι Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν παρειάς σὺν τῷ ς , ἐπειδὴ καὶ «παρειάων ἁπαλάων» (Σ 123) λέγει. ὁ δὲ Ἰξίων δυϊκῶς ἀναγινώσκει καὶ ἐκτάσει τοῦ α παρειά. λέγει δὲ ὁ Ἀσκαλωνίτης «οὐκ ἔστιν εὑρέσθαι ἐπὶ θηλυκῶν ὀνομάτων παρὰ τῷ ποιητῇ τοιοῦτο θηλυκόν» προσέθηκε δὲ ὀνομάτων διὰ τὸ «γηθήσει προφανείσα ἀνὰ πτολέμοιο γεφύρας» (Θ 378). τὸ δὲ θέειον ἐκ τοῦ θεῖον κατὰ πλεονασμὸν τοῦ ε γέγονεν ὡς εἷς ἕεις. * Τὰ διὰ τοῦ ειον ὑπὲρ τρεῖς συλλαβὰς κύρια μονογενῆ προπαροξύνεται, Ἀδραμύτειον πόλις τῆς κατὰ Κάϊκον Μυσίας. ἡ γραφὴ διχῶς, διὰ τοῦ τ καὶ διὰ τοῦ δ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι καὶ δι' ἑνὸς τ καὶ διὰ δύο. ἀλλὰ δι' ἑνὸς τ , ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο, ὅταν τὸ ι μόνως. κέκληται ἀπὸ Ἀδραμύττου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν πολιτείαις καὶ ἄλλοι. τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως. τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. οὐ δύναται δὲ διὰ τὸ μὴ ἔχειν τὸ τ τὸ Ἄδραμυς. λέγεται δὲ καὶ Ἀδραμύττιον, ὡς Κρατῖνος. Κροκύλειον νῆσος Ἰθάκης. Θουκυδίδης τρίτῃ (c. 96). Ἡρακλέων δὲ ὁ Γλαύκου τετραμερῆ φησι τὴν Ἰθάκην, ἧς τὸ μὲν πρῶτον ἐπὶ μεσημβρίαν καὶ θάλατταν Νήριτον καὶ τὸ δεύτερον Νήϊον καὶ τὸ τρίτον Κροκύλειον, τὸ τέταρτον Αἰγίλιπα. Ὑπάτειον ὄνομα ὄρους Καρίας. Ἐφιάλτειον ὄνομα ὄρους. Κηρύκειον ὄνομα λόφου, οὗ φασιν τὸν Ἑρμῆν ἀναβάντα τὴν γένεσιν τῆς Ἀρτέμιδος τοῖς θεοῖς ἀνακηρῦξαι, τοῦ Διὸς ταῦτα προστάξαντος. Ταντάλειον ὄνομα ὄρους. Δασκύλειον ἡ πόλις, ἢ καὶ Δασκύλιον γράφεται. Φορβάντειον ὄρος Τροιζῆνος. Κυκλώπειον τὸ ὄρος. Μυρμήκειον πολίχνιον τῆς Ταυρικῆς, ἣν Στράβων ἑνδεκάτῃ (p. 494) Μυρμήκιον, Ἀρτεμίδωρος δὲ Μυρμηκίαν φησί. τὸ γὰρ ἕτερον προπερισπᾶται. Κλεάδειον τὸ ὄρος. Γορδίειον πόλις τῆς μεγάλης Φρυγίας πρὸς τῇ Καππαδοκίᾳ ἀπὸ Γορδίου τοῦ πατρὸς Μίδου. Αἰόλειον τῆς Θρᾴκης χερρονήσου πόλις. Θεόπομπος ἐν Φιλιππικῶν εἰκοστῇ τρίτῃ «ἐπορεύθη εἰς πόλιν Αἰόλειον τῆς Ἀττικῆς μὲν οὖσαν, πολιτευομένην δὲ μετὰ τῶν Χαλκιδέων». Ἀχίλλειον πόλις ἐν τῷ Σιγείῳ.

3,1 374 ἔστι καὶ φρούριον Ἀχίλλειον πλησίον Σμύρνης καὶ τόπος ἐν Σικελίᾳ καὶ κώμη καὶ λιμὴν Μεσσήνης. Λαμπέτειον σῆμα ἐν Λέσβῳ ἀπὸ Λαμπέτου τοῦ Ἴρου. Ἀμαζόνειον πόλις ἐν τῇ Ἀττικῇ, ἔνθα Θησεὺς τῶν Ἀμαζόνων ἐκράτησεν. οὕτως ἐκαλεῖτο καὶ ἡ Κύμη, ἐν ᾗ αἱ Ἀμαζόνες ᾤκουν. Ἑκαταῖος δ' ἐν τοῖς Αἰολικοῖς διὰ τοῦ ι γράφει τὸ ὄνομα. Βοτιάειον πόλις Φρυγίας ἔχουσα λίμνην Ἄτταιαν λεγομένην, τρέφουσαν ἅλας. Δαρίειον πόλις τῆς Φρυγίας. Διόμεια δῆμος τῆς Αἰγηΐδος φυλῆς. Ἡρακλῆς γὰρ ἐπιξενωθεὶς παρὰ Κολλυτῷ ἠράσθη Διόμου τοῦ υἱοῦ αὐτοῦ. Δοκίμειον πόλις Φρυγίας. Δορίειον Φρυγίας πόλις. Δορυλάειον πόλις Φρυγίας, ὃ καὶ Δορύλαιον Δημοσθένης φησί. Μιδάειον πόλις Φρυγίας. Ἑλλάνικος ἐν δευτέρῳ Δευκαλιωνείας. καὶ Μιδάϊον λέγεται καὶ Μιδήϊον. Κοτιάειον πόλις τῆς ἐπικτήτου Φρυγίας. Στράβων ιβʹ (p. 576). τινὲς δέ φασι Κοσιάειον ὀφείλει. δοκεῖ δὲ ἀπὸ τοῦ Κόσα Κοσάειον ὡς τοῦ Μίδα Μιδάειον καὶ προσθέσει τοῦ ι Κοσιάειον καὶ τροπῇ Κοτιάειον. Μενελάειον χωρίον Σπάρτης. Κορύλειον κώμη περίσημος ἐν Παφλαγονίᾳ ἀπὸ Κορύλου βασιλεύσαντος. Μολύκρειο ν· οὕτως Θουκυδίδης δευτέρᾳ (c. 84) Μολυκρίαν πόλιν Αἰτωλίας καλεῖ. Νεάνδρειο ν· οὕτως Θεόπομπος καλεῖ

Νεάνδρειαν πόλιν Τρῳάδος ἐν Ἑλλησπόντῳ. Νικομήδειον ἐμπόριον Βιθυνίας. Ἀρριανὸς πέμπτῳ Βιθυνιακῶν. Πολίειον πόλις Ἰταλίας ἀπὸ τῆς ἐν Ἰλίῳ Πολιάδος Ἀθηνᾶς πρότερον Σῖρις καλουμένη. Ποσίδειον πόλις μεταξὺ Κιλικίας καὶ Συρίας. Φιλομήλειον πόλις τῆς μεγάλης Φρυγίας. Στράβων δωδεκάτῃ (p. 577). Φαναγόρεια ἐμπόριον. Τεμβρίειο ν· οὕτως Ἀλέξανδρός φησι Τέμβριον πόλιν Φρυγίας. Καπετωλίειον ἐν Ῥώμῃ λόφος Ταρπαῖος πάλαι λεγόμενος καὶ ἐν συναιρέσει Καπετώλειον. τὸ δὲ Καπετωλεῖα ἐπὶ τοῦ ἀγῶνος προπερισπᾶται. * Τὰ ἐπὶ τεμενῶν καὶ ἑορτῶν διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται καὶ προπερισπᾶται. καὶ προπερισπᾶται μὲν ὅσα ἀπὸ τῶν εἰς ις παράγονται τῆς γενικῆς καθαρᾶς οὔσης, μὴ φυλαττούσης τὸ σύμφωνον τῆς γενικῆς, οἷον πρυτανεῖο ν , Νεμεσεῖο ν , Σεραπεῖο ν. οὐ γὰρ ἐφύλαξε τὸ δ τῆς γενικῆς τοῦ Σεράπιδος. τοιοῦτο καὶ τὸ Ὀσιρεῖο ν , Ἀνουβεῖο ν , Τεχοσεῖο ν . Βενδίδειον δὲ προπαροξύνεται· ἐφύλαξε γὰρ τὸ δ τῆς Βενδῖδος γενικῆς· ὁμοίως καὶ Θετίδειο ν.

3,1 375 ἔστι δὲ καὶ πόλις Θεσσαλικὴ Θετίδειον. Ἑλλάνικος. λέγεται δὲ καὶ Θεστίδειον. ἔστι καὶ λίμνη Θρᾴκης, παρ’ ᾗ Νῦσα χωρίον. προπερισπῶνται δ’ ὁμοίως, ὅσα ἔχει προϋπάρχοντα εἰς ος καθαρόν, παραληγόμενα ἢ μόνῳ τῷ ι ἢ προηγουμένου αὐτοῦ τοῦ α ὥστε εἶναι πρὸ τέλους τὴν αι δίφθογγον ἢ ὅσα κτητικά, Ἀσκληπιεῖο ν· Ἀσκληπιός γάρ. Πτολεμαεῖο ν· Πτολεμαῖος γάρ. Ὀλυμπιεῖα τὰ Ἀθήνησι, Ὀλύμπιος γάρ· ἔστι καὶ Ὀλυμπιεῖον τόπος ἐν Δήλῳ, ὃν κτίσαντες οἱ Ἀθηναῖοι χρήμασιν Ἀδριανοῦ νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε′. Καπετωλιεῖα καὶ Καπετωλεῖα ἐν συναιρέσει· Καπετώλιος γάρ. Ἀμμωνιεῖο ν· τὸ γὰρ κτητικὸν Ἀμμώνιος διὰ τοῦ ι . προπαροξύνεται δὲ τὰ κτητικὰ ὥσπερ τὰ ἀρσενικά, Ἡράκλειο ν , Αἰάκειο ν , Διοσκούρειο ν , Πλουτώνειο ν , Ποσειδώνειο ν , Χαρώνειο ν , Ἑλένειο ν , Κλεοπάτρειο ν , Τιμώνειο ν , Μαυσώλειο ν , Καισάρειο ν , Ὁμήρειο ν , Λαμπέτειο ν. τὸ δὲ Ἡφαιστεῖον προπερισπᾶται καὶ τὸ Κορυβαντεῖον ναὸς τῶν Κορυβάντων. Τὰ διὰ τοῦ ειον ὑπὲρ τρεῖς συλλαβὰς μὴ ὄντα ἐπὶ τεμενῶν ἢ κύρια προπερισπῶνται, ἁπλᾶ ὄντα ἢ παρασύνθετα θωρακεῖο ν , πανδοκεῖο ν , διδασκαλεῖο ν , βαλανεῖο ν , ἐλεγεῖο ν , ἐπισκοπεῖο ν , ἡμεροσκοπεῖο ν. ἔστι καὶ πόλις Κελτιβήρων Ἡμεροσκοπεῖον Φωκαέων ἄποικος. Ἀρτεμίδωρος δευτέρῳ λόγῳ γεωγραφουμένων. τεκτονεῖο ν , ἰαμβεῖο ν , ἀσωτεῖο ν , δοκιμεῖο ν , ἑστιατορεῖο ν , προσωπεῖο ν , μορμολυκεῖο ν , ἱερεῖο ν , μεγαλλεῖον ὄνομα μύρου ἀπὸ Μεγάλου Σικελιώτου εὑρόντος αὐτό. σκευοφορεῖον, τὸ ἐπὶ τῶν ὤμων ἀμφίκοιλον ξύλον, ἀφ’ οὗ ἀπαρτῶσι ξύλα. σκιραφεῖον, ὅπερ δηλοῖ τὸν τόπον, εἰς ὃν οἱ κυβευταὶ συνίασι. ταμιεῖον, οἶκος ἐν ᾧ τὰ ἀναγκαῖα ἀπετίθεσαν ὡς Ἀριστοφάνης καὶ Κρατῖνος καὶ ἄλλοι. μαγειρεῖο ν , ἰατρεῖο ν , βυρσοδεψεῖο ν , δευτερεῖο ν , ὀπτανεῖο ν· παρὰ δὲ τοῖς Ἀττικοῖς καὶ διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται οἷον ὀπτάνιον. κηρυκεῖον τὸ μονογενὲς καὶ προσηγορικόν, ὅπερ ἐπίσταται καὶ ἡ συνήθεια, τὸ γὰρ ἐπιθετικὸν κηρύκειον τὸν τοῦ κηρύκειος τόνον ἐφύλαξε καὶ τὸ κύριον προπαροξύνεται.

3,1 376 τὸ δὲ ὠκυτόκειον καὶ ἄλλα σύνθετα προπαροξύνεται. * Τὰ εἰς ον καθαρὸν παραληγόμενα τῷ α σπάνια ὄντα βαρύνεται, Μέταον πόλις Λέσβου, ἣν Μέτας Τυρρηνὸς ᾤκισεν, ὡς Ἑλλάνικος. * Τὰ εἰς ον παραληγόμενα τῇ αυ διφθόγγῳ σπάνια ὄντα βαρύνεται, Σαῦα κώμη τῆς εὐδαίμονος Ἀραβίας, Ἄναυα πόλις Φρυγίας, ὡς Ἡρόδοτος (7, 30). Τὰ εἰς ον καθαρὸν παραληγόμενα τῷ υ βαρύνεται, πτύο ν , βρύο ν , πύον τὸ ἔμπυον τὸ καὶ πυός. θρύο ν· ἔστι καὶ πόλις τῆς Μεσσηνίας ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων ὁμωνύμως τῷ φυτῷ λεγομένη. λέγεται δὲ ἀπὸ φυτοῦ Θρυόεις καὶ Θρυόεσσα. θύον ὃ καὶ θύος λέγεται. Κύον πόλις Καρίας. Ἀπολλώνιος τετάρτῃ Καρικῶν, μεθ’ ὧν καὶ γυῖον τῇ υι διφθόγγῳ παραληγόμενον καὶ οὐκ ἔχον ὁμοίου παράθεσιν. κάρυο ν , κρόμμυο ν , δίκτυο ν , ἔμβρυο ν , δάκρυο ν , κρήγυο ν , ἄρκυο ν , μήνυον εἶδος ἄνθους, γεράνδρυο ν , μεσόφρυο ν , ἔνδρυο ν , γήθυον τὸ ἀμπελόπρασον. Ἔγγυον πόλις Σικελίας. Τὰ εἰς ον δισύλλαβα παραληγόμενα τῇ οι διφθόγγῳ ὀξύνεται, γλοιόν, τὸ τοῖς πώγωσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν τράγων ἐπισυναγόμενον ἀπὸ τῆς ὕλης, Κροιόν ὄνομα ὄρους. βοιόν τῶν πεντήκοντα ἐτῶν ἀριθμός. ἔστι καὶ Βοιόν Δωρικὴ πόλις, ἣ καὶ θηλυκῶς λέγεται, μοιόν τὸ αἰδοῖον. τὸ δὲ πλοῖον προπερισπᾶται ὡς πάσχον διαίρεσιν αἰολικῶς. πλόϊον γὰρ λέγεται. Τὰ εἰς ον δισύλλαβα μονογενῆ παραληγόμενα τῷ ω μετὰ τοῦ ι ἀρχόμενα ἀπὸ συμφώνου προπερισπᾶται, ζῷο ν, εὕρηται δὲ καὶ κατὰ διάστασιν παρὰ τῷ Σιμωνίδῃ (fr.

3,1 377 13) οἷον τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο, τὸ ζωΐων κάκιστον ἔκτηται βίον. Πτῷον ὄρος, ὅπερ φασὶ κληθῆναι ἀπὸ Πτῴου παιδὸς Ἀκραιφέως καὶ Εὐξίππης ἢ ὅτι Λητὼ ἐκεῖ βουλομένην τεκεῖν κάπρος ἐπιφανεὶς ἐπτόησεν. τὸ μέντοι ᾠόν ὀξύνεται· ἀπὸ φωνήεντος γὰρ ἄρχεται. λέγεται δὲ καὶ ἐν διαλύσει ὤϊον παρὰ τῇ Σαπφοῖ (fr. 56 Bergk), φαῖσι δή ποτα Λήδαν ὑακίνθινον πεπυκαδμένον ὤϊον εὕρην. καὶ ὤεον ἐν πλεονασμῷ τοῦ ε . Τὰ εἰς ον ὑπερδισύλλαβα μονογενῆ τῇ οι διφθόγγῳ παραληγόμενα ἢ τῇ ῳ ταύτην ἔχουσι τὴν διαίρεσιν· προπαροξύνεται μέν, ὅσα σύνθετά ἐστι, ὑπεσταλμένων τῶν ἀπὸ προθέσεως, Ἀκρόθοιον, ᾧ ἠκολούθησε καὶ τὸ Βάλοιον πόλις Μακεδονίας καὶ Μετάχοιον φρούριον Βοιωτίας μεταξὺ Ὀρχομενοῦ καὶ Κορωνείας. Ἔφορος τριακοστῷ. καὶ Σίντοιον φρούριον Ἀρμενίας κτίσμα Γαλατῶν. ἑκατόμβοιο ν , εἰκοσάβοιο ν , πεντηκοσάβοιο ν , ἐννεάβοιο ν. τὸ δὲ μητρῷο ν , ἡρῷο ν , ὑπερῷον προπερισπᾶται, ὥσπερ καὶ τὰ ἀρσενικά. τὸ δὲ περίστῳον προπαροξύνεται· τὸ δὲ προστῷον προπερισπᾶται. καὶ ὤφειλεν ἢ τὰ δύο προπερισπᾶσθαι ἢ τὰ δύο προπαροξύνεσθαι, ἐπειδὴ ἀπὸ τοῦ στοιά ἀμφότερα γέγονεν. ἐνίοτε δὲ τὰ διὰ τοῦ ῳον διὰ ποιητικὴν χρείαν διαλύονται, ὑπερῷον ὑπερώϊον, περίστῳον περιστώϊον, μητρῷον μητρώϊον. Πᾶν οὐδέτερον εἰς ον πρὸ τοῦ ο σύμφωνον ἔχον εἴτε ἁπλοῦν εἴτε σύνθετον, εἰ μὲν δισύλλαβόν ἐστιν, βαρύνεται ἤτοι παροξύνεται καὶ προπερισπᾶται, εἰ δὲ ὑπὲρ δύο συλλαβὰς ὑπάρχει, προπαροξύνεται, χέρνιβο ν , δάπεδο ν , σίττυβον τὸ μικρὸν δέρμα, στρατόπεδο ν , ἔνεδρο ν , πρόσωπο ν , γήπεδον τὸ πρὸς τοῖς οἴκοις ἐν πόλει κηπίον, ὅπερ οἱ τραγικοὶ διὰ τοῦ α φασὶ δωρίζοντες, σέλινο ν , ἔνδινον, ὃ παρὰ τὸ ἔνδον παρῆκται ὡς παρὰ τὸ ἔντοσθεν ἐντοσθίδια λέγεται.

3,1 378 ναύμαχον «ναύμαχον ἐν παλάμῃσιν» (Ο 677) εἶδος δόρατος παρὰ ῥῆμα σύνθετον ὡς χαρτότομο ν , χειρόγραφο ν , ἀκρατόφορο ν· ὑπεσταλμένων τῶν κατὰ μεταβολῆς γένους εἰρημένων καὶ τῶν εἰς ρ καὶ τῶν εἰς τ περατουμένων. παροξύνεται δὲ ταῦτα, ῥόδο ν , ἔργο ν , φύλλο ν , λίνον ὅτι ἂν σημαίνῃ, εἴτε τὴν λινῆν ἐσθῆτα εἴτε καὶ ἐπὶ χορδῆς τάσσοιτο εἴτε καὶ αὐτὸ τὸ λεπτὸν νῆμα. ἔστι δὲ καὶ Λίνον χωρίον τῆς Ἑλλησποντίας. Στράβων τρισκαιδεκάτῃ (p. 588) «μεταξὺ δὲ κεῖται τοῦ Παρίου καὶ τοῦ Πριάπου κατὰ Λίνον». Σπάδα κώμη Περσική, ἐν ᾗ πρώτῃ εὐνουχισμὸς γέγονεν, ὅθεν σπάδοι λέγονται. Πέφνον πόλις Λακωνική. Ἀπολλόδωρος δὲ νῆσον αὐτήν φησι. λέγεται καὶ θηλυκῶς. Πράσον ἀκρωτήριον περὶ τὴν Ἐρυθρὰν θάλασσαν. Κύτα πόλις Κολχική, πατρὶς Μηδείας. ἔστι καὶ ἄλλη Σκυθίας. Θέρμα χωρίον Σικελίας. Φίλιστος τρίτῳ. ἔστι καὶ Βιθυνίας Θέρμα τὰ μὲν Πύθια τὰ δὲ ἐν Προύσῃ βασιλικὰ λεγόμενα, τὰ δὲ ἐν Καππαδοκίᾳ, τὰ δὲ ἐν Συρίᾳ, τὰ δὲ Δορυλαείου. Νίψα πόλις Θρᾴκης. προπερισπᾶται δὲ ταῦτα, σῦκο ν , φῦλον τὸ γένος ἀπὸ τῆς φυλῆς ἢ ἀφ' οὗ ἡ φυλή, κῶλο ν , κῆλο ν , μῆλο ν , κῦλο ν . Ζῆλα τόπος Ἀρμενίας. Στράβων ια' (p. 512). ἔστι καὶ Ποντικὴ Ζῆλα λεγομένη καὶ αὐτὴ οὐδετέρως. Σοῦσα πόλις ἐπίσημος Περσική, Μέμνονος κτίσμα. κέκληται δὲ ἀπὸ τῶν κρίνων, ἃ πολλὰ ἐν τῇ χώρᾳ πεφύκει ἐκείνῃ, σοῦσόν τε αὐτὸ καλοῦσιν οἱ βάρβαροι. Τὰ δὲ μεταβολὴν γένους πεπονθότα ὀξύτονα ὀξύνεται, χαλινός χαλινόν, ζυγός ζυγόν, ἐρετμός ἐρετμόν, τὰ δὲ βαρύτονα βαρύνεται, θύρσος θύρσον, λύχνος λύχνον, κύκλος κύκλον, κέλευθος κέλευθον, βάρβιτος βάρβιτον, Τάρταρος Τάρταρον, ἄρκευθος ἄρκευθο ν.

3,1 379 * Τὰ εἰς βον οὐδέτερα πληθυντικὰ κύρια ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Κάνδυβα πόλις Λυκίας ἀπὸ Κανδύβου παιδὸς Λευκαλίωνος. Μαρίαβα μητρόπολις Σαβαίων πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Στράβων ἑκκαιδεκάτῃ (p. 768). Μέσσαβα πόλις Καρῶν. Ἑκαταῖος Ἀσίᾳ. Μήδαβα πόλις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν Ναβαταίων. Τένδηβα πόλις Καρίας ἀρχαία. Ῥαβάθμωβα πόλις τρίτης Παλαιστίνης ἡ νῦν Ἀρεόπολις. Χαράκμωβα πόλις τῆς νῦν τρίτης Παλαιστίνης, ἣν ἀναγράφει Πτολεμαῖος γεωγραφικοῖς ἐν ε′ βιβλίῳ ἐν Ἀραβικαῖς τῆς εὐδαίμονος. Μώαβα μοῖρα τῆς Ἀραβίας. Ἀνάζαρβα πόλις Κιλικίας. κέκληται ἀπὸ τοῦ προκειμένου ὄρους ἢ ἀπὸ Ἀναζάρβα τοῦ κτίσαντος. * Τὰ εἰς γον καὶ δον οὐδέτερα κύρια ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, Βήσσυγα ἐμπόριον τῆς Ἰνδικῆς. Ἔγγαδα κώμη μεγάλη πλησίον Σοδόμων Ἀραβίας. Μασανώραδα πόλις Καρίας ἀπὸ Μασανωράδου τοῦ Κινδαψοῦ παιδός. Σύνναδα πόλις Φρυγίας. λέγουσι δὲ Ἀκάμαντα μετὰ τὰ Τρωϊκὰ ἀποπλανηθέντα ἐλθεῖν εἰς Φρυγίαν καὶ καταλαβεῖν πολιορκούμενον τὸν τῶν τόπων δυνάστην καὶ βοηθήσαντα αὐτῷ λαβεῖν χώραν καὶ κτίσαι πόλιν· συναθροίσαντα δὲ πολλοὺς οἰκήτορας τῶν ἀπὸ τῆς Ἑλλάδος Μακεδόνων κατὰ τὴν Ἀσίαν τὸ μὲν πρῶτον αὐτὴν ἀπὸ τῆς συναγωγῆς καὶ συνοικήσεως Σύνναια προσαγορεῦσαι, μετὰ δὲ ταῦτα παρεφθαρμένως ὑπὸ τῶν πλησιοχώρων Σύνναδα κληθῆναι. Ψίμαδα χωρίον Ἰσαυρίας. Ἄμβλαδα πόλις Πισιδίας. Στράβων δωδεκάτῃ (p. 517) «εἰσὶ δὲ τοῖς Φρυξὶν ὅμοροι καὶ τῇ Καρίᾳ Τάβαι καὶ Ἴσινδα καὶ Ἄμβλαδα». Γάλαδα χώρα Ἀραβίας. Σέβεδα λιμὴν Λυκίας, ὡς Ἀλέξανδρος ἐν περίπλῳ. Ζάβιδα κώμη τῆς εὐδαίμονος Ἀραβίας. Ὄβοδα χωρίον Ναβαταίων. Ἀττάλυδα πόλις Λυδίας, κτισθεῖσα ὑπὸ Ἄττυος καὶ μετὰ θάνατον αὐτοῦ ὑπὸ Λυδοῦ τοῦ παιδὸς αὐτοῦ. Ἄβυδον πόλις κατὰ τὴν Ἰαπυγίαν ἢ Ἰταλίαν. Φιλέας «ἔστι δὲ καὶ Ἰαπυγίας πολισμάτιον ἐν Πευκετίοις οὕτως κατ’ ὀρθὴν λεγόμενον Ἄβυδον». Αὔσιγδα πόλις Λιβύης, ὡς Καλλίμαχος, Ἑκαταῖος δὲ νῆσον οἶδε. Ἀλάβανδα πόλις Καρίας, ἥ ποτε Ἀντιόχεια. ἐκλήθη δὲ ἀπὸ Ἀλαβάνδου, τοῦ εὐΐππου, ὡς Χάραξ. ἔστι καὶ ἑτέρα πόλις Καρίας, ἀφ’ ἧς ἡ παροιμία «Ἀλάβανδα Καρῶν εὐτυχεστάτη πόλις». κτίσμα δὲ Καρὸς ἦν, ἀπὸ τοῦ παιδὸς αὐτοῦ κληθεῖσα τοῦ γεννηθέντος ἀπὸ Καλλιρρόης τῆς Μαιάνδρου, μετὰ νίκην ἱππομαχικήν, καὶ κληθέντος Ἀλαβάνδου, ὅ ἐστι κατὰ τὴν Καρῶν φωνὴν ἱππόνικος.
3,1 380 ἄλα γὰρ τὸν ἵππον, βάνδα δὲ τὴν νίκην καλοῦσιν. Θρύανδα πόλις Λυκίας. Καρύανδα πόλις καὶ λιμὴν ὁμώνυμος πλησίον Μύνδου καὶ Κῶ. Ἑκαταῖος Καρύανδαν αὐτήν φησι. Λάβρανδα κώμη Καρίας. Στράβων ιδ′ (p. 659). Λάρανδα πόλις Λυκαονίας. Οἰνόανδα πόλις Λυκίας. Ἀλέξανδρος ἐν πρώτῳ Λυκιακῶν. Πάσσανδα χωρίον παρὰ Ἀδραμύττιον πόλιν καὶ Κισθήνην. Λαλίσανδα πόλις Ἰσαυρική. Ἄλινδα πόλις Καρίας, ὡς Πολυΐστωρ, Πίγινδα δῆμος Καρίας. Κάλυνδα πόλις Καρίας. Νάαρδα πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ, ὡς Ἀρριανὸς Παρθικῶν ἑνδεκάτῳ. Κύαρδα πόλις Καρίας ἀπὸ Κυάρδου βασιλέως Καρῶν, υἱοῦ Βαργάσου. τὸ δὲ Ἠμωδόν ὄρος Ἰνδικὸν ὀξύνεται, τινὲς δὲ προπαροξυτόνως Ἤμωδον λέγουσιν. * Τὰ εἰς θον οὐδέτερα κύρια βαρύνεται, Τρικόρυνθον οὐδετέρως Δίδυμος καὶ Διόδωρος, Διονύσιος ἀρσενικῶς, Εὐφορίων θηλυκῶς. ἔστι δὲ δῆμος τῆς Αἰαντίδος φυλῆς. Δούμαθα πόλις Ἀραβίας. Κάναθα πόλις πρὸς τῇ Βόστρᾳ Ἀραβίας. Ὄραθα πόλις τῆς ἐν Τίγρητι Μεσήνης. Ἀρριανὸς Παρθικῶν ἑκκαιδεκάτῳ. Σίγαθα πόλις Λιβύης, ὡς Στράβων ἑπτακαιδεκάτῃ (p. 829). Ἄμαθα τῆς Ἀραβίας χωρίον. κέκληται δὲ ἀπὸ τῆς ἄμμου. φασὶ γὰρ τὸ πολὺ τῆς Ἀραβίας ὑπὸ τῆς Ἐρυθρᾶς πάλαι κατακλύζεσθαι. * Τὰ εἰς κον κύρια βαρύνεται, Μάζακα πόλις Καππαδοκίας ἡ νῦν Καισάρεια, Μάσσακα πόλις Ἰνδῶν, Ἀρριανὸς ἐν Ἰνδικοῖς. Παραίτακα πόλις Μηδικὴ ἡ καὶ θηλυκῶς Παραιτάκη. Σάρακα χώρα Ἀραβίας μετὰ τοὺς Ναβαταίους. * Τὰ δὲ κτητικὰ ὀξύνεται ὡς καὶ τὰ ἀρσενικά, Ἑλληνικόν καὶ Καρικόν τόποι ἐν Μέμφιδι, Κυνητικόν Ἰβηρίας τόπος πλησίον ὠκεανοῦ. Ἡρόδωρος δεκάτῳ τῶν καθ’ Ἡρακλέα. Μεγαρικόν πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς πέμπτῳ «Ἀστακὸς καὶ Ἡραία καὶ τὸ Μεγαρικόν». Μολυκρικό ν· οὕτως ἐκαλεῖτο Ῥίον πόλις Αἰτωλίας. Σαμικόν Τριφυλιακὴ πόλις. Σιτικόν πόλις Ἰταλίας. Ἁλικόν χωρίον πρὸς τῇ Αὐγούστᾳ καὶ ὄρος ὁμώνυμον. Ἀμαζονικόν τόπος ἐν Βοιωτίᾳ. Ἰταλικόν χωρίον Σικελίας. Χαλκιδικόν ὄρος Σικελίας, ὡς Πολύβιος πρώτῳ (c. 11, 8) «ἐκ τῶν Συρακουσῶν ἐποιεῖτο τὴν πορείαν καὶ καταστρατοπεδεύσας ἐκ θατέρου μέρους περὶ τὸ Χαλκιδικὸν ὄρος καλούμενον». * Τὰ εἰς λον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, γύαλον τὸ προσηγορικόν, ὅταν δὲ ἐπίθετον ᾖ, ὀξύνεται «εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσασθαι».

3,1 381 Μαίναλον τὸ ὄρος. Λάβδαλον ἄκρον τῶν Ἐπιπολῶν, Συρακουσῶν πλησίον. Θουκυδίδης ἕκτῃ (c. 97). Αἴκαλον φρούριον τῆς Ἰταλίας. Διονύσιος ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Γάμαλα κατοικία Συρίας. Γάβαλα πόλις Φοινίκης, ἣν θηλυκῶς Ἑκαταῖός φησιν, ὁ δὲ Στράβων (16 p. 753) Συρίας, πλησίον Λαοδικείας. ἔστι καὶ χώρα Ἀραβίας καὶ λέγεται ἡ πρώτη συλλαβὴ διὰ τοῦ ε Γέβαλ α. Ἰώσηπος (A. I. 2, 1). Δαίδαλα πόλις τῆς Ῥοδίας ἢ χωρίον. Στράβων ιδ' (p. 651. 664). ἔστι καὶ ὄρος Λυκίας τὰ Δαίδαλα. ἡ δὲ πόλις ἀπὸ Δαιδάλου τοῦ Ἰκάρου ἡ ἐν Λυκίᾳ. διά τινος γὰρ ἕλους ἐπορεύετο τοῦ Νίνου ποταμοῦ, καὶ ὑπὸ χερσύδρου δηχθέντα τελευτῆσαι καὶ ἐκεῖ ταφῆναι καὶ κτισθῆναι πόλιν φησὶν Ἀλέξανδρος ἐν Λυκιακοῖς. ἔστι καὶ Ἰνδικῆς. καὶ Κρήτης ἄλλη. Πάσσαλα Μυλασέων ἐπίνειον. Πάταλα πόλις Ἰνδική. λέγεται καὶ Πατάλη. Σάταλα πόλις Ἀρμενίας, ὡς Ἀλέξανδρος ἐν Ἀσίᾳ. Καστάβαλα Κιλικίας πόλις. Στράβων ιβ' (p. 535). Κορύδαλλα πόλις Ῥοδίων. Ἑκαταῖος Ἀσίᾳ. Σώβαλα πόλις Καρίας. Τρίκαλον καὶ Τρίκαλα πόλις Σικελῶν. Φίλιστος. Τραύαλα πόλις Λυκίας. Θεάγγελα πόλις Καρίας. Κύβελα πόλις Φρυγίας καὶ ὄρος ἱερόν, ἀφ' οὗ Κυβέλη ἡ Ῥέα λέγεται καὶ Κυβεληγενής καὶ Κυβελίς. Πείσανδρος δεκάτῳ. Κύψελα φρούριον τετειχισμένον ἐν Ἀρκαδίᾳ ὑπὸ Μαντινέων. Θουκυδίδης πέμπτῃ (c. 33). ἔστι καὶ Κύψελα πόλις Θρᾴκης πλησίον τοῦ Ἕβρου ποταμοῦ. Πύγελα πόλις Ἰωνίας. Σουάγγελα πόλις Καρίας, ἔνθα ὁ τάφος τοῦ Καρός, ὡς δηλοῖ καὶ τοὔνομα. καλοῦσι γὰρ οἱ Κᾶρες σοῦαν τὴν τάφον, γέλαν δὲ τὸν βασιλέα. Ἄρβηλα πόλις Περσικὴ ἀπὸ Ἀρβήλου τοῦ Ἀθμονέως. Στράβων ἑκκαιδεκάτῃ (p. 737). Ἀρίνδηλα πόλις τρίτης Παλαιστίνης. Γλαῦκος δὲ κώμην αὐτὴν καλεῖ. Γαυγάμηλα τόπος Περσίδος. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ. Ἰσμάηλα τῆς Ἀραβίας χωρίον. Ὕδρηλα πόλις Καρίας. Ἐρατοσθένης τριακοστῷ τρίτῳ Γαλατικῶν. Ἄβιλα πόλις Φοινίκης. Αἴγιλα νῆσος μεταξὺ Κρήτης καὶ Πελοποννήσου. Ἄργιλα πόλις Καρίας. Αὔγιλα πόλις Λιβύης. Ἀπολλόδωρος β' περὶ γῆς. Ζήϊλα πόλις Καππαδοκίας, ἣν ἔκτισεν ὁ Νικομήδους υἱὸς Ζηΐλας. Δρόγγιλον χωρίον Θρᾴκης. Θεόπομπος Φιλιππικῶν θ'. Τάξιλα πόλις Ἰνδική. Στράβων ιε' (p. 691. 698). Μόσυλον ἀκρωτήριον καὶ ἐμπόριον Αἰθιοπίας. Βαίκυλα πόλις Ἰβηρίας πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἴωλον ὄρος Περραιβίας. Ὄκωλον χωρίον Ἐρετριέων. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ τετάρτῳ. Στρόγωλα πόλις Λυδίας. Ξάνθος ἐν Λυδιακῶν δευτέρῳ. * Τὰ εἰς μον κύρια ὑπερδισύλλαβα προπαροξύνεται, Σήσαμον πόλις Παφλαγονίας, ἐν ᾗ ᾤκησεν ὁ παλαιὸς Φινεύς.

3,1 382 Δίδυμος δὲ νῆσον αὐτήν φησιν. Κάδρεμα πόλις Λυκίας, ἄποικος Ὀλβίων. ἑρμηνεύεται δὲ σίτου φρυγμὸς ἡ πόλις. Βήθλεμα πόλις Παλαιστίνης πρὸς τοῖς Ἱεροσολύμοις. Ἰώσηπος δέ φησιν «ἐκ Βηθλεεμῶν» (A. i. 5, 11). Ἄριμα ὄρος. Ὅμηρος «εἰν Ἀρίμοις ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς» (B 783). οἱ μὲν ἐν Κιλικίᾳ, οἱ δὲ ἐν Συρίᾳ, οἱ δὲ ἐν Πιθηκούσαις παρὰ Τυρρηνοῖς φασι γενέσθαι τὸν μῦθον. Σίκιμα πόλις Ἀραβίας, ἣ καὶ Σίκιμος. Ἔριμον πόλις Οἰνωτρῶν ἐν μεσογείῳ, ὡς Ἑκαταῖος. Ὑλλάριμα πολίχνιον Καρίας ὕπερθε Στρατονικείας. Γόραμα χώρα τῶν Σκηνιτῶν Ἀράβων. Σόδομα μητρόπολις ἦν τῶν δέκα πόλεων τῶν ἐπὶ τῇ Ἀσφαλτίτιδι λίμνῃ καταστραφεισῶν. Σίδυμα πόλις Λυκίας, ἧς Ἀλέξανδρος μέμνηται ἐν πρώτῳ Λυκιακῶν. ἐκλήθη δὲ ἀπὸ Σιδύμου. Λώρυμα πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ λιμὴν Ῥόδου, ὃς Λώρυμα λέγεται. Ἱεροσόλυμα ἡ μητρόπολις τῆς Ἰουδαίας, ἣ Σόλυμα ἐκαλεῖτο ἀπὸ τῶν Σολύμων ὀρῶν. Δίδυμα τόπος καὶ μαντεῖον Μιλήτου ἀφιερώμενον Διῒ καὶ Ἀπόλλωνι. εἰσὶ καὶ Κρήτης ποταμοί. εἰσὶ καὶ τῆς Θετταλίας. εἰσὶ καὶ δύο νησίδια πρὸς τῇ Σύρῳ, ὡς Ἀρτεμίδωρος. εἰσὶ καὶ ὄρη Λαοδικείας ἐγγύς. Δίνδυμα ὄρη τῆς Τρῳάδος, ἀφ' ὧν Δινδυμήνη ἡ Ῥέα. Ἴδυμα πόλις Καρίας. λέγεται καὶ Ἰδύμη. Βούνειμα πόλις Ἠπείρου, κτίσμα Ὀδυσσέως, ἣν ἔκτισε πλησίον Τραμπύας, λαβὼν χρησμὸν ἐλθεῖν πρὸς ἄνδρας «οἳ οὐκ ἴσασι θάλασσαν». βοῦν οὖν θύσας ἔκτισε. * Τὰ εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νον ὑπερδισύλλαβα κύρια προπαροξύνεται, Ἀβάκαινον πόλις Σικελική. ἡ παραλήγουσα διὰ διφθόγγου. Τρικάρανον φρούριον τῆς Φλιασίας. Θεόπομπος πεντηκοστῷ πέμπτῳ. Λίβανα πόλις Συρίας ταῖς Ἄτραις γειτνιάζουσα. Ἀρριανὸς Παρθικῶν ἐνάτῳ. Κοσίανα φρούριον Παλαιστίνης ἐν τῇ παραλίᾳ τῆς Συρίας. Χάραξ δεκάτῳ. Ἵπανα πόλις περὶ Καρχηδόνα, ὡς Πολύβιος πρώτῃ. Ἀγβάτανα πολίχνιον Συρίας. Ἡρόδοτος τρίτῳ (c. 62 et 64). Δημήτριος δέ φησιν Ἀγβάτανα διττά, τὰ μὲν τῆς Μηδίας, τὰ δὲ τῆς Συρίας. Κτησίας δὲ πανταχοῦ τῶν Περσικῶν τὰ παρὰ Μήδοις Ἀγβάτανα διὰ τοῦ α γράφει. παρὰ δὲ τοῖς ἀρχαίοις διὰ τοῦ ε τὸ Περσικόν. παρὰ δὲ Χάρακι καὶ αὕτη διὰ τοῦ ε , ἣν καὶ Ἐπιφάνειάν φασι κεκλῆσθαι. ἡ δὲ διὰ τοῦ κ γραφὴ κρείττων ἐστί, παραιτοῦμαι δὲ τὴν διὰ τοῦ γ , διότι μήτι παρακινδυνεύει τὸ β ὑποτετάχθαι τῷ γ , ὡς ὑποτέτακται ἐν τῷ λάγβατα ὅρκια. Δρέπανα πόλις Σικελίας.

3,1 383 ἔστι καὶ Δρέπανον πόλις Λιβύης. εἰσὶ καὶ νησία δύο παρὰ Λέβινθον. Ἔδδανα πόλις πρὸς τῷ Εὐφράτῃ, κατοικία Φοινίκων, ἀπὸ Ἐδδανοῦ ἡγεμόνος. Ἄδανα Κίλισσα πόλις. ταύτην ᾤκισεν Ἄδανος καὶ Σάρος, Ταρσεῦσι πολεμήσαντες καὶ ἡττηθέντες, ἀφ’ ὧν ἡ πόλις ἀπὸ τοῦ ἡγεμόνος Ἄδανα. Ὄμανα πόλις τῆς εὐδαίμονος Ἀραβίας. Γλαῦκος δευτέρῳ Ἀραβικῆς ἀρχαιολογίας. Πρώανα πόλις Θεσσαλική. Ταξίανα νῆσος περὶ τὸν Πηλώδη κόλπον τῆς Σουσιανῆς. Τίτανα χωρίον τῆς Σικυωνίας. λέγεται καὶ ἑνικῶς «Τιτάνοιό τε λευκὰ κάρηνα» (B 735). Τύανα πόλις μέση Κιλικίας καὶ Καππαδοκίας «ὑποπεπτωκυῖα τῷ Ταύρῳ τῷ κατὰ τὰς Κιλικίας πύλας». ἐκαλεῖτο δὲ Θόανα καὶ κατὰ παραγραμματισμὸν Τύανα, ὡς Ἀρριανός. ἔστι καὶ Τύανα πόλις Αἰγύπτου. Ὕπανα πόλις τῆς Τριφυλίας, ὡς Πολύβιος τετάρτῳ. Ὕσκανα πόλις Ἰλλυρίδος. Πολύβιος η'. Σίμανα πόλις Βιθυνίας μεταξὺ δύο ποταμῶν. Ἀΐλανον πόλις Ἀραβίας. λέγεται καὶ πληθυντικῶς Ἀΐλανα. Ἄμανον ὄρος πρὸς τῇ Κιλικίᾳ ἀπὸ τοῦ Ταύρου καθῆκον. ἱστοροῦσι δὲ τὸν Ὀρέστην ἀπὸ Ταύρων σὺν Ἰφιγενείᾳ τὴν Ἄρτεμιν κομίσαντα ἐν τούτῳ τῷ ὄρει τῆς μανίας λύσιν εὑρεῖν. ἔστι καὶ Ἄμμανα πόλις Συρίας ἡ ὕστερον Φιλαδέλφεια. Βαγίστανα πόλις τῆς Μηδίας καὶ ὄρος Βαγίστανον. Κάρβανα πόλις Λυκίας. Ῥαββατάμανα πόλις τῆς ὀρεινῆς Ἀραβίας. Σίμηνα πόλις Λυκίας, Τύμηνα κώμη Λυκίας. ἐκλήθη δὲ ἀπό τινος τράγου οὕτως ὀνομαζομένου, ὃς ἀπαλλασσόμενος ἀπὸ τοῦ αἰπολίου ἤρχετο τὸν πώγωνα βεβρεγμένος, ᾧ κατακολουθήσαντες εὗρον πηγὴν ἔν τινι λόχμῃ. καὶ ταύτην καὶ τὸ χωρίον οὕτω καλέσαι. Ἀρίμινον πόλις Ἰταλίας. ἔστι καὶ ποταμός. Βέμβινον πόλις τῆς Νεμέας, ὡς Ἑλλάνικος, ἄλλοι δὲ Βέμβιναν καὶ κώμην φασίν. Ἀβρότονον Λύκος ὁ Ῥηγῖνος χωρίον οἴεται εἶναι, Στράβων δὲ ἐν ἑπτακαιδεκάτῳ βιβλίῳ (p. 835) πόλιν φησὶ καὶ ἄλλοι. πόλις δὲ Λιβυφοινίκων. Ἄθμονον δῆμος τῆς Κεκροπίδος φυλῆς. τὸ μέντοι Ἀθμονῆζε καὶ Ἀθμονῆσι δοκεῖ ἀπὸ τῆς ἡ Ἀθμονή εἶναι. Δράκονον ὄρος νήσου τῆς Ἰκαρίας λεγομένης καὶ πόλις. Στράβων ιδ' (p. 639). Πρόαρνα πόλις Μηλιέων. τὸ δὲ Καικῖνον χωρίον Ἰταλικόν. Φίλιστος δευτέρῳ Σικελικῶν—προπερισπᾶται, ὀξύνεται δὲ τὸ Ἀδρανόν πόλις Σικελίας ἐν τῇ Αἴτνῃ ποταμὸν ὁμώνυμον ἔχουσα. λέγεται καὶ ἀρσενικῶς. καὶ Βοιανόν πόλις Σαυνιτῶν καὶ Τεανόν πόλις Ἰταλίας, ὡς Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. καὶ Τυκλανόν πόλις Ἰταλίας, ἣ καὶ Τύσκλος λέγεται, καὶ Φρεντανόν πόλις Ἰταλίας καὶ Ποιμανηνόν πόλις ἤτοι φρούριον ἢ χωρίον Κυζίκου καὶ Ἀργεννόν ἀκρωτήριον καὶ Ἐρυμν ά· οὕτω γὰρ ἐκαλεῖτο Τράλλις πόλις Λυδίας. * Τὰ εἰς πον οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, πρόσωπον καὶ Πρόσωπον νῆσος οὐ πόρρω Καρχηδόνος. Πράασπα πόλις τῆς Ἀτροπατηνῆς. Ὕπαιπα πόλις Λυδίας κτισθεῖσα ὑπὸ τὸ παρακείμενον ὄρος τὸ Αἶπος.

3,1 384 Χρύσιππα πόλις Κιλικίας ἀπὸ Χρυσίππου τοῦ κτίσαντος. Ἀργύριππα πόλις τῆς Δαυνίας κατὰ τὸν Ἰόνιον κόλπον. Λυκόφρων «ὁ δ’ Ἀργύριππα Δαυνίων παγκληρίαν» (592). αὕτη Ἄρποι ἐκαλεῖτο. Διομήδης μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου ἐτείχισε· καὶ μετωνόμασε Ἄργος Ἵππιον. Βόρσιππα πόλις Χαλδαίων, ἱερὰ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, λινουργεῖον μέγα. λέγεται καὶ θηλυκῶς. Ἰάθριππα πόλις Ἀραβίας πλησίον τῆς Ἔγρας. Τὰ εἰς ρον δισύλλαβα προσηγορικὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραληγόμενα τῷ υ καὶ μὴ ἀρχόμενα ἀπὸ ἀμεταβόλου ὀξύνεται, σφυρό ν , πυρό ν , ξυρό ν. τὸ μέντοι μύρον βαρύνεται ἀπὸ ἀμεταβόλου ἀρχόμενον. τὸ δὲ Ψύρο ν. Στράβων ἐν τῷ ιδ′ (p. 645) «τὰ Ψύρα ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας». λαμβάνεται δὲ ὄνομα ἐπὶ εὐτελείᾳ διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος «Ψύρα τὸν Διόνυσον ἄγοντες» καὶ ἐν Νεμέσει «Ψύρα τε τὴν Σπάρτην ἄγεις» καὶ Στύρον πλησίον Καρύστου, τῆς Εὐβοίας πόλις καὶ Μύρον πόλις Λυκίας, ἣ καὶ θηλυκῶς Μύρα λέγεται, κύρια ὄντα ὑγιῶς βαρύνεται. Τὰ εἰς ρον λήγοντα καθαρὸν δισύλλαβα ἔχοντα πρὸ τέλους φύσει μακρὰν βαρύνεσθαι θέλει, εἰ μὴ κατὰ μεταπλασμὸν μεταβολὴν ποιήσεται γένους, δῶρο ν· ἔστι καὶ Δῶρα πόλις Φοινίκης, πρότερον Δῶρος καλουμένη. Ἑκαταῖος Ἀσίᾳ «μετὰ δὲ ἡ πάλαι Δῶρος, νῦν δὲ Δῶρα καλεῖται». καὶ οὕτως Ἰώσηπος αὐτὴν καλεῖ ἐν ε′ τῆς Ἰουδαϊκῆς ἱστορίας (c. 1, 22) «ἀπὸ μὲν Ἰορδάνου μέχρι Δώρων πόλεως» καὶ πάλιν (c. 22) «Ἀζώτῳ καὶ Δώροις ὁριζόμενοι». καὶ Ἀρτεμίδωρος Δῶρα τὴν πόλιν οἶδεν ἐν ἐπιτομῇ τῶν ια′ «συνεχῶς δ᾽ ἐστὶ Στράτωνος πύργος, εἶτα ἔνι Δῶρα ἐπὶ χερσονησοειδοῦς τόπου κείμενον πολισμάτιον, ἀρχομένου τοῦ ὄρους τοῦ Καρμήλου» καὶ ἐν θ′ γεωγραφουμένων τὸ αὐτό. ἔστι καὶ Δῶρα νῆσος ἐν τῷ Περσικῷ κόλπῳ, καθὰ Στράβων ις′ (p. 767) «τὸν δὲ Μαζήνην ἐπάρχειν νήσου τινὸς τῶν ἐν τῷ Περσικῷ κόλπῳ, καλεῖσθαι δὲ τὴν νῆσον Δῶρα». Κῶρον πόλις τῆς Καππαδοκίας. μῶρον ὁ καρπὸς τῆς βάτου. Δοῦρα πόλις Μεσοποταμίας, ὡς Πολύβιος πέμπτῃ. σπεῖρον τὸ ἱμάτιον, σκῖρο ν.

3,1 385 ἔστι καὶ Σκίρον τόπος Ἀττικὸς ἀπὸ Σκίρου ἥρωος. Σκίρα δὲ ἡ ἑορτὴ καλεῖται κατά τινας μὲν ὅτι ἐπὶ Σκίρῳ Ἀθηνᾷ θύεται, κατ᾽ ἄλλους δὲ ἀπὸ τῶν γινομένων ἱερῶν Δήμητρι καὶ Κόρῃ ἐν τῇ ἑορτῇ ταύτῃ ἐπὶ Σκίρῳ. λέγεται καὶ ὁ Σκῖρος καὶ τὸ Σκίριον, νεῦρο ν , φῆρον βρῶμα θεῶν, μῆρον «μῆρα δὲ κείαντες (Od. ν 26). γέγονε δὲ ἐκ συγκοπῆς τοῦ μηρίον. ἐπεί τοι εὐθύνεται ὁ τόνος. τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς οὐδέτερον γένος τὸ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει· ὁ ζυγός τὸ ζυγόν—τὰ ζυγά, δίφρος δίφρον, δίφρα. ὅθεν εἰ καὶ μηρός, καὶ μηρόν καὶ μηρά. εἰ δὲ δοίημεν, ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τὸ περὶ τοῦ σημαινομένου καὶ τοῦ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει. τὸ δὲ πλευρόν ἀπὸ τοῦ πλευρά μεταπλασσόμενον τὸν αὐτὸν τόνον φυλάσσει ὡς καὶ πυρά ἀπὸ τοῦ πυραί. τὸ δὲ νεῦρα διάφορον τοῦ νευραί ἔχει σημαινόμενον. Τὰ εἰς ρον ὑπερδισύλλαβα παραληγόμενα τῷ α ἢ τῷ ε βαρύνεται, μέγαρο ν· ἔστι καὶ Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, μέση Πελοποννήσου καὶ Ἀττικῆς καὶ Βοιωτίας, ἧς ἐπίνειον ἡ Νίσαια. ἐκλήθη δὲ ἀπὸ Μεγαρέως τοῦ Ἀπόλλωνος ἢ τοῦ Αἰγέως τοῦ Πανδίονος τοῦ Ἐρεχθέως τοῦ Ἡφαίστου ἢ διὰ τὸ τραχὺ τῆς χώρας. ἔστι καὶ Μέγαρα ἐν Θετταλίᾳ. τρίτη ἐν Πόντῳ. τετάρτη ἐν Ἰλλυρίδι, πέμπτη ἐν Μολοσσίδι, ἕκτη ἐν Σικελίᾳ ἡ πρότερον Ὕβλη ἀπὸ Ὕβλωνος βασιλέως. βλέφαρο ν , γάργαρο ν· ἔστι καὶ Γάργαρα πόλις τῆς Τρῳάδος ἐπὶ τῇ ἄκρᾳ τῆς Ἴδης, Παλαιγάργαρος καλουμένη, ἣν Αἰολικὴν ὀνομάζει Στράβων (13 p. 583. 610) καὶ Ἑκαταῖος. Ἀλκμὰν δὲ θηλυκῶς τὴν Γάργαρόν φησιν. ἐν ᾗ κατῴκουν οἱ Λέλεγες. ὠνομάσθη δ᾽ ἀπὸ Γαργάρου τοῦ Διὸς καὶ Λαρίσσης τῆς ἐν Θεσσαλίᾳ. καὶ Γάργαρα ἄκρα. Ἐπαφρόδιτος δέ φησιν, ὅτι ἡ μὲν πόλις θηλυκῶς λέγεται, τὸ δὲ ἀκρωτήριον οὐδετέρως. Ἑλλάνικος δὲ Γάργασον ἔφη τὴν πόλιν διὰ τοῦ ς , ἀλλ᾽ οἴομαι σφάλμα εἶναι. ἔστι καὶ Λαμψάκου πολισμάτιον Γάργαρον. ἔστι καὶ ἑτέρα τῆς Ἰταλίας καὶ τῆς Ἠπείρου ἄλλη. Ταίναρο ν , οἴναρο ν . Αὔαρα πόλις Ἀραβίας. Γάδαρα πόλις κοίλης Συρίας, ἥτις καὶ Ἀντιόχεια καὶ Σελεύκεια ἐκλήθη. ἔστι καὶ Γάδαρα κώμη Μακεδονίας. Γίνδαρα κώμη πρὸς τῇ Ἀντιοχείᾳ. Δαύσαρα πόλις περὶ τὴν Ἔδεσσαν. Κύδραρα πόλις πρὸς τοὺς ὅρους τῶν Φρυγῶν καὶ Λυδῶν. Ἡρόδοτος ἑβδόμῃ (c. 30). Λάβαρα πόλις Καρίας. Ἀλέξανδρος δευτέρῳ περὶ Καρίας. Ζόαρα πόλις Περσική. ἔστι καὶ κώμη μεγάλη ἢ φρούριον ἐν Παλαιστίνῃ ἐπὶ τῇ Ἀσφαλτίτιδι θαλάσσῃ. Ὕκαρον φρούριον Σικελίας, ὡς Φίλιστος Σικελικῶν πρώτῳ. Ἀπολλόδωρος δ᾽ ἐν δευτέρῳ χρονικῶν πόλιν λέγει αὐτὴν τὰ Ὕκαρα. μέμνηται τῆς λέξεως καὶ Θουκυδίδης (6, 21).

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 386 Φάλαρα πόλις Θεσσαλίας πλησίον Λαμίας. Ἄδαρα κώμη μεγάλη τῆς Παλαιστίνης μεταξὺ Χαρακμώβων καὶ Ἀρεοπόλεως. Θύμβραρα πόλις Ἀσίας τῷ Πακτωλῷ συνεχής, ὡς Ξενοφῶν (Cyrop. 6, 2, 11). Κάνδαρα χωρίον Παφλαγονίας «ὡς ἀπὸ σχοίνων τριῶν Γάγγρων, καὶ Θάριβα κώμη». Πάταρα πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ. ἐκλήθη δὲ ἀπὸ Πατάρου τοῦ Ἀπόλλωνος καὶ Λυκίας τῆς Ξάνθου. Ἀλέξανδρος Σαλακίαν κόρην ἐξ Ὀφιονίδος φησὶ φέρειν ἱερὰ τῷ Ἀπόλλωνι ἐν πατάρᾳ· εἶναι δὲ ταῦτα πέμματα λύρας τε καὶ τόξα καὶ βέλη, οἷς παίζειν νηπίους ὄντας. θεῖσαν δὲ τὸ ἄγγος ἀναπαύεσθαι κατὰ τὴν ὁδόν. ἄνεμον δὲ ἐπιπνεύσαντα εἰς τὴν θάλασσαν βαλεῖν τὴν πατάραν, κλαίουσαν δὲ τὴν παῖδα εἰς τὸν οἶκον ἐλθεῖν, τὴν δὲ πατάραν τῇ Λυκίων χερρονήσῳ κατενεχθῆναι· περιτυχόντα δέ τινα τῶν ἐκ τῆς Σαλακίας φυγόντων τῇ πατάρᾳ τὰ ἐν αὐτῇ πέμματα πάντα κατακαῦσαι καὶ τὴν χερρόνησον ἱερὰν Ἀπόλλωνι ἀνεῖναι. ὠνομάσθαι δὲ τὴν χώραν ἀπὸ τοῦ ἄγγους, τῆς πατάρας, Πάταρα. μεθερμηνεύεσθαι δὲ τὴν πατάραν Ἑλληνιστὶ κίστην. Πίναρα πόλις μεγίστη, ὑπερκειμένη τῷ Κράγει ὄρει τῆς Λυκίας. Πολύαρα πόλις Καρίας. Σίγγαρα πόλις Ἀραβίας. Τάρφαρα πόλις τῆς εὐδαίμονος Ἀραβίας. ἔντερο ν , ἔλλερον τὸ κακόν, μέρμερο ν , κόλερον τὸ ἀκούρευτον πρόβατον, οἱ δὲ τραχὺ ἔριον. Μίσκερα πόλις Σικανίας. Θεόπομπος τεσσαρακοστῷ δευτέρῳ Φιλιππικῶν. Κασσίτερα νῆσος ἐν τῷ ὠκεανῷ, ἐξ ἧς ὁ κασσίτερος. Ἄπτερα πόλις Κρήτης, ἀπὸ τῆς τῶν Μουσῶν καὶ Σειρήνων ἔριδος, τῆς ἐν τῷ μουσείῳ πλησίον τῆς πόλεως καὶ τῆς θαλάσσης τόπῳ τοιῶσδε καλουμένῳ γενομένης, ἐν ᾧ μετὰ τὴν ἐν μουσικῇ νίκην τῶν Μουσῶν αἱ Σειρῆνες δυσφοροῦσαι τὰ πτερὰ τῶν ὤμων ἀπέβαλον καὶ λευκαὶ γενόμεναι εἰς τὴν θάλασσαν ἐνέβαλον ἑαυτάς. ὅθεν ἡ πόλις Ἄπτερα, αἱ δὲ πλησίον νῆσοι Λευκαί. οἱ δὲ ἀπὸ Γλαύκου τοῦ Κυρηναίου. ἔστι καὶ Λυκίας πόλις. Τέρμερα πόλις Λυκίας ἀπὸ Τερμέρου. τὸ μέντοι πτερόν —Πτερά δέ τινες τὴν ἀκρόπολιν Βαβυλῶνος—δισύλλαβον, τὸ δὲ γέρρον διὰ δύο ρρ γράφεται, καὶ τὸ σαρόν τὸ μυλήκορον Ἀττικῶς. Τὰ εἰς ρον παραλήγοντα ο βαρύνεται, ἀνάκτορο ν , κίχορο ν . Βούδορον ἀκρωτήριον πρὸς τῇ Σαλαμῖνι. Θουκυδίδης τρίτῃ (c. 51). Ἔφορος δὲ φρούριον Βούδαρον εἶπε. Ἔβορα πόλις παρωκεανῖτις μετὰ τὰ Γάδειρα. Βολογεσίφορα πόλις Περσική. Νόσορα νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Τὰ εἰς ρον ὑπὲρ δύο συλλαβὰς τῷ υ παραληγόμενα βαρύνεται, ἄχυρο ν , πίτυρο ν , ἐνέχυρο ν , πρόθυρο ν , βούτυρο ν , λέπυρο ν , ἄστυρο ν.

3,1 387 ἔστι καὶ Ἄστυρον πόλις Μυσίας πρὸς τῇ Τρῳάδι, ἣ καὶ πληθυντικῶς λέγεται· ἔστι καὶ κώμη πλησίον τοῦ Ἀδραμυττίου, ὡς Στράβων (13 p. 606). ἔστι καὶ πόλις Φοινίκης κατ᾽ Ἄραδον, ἐν ᾗ ἐτιμᾶτο ἡ Ἀθηνᾶ Ἀστυρίς. ἔστι καὶ Βοιωτίας πρὸς ταῖς Ποτνίαις, ὡς Χάραξ ἐν δευτέρᾳ. ἔστι καὶ χωρίον Ἰταλίας. Κίχυρο ν , Πάλμυρο ν , Σίμυρ α· οὕτως οὐδετέρως Ἔφορος Σίμυρον πόλιν Σύρων φησί. Ἀτάβυρον ὄρος Ῥόδου Ῥιανὸς ἕκτῳ Μεσσηνιακῶν. Ἄγγυρον ὄνομα ὄρους. Τίβυρ α. οὕτως Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων Τίβυριν πόλιν Ἰταλίας καλεῖ. Τὰ εἰς ρον κατ᾽ ἐπιπλοκὴν συμφώνου δισύλλαβα βαρύνεται ῥεῖθρο ν , κλεῖθρο ν , φίλτρο ν , κέντρο ν , ἄρθρο ν , πλῆκτρο ν , νίτρο ν , ἄντρον τὸ σπήλαιον. βλῆτρο ν . Βάκτρα πόλις. Στράβων ια′ (p. 517). Σύμβρα Φρυγίας φρούριον. σεῖστρο ν , δένδρο ν , δέρτρον «δέρτρον ἔσω δύνοντες» (λ 578), φέρτρον «κείμενον ἐν φέρτρῳ» (Σ 236), καὶ ἄλλο πλῆθος τῶν τοιούτων ὀνομάτων ἀδιάπτωτον. σεσημείωται τὸ λουτρόν ὀξυνόμενον, ὅπερ καὶ τρισύλλαβον λέγεται λοετρόν «εἰς ὅ κε θερμὰ λοετρά» (Ξ 6), ἐπεὶ καὶ τὸ ῥῆμα δισσόν, λοέω καὶ λούω «ἀλλ᾽ ὅτε δή μιν ἐγὼ λόεον» (δ 252). * Τὰ εἰς ρον οὐδέτερα μετ᾽ ἐπιπλοκῆς συμφώνου, ὑπὲρ δύο συλλαβὰς ὄντα, προπαροξύνεται, πέλεθρο ν , τέρεθρο ν , βέρεθρο ν , φέλετρον καὶ τὰ φέλετρα, θύρετρο ν . Ἀλάβαστρα πόλις Φρυγίας. Σύαγρα χωρίον Κιλικίας πλησίον Ἄδου καὶ Λαέρτου. Θέρμυδρα λιμὴν τῆς μιᾶς τῶν ἐν Ῥόδῳ πόλεων.

3,1 388 Σύεδρα πόλις Ἰσαυρίας. βάραθρον τόπος κοῖλος καὶ ὄρυγμα καλούμενος. ἔστι καὶ Βάραθρα πλησίον τοῦ Κασίου. Τάβαθρα πόλις Λιβύης. Πολύβιος δωδεκάτῳ. Κάναστρον ἄκρον Θρᾴκης

καὶ Μακεδονίας. λέγεται καὶ Καναστραῖον. Ἄθυμβρα πόλις Καρίας παρὰ Μαιάνδρῳ, Ἀθύμβρου
κτίσμα, ἥτις μετὰ ταῦτα Νύσσα ἐκλήθη. Παλίμβοθρα πόλις Ἰνδική. Φάλακρον ἀκρωτήριον
Κορκύρας, ὡς Ἀρτεμίδωρος ἐν πέμπτῳ γεωγραφουμένων φησί. Πάνακρον πόλις Κύπρου. εἰσὶ
δὲ καὶ Πάνακρα ὄρη Κρήτης. Καλλίμαχος «Ἰδαίοις ἐν ὄρεσσιν, ἅτε κλείουσι Πάνακρα».
Τέγεστρα πόλις Ἰλλυρίας πρὸς τῇ Ἀκυλίᾳ ἀπὸ Τεγέστρου. Ἀρτεμίδωρος δὲ Τέγεστρον αὐτὴν καὶ
κώμην οἶδεν «ἀπὸ Τεγέστρου κώμης καὶ τοῦ μυχοῦ ἐπὶ τὸν Ἀδρίαν στάδια ͵ εκε′». Τὰ εἰς ρον
ὑπερδισύλλαβα μακρᾷ παραληγόμενα προπαροξύνεται, Ἄμηρον ὄνομα ὄρους, ἄνδηρον τῶν
ποταμῶν τὸ χεῖλος, Κύθηρα νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ ἀπὸ Κυθήρου τοῦ
Φοίνικος. Φάληρον δῆμος καὶ ἐπίνειον τῆς Ἀττικῆς. Παυσανίας πρώτῳ περιηγήσεως Ἑλλάδος
(c. 1, 2). καὶ πληθυντικῶς Φάληρα. ἔστι καὶ Θετταλίας ἄλλη πρὸς τῇ Οἴτῃ, ἣν Ῥιανὸς διὰ τοῦ α
γράφει, Φάλαρον λέγων καὶ Φάληρον διὰ τοῦ η . ἔστι καὶ πόλις ἐν Ὀπικοῖς, εἰς ἣν ἐξεβράσθη
Παρθενόπη ἡ Σειρήν, ἣ καλεῖται Νεάπολις. Ἄβδηρα πόλεις δύο· ἡ μὲν Θρᾴκης ἀπὸ Ἀβδήρου
τοῦ υἱοῦ Ἑρμοῦ Ἡρακλέους ἐρωμένου, ὃν αἱ Διομήδους ἵπποι διεσπάσαντο, ὡς Ἑλλάνικος καὶ
ἄλλοι φασίν. ἡ δὲ δευτέρα τῆς Ἰβηρίας πρὸς τοῖς Γαδείροις, ὡς Ἀρτεμίδωρος ἐν δευτέρῳ
γεωγραφουμένων. Ἀλίφηρα πόλις Ἀρκαδίας, ἀπὸ Λυκάονος παιδὸς Ἀλιφήρου. εὕρηται ἡ
παραλήγουσα διὰ διφθόγγου. Βάσηρα πόλις Φοινίκης. ἄβληρον ἡ ἡνία, εὔληρον ἐπὶ ἱματίου καὶ
ἐπὶ δεσμοῦ. ἄλευρο ν , φθινόπωρο ν , μετόπωρο ν , πέλωρο ν , κνέωρον ἀκανθῶδες φυτόν.
Κύτωρον πόλις Παφλαγονίας, οἱ δὲ ἡ Κύτωρός φασι. Κοτύωρα κώμη πρὸς τῷ Πόντῳ, ὡς
Ἀρριανός. Ἀννίχωρο ν. μέμνηται Ἀλκμάν. Μαινόβωρα πόλις Μαστινηνῶν. Ἑκαταῖος Εὐρώπῃ.
Ἄσσωρον ὄρος Σάμου, ὅθεν ῥεῖ ὁ Ἀμφίλυσος. Εὐφορίων Ἀρτεμιδώρῳ «δαῖμον ὃς Ἀμφιλύσοιο
ῥόον ....» Ἴσαυρα πόλις, Χάραξ δὲ θηλυκῶς. Μάσταυρα πόλις Λυδίας, ἀπὸ Μᾶς. Μᾶ δὲ τῇ Ῥέᾳ
εἵπετο, ᾗ παρέδωκε Ζεὺς Διόνυσον τρέφειν. καὶ ἡ Μᾶ παρὰ τῆς Ἥρας ἐρωτηθεῖσα, τίνος εἴη τὸ
βρέφος, Ἄρεος ἔφη. καὶ παρὰ Καρσὶν ὁ Διόνυσος Μάσαρις ἔνθεν ἐκλήθη. ἐκαλεῖτο δὲ καὶ ἡ Ῥέα
Μᾶ καὶ ταῦρος αὐτῇ ἐθύετο παρὰ Λυδοῖς, ἀφ' ἧς ἡ πόλις. Ἄνδειρα πόλις Τρῳάδος.
3,1 389 Στράβων ιγ′ (p. 610) καὶ Θεόπομπος ιγ′. Στάγειρα πόλις Μακεδονίας. λέγεται καὶ Στάγειρος.
Γάδειρα πόλις καὶ νῆσος ἐν τῷ ὠκεανῷ στενὴ καὶ περιμήκης, ὡς οὖσα ταινία τῆς γῆς δειρά.
Ἐρατοσθένης δὲ ἡ Γάδειρος φησὶ θηλυκῶς. Θυάτειρα πόλις Λυδίας, ἡ πρότερον Πελόπεια καὶ
Σεμίραμις, ὑπὸ Σελεύκου τοῦ Νικάτορος Λυσιμάχῳ πολεμοῦντος καὶ ἀκούσαντος, ὅτι θυγάτηρ
αὐτῷ γέγονε, τὴν πόλιν ἐκάλεσε Θυγάτειρα. καὶ ἔδει θηλυκῶς. νῦν δὲ οὐδετέρως φασίν.
Κατάνειρα πόλις .... ὡς Θεόπομπος λε′ Φιλιππικῶν. Ἀπάτουρον τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν
Φαναγορείᾳ. Στράβων ἑνδεκάτῃ (p. 495) «ἐτυμολογοῦσι δὲ οὕτως· ἐπιθεμένων ἐκεῖ τῶν
Γιγάντων ἐπικαλεσαμένη τὸν Ἡρακλέα ἔκρυψεν ἐν κευθμῶνί τινι, καὶ τῶν Γιγάντων ἕκαστον
δεχομένη καθ' ἕνα τῷ Ἡρακλεῖ παρεδίδου δολοφονεῖν ἐξ ἀπάτης». Ἑκαταῖος δὲ κόλπον οἶδε
τὸν Ἀπάτουρον ἐν τῇ Ἀσίᾳ. Βάλβουρα πόλις Λυκίας. Τίβουρ α. οὕτως Νικάνωρ ὁ Ἑρμείου
Τίβυριν πόλιν Ἰταλίας καλεῖ. * Τὰ εἰς σον οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, Δύνδασον
πόλις Καρίας. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β′ «αὖθις δ' ἐπὶ Δύνδασον καὶ Κάλυνδα ὁρμῆσαι».
Ἄμβασον μητρόπολις τῶν Φρυγῶν. Μέγασα πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει Ἀσίας «ἐξ
αὐτῆς Σιτοφάγοι καὶ Ἀροτῆρες ......» Μέδμασα πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. Ἅρπασα πόλις
Καρίας ἀπὸ Ἁρπάσου ποταμοῦ. Βάργασα πόλις Καρίας ἀπὸ Βαργάσου τοῦ υἱοῦ Βάργης καὶ
Ἡρακλέους, ὃν ἐδίωξε Λάμος ὁ Ὀμφάλης καὶ Ἡρακλέους, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ.
Γέρασα πόλις τῆς κοίλης Συρίας, τῆς δεκαπόλεως. Μύλασα πόλις Καρίας ἀπὸ Μυλάσου τοῦ
Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου. λέγεται καὶ Μύλασος, ὡς Αἰσχύλος ἐν
Καρσὶν ἢ Εὐρώπῃ. Πήγασα πόλις Καρίας. δεῖ δὲ οὐ διὰ τοῦ δ γράφειν Πήδασα, ἀλλὰ διὰ τοῦ γ
Πήγασα. Κύρβασα πόλις Καρίας. Δέδμασα πόλις Καρίας. Ἱέρασα ἢ Ἴρασα τόπος Λιβύης, εἰς ὃν
μετήγαγον Βάττον οἱ Λίβυες, ὡς Ἡρόδοτος τετάρτῃ (c. 158). Κάνδασα φρούριον Καρίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πολύβιος ἑκκαιδεκάτῳ. Πλάρασα πόλις Καρίας. Τόμισα χωρίον διορίζον Καππαδοκίαν ἀπὸ τοῦ Ταύρου. Πιμώλισα φρούριον τῆς ἐντὸς Ἅλυος Ποντικῆς. Μονόγισα πόλις Καρίας. ἵδρυμα Δαιδάλου μετρῶν ... γίσσα γὰρ τῇ Καρῶν φωνῇ λίθος ἑρμηνεύεται. καὶ νῦν τοὺς πλακώδεις καὶ μαλακώδεις λίθους γίσσα λέγουσιν. Τὰ εἰς τον διβράχεα ὀξύνεται, εἰ μὴ πρὸ τέλους ι ἔχοι μόνον, φυτό ν , ῥυτόν εἶδος ποτηρίου, βοτόν ἡ βοτάνη. Χυτόν χωρίον ἠπείρου. Ἔφορος ἐννεακαιδεκάτῳ «οἱ δ’ ἐκ Κλαζομενῶν κατῴκισαν τῆς ἠπείρου τὸ Χυτὸν καλούμενον». τὸ μέντοι βλίτον ἡ βοτάνη βαρύνεται. σεσημείωται Κύτα πόλις Κολχική. ἔστι καὶ Εὐρώπης. τὸ δὲ Δᾶτον πόλις Θρᾴκης «Ἡρόδοτος ἐνάτῃ (c. 75) μακρᾷ παραλήγεται. Τὰ εἰς τον δισύλλαβα ἔχοντα σύμφωνα κατὰ σύλληψιν ὀξύνεται, Λεκτό ν , δρεπτό ν.

3,1 390 τὸ μέντοι Ῥάπτα ἡ μητρόπολις τῶν ἐντὸς Αἰθιόπων βαρύνεται. τὰ δὲ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν βαρύνεται, μύρτον ἡ μυρσίνη, γέντον τὸ κρέας, σπάρτον καὶ Σπάρτον ὄρος πλησίον τοῦ Εὐξείνου πόντου. τὸ μέντοι παλτόν τὸ δόρυ ὀξύνεται. Τὰ εἰς τον ὑπερδισύλλαβα βαρύνεται, πρόβατο ν , ἔγκατο ν , ἄλφιτο ν , γίγαρτο ν . Ἔμβατον τόπος τῆς Ἐρυθραίας. Θεόπομπος Ἑλληνικῶν ὀγδόῃ. Μήκιστον πόλις Τριφυλίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄλλη τῆς Ἤλιδος. Πρόσπαλτα δῆμος Ἀκαμαντίδος φυλῆς. Σάραπτα πόλις Φοινίκης. Μαννάκαρτα πόλις Ἀραβίας. Ἀλύαττα χωρίον Βιθυνίας ἀπὸ Ἀλυάττου κρατήσαντος τὸν τόπον. Ἀρτάξατα πόλις Ἀρμενίας. Στράβων ἑνδεκάτῃ (p. 527). ἣν καὶ Ἀρταξιάσατα καλοῦσι. λέγεται τὴν πόλιν οἰκίσαι Ἀρταξίαν Ἀρμενίας βασιλεύσαντα. Ἰωτάπατα πόλις Συρίας. Ἰώσηπος ἐν τρίτῳ (B. I. c. 6) καὶ θηλυκῶς Ἰωταπάτη. Σαμόσατα πόλις Κομμαγηνῆς ἐπὶ τῷ Εὐφράτῃ. Κυρέσχατα πόλις πρὸς τοῖς ἐσχάτοις Περσίδος, ἣ καὶ Κύρου πόλις καλεῖται, Μόκατα πόλις Βιθυνίας, ὡς Δομέτιος Καλλίστρατος ἐν τῷ περὶ Ἡρακλείας τετάρτῳ. Πάνακτον φρούριον Ἀττικῆς, ὡς Ἀνδροτίων ἐν τρίτῳ Ἀτθίδος. Ταΰγετον ὄρος τῆς Λακωνικῆς. Ὅμηρος «ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον» (Od. ζ 103). λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως. ἀπὸ Ταϋγέτης τῆς μητρὸς Εὐρώτα. Τύδερτα πόλις Τυρρηνική. Ἀρκεσίκερτα, ὅ ἐστιν Ἀρκεσίου κτίσμα, ἐκλήθη Ἐπιφάνεια πόλις κατὰ Τίγριν. Δαδόκερτα φρούριον μέγα τῆς Ἀρμενίας μεταξὺ Μηδίας. Τιγρανόκερτα πόλις πρὸς Ἀρμενίαν, ἀπὸ Τιγράνου βασιλέως Ἀρμενίας. Λάδεστον ἢ Λάδεστα μία τῶν Λιβυρνίδων νήσων. Θεόπομπος κα′ Φιλιππικῶν. Δεκίητον πόλις Ἰταλίας. Νήριτον τὸ ὄρος. Σύβοτα νῆσος πρὸς τῷ Ἀμβρακικῷ κόλπῳ καὶ λιμήν. Ἄδροττα χωρίον ἐν Λυδίᾳ παραθαλάσσιον καὶ κατάκρημνον. Κόροντα πόλις Ἀκαρνανίας. Θουκυδίδης δευτέρᾳ (c. 102). τὸ δὲ ἑρπετόν ὀξύνεται καὶ ἐνδυτόν καὶ δελτωτόν ὡς τριγενές. ἔτι καὶ Συρρεντόν πόλις Τυρρηνίας, ἣ καὶ Συρρέντιον, καὶ Πικεντό ν. οὕτω γὰρ Φλέγων Πικεντίαν πόλιν Τυρρηνίας καλεῖ. * Τὰ εἰς χον οὐδέτερα ὑπερδισύλλαβα προπαροξύνεται, Ναύλοχο ν· οὕτως πρότερον Σμύρνα ἐκαλεῖτο. Σάριχα πόλις Καππαδοκίας. Τὰ εἰς ρ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, ἔα ρ , κέα ρ , κτέα ρ , στέα ρ , φρέαρ, ἃ καὶ στεῖαρ καὶ φρεῖαρ λέγεται «φρείατα μακρὰ νάουσι» (Φ 197) ὡς εἶδαρ γέγονε ἐκ τοῦ ἔδαρ ἐν πλεονασμῷ τοῦ ι , δέλεα ρ , ὄνεια ρ , ἄλεια ρ , νόα ρ , ὕπα ρ , πύα ρ , σῦφα ρ , πῖα ρ , ἶλα ρ , τέκμα ρ , ἔχθα ρ , νέκτα ρ , πέπα ρ , θένα ρ , ὄνα ρ , ἧπα ρ , ἦμα ρ , νῶκα ρ , μῶμα ρ , βῶμα ρ , οὖθα ρ , πεῖραρ, ὅπερ μόνον ἐστὶ εἰς ρ λῆγον οὐδέτερον πρὸ τοῦ α ἔχον ρ , ἄλκαρ, ἄλειφα ρ , κάρηα ρ .

3,1 391 νίκωρ παρὰ Σώφρονι τῷ μιμογράφῳ, ὕδω ρ , ἔλδωρ, ὅπερ κατὰ πλεονασμὸν τοῦ ε γίνεται ἐέλδωρ τρισυλλάβως «τόδε μοι κρήηνον ἐέλδωρ» (A 41). ὁ δὲ Ἴβυκος ἔσθ’ ὅτε καὶ θηλυκῶς προφέρεται οὔτι κατὰ σφετέραν ἐέλδω καὶ ἐσθλὰν ποτιδεγμένων ἐέλδω. ἔλωρ, ἐξ οὗ τὸ «ἑλώρια τεῦχε κύνεσσιν» (A 4)· Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς (E 684). τέκμωρ, τοῦτο δέ ἐστιν σημειῶδες, ὅτι μόνον εἰς ωρ λῆγον οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἔχει ἐπιπλοκὴν δύο συμφώνων πρὸ τοῦ ω . ἢ ἴσως ἀναλογώτερον ἐκδεκτέον τὸ τέκμαρ. ἴσον γὰρ ἐγένετο τῷ νέκταρ καὶ ἔχθαρ. οὐ φιλεῖ δὲ τὰ τοιαῦτα προϋπάρχειν τῶν εἰς ωρ . τοῦ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σημειοῦσθαι τὸ τέκμωρ αἴτιον ὁ πλεονασμὸς τοῦ μ . ἧτο ρ , ἄο ρ. Τὰ εἰς ας βαρύνεται, γῆρα ς , κρέα ς. τοῦτο μόνον οὐδέτερον εἰς ας καθαρὸν τῷ ε παραλῆγον κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων. παρὰ γὰρ Ἑκαταίῳ ἐστὶ «τὰ δέατα περιτεταμένοι». ἀλλ' οὐ σύνηθές ἐστι λέγειν δέας. ὅ τε Σοφοκλῆς ἐν Κηδαλίωνι σατυρικῷ φησι καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων ὑπὸ τοῦ δέατος. ἀντὶ τοῦ δέους. ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅ τε Ξενοφάνης φησὶ ἁγνὸν ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ. ἀλλ' οὐ γὰρ λέγεται σπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοιούτων εὐθειῶν τὰς κλίσεις λαμβάνει, οὐκ οὐσῶν μέντοι ἐν χρήσει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ κτεάτεσσιν (α 218) ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε (α 218) μεταπλασμοῦ ἔχεται ἐκ τῆς κτεάτοις δοτικῆς.

3,1 392 — δέμα ς. καὶ τοῦτο μονῆρές ἐστι, οὐδὲν γὰρ εἰς μας λῆγον οὐδέτερον «στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐΐκτην» (Φ 285). οὖα ς , κέρα ς , δέπα ς , πέρα ς , τέρα ς , βρέτα ς , λέπα ς , σκέπα ς , κνέφα ς , σέβα ς , γέρα ς , ψέφα ς , οὖδα ς , κῶα ς. Ἔτι τὰ εἰς ος βαρύνεται, τεῖχο ς· ἔστι καὶ φρούριον Ἀχαΐας. βέλο ς , πέλαγο ς , ὄνειδο ς . φᾶρος, ὅπερ ἐστὶ σημειῶδες. τὰ εἰς ος λήγοντα οὐδέτερα, εἰ ἔχοι πρὸ τέλους τὸ α , συνεσταλμένον πάντως αὐτὸ ἔχει, εἰ μὴ κατὰ διάλεκτον εἴη, ὥσπερ τὸ πᾶρος ἐπὶ γὰρ πᾶρος ὀνιαρὸν ἱκνεῖται Ἀλκαῖός φησι. τοιοῦτο δέ ἐστι καὶ τὸ μᾶκο ς , δᾶνο ς. τὸ δὲ πρᾶγος ἤδη καὶ τὸ ῥῆμα δοκεῖ ἔχειν μεταβολήν. ἔστω οὖν τῶν συστελλόντων τὸ α παραδείγματα, πάθο ς , τάφο ς. ὅπερ καὶ ἀρσενικόν ἐστι ὣς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο (Ω 804). καὶ θηλυκὸν ἐπὶ τῆς νήσου. ὁπότε δὲ ἐπὶ τῆς ἐκπλήξεως παραλαμβάνεται, γένος ἐπιδέχεται τὸ οὐδέτερον· ἣ δ' ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανε (ψ 93). ἀλλ' ἴσως τοῦτο ἀμφίβολον. ὁ μέντοι Ἴβυκος διέστειλε τὸ γένος ἐν τῷ πρώτῳ, σχεδὸν τὸν Ὁμηρικὸν μεταλαβών· φησὶ γὰρ δαρὸν χρόνον ἧστο τάφει πεπηγώς. οὕτω γὰρ ἔκλινεν ὡς βέλει. Ἀναδράμωμεν δὴ ἐπὶ τὰ παραδείγματα, θάλο ς , δάος «δάος μετὰ χερσὶν ἔχουσα» (ψ 294), φάο ς, πάθος, μάθο ς. Ἀλκαῖος «ἀππατέρων μάθος», νάπο ς , γάνο ς , σάκο ς , δάκο ς , βάρο ς , χάο ς , κράτο ς , θράσο ς. σημειῶδες ἄρα τὸ φᾶρος ἐκτεινόμενον τὸ α . φᾶρος μέν οἱ πρῶτον ἐΰπλυνὲς ἠδὲ χιτῶνα (π 173) οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ α καὶ συστέλλουσι, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις· εἴ μοι γένοιτο φᾶρος ἶσον ἐν οὐρανῷ. ἀλλὰ κατὰ συστολὴν παρὰ Σοφοκλεῖ ἐν Τηρεῖ σπεύδουσαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει καὶ ἐν Κρίσει σατυρικῇ καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι. παραφυλακτέον ὅτι τὸ φάρος τυχὸν συστελλομένου τοῦ α ἀναδέχεται πάλιν ἐν διαφόρῳ σημαινομένῳ τὰ τρία γένη ὥσπερ καὶ τὸ τάφος. ἔστι γὰρ ἀρσενικόν. οὕτω γὰρ ὁ Μενελάου ἐκαλεῖτο πρωρεύς. ἀλλὰ καὶ θηλυκὸν ἐπὶ τῆς νήσου ἀπ' αὐτοῦ τὸ ὄνομα λαβούσης, ὥς φησιν Ἑκαταῖος.

3,1 393 καὶ οὐδέτερον, ὁπότε σημαντικὸν τοῦ ἱματίου ἢ καὶ τοῦ ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρὰ Ἀντιμάχῳ «ἀεὶ φάρεος χατέουσιν ἑκόντες». οὕτως ἐν τοῖς ἀντιγράφοις εὕρηται. — κάλλο ς· καὶ τοῦτό ἐστι μονῆρες. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα δισσὸν τὸ λ οὐ θέλει εἶναι οὐδέτερα. Ὕλλος. Κύλλος τὸ κύριον. Σκύλλος, Ψύλλος, Τέλλος, Φέλλος τὸ κύριον, Βίλλος, σίλλος, Γρύλλος, Κόλλος, Γάλλος, ἴλλος, Γίλλος. ἔστι δὲ καὶ ἄλλα πολλὰ τούτοις ἐμφερῆ, ἅπερ παραιτεῖται τὸ οὐδέτερον γένος. δῆλον οὖν ὡς τὸ κάλλος πεπλάνηται ἢ περὶ ποσότητα τοῦ λ ἢ περὶ τὸ γένος. ὅσα γὰρ οὐδέτερά ἐστιν εἰς ος λήγοντα, ταῦτα παραιτεῖται ἔχειν ἕτερον λ , ὡς τὸ ἕλος —ἔστι καὶ πόλις Λακωνικὴ καὶ Μεσσηνίς «καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον» (Β 594) παρὰ τὸ ἐν ἕλει εἶναι· ἔστι καὶ Ἕλος Αἰγύπτου. ἔστι δὲ καὶ τόπος μεταξὺ τοῦ Πειραιέως καὶ τοῦ τετρακώμου Ἡρακλείου, ἐν ᾧ τοὺς γυμνικοὺς ἀγῶνας ἐτίθεσαν τοῖς παναθηναίοις— θάλος «φίλου θάλος» (Χ 87). — σκέλο ς , βέλο ς , τέλο ς , μέλος δισύλλαβα· τὰ δὲ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς ὄντα οὐδέτερα οὐκ εἰσὶν οἷον ζάφελος, σκόπελος, πέμπελος πλὴν τοῦ ὄφελος, ὅπερ εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι, ἄκλιτον ἔμεινεν. ὕψος μόνον ὄνομα ἀρχόμενον ἀπὸ τοῦ υ ἔχον ἐπιφερόμενον διπλοῦν. αἴτιον δὲ τὸ πάθος. γέγονε γὰρ παρὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπτω τὸ βλέπω ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος. Αἰολεῖς δ’ ἴψος λέγουσιν αὐτὸ οἰκειότερον· ἔστι γὰρ εὑρέσθαι τὸ ι πρὸ τοῦ διπλοῦ, ἵζω, ἰξός, «μέγα δ’ ἴψαο λαὸν Ἀχαιῶν» (Α 454). ὡσαύτως ἀπὸ μελλόντων τὸ ἄψος «λύθεν δέ οἱ ἄψεα πάντα» (δ 794) καὶ «πίσεα ποιήεντα» (Υ 9). στεῖνος τὸ οὐδέτερον—«στεῖνος ὁδοῦ κοίλης» (Ψ 419)· ἐπίσταται δὲ ὁ ποιητὴς καὶ τὴν δοτικὴν «στείνει ἐν αἰνοτάτῳ» (Il. Θ 476)—τὸ δὲ ἀρσενικὸν ὀξύνεται, ὡσαύτως καὶ μάκρος παρ’ Ἀριστοφάνει «ὦ Πόσειδον τοῦ μάκρους» (Av. 1131). καὶ μακρός—καὶ κλεῖτος παρ’ Ἀλκμᾶνι «τῷ ἐν Θεσσαλίῳ κλείτει» καὶ κλειτός. — οὖδος, ὅπερ ἀπὸ τοῦ οὖδας γίνεται ὡς γῆρος παρὰ τὸ γῆρας καὶ κῶος παρὰ τὸ κῶας καὶ ὦος παρὰ τὸ ὦας. — κνύος ἡ φθορά παρὰ τὸ κνύω παρ’ Ἡσιόδῳ ὡς παρὰ τὸ θύω θύος καὶ φλύω φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας. Αἶπος ὄρος Λυδίας. Ἄργος διασημοτάτη πόλις Πελοποννήσου. δευτέρα Ἄργος τὸ Ἀμφιλοχικόν. τρίτη Θεσσαλίας ἡ νῦν Λάρισσα. τετάρτη Κιλικίας ἡ νῦν Ἀργειόπολις πέμπτη ἐν Νισύρῳ μιᾷ τῶν Κυκλάδων. ἕκτη κατὰ Τροιζῆνα. ἑβδόμη κατὰ Μακεδονίαν. ὀγδόη Ἄργος Ὀρέστιον ἡ ἐν Σκυθίᾳ. ἐνάτη Καρίας. δεκάτη τὸ Ἀργολικόν.

3,1 394 ἑνδεκάτη ἡ Φαιάκων Ὑπέρεια. Ἄργος δὲ σχεδὸν πᾶν πεδίον κατὰ θάλασσαν. Βῖδος φρούριον ἐν Σικελίᾳ. εὕρηται δὲ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι . Ἕρμος ὡς ἕρκος οὐδετέρως δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. λέγεται καὶ Ἕρμοι. τέμενο ς· ἔστι καὶ Τέμενος τόπος Σικελίας ὑπὸ τὰς Ἐπιπολὰς πρὸς ταῖς Συρακούσαις. τὸ ἔλεγχος, τὸ σκότος, τὸ τάριχος γέγονε κατὰ μεταβολὴν τοῦ γένους ἐκ τοῦ ὁ ἔλεγχος, ὁ σκότος, ὁ τάριχος. αἱ δὲ μετοχαὶ ὀξύνονται, τὸ τετυφός, πεποιηκός. Τὰ εἰς ες μονογενῆ προπαροξύνεται, Κυνόσαργες γυμνάσιον ἐν τῇ Ἀττικῇ καὶ δῆμος, ἀπὸ Διόμου, ἀφ’ οὗ ὁ χῶρος Ἀθήνησι Διόμεια καλεῖται. Δίομος γὰρ Ἡρακλεῖ ὡς θεῷ θύων τὰ ξενώσων (?) ἱερὰ Ἡρακλεῖ ἥρῳ ἔδειξε καὶ αὐτῷ κύων λευκὸς ἁρπάσας τὰ μηρία εἰς τοῦτο τὸ χωρίον ἤνεγκε. ὅμαρες τὸ συμφωνοῦν, πεύκαες τὸ πικρόν, ῥώπαες τὸ ἀλσῶδες, πάνακες, δονάκαε ς. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται ὥσπερ καὶ τὰ ἀρσενικά, εὐσεβέ ς , εὐγενέ ς. ΠΕΡΙ ΜΟΝΟΣΥΛΛΑΒΩΝ ΟΝΟΜΑΤΩΝ. ΒΙΒΛΙΟΝ ιδʹ. Πᾶν ὄνομα μονοσύλλαβον οὐδέτερον μακροκατάληκτον, εἴτε ἀπαθὲς εἴη εἴτε πεπονθός, περισπᾶται καὶ ἔστι τὰ μονοσύλλαβα τῶν στοιχείων ὀνόματα ε ἶ , μ ῦ , ν ῦ , ξ ῖ , ο ὖ , π ῖ , ῥ ῶ , τα ῦ , φ ῖ , χ ῖ , ψ ῖ , ὦ. — πᾶν ἀπὸ τοῦ πᾶς καὶ τὸ δῶ ἀπὸ τοῦ δῶμα καὶ τὸ φᾶρ τὸ ἱμάτιον ἀπὸ τοῦ φᾶρος καὶ κρ ῖ , σταῖ ς , στῆρ τὸ στέαρ, οὖ ς , ὦ ς , φῶ ς , πῦ ρ, σκῶρ· τοῦτο δέ φασι Δωριεῖς ὀξύνειν· τὰ δὲ ἔχοντα βραχεῖαν ὀξύνεται, ἕν, τίς τί. Πᾶν ὄνομα μονοσύλλαβον εἰς ν λῆγον ἀρσενικὸν καὶ θηλυκὸν ὀξύνεται, Πάν ὁ δαίμων, Δά ν· οὕτως εἴρηται ὑπὸ Βοιωτῶν ὁ Ζεύς, Ζά ν· οὕτω γὰρ εἴρηται ὁ θεὸς ὑπὸ τῶν μεταγενεστέρων Αἰολέων· καὶ ἔτι οἱ μεταγενέστεροι Ἴωνες διὰ τοῦ α Ζάν ὁμοίως τῷ Λυκᾶνι «κλῦθί μοι Ζανός τε κούρη Ζανί τ’ ἐλευθερίῳ».

3,1 395 Ζήν ὁ Ζεύς καὶ Δή ν , μή ν , σπλή ν , σφή ν , ψήν ἀρσενικά, τὸ δὲ χήν κοινὸν τῷ γένει· θηλυκὸν γὰρ αὐτὸ οἶδεν ὁ ποιητής «ὡς ὅδε χῆν’ ἥρπαξ’ ἀτιταλλομένην ἐνὶ οἴκῳ» (Od. ο 174) καὶ «αἰετὸς ἀργὴν χῆνα φέρων» (ο 161), ἀρσενικὸν δὲ οὕτως «χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν—ἐξ ὕδατος» (Od. τ 536), εἶτα ἐπιφέρει ἐλθὼν δ’ ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης πᾶσι κατ’ αὐχένας ἧξε καὶ ἔκτανεν, οἱ δὲ κέχυντο. λέγεται δὲ καὶ Χήν πόλις Λακωνικῆς θηλυκῶς. καὶ τὸ μὲν χήν ἐν κοινότητι. Ὧι ὅμοιον δύναιτο ἂν εἶναι καὶ τὸ ῥήν τὸ θρέμμα, εἴ τις βούλοιτο. ἐπὶ δὲ τῆς αἰτιατικῆς Νίκανδρος (Ther. 453) «αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν». τὸ δὲ φρήν μόνως θηλυκὸν πεπλάνηται περὶ τὸ γένος, διὸ καὶ ἐξηλλάγη αὐτοῦ ἡ κλίσις ὡς πρὸς τὰ ἄλλα μονοσύλλαβα, φρενός γάρ, τῶν ἄλλων φυλασσόντων τὸ η . οὐκ ἀντιθήσει τις ἡμῖν τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν Λεοντίου αʹ «δερκόμενος πρὸς κῦμα, μόνη δὲ οἱ ἐφλέγετο γλή ν. οὐ γὰρ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη. Ῥών πόλις τῆς Γανδαρικῆς Σκυθίας, κλώ ν , πρώ ν , Χών ὄνομα ποταμοῦ, ἐξ οὗ καὶ ἡ ἤπειρος Χωνία, παρὰ Ἡροδότῳ (9, 93) καὶ Χών τὸ ἐθνικόν, οὗ μέμνηται Στράβων ἐν ἕκτῃ (p. 254) «καὶ Χώνη πόλις ὑπὲρ αὐτῆς, ἀφ’ ἧς οἱ ταύτῃ Χῶνες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκλήθησαν». χθών μόνον θηλυκὸν ἐκ τῶν εἰς ων μονοσυλλάβων καὶ διαλλάξαν κατὰ τὴν κλίσιν. γίνεται δὲ παρὰ τὸ χῶ ῥῆμα χών καὶ χθών. Θώ ν, ἀφ' οὗ καὶ ἡ γενικὴ Θῶνος. τὸ δὲ Θῶν Θῶντος ἐκ πάντων τῶν μονοσυλλάβων μόνον περισπᾶται μιμησάμενον κατὰ τὴν κλίσιν τὴν σμῶντος, κλῶντος, δρῶντος μετοχήν. Τὰ εἰς ιν μονοσύλλαβα δικατάληκτα ὀξύνεται, ἴν ἴς, ῥίν ῥίς, θίν θίς. * Εἰς υν μονοσύλλαβον οὐκ ἔστιν εὑρεῖν· πάντα γὰρ ὑπὲρ μίαν συλλαβήν ἐστιν· διὸ τὴν κυνός γενικὴν ἀπὸ τῆς κύονος συνεκκεκόφθαι φαμέν, ὡς καὶ ἡ κλητικὴ μαρτυρεῖ ὦ κύον. Τὰ εἰς αξ μονοσύλλαβα ὀξύνεται, σπά ξ· οὕτως ὁ κύων παρὰ Πέρσαις, πλά ξ , γλάξ βοτάνη γαλακτοποιός, ῥά ξ· ἔστι δὲ καὶ Ῥάξ νῆσος Λυκίας.

3,1 396 Πράξ Ἀχιλλέως ἀπόγονος, ὃς ἐξ Ἠπείρου μὲν ὥρμησε, ᾤκησε δὲ ἐν τῇ Λακωνικῇ, ἀφ' οὗ Πρᾶκες ἔθνος. ὡσαύτως δὲ καὶ τὰ μετὰ συμφώνου ὀξύνεται στράγξ καὶ σάρ ξ. Τὰ εἰς ξ μονοσύλλαβα ἔχοντα ἕν τι τῶν φύσει βραχέων, σπάνια ὄντα καὶ ἱστορίας ἐχόμενα, ὀξύνεται, Λέξ τὸ ἔθνος, κρέ ξ , πρό ξ , φλό ξ , κρό ξ , δόρ ξ , ζόρ ξ , ὅλ ξ. Τὰ εἰς ξ λήγοντα μονοσύλλαβα ἔχοντα ἕν τι τῶν φύσει μακρῶν ὀξύνεται, σφήξ · Σφῆκες δὲ ἐκαλοῦντο καὶ οἱ τὴν Κύπρον ἐνοικοῦντες. κή ξ , βή ξ , δή ξ , πτώ ξ , πρώ ξ , ῥώ ξ, ὃ διὰ τοῦ γ κλίνεται, ὧλ ξ· τὸ δὲ βῶξ μόνον ἐκ πάντων περισπᾶται, ἐπεὶ τούτου ἐντελέστερον τὸ βόαξ, ὡς Ἀριστοφάνης ἀλλ' ἔχουσα γαστέρα μεστὴν βοάκων καὶ Φερεκράτης εἰπὼν τί ληρεῖς; ἀλλὰ φωνὴν οὐκ ἔχειν ἰχθῦν γέ φασι τὸ παράπαν ἐπιφέρει νὴ τὼ θεώ κοὐκ ἔστιν ἰχθῦς ἄλλος ἢ βόαξ. Ἀριστοτέλης δὲ ὅτι μόνος τῶν ἰχθύων φωνὴν προΐεται καὶ οὕτως ὠνόμασται. Τὰ εἰς ιξ μονοσύλλαβα ὀξύνεται, στίξ ἡ τάξις, φρί ξ , θρί ξ , ψί ξ , πνί ξ , πλί ξ , Βρίξ ἔθνος Θρᾳκικόν. Ἡρόδοτος ἑβδόμῃ (c. 73) «οἱ δὲ Φρύγες, ὡς Μακεδόνες λέγουσι, καλέονται Βρίγες» ἀπὸ Βρίγου τοῦ κατοικήσαντος ἐν Μακεδονίᾳ, ἴξ θηρίδιόν τι ἐσθίον τὰς ἀμπέλους, Φί ξ , Σφί ξ , στρίξ καὶ στρίγξ εἶδος ὀρνέου, ὅπερ τινὲς καὶ διὰ τοῦ λ γράφουσι στλί ξ , Λίγξ ποταμὸς Μαυριτανίας καὶ πόλις· τινὲς δὲ Λίξον γράφουσιν. Τὰ εἰς υξ μονοσύλλαβα ὀξύνεται, τρύ ξ , Φρύξ τὸ κύριον καὶ τὸ ἐθνικόν, Βρύξ Μακεδονικὸν ἔθνος προσεχὲς Ἰλλυριοῖς, πτύ ξ , Στύ ξ , νύ ξ , στρύ ξ , πνύξ τὸ παρ' Ἀθηναίοις δικαστήριον· ἔστι πύκν ὄνομα κύριον.

3,1 397 οὐ δύναται δὲ καταλῆξαι καὶ ὑπερετέθη τὸ ν καὶ ἐτράπη τὸ κ εἰς ξ πνύξ. ὑπέρθεσιν ἄρα ἔχει διὰ τὴν κατάληξιν· ἐν δὲ τῇ γενικῇ ἀπέλαβε τὴν τάξιν μετὰ τοῦ κ πνύξ πυκνός «τῆς πυκνὸς τὰς ἡνίας» «τοῦ λίθου τοῦν τῇ πυκνί» καὶ «πύκνα». κέκληται δὲ παρὰ τὸ πυκνὸν τῶν πάλαι ᾠκισμένων οἰκιῶν, λύγξ καὶ Λύγξ πόλις Λιβύης πρὸς τοῖς Γαδείροις μετὰ τὸν Ἄτλαντα· καὶ νῆσος Ἄτλαντος καὶ πόλις Λύγξ, ὡς Ἀρτεμίδωρος. Τὰ εἰς αιξ μονοσύλλαβα ὀξύνεται, Ῥαί ξ , Γραίξ, Γραῖκες γὰρ παρ' Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν· εἰσὶ δὲ καὶ Γραῖκες Αἰολέων οἱ τὸ Πάριον οἰκοῦντες. ἔστι δὲ ἢ μεταπλασμὸς ἢ τῆς Γραίξ εὐθείας κλίσις ἐστίν. ἀλλὰ δύο μόνα εὕρηται ἐν τῇ συνήθει χρήσει· τὸ αἴξ ἐπὶ τοῦ ζῴου· καὶ τοῦτο οἱ Ἀττικοὶ περισπῶσι, καὶ τὸ Θρᾷ ξ, ὅπερ οὐδὲ ἐκφωνεῖ τὸ ι . τοῦτο δὲ περισπᾶται, ἐπεὶ καὶ ἐντελέστερον αὐτοῦ τὸ Θράϊξ δισύλλαβον «Θρήϊκας» (Il. B 844) καὶ «Θρήϊκες οἵδ' ἀπάνευθε νεήλυδες» (K 434) καὶ «Θρηΐκιον» (Ψ 230). Τὰ εἰς αυξ μονοσύλλαβά εἰσι δύο μόνα, τὸ Ταῦ ξ, ἱστορεῖται οὗτος ποταμὸς περὶ Σικελίαν, καὶ τοῦτο περισπᾶται, καὶ τὸ γλαύξ, ὃ παρ' ἡμῖν μὲν ὀξύνεται, παρὰ δὲ Ἀθηναίοις καὶ τοῦτό τινες περισπῶσιν. Οὐδὲν εἰς οιξ λήγει ὄνομα πλὴν μόνον ἡ προίξ καὶ ὀξύνεται. Πᾶν τοίνυν εἰς ξ μονοσύλλαβον κοινολεκτούμενον ὀξύνεται πλὴν τοῦ Θρᾷξ καὶ τοῦ βῶξ. Τὰ εἰς ρ ἀρσενικὰ καὶ θηλυκὰ μονοσύλλαβα ὀξύνεται. Πά ρ· τόπος δέ ἐστιν ἐν τῷ περὶ Θυρέᾳ, ἐν ᾧ ἐμαχήσαντο οἱ Ἀργεῖοι καὶ Λακεδαιμόνιοι. Κά ρ· ἔστι δὲ ἔθνος ὁμονύμως τῷ κτίστῃ. Μάρ ἔθνος προσεχὲς τοῖς Μοσσυνοίκοις. Ἑκαταῖος Ἀσίᾳ. ψά ρ· ἔστι δὲ εἶδος ὀρνέου· τοῦτο δὲ παρὰ τῷ ποιητῇ καὶ διὰ τοῦ α εὑρίσκεται καὶ διὰ τοῦ η οἷον «κολοιούς τε ψῆράς τε» (Π 583) καὶ «ψαρῶν νέφος ἔρχεται» (Ρ 755). Σήρ ἔθνος Ἰνδικόν, ὅθεν σηρικὰ τὰ πολυτελῆ ἱμάτια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 398 Τρήρ Θρᾴκιον ἔθνος. λέγεται καὶ τρισυλλάβως παρὰ Καλλίνῳ τῷ ποιητῇ «Τρήρεας ἄνδρας ἄγων». Θεόπομπος Θρᾶρας αὐτοὺς καλεῖ. Ἀρριανὸς δὲ ἐν Βιθυνιακοῖς Τρίηρας. θή ρ , φήρ ὁ κένταυρος «φηρσὶν ὀρεσκῴοις» (Α 268) καὶ κήρ τὸ θηλυκὸν ἡ θανατηφόρος μοῖρα «μάρτυροι οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι» (Β 302) καὶ κατὰ ποιητικὴν συστολὴν τοῦ η εἰς α «τίω δέ μιν ἐν καρὸς αἴσῃ» (Ι 378), ἤρ ἐπὶ τῆς ἐπικουρίας· καὶ ὀξύνεται ἡ γενικὴ ἠρός καὶ ἡ αἰτιατικὴ ἦρα καὶ ἐν συνθέσει ἐπιῆρα. βήρ τὸ φρέαρ παρὰ Φοίνιξι. —Τὰ εἰς ειρ λήγοντα μονοσύλλαβα τρία μόνα εἰσίν, ἓν μὲν θηλυκὸν τὸ χεί ρ, δύο δὲ ἀρσενικὰ τὸ Εἴ ρ· ἔστι δὲ ὄνομα ποταμοῦ, οὗ μέμνηται Ἀρτεμίδωρος ἐν Γεωγραφουμένοις καὶ τὸ φθεί ρ. τὸ δὲ Φθίρ ὁ υἱὸς τοῦ Ἐνδυμίωνος διὰ τοῦ ι γράφεται, παρὰ δὲ τοῦτο τὸ ὄρος Καρίας καὶ οἱ κατοικοῦντες Φθῖρες «Φθιρῶν τ' ὄρος ἀκριτόφυλλον» (Β 868). ὁμοίως καὶ τὸ Σίρ ἔθνος Θρᾴκης ὑπὲρ τοὺς Βυζαντίους. — φώρ ὁ κλέπτης, Νώρ ὄνομα ἔθνους. Σώ ρ. τὸ δὲ ὦρ περισπᾶται· ἔστι δὲ μόνον θηλυκὸν εἰς ωρ ἐκ τοῦ ὄαρ γενόμενον κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς ω ὥσπερ κρείττονα κρείττω· ἡ δὲ εὐθεῖα οὐχ εὕρηται, ἀναπλάττομεν δὲ αὐτὴν ἀπὸ τοῦ «ἀμύνεμεν ὤρεσιν» (Il. Ε 486). τὸ μέντοι πῦ ρ, ὅπερ Σιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο· «τοῦτο γὰρ μάλιστα φῆρες ἔστυγον πύϊρ», στῆ ρ , κῆρ τὸ κέαρ, σκῶρ ἡ κόπρος ὡς οὐδέτερα περισπᾶται.

3,1 399 ὡσαύτως καὶ βλῆρ Αἰολικῶς τὸ δέλεαρ. οἱ Αἰολεῖς τὸ δ εἰς β τρέπουσι· τοὺς γὰρ δελφῖνας βελφῖνάς φασι καὶ τοὺς Δελφούς Βελφούς· οὕτως οὖν δέλεαρ βέλεαρ καὶ κατὰ συγκοπὴν καὶ συναλοιφὴν βλῆρ πεποίηται. οὕτω καὶ οἱ Βοιωτοὶ ποιοῦσι. τὸ δὲ Σῦρ οὐ σύνηθες παρὰ Ἕλλησιν, ἀλλ' ἱστορίας ἐχόμενον, ἄλλως τε οὐδ' ἄντικρυς οὐδέτερον. οὕτω γὰρ ἐκαλεῖτο πρότερον ἡ Φοινίκη. Τὰ εἰς ας μονοσύλλαβα, εἰ μὲν ἀποβολῇ τοῦ ς τὴν γενικὴν ποιοῦσι, περισπῶνται, ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Θᾶς τοῦ Θᾶ ὄνομα κύριον, ὁ Χνᾶς τοῦ Χνᾶ· οὕτως δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ λέγεται. Δᾶ ς· ὄνομα δὲ τοῦτο ποταμοῦ. Βᾶ ς· ἱστορεῖται δὲ οὗτος βασιλεὺς Πόντου. Λᾶ ς· τοῦτο δὲ καὶ ποταμὸν καὶ λίθον καὶ πόλιν σημαίνει· πᾶς πᾶ ὁ πατήρ· εἰ δὲ περιττοσυλλάβως κλίνοιτο μονογενῆ ὄντα, ὀξύνεται, Πράς Πράντος ὄνομα πόλεως Περραιβικῆς καὶ ποταμοῦ καὶ τὸ ἐθνικὸν ὁμοφώνως, εἰ καὶ ἐν τῷ Ὀνοματικῷ εἶπον αὐτὸ περισπᾶσθαι, Ζάς Ζάντος ὁ Ζεύς, Φθάς κύριον, κράς ἡ κεφαλή. τοῦτο δὲ μόνον διὰ τοῦ τ ἐκλίθη, τῶν ἄλλων μονοσυλλάβων ὀξυτόνων μετοχικῶς κατὰ τὸ φάς φάντος διὰ τοῦ ντ κλινομένων. ἔχομεν δὲ χρῆσιν τῆς εὐθείας παρὰ Σιμμίᾳ τῷ Ῥοδίῳ οὕτως «χρυσῷ τοι φαέθοντι πολύλλιτος ἐμφέρεται κράς». τὸ μέντοι πᾶς παντός τριγενές. τὸ δὲ δᾴς δᾳδός τοῦ ι προσγεγραμμένου ὀξύνεται ὡς ἐκ τοῦ δαΐς ὀξυνομένου συναιρεθέν. Τὸ ναῦς ὃ καὶ νᾶς, καὶ γραῦς καὶ βαῦς μόνως θηλυκὰ περισπᾶται καὶ τὰ εἰς αις μονοσύλλαβα, παῖς κοινὸν κατὰ γένος· ἔστι δὲ ἀπὸ τοῦ πάϊς· σταῖς οὐδέτερον.

3,1 400 τὸ δὲ δαίς ἡ εὐωχία θηλυκὸν ὀξύνεται. Τὰ εἰς εἰς μονογενῆ ὀξύνονται, δείς ἄρρητον, ὅπερ ἀεὶ μετὰ τῆς οὐ ἀποφάσεως ἢ τῆς μή ἀπαγορεύσεως σύνεστιν, οὐδείς μηδείς. μείς Αἰολικῶς ὁ μήν, κτείς καὶ κλείς θηλυκόν. τὸ μέντοι εἷς περισπᾶται ὡς τριγενές. τὰ γὰρ εἰς εις λήγοντα ὀνόματα κοινολεκτούμενα ἔχοντα οὐδετέρου παρασχηματισμὸν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν οἷον χαρίεις χαρίεν, δαφνήεις δαφνῆεν, αὐδήεις αὐδῆεν. τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ εἷς ἔχον οὐδετέρου παρασχηματισμὸν οἷον τὸ ἕν ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. πρόσκειται «ὀνόματα» διὰ τὰς μετοχὰς οἷον διὰ τὸ τυφθείς τοῦ τυφθέντος, δαρείς δαρέντος, νυγείς νυγέντος. ταῦτα γὰρ ὀξύνονται. πρόσκειται «κοινολεκτούμενα», ἐπεὶ τὸ εὐσεβής καὶ εὐγενής οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου προφέρονται. πρόσκειται «ἔχοντα οὐδετέρου παρασχηματισμόν» διὰ τὸ κτείς κτενός. τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔχει οὐδετέρου παρασχηματισμόν. τὸ οὖν εἷς ὡς ἔχον οὐδετέρου παρασχηματισμὸν οἷον τὸ ἕν οὐ δύναται ὀξύνεσθαι· ἀλλ' οὐδὲ βαρύνεσθαι δύναται, ἐπεὶ μονοσύλλαβόν ἐστι, τὰ δὲ μονοσύλλαβα οὐδέποτε βαρύνονται, ἀλλ' ἢ ὀξύνονται οἷον Κρής Τρώς πούς τίς νύξ φλόξ ἢ περισπῶνται οἷον βοῦς νοῦς παῖς γραῦς πᾶς. μὴ δυνάμενον οὖν τὸ εἷς

μήτε ὀξύνεσθαι ὡς ἔχον οὐδετέρου παρασχηματισμὸν μήτε βαρύνεσθαι ὡς μονοσύλλαβον ἐξ ἀνάγκης περιεσπάσθη. Ἀμέλει ὅταν πλεονάσῃ τὸ ε καὶ ὑπερβῇ τὴν μονοσυλλαβίαν βαρύνεται οἷον ἔεις ὡς παρὰ τῷ Ἡσιόδῳ (Theog. 145) «κυκλοτερὴς ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ». Τὰ εἰς οις περισπᾶται· ἔστι δὲ δύο μόνα τὸ οἶς καὶ παρ’ Ἀττικοῖς τὸ φθοῖς συναιρεθέντα ἐκ δισυλλάβων τὸ ὄϊς καὶ φθόϊς. Τὰ εἰς ευς μονοσύλλαβα ὀξύνεται, Ζεύ ς , Φλεύς ἐπὶ τοῦ Διονύσου κείμενον, ὡς ἐν ταῖς ἐπικλήσεσιν εὕρομεν, Νεύς ἐπὶ ποταμοῦ κείμενον, ὥς φησι Φιλέας, θεύς ἐκ συναλοιφῆς γενόμενον, Δεύς ὑπὸ Βοιωτῶν ὁ Ζεύς, σεύς ἀπὸ ἀναλογίας πλασσόμενον, Δνεύς ἐθνικὸν «μὴ Δνεὺς χίμαιραν, ἄγριον ὀφλήσεις».

3,1 401 τὸ μέντοι νεῦς ἡ ναῦς περισπᾶται ὥσπερ καὶ τὸ γρεῦ ς. Τὰ εἰς ους μονοσύλλαβα, εἴτε ἀπαθῆ εἴτε συνῃρημένα, περισπᾶται, βοῦ ς , πλοῦ ς , ῥοῦ ς , φλοῦ ς , χλοῦ ς , Γλοῦς ὁ λῃστής, χνοῦς παρὰ Σοφοκλεῖ, κνοῦ ς , θροῦ ς , νοῦ ς , σοῦ ς , χροῦς πολὺ παρὰ τοῖς Ἴωσι, χοῦς καὶ Χοῦς ἔθνος Βεχείρων ἐγγύς. Ἑκαταῖος ἐν Ἀσίᾳ «εἰς μὲν τοῦτο ἡ Βεχειρική, ἔχονται δ’ αὐτῶν Χοῖ» καὶ πάλιν «μέχρι μὲν τούτων Χοῖ» καὶ πάλιν «Χοῖσι δὲ ὁμουρέουσι πρὸς ἥλιον ἀνίσχοντα Δίζηρες». καὶ τὸ οὖς οὐδέτερον. τοῦτο δὲ οὕτως ἐγένετο· παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται αὖας· καὶ τροπῇ τοῦ α εἰς ο οὖας, τὸ τῆς φωνῆς ἀντιληπτικὸν αἰσθητήριον· κλίνεται οὔατος ὡς δέρας δέρατος. ἐκ δὲ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ υ ὄας καὶ κατὰ κρᾶσιν οὖς καὶ κατὰ Δωριεῖς ὦς. σημειωτέον τὸ πούς ὀξυνόμενον. μετοχῆς γὰρ ἐδέξατο τόνον. καὶ γὰρ τὸ δούς ὀξύνεται. Τὰ εἰς ης κατὰ διάλεκτον γινόμενα ἐκεῖνον ἔχει τὸν τόνον, ὁποῖον καὶ τὰ πρωτότυπα, μήν μή ς, δαίς δή ς, παῖς πῆ ς, εἷς ἧ ς. παρὰ γὰρ Ῥίνθωνι «οὐδ’ ἧς κύων». Τὰ εἰς ης μονοσύλλαβα τυχόντα φυσικῆς καταλήξεως ἢ ὀξύνεται ἢ περισπᾶται· καὶ ὀξύνεται μὲν τὰ περιττοσυλλάβως κλινόμενα, Κρής ὁ Διὸς καὶ Ἰδαίας νύμφης παῖς καὶ ὁ πολίτης, σής ὁ σκώληξ καὶ ποταμοῦ ὄνομα, Γνής ἔθνος οἰκῆσαν τὴν Ῥόδον· ἔνθεν ἴγνητες οἱ ἰθαγενεῖς· λέγεται γὰρ καὶ μετὰ τοῦ ι ἴγνητες. Φρής ἔθνος Λιβυκόν, Γλής ἔθνος Ἰβηρικὸν μετὰ τοὺς Κύνητας. Ἡρόδωρος δεκάτῳ τῶν καθ’ Ἡρακλέα ἱστοριῶν «τὸ δὲ Ἰβηρικὸν γένος τοῦτο, ὅπερ φημὶ οἰκέειν τὰ παράλια τοῦ διάπλου, διώρισται ὀνόμασιν ἓν γένος ἐὸν κατὰ φῦλα· πρῶτον μὲν οἱ ἐπὶ τοῖς ἐσχάτοις οἰκέοντες τὰ πρὸς δυσμέων Κύνητες ὀνομάζονται, ἀπ’ ἐκείνων δὲ ἤδη πρὸς βορέην ἰόντι Γλῆτες, μετὰ δὲ Ταρτήσιοι, μετὰ δὲ Ἐλβυσίνιοι, μετὰ δὲ Μαστιηνοί, μετὰ δὲ Κελκιανοί, ἔπειτα δὲ ἤδη ὁ Ῥοδανός».

3,1 402 Τλής ἔθνος Ἰβηρικὸν περιοικοῦν τοὺς Ταρτησσίους. Θεόπομπος τεσσαρακοστῷ πέμπτῳ. Κλής ἐπὶ τοῦ ποταμοῦ, Ζής παρὰ Φερεκύδει κατὰ κίνησιν ἰδίαν, θής ὁ μίσθιος, βλής «νύμφα φίλη, καὶ βλητὶ λίθῳ ἐνὶ δάκρυον ἧκας». περισπᾶται δὲ τὰ ἰσοσύλλαβα Δρῆς Τρῆς κύρια. ὡς δέ τινες βούλονται, καὶ τὸ Ζῆς. * Τὰ εἰς ις μονοσύλλαβα φύσει εἰς ς λήγοντα ὀξύνεται ὁμοίως τοῖς εἰς ιν τροπὴν τοῦ ν εἰς ς ἀναδεξαμένοις οἷον ἴν ἴς, ῥίν ῥίς. εἰσὶ δὲ σπάνια. Ἴς πόλις Περσική. Ἡρόδοτος πρώτῃ (c. 179)· ἔνθα καὶ ποταμὸς Ἴς οὕτω καὶ Σκύμνος ἐν τῷ ι′ τῆς Ἀσίας περίπλῳ παρέθετο· «ἔχεται Κελένδερις πόλις Σαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει Ἥρης καὶ ἄλσος· Ἒις ποταμὸς παρὰ θάλασσαν ἔξεισιν». Ἔστιν Ἴς τῆς Ἰταλίας, ὡς Πάρθαξ ἐν τῷ β′ τῶν Ἰταλικῶν. «Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Ποσειδωνίαν ὁ Ἡρακλῆς. ἔστι δὲ ποταμὸς Ἲς καλούμενος μέγας». Θίς πόλις Αἰγυπτία πλησίον Ἀβύδου. Φθί ς· Φθῖες γὰρ καὶ Φθῖοι οἱ Φθιῶται. κίς ὁ σκώληξ. λίς ὁ λέων. τοῦτο δὲ ὁ μὲν Ἀρίσταρχος ὀξύνει· ὁ δὲ Αἰσχρίων περισπᾷ, ὡς γὰρ παρὰ τὸ μῦς μῦν φησὶ καὶ νοῦς νοῦν, οὕτω καὶ λῖς λῖν «ἐπί τε λῖν ἤγαγε δαίμων» (Λ 480). καὶ ἔστι συγκατατίθεσθαι τῷ Αἰσχρίωνι, ὅτι μᾶλλον ὀφείλει περισπᾶσθαι, εἰ καὶ μηδὲν τῶν εἰς ις ληγόντων καὶ ἀρσενικὸν γένος ὑπισχουμένων περιεσπάσθη. καὶ τάχα καθ’ ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ σημαῖνον γένος θηλυκὸν καὶ ὀξυνόμενον ἀποφύγῃ. λέγω δὲ τὸ «λὶς πέτρη» (Od. μ 64). τῷ μέντοι χαρακτῆρι τοῦ κίς καὶ θίς καὶ ῥίς, καίτοιγε διαφόρως κλιθεῖσι πρὸς τὸ λίς, συνεξωμοίωσεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίσταρχος. καὶ οὕτως ἐπείσθη ἡ παράδοσις. τί ς, ὅπερ συστέλλει τὸ ι , Δίς ὁ Ζεύς παρὰ Ῥίνθωνι. * Εἰς ος μονοσύλλαβον οὐκ ἔστιν εὑρεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 403 τὸ γὰρ πός οἷον «ᾧ πὸς ἄγ', ἱεμένοισιν» ἀπὸ τοῦ πούς γέγονε κατὰ ἀποβολὴν τοῦ υ καὶ τὸ ὅς ἄρθρον ἐστίν. καὶ ἔστιν εἰπεῖν, ὅτι κανών ἐστιν ὁ λέγων ὅτι πᾶν ὄνομα μονοσύλλαβον μακροκαταληκτεῖν θέλει φύσει ἢ θέσει χωρὶς τοῦ τίς. ἄλλως τε δύο κανόνες ἤμελλον μάχεσθαι. καθὸ μὲν γὰρ εἰς ος εἰσίν, ὤφειλεν εἰς ου ἔχειν τὴν γενικήν. καθὸ δὲ πάλιν πᾶσα μονοσύλλαβος εὐθεῖα ἰσοσυλλάβως κλινομένη ἀποβολῇ τοῦ ς τὴν γενικὴν ποιεῖ ὁ Χνᾶς τοῦ Χνᾶ, ὁ Δρῆς τοῦ Δρῆ, ὁ νοῦς τοῦ νοῦ, ὁ ῥοῦς τοῦ ῥοῦ, ἠναγκάζοντο καὶ ταῦτα ἀποβολῇ τοῦ ς τὴν γενικὴν ἀποτελεῖν καὶ οὐχὶ εἰς τὴν ου δίφθογγον ἔχειν αὐτήν. τῶν οὖν δύο κανόνων μαχομένων ἐπιλελοίπασι τὰ εἰς ος μονοσύλλαβα ὀνόματα. Τὰ εἰς υς μονοσύλλαβα περισπῶνται, μῦ ς , δρῦ ς· ἔστι δὲ καὶ πόλις Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ. σῦς καὶ ὗ ς. φυλάσσουσι δὲ τὸ υ ἐν τῇ κλίσει· τῶν δὲ ὑπὲρ μίαν συλλαβὴν ἀρσενικῶν ἓν μόνον ὁ ἰχθῦς ὁμοίως ἐκλίθη τοῖς προειρημένοις. Τὰ εἰς ως ἀρσενικὰ μονοσύλλαβα περιττοσύλλαβα ὀξύνεται, Τρώς τὸ ἐθνικὸν ὁμόφωνον τῷ κτίστῃ ὡς Ἀχαιός, Δαναός, Σικελός, θώ ς , πλώς ἰχθῦς τις. δμώ ς , φώς ὁ ἄνθρωπος, χρώς «ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος (Il. Δ 510). Μώς τὸ μέντοι κατὰ τροπὴν Δωρικὴν γινόμενον βῶς ἀπὸ τοῦ βοῦς βοός περισπᾶται. τὰ μέντοι ἰσοσύλλαβα περισπῶνται, σώς «νῦν τοι σῶς αἰπὺς ὄλεθρος» (Ν 773)· γέγονε δὲ ἢ ἀπὸ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σῶος ἢ ἐκ τοῦ σάος. Κρῶς ὄνομα ἥρωος ὁμοφωνοῦν τῇ πόλει, ἔστι δὲ Αἰγύπτου. Ἑκαταῖος περιηγήσει Ἀσίας. Γλῶς ὄνομα ἥρωος, Κῶς πόλις καὶ νῆσος. καὶ Ὅμηρος «καὶ Κῶν Εὐρυπύλοιο πόλιν» (Β 677). λέγεται καὶ Κώως διὰ δύο ωω καὶ Κόως, ἀφ' οὗ τὸ παρ' Ὁμήρῳ τοπικὸν «καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην ἀπένεικας» (Il. Ξ 255). λέγεται καὶ Κόος διὰ δύο οο . ἔοικεν οὖν τὸ πρωτότυπον Κῶς. οὕτως γὰρ καὶ ὁ κτίστης. ἔστι καὶ ἐν Αἰγύπτῳ πόλις Κῶς. ἔστι δὲ καὶ κῶς τὸ ὄρυγμα τὸ ἐν Κορίνθῳ, οὗ καθείργνυον τοὺς φῶρας καὶ τοὺς δραπέτας.

3,1 404 λέγεται καὶ κῶος, κῶες δὲ οἱ ἐν αὐτῷ ἀνατραφέντες. κώους γὰρ τὰ κοιλώματα τῆς γῆς καὶ πάντα τὰ σπήλαια ἔλεγον. Τλῶς ὁ Τρεμίλητος καὶ Πραξιδίκης νύμφης καὶ ἀπ' αὐτοῦ Τλῶς πόλις Λυκίας. ἔστι καὶ Τλῶς τὸ ἐθνικόν. ἔστι καὶ ἄλλη Τλῶς πόλις Πισιδίας. Λῶς νῆσος περὶ Θετταλίαν. Ἀρτεμίδωρος. χωρὶς τοῦ ζώς «ἦ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι» (Ε 887). τοῦτο δὲ ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν οὐχ ὑγιῶς. ἐκ γὰρ ὀξυνομένου τοῦ ζωός γενόμενον τὸ ζώς δεῖ ὀξύνειν ὥσπερ ἐπὶ τοῦ ἑσταώς ἑστώς, βεβαώς βεβώς. καὶ τὸ δώς «δὼς ἀγαθή, ἅρπαξ δὲ κακὴ θανάτοιο δότειρα (Hesiod. Opp. 354) ὀξύνεται· ἔστι δὲ ἄκλιτον. —Τὰ εἰς ως οὐδέτερα περισπᾶται, τὸ φῶ ς, τὸ ὧ ς. Τὰ εἰς ψ μονοσύλλαβα ὀξύνεται, κνάψ ὁ δαλός, μάψ ὄρνεόν τι, δράψ κείμενον παρ' Ἀριστοφάνει, λάψ παρὰ Ταραντίνοις, γράψ καὶ φάψ θηλυκά, φλέ ψ , κλέψ ὁ κλέπτης, σκέ ψ , θήψ καὶ σήψ εἶδος ὄφεως σῆψιν ἐμποιοῦν, ἴψ ὁ σκώληξ, λίψ ὁ ἄνεμος, Νίψ ὄνομα κρήνης, κνί ψ, ὁ δὲ Ἀριστοτέλης μετὰ τοῦ ς σκνί ψ , θρί ψ , ῥίψ πλέγμα ψιαθῶδες, στύ ψ , γύ ψ , γρύ ψ , Ῥύψ ὁ κατοικῶν Ῥύπας πόλιν Ἀχαϊκήν, ὤψ ὁ ὀφθαλμός καὶ ὄνομα κύριον «Εὐρύκλει' Ὦπος θυγάτηρ» (Od. α 429), ῥώψ τὰ νεοθαλῆ τῶν δρυῶν, θώψ ὁ πλάνος, κνώψ εἶδος θηρίου, κλώψ ὁ κλέπτης, σκώψ ὁ σκώπτης, Ἀριστοτέλης δὲ χωρὶς τοῦ ς , Κρώ ψ. Κρῶπας γὰρ Ἀνδροτίων φησὶ Κρωπιὰν δῆμον τῆς Λεοντίδος φυλῆς. * Τὰ εἰς α θηλυκὰ μονοσύλλαβα περισπᾶται πάντα, μνᾶ σύνηθες Ἀττικοῖς καὶ τῇ νῦν χρήσει καὶ Χνᾶ ἀπεξενωμένον, ἡ Φοινίκη οὕτως ἐκαλεῖτο τὸ πρότερον, Φνᾶ νῆσος, Λᾶ πόλις Λακωνική. Λυκόφρων (v.

3,1 405 95) «καὶ Λᾶν περήσεις». ταύτην δὲ διαλύσας Ὅμηρός φησιν (Β 585) «οἵ τε Λάαν εἶχον ἠδ' Οἴτυλον ἀμφενέμοντο». κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς, διὸ Λᾶ καλεῖται. Μ ᾶ, ἣ τῇ Ῥέᾳ εἵπετο. ἐκαλεῖτο δὲ καὶ ἡ Ῥέα Μᾶ. * Τὰ εἰς η μονοσύλλαβα ἐκ συναιρέσεως περισπᾶται, μόνη δὲ ἡ γῆ κοινὴ συνήθης, τὸ γὰρ Ῥῆ ἡ Ῥέα ἴδιόν ἐστι τοῦ Συρίου καὶ οὐ πᾶσιν ἴσως ἢ καὶ Ἀττικοῖς γνωστόν· τὸ δὲ πλῆ εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ ἀντὶ τοῦ πλέη θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις. ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον ἐν Σαμίων ὥροις· «τῇ δὲ νῇ τῶν Πυθιογειτόνων τις συγκυρέων ἐλάμβανε» καὶ παρὰ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι καί κ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλιοιο. ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΚΑΤΑ ΚΛΙΣΙΝ ΑΡΙΘΜΩΝ ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΘΕΜΑ ΕΙΡΗΜΕΝΩΝ. ΒΙΒΛΙΟΝ ιε′. Περὶ τοῦ ἐν ταῖς πλαγίαις τῶν ὀνομάτων τόνου. Περὶ τόνου τῆς ἑνικῆς γενικῆς. Πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐφ’ ἑαυτῆς τέλους ἔχουσα τὸν τόνον περισπᾶται, ἑνική τε καὶ δυϊκὴ καὶ πληθυντική, καλοῦ καλῷ καλοῖν καλοῖς, τοῦ Φιλητᾶ τῷ Φιλητᾷ τοῖν Φιληταῖν τῶν Φιλητῶν τοῖς Φιληταῖ ς , τῆς καλῆς τῇ καλῇ ταῖν καλαῖν τῶν καλῶν ταῖς καλαῖ ς , ἐμοῦ ἐμῷ ἐμοῖν ἐμῶν ἐμοῖ ς. σεσημείωνται ἐν ταῖς ἀντωνυμίαις ἡ ἐμοί καὶ σοί δοτικαὶ ὀξυνόμεναι· ἡ γὰρ τοῦ τρίτου οἷ περισπᾶται. ὑποκείσθω δὲ καὶ τὰ Ἀττικὰ τοῦ νεώ τοῦ λεώ ὀξυνόμενα· τὸν τόνον γὰρ τῆς κοινῆς εὐθείας φυλάττουσιν ἐν πάσῃ πτώσει. τοῦ γὰρ Μενέλαος προπαροξυνομένου καὶ τὸ Ἀττικὸν κατὰ πᾶσαν πτῶσιν προπαροξύνεται, ὁ Μενέλεως τοῦ Μενέλεω τῷ Μενέλεῳ καὶ ἐν ταῖς ἄλλαις πτώσεσι καὶ ἀριθμοῖς ὁμοίως. οὕτως οὖν καὶ τοῦ λαός καὶ ναός ὀξυνομένων καὶ τὰ ἀπὸ τούτων Ἀττικὰ ὀξυνθήσεται, ὁ νεώς τοῦ νεώ καὶ ἐπὶ δυϊκῇ καὶ πληθυντικῇ ὁμοίως. Πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ’ ἧς καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μὴ ἕτερος λόγος κωλύσῃ, ὑπεσταλμένων τῶν εἰς ος δισυλλάβων γενικῶν, Αἴαντος ἐκ τοῦ Αἴας, λέβης λέβητος ἐπὶ τῆς πρώτης, ταχύς ταχέος, ὀξύς ὀξέος ἐπὶ τῆς δευτέρας, Ἀχιλλεύς Ἀχιλλέως, εὐγενής εὐγενέος ἐπὶ τῆς τρίτης.

3,1 406 τὰ μέντοι προπαροξύτονα ἐπὶ τῆς εὐθείας οὐ φυλάττει τὸν κανόνα, ἐπεὶ ἀδύνατόν ἐστι πρὸ τῶν τριῶν συλλαβῶν δοθῆναι τόνον, Ἄδωνις Ἀδώνιδος, φίλημα φιλήματο ς. ἔτι τὸ Ὅμηρος Ὁμήρου, ἄνθρωπος ἀνθρώπου οὐ φυλάττει, ἀλλὰ καταβιβάζει τὸν τόνον, διότι μακρᾶς οὔσης τῆς ληγούσης οὐ δύναται προπαροξύνεσθαι λέξις, εἰ μὴ ἐπὶ τῶν Ἀττικῶν. τὸν γὰρ τῶν κοινῶν εὐθειῶν τόνον φυλάττουσι τὰ Ἀττικά, κἂν κατὰ γενικὴν μόνην γένηται ἡ ἐπέκτασις ὡς ἐπὶ τοῦ πόλεως καὶ μάντεως. τὸ δὲ Ὅμηροι, ἄελλαι προπαροξύνεται ἀντὶ κοινῆς παραλαμβανομένης τῆς διφθόγγου ἐν τέλει λέξεως οὔσης ἐπὶ τῆς εὐθείας πληθυντικῆς καὶ κλητικῆς, ἐν δὲ ταῖς ἄλλαις πτώσεσιν οὔ. οὕτω καὶ ἐπὶ ἄλλων πολλῶν, τύπτονται, πεποίηνται, τύπτεσθαι, λέγεσθαι. τὸ δὲ μητρός καὶ ἀνδρός καὶ πατρός ἀπὸ τοῦ μητέρος καὶ ἀνέρος καὶ πατέρος ἐγένετο κατὰ συγκοπήν, διὸ οὐκ ἐφύλαξαν τὸν τόνον ἀκολουθήσαντα ταῖς δισυλλάβοις γενικαῖς. τὸ δὲ ἀνδρός κατὰ συγκοπὴν γενόμενον ἐκ τοῦ ἀνέρος ἐξ ἀνάγκης ἐπλεόνασε τὸ δ . οὐκ ἠδύνατο γὰρ εἶναι ἀνρός χωρὶς τοῦ δ , ἐπεὶ τὸ ν πρὸ τοῦ ρ οὔτε ἐν συλλήψει δύναται εἶναι οὔτε ἐν διαστάσει. Καὶ τὸ γουνός καὶ δουρός συγκοπέντα ἐκ τοῦ γούνατος καὶ δούρατος ὀξύνονται ὁμοίως τῷ πατρός, μητρός, ἀνδρός. Τὸ δὲ κρέως, γήρως, κέρως τινὲς ὀξύνειν θέλουσι λέγοντες, ὅτι ἀπὸ τοῦ κρέατος καὶ γήρατος καὶ κέρατος ἐγένοντο κατὰ συγκοπὴν τοῦ α καὶ τ κρεός καὶ γηρός καὶ κερός διὰ τοῦ ο ὀξυτόνως τῷ λόγῳ τῶν εἰς ος δισυλλάβων γενικῶν οἷον πατρός, μητρός καὶ λοιπὸν οἱ Ἀθηναῖοι ἐκτείνοντες τὸ ο εἰς ω ἐφύλαξαν τὴν ὀξεῖαν τάσιν οἷον κρεώς γηρώς κερώς. ἀλλὰ ταῦτα βαρυτονητέον τῷ λόγῳ τῆς συναιρέσεως τῆς γενομένης ἀπὸ ὀξείας καὶ δύο βαρειῶν εἰς ὀξεῖαν καὶ βαρεῖαν οἷον κρέαος κρέως, γήραος γήρως ὥσπερ Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους. εἰ δὲ λέγεται κατὰ συγκοπὴν γεγενῆσθαι ἐν τῇ γενικῇ τῇ κρέως, ὤφειλε συγκοπὴ γενέσθαι καὶ ἐν τῇ δοτικῇ.

3,1 407 καθόλου γὰρ πᾶσα γενικὴ συγκοπτομένη ἔχει καὶ τὴν δοτικὴν συγκοπτομένην οἷον πατέρος πατρός πατέρι πατρί, μητέρος μητρός μητέρι μητρί, Δημήτερος Δήμητρος Δημήτερι Δήμητρι, ἀνέρος ἀνδρός ἀνέρι ἀνδρί, θυγατέρος θυγατρός θυγατέρι θυγατρί. εἰ οὖν τῷ κρέατι ἡ δοτικὴ ἀρχὴν οὐ δέχεται συγκοπὴν τοῦ α καὶ τοῦ τ , ἐπεὶ κρεΐ ἤμελλεν εἶναι, νυνὶ δὲ κρέαϊ ἐστίν, οὐκ ἄρα δὴ οὐδὲ ἡ κρέατος γενικὴ δύναται συγκοπὴν ἀναδέξασθαι τοῦ α καὶ τοῦ τ καὶ γενέσθαι τοῦ κρεός ὀξυτόνως κἀκεῖθεν τοῦ κρεώς ὁμοίως ὀξυτόνως κατ’ ἐπέκτασιν τοῦ ο εἰς ω , ἀλλ’, ὡς εἴρηται, αὗται αἱ γενικαὶ κατὰ κρᾶσιν γεγόνασι καὶ βαρύνονται. Πᾶσα γενικὴ εἰς ου λήγουσα ἀπὸ μὲν ὀξυτόνων ὀνομάτων καὶ περισπωμένων περισπᾶται, καλός καλο ῦ, σοφός σοφο ῦ, ἀργυροῦς ἀργυρο ῦ, Ἑρμῆς Ἑρμο ῦ, ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχει τὸν τόνον, Ὅμηρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμήρου, νῆσος νήσο υ. Πᾶσα εὐθεῖα εἰς ς λήγουσα καὶ ἀποβολῇ τοῦ ς τὴν γενικὴν ἀποτελοῦσα τὸν αὐτὸν τόνον τηρεῖ καὶ ἐπὶ τῆς γενικῆς οἷον Φιλητᾶς Φιλητ ᾶ, Μηνᾶς Μην ᾶ, Μητρᾶς Μητρ ᾶ, χρυσοῦς χρυσο ῦ, ἀργυροῦς ἀργυρο ῦ, ἁπλοῦς ἁπλο ῦ, ὀρφῶς ὀρφ ῶ, λεώς λε ώ, νεώς νε ώ, εὔνους εὔνο υ, Ἀλκίνους Ἀλκίνου, Μενέλεως Μενέλεω, Πηνέλεως Πηνέλε ω. Τὰ ἐκτείνοντα τὸ ο εἰς τὸ ω κατὰ τὴν γενικὴν Ἀττικῶς τὸν αὐτὸν τόνον φυλάττουσιν ὅντινα εἶχον καὶ πρὸ τῆς ἐκτάσεως τοῦ ο εἰς ω οἷον πόλιος πόλεως, μάντιος μάντεως, ὄφιος ὄφεως, λέξιος λέξεως, βασιλέος βασιλέως, Ἀχιλλέος Ἀχιλλέως, Ἀτρέος Ἀτρέως, Πηλέος Πηλέως, ἱερέος ἱερέω ς. Αἱ συνῃρημέναι γενικαί, εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, παροξύνονται ἐν τῇ συναιρέσει οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, Σωκράτεος Σωκράτους, ἐρέβεος ἐρέβους, θάρσεος θάρσους, τείχεος τείχους, βέλεος βέλους, κρέαος κρέως, γήραος γήρω ς· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, περισπῶνται ἐν τῇ συναιρέσει οἷον εὐσεβέος εὐσεβοῦς, εὐγενέος εὐγενοῦς, Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς, Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶ ς. Αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαί, εἰ μὲν ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται οἷον καλοῦ καλοῖο, σοφοῦ σοφοῖο, σεμνοῦ σεμνοῖο, ποταμοῦ ποταμοῖο, εἰ δὲ ἀπὸ βαρυνομένων, προπαροξύνονται οἷον φίλου φίλοιο, κούφου κούφοιο, Πριάμου Πριάμοι ο.

3,1 408 Τὰ ἀπὸ Ἀττικῶν γενικῶν κατὰ πλεονασμὸν τοῦ ο γινόμενα, εἰ μὲν ἀπὸ ὀξυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπερισπῶνται οἷον Πετεώ Πετεῶο «υἱὸς Πετεῶο Μενεσθεύς» (Β 552). «ὦ υἱὲ Πετεῶο Διοτρεφέος βασιλῆος» (Δ 338), Ταλαώ Ταλαῶο ὡς παρὰ Ἀντιμάχῳ· εἰ δὲ ἀπὸ βαρυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπαροξύνονται οἷον τοῦ Μίνω τοῦ Μίνω ο, τοῦ Ἀνδρόγεω Ἀνδρογέω ο. τοῦ δὲ ο προσελθόντος κατεβιβάσθη μίαν συλλαβὴν ὁ τόνος διὰ τὸ μὴ δύνασθαι τετάρτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν. Αἱ διὰ τοῦ εω γενικαὶ Ἰωνικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται οἷον Ἀτρείδου Ἀτρείδεω, Ὀρέστου Ὀρέστε ω , Αἰνείου Αἰνείεω, ἀπαθεῖς δηλονότι οὖσαι· ἐὰν γὰρ πάθωσι, πρὸ μιᾶς τοῦ τέλους ἔχουσι τὴν ὀξεῖαν οἷον Ἑρμείου Ἑρμείεω καὶ κατὰ συγκοπὴν Ἑρμείω παροξυτόνως «Ἥρης Ἑρμείω τε» (Ο 214), Ἀσίας Ἀσίου καὶ Ἰωνικῶς Ἀσίεω καὶ Ἀσίω ὡς εὐμμελίω «Ἀσίω ἐν λειμῶνι» (Β 461). εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, παροξύνονται οἷον αὐλητοῦ αὐλητέω, Θαλῆς Θαλοῦ (ἔστι δὲ ὄνομα κύριον) τοῦ Θαλέ ω. Αἱ διὰ τοῦ αο Βοιωτικαὶ γενικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται οἷον Ἀτρείδου Ἀτρείδαο, Ὀρέστου Ὀρέσταο, εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται οἷον ἀργεστής ἀργεστοῦ, ἀργεστᾶο «ἀργεστᾶο νότοιο» (Λ 306). Πᾶσα γενικὴ δισύλλαβος εἰς ος λήγουσα μὴ συναληλιμμένη ὀξύνεται, μηνό ς , χηνό ς , Ζηνό ς , φωτό ς. ἡ λᾶος ἐκ τρισυλλάβου τῆς λάαος κράσει τῶν δύο α εἰς ἓν μακρόν, ἡ κῆρος καὶ ἦρος ἐκ τῆς κέαρος καὶ ἔαρος. ἀποροῦσι δέ τινες λέγοντες, εἰ ἄρα τὸ λᾶος καὶ κῆρος καὶ ἦρος ὡς δυνάμει τρισύλλαβα ἐβαρύνθησαν, διὰ ποίαν αἰτίαν τὸ ὄϊς ὄϊος γενόμενον κατὰ συναίρεσιν οἶς οἰός μὴ ἐβαρύνθη; καὶ τοῦτο γὰρ δυνάμει τρισύλλαβόν ἐστιν. ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ μὲν λᾶος καὶ κῆρος καὶ ἦρος οὐ μόνον ἐν τῇ εὐθείᾳ συναιροῦνται, ἀλλὰ καὶ ἐν τῇ γενικῇ οἷον λᾶας λᾶς λάαος λᾶος, κέαρ κῆρ κέαρος κῆρος, ἔαρ ἦρ ἔαρος ἦρος καὶ τούτου χάριν ὡς δυνάμει τρισύλλαβα ὄντα ἐν τῇ γενικῇ ἐβαρύνθησαν. τὸ δὲ οἶς οἰός οὐκ ἔπαθεν ἐν τῇ γενικῇ συναίρεσιν ἀλλ' ἐν τῇ εὐθείᾳ μόνον οἷον ὄϊς οἶς καὶ λοιπὸν ἀπὸ τῆς συνῃρημένης εὐθείας ἐκλίθη οἰός ἡ γενική.

3,1 409 καὶ τούτου χάριν ὡς μὴ οὖσα ἡ γενικὴ τρισύλλαβος δυνάμει, ἀλλὰ κυρίως δισύλλαβος ὠξύνθη. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων εὑρίσκεται, φημὶ δὲ τὸ ἐν τῇ εὐθείᾳ μόνον γίνεσθαι συναίρεσιν καὶ λοιπὸν ἐκ τῆς συνῃρημένης εὐθείας κλίνεσθαι τὴν γενικὴν ὡς ἐπὶ τοῦ φῶς φωτός καὶ ὦς ὠτό ς. ἔστι γὰρ φόας φόατος καὶ ὄας ὄατος καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τῇ εὐθείᾳ καὶ γίνεται φῶς καὶ ὦς κἀκεῖθεν κλίνεται φωτός καὶ ὠτός ἡ γενική. οὐδὲ γὰρ δυνάμεθα τὴν φωτός καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠτός γενικὴν ἀπὸ τῆς φόατος καὶ ὄατος λέγειν κατὰ κρᾶσιν, ἐπεὶ φῶτος καὶ ὦτος ὤφειλεν εἶναι βαρυτόνως ὡς ἀπὸ τρισυλλάβου γενικῆς γινόμενα. ἀλλ’ ὡς εἴρηται ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. σεσημείωται τὸ φρητός ὀξυνόμενον. ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τῆς φρέατος γενόμενον κατὰ κρᾶσιν φρῆτος ὤφειλε βαρύνεσθαι. οὐδὲ γὰρ δυνάμεθα λέγειν ὅτι ἐπὶ τούτου ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. οὐδὲ γὰρ εἴρηται ἡ φρῆρ εὐθεῖα τῇ χρήσει. ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ φρητός γενικὴ συνέδραμε κατὰ τὴν τάσιν τῇ Κρητός γενικῇ καὶ σητός καὶ θητός. —τὸ « υἷος ἑῆος» (Ο 138) ἐκ τρισυλλάβου τοῦ υἱΐος προπαροξυτόνου, οὗ ἡ εὐθεῖα υἶϊς. ἡ « Θῶνος παράκοιτις» (δ 228) σεσημείωται· εἰ γὰρ ἐκ τῆς «Θώνιος ἐν ψαμάθοις» (Nic. Ther. 312) συνεκόπη, κἂν ὠξύνετο ὡς ἡ πατρός μητρός· ἀλλ’ οὐδὲ συνῄρηται ἐκ τῆς Θόωνος, ὥς τινες, ἀμαρτύρου. οὐδαμοῦ γὰρ ἡ Θόων εὐθεῖα εὕρηται σημαίνουσα τὸν Αἰγύπτιον ἄνδρα, ὅντινα σημαίνει ἡ Θῶνος γενική, ἀλλ’ ἕτερον ἄνδρα ὡς παρ’ Ὁμήρῳ «Θόωνά τε Οἰνόμαόν τε» (Μ 140). ἔστιν οὖν εἰπεῖν, ὅτι κατὰ συγκοπὴν γέγονε ἡ Θῶνος γενικὴ ἀπὸ τῆς Θώνιος γενικῆς. εἰ δέ τις εἴποι, διατί οὐκ ὀξύνεται, λέγομεν τὴν αἰτίαν ταύτην· αἱ συγκοπτόμεναι γενικαὶ ὀξυνόμεναι μιμοῦνται εὐθείας, οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν καὶ πάλιν ἡ μητρός καὶ πατρός καὶ θυγατρός μιμοῦντ α ι τὴν ἰατρός εὐθεῖαν.

3,1 410 ἐπειδὴ οὖν ἡ Θῶνος γενικὴ εἰ ὠξύνετο, οὐκ ἤμελλε μιμεῖσθαι εὐθεῖαν (οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς νος καθαρὸν δισύλλαβον τῷ ω παραληγομένην καὶ ὀξυνομένην, βαρυνομένην δὲ ἔχομεν ὡς ἐπὶ τοῦ κῶνος, ὦνος) τούτου χάριν οὐκ ὠξύνθη, ἀλλ’ ἐβαρύνθη. πρόσκειται δισύλλαβον διὰ τὸ κοινωνός, οἰωνός, Τιθωνός ὑπερδισύλλαβα. τὸ δὲ Θῶν Θῶντος ὄνομα κύριον προπερισπᾶται πρὸς τὸν χαρακτῆρα τῶν εἰς ων περισπωμένων ὀνομάτων. τὰ γὰρ εἰς ων περισπώμενα προπερισπῶνται κατὰ τὴν γενικὴν οἷον Ξενοφῶν Ξενοφῶντος, Κτησιφῶν Κτησιφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος· οὕτως οὖν καὶ Θῶν Θῶντος· ἢ πρὸς χαρακτῆρα τῆς κλῶν κλῶντος μετοχῆς καὶ ζῶν ζῶντος καὶ δρῶν δρῶντος λέγομεν Θῶν Θῶντος προπερισπωμένως. —ἡ « Ὦπος θυγάτηρ» (Od. α 429) πρὸς διαστολὴν τοῦ ὀφθαλμοῦ. ἡ τίνος ὅτε πυσματικῶς λέγεται, βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ ἀορίστου ὀξυνομένου. ἐπὶ μέντοι μετοχῶν βαρύνεται στάντο ς , θέντο ς , δόντος, οἷς ἠκολούθησε τὸ Φθάς Φθάντος κύριον καὶ Πράς Πράντος καὶ Ζάς Ζάντο ς. Αἱ ὑπὲρ δύο συλλαβὰς εἰς ος ἀπὸ μὲν βαρυτόνων εὐθειῶν βαρύνονται οἷον Δημοσθένης Δημοσθένεο ς , Σωκράτεο ς , Πάριδος καὶ ὅλαι προπαροξύνονται· ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον βασιλεύς βασιλῆος, ἱμάς ἱμάντος, ἀλλὰ καὶ Ξενοφῶν Ξενοφῶντος, Σιμοῦς Σιμοῦντο ς. σεσημείωνται ἡ γυναικός καὶ θυγατρός ὑπὲρ δύο συλλαβὰς οὖσαι ὀξυνόμεναι διὰ τὴν συνεκδρομὴν τῶν συγγενικῶν τῆς πατρός ἀνδρός μητρός. ἀλλὰ καὶ ἡ μητέρος καὶ θυγατέρος ἐντελεῖς οὖσαι καὶ παροξυνόμεναι σημειοῦνται, δέον προπαροξύνεσθαι ὡς Δημήτηρ Δημήτερος, εἰνάτηρ εἰνάτερος, φράτηρ φράτερο ς. ἀλλὰ καὶ αὗται συνεξῆλθον τῇ ἀνέρος πατέρος δαέρος. Αἱ εἰς ας καὶ ης γενικαὶ θηλυκαὶ ἀπὸ μὲν ὀξυνομένων εὐθειῶν καὶ περισπωμένων περισπῶνται, ἡ φοβερά τῆς φοβερᾶς, ἡ καλή τῆς καλῆς, ἀλλὰ καὶ Ἀθηνᾶ Ἀθηνᾶς καὶ χρυσῆ χρυσῆ ς.

3,1 411 αἱ δὲ ἀπὸ βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, Μήδεια Μηδείας, ὁσία ὁσία ς. τὸ μιᾶς περισπώμενον ἀπὸ τοῦ μία βαρυνομένου Ἰωσί τινες ἀνατιθέασι καὶ ἔτι ἀπὸ τοῦ ἴα τὸ ἰᾶ ς. ὁμοίως καὶ τὰς δοτικάς. Περὶ τόνου τῆς ἑνικῆς δοτικῆς. Πᾶσα δοτικὴ δισύλλαβος εἰς ι ἐκφωνούμενον λήγουσα, ἑνική τε καὶ πληθυντικὴ ὀξύνεται μηνί μησ ί , φωτί φωσ ί. Πάλιν τῶν συνῃρημένων γενικῶν αἱ δοτικαὶ διὰ τὴν αὐτὴν αἰτίαν βαρύνονται, ἦρ ι , κῆρ ι· ἔτι ἀπὸ συναιρέσεώς εἰσι τὸ Θέτιι Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ (Σ 407), μάστιι, μάστι «μάστι αἰὲν ἔλαυνε» (Ψ 500), μήτιι μήτι «μήτι δ’ ἡνίοχος περιγίγνεται ἡνιόχοιο» (Ψ 318).

3,1 412

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ σπῆϊ δὲ δοτικὴ οἷον «εὗρε δ' ἐν σπῆϊ» (Ω 83) προπερισπωμένη καὶ μὴ ὀξυνομένη οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ καὶ αὕτη ὑπὲρ δύο συλλαβάς ἐστι δυνάμει, ἀλλ' ἡ συναίρεσις αἰτία γέγονε τῆς δισυλλαβίας. ἀπὸ γὰρ τοῦ σπέος σπέεος σπέεϊ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η γέγονε σπῆϊ ὥσπερ Ἡρακλέεος Ἡρακλῆος «τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο (Υ 145). Ὁμοίως καὶ αἱ μετοχαὶ βαρύνονται στάντι στᾶσ ι , δόντι δοῦσι καὶ ἐπὶ πάντων ὁμοίως. ἡ δὲ πᾶσι βεβαρυτόνηται ὡς μετοχικῆς τυχοῦσα ἀναλογίας, ἧς ἔχεται καὶ Φθάντι καὶ Φθᾶσ ι. Πάλιν γυναικί καὶ θυγατρί σημειοῦνται. καθόλου γὰρ πᾶσα δοτικὴ ἰσοσύλλαβος τῇ ἰδίᾳ γενικῇ καὶ τὸν αὐτὸν ἔχει τόνον καλοῦ καλ ῷ, φωτός φωτ ί. εἰ οὖν τὸ γυναικός καὶ θυγατρός ὀξύνονται, εἰκότως ἄρα καὶ τούτων δοτικαὶ ὀξύνονται· ἔνθεν καὶ τὸ τίνος καὶ τίνων ὁπότε πυσματικῶς βαρύνονται, συμβαρύνουσι καὶ τὴν δοτικὴν τίνι καὶ τίσ ι. ὅτε δέ ἐστιν ἀόριστον, ὀξύνεται καὶ συνοξύνει τὴν δοτικήν. πρόσκειται «ἰσοσύλλαβος» διὰ τὸ παχέος παχε ῖ, ἥτις διὰ τὴν συναίρεσιν οὐκ ἰσοσυλλαβεῖ τῇ γενικῇ. τὸ δὲ παχέϊ ἰσοσυλλαβεῖ. δεῖ δὲ παραφυλάξασθαι τὸ «οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω» (Ζ 422)· ἴον γάρ ἐστιν ἡ εὐθεῖα καὶ ἡ γενικὴ ἴου παροξυτόνως, ἡ δὲ δοτικὴ ἰῷ περισπωμένως. ὡς γὰρ σοφῷ Ἀρίσταρχος καὶ ἐπεκράτησεν αὐτοῦ ἡ ἀνάγνωσις· μήποτε οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως. Τούτων οὖν οὕτως ἐχόντων τῆς Τυνδάρεος εὐθείας τῆς διὰ τοῦ ε καὶ ο ἡ γενικὴ Τυνδαρέου ἐστὶ παροξυτόνως, ἀλλὰ καὶ ἡ δοτικὴ ὁμοίως τῇ γενικῇ Τυνδαρέῳ ἐστὶ παροξυτόνως. ὅταν δὲ γένηται Ἀττικῶς ἡ εὐθεῖα διὰ τοῦ ε καὶ ω Τυνδάρεως ὡς Μενέλεως, τότε προπαροξύνεται ἡ γενικὴ καὶ ἡ δοτικὴ ὁμοίως οἷον τοῦ Τυνδάρεω τῷ Τυνδάρεῳ ὥσπερ τοῦ Μενέλεω τῷ Μενέλε ῳ. Ἔτι αἱ εἰς ι ἐκφωνούμενον λήγουσαι ὑπὲρ δύο συλλαβὰς ἀσυναίρετοι ἑνικαί τε καὶ πληθυντικαὶ βαρύνονται· ἀλλὰ προπαροξύνονται μὲν αἱ ἀπὸ βαρυτόνων εὐθειῶν Αἴας Αἴαντος Αἴαντι Αἴασ ι, ἔρως ἔρωτος ἔρωτι ἔρωσ ι· καὶ γὰρ αἱ πληθυντικαὶ ὁμοίως.

3,1 413 πρὸ μιᾶς δὲ ἔχουσι τὸν τόνον αἱ ἀπὸ ὀξυτόνων ἢ περισπωμένων, ἀβλής ἀβλῆτι ἀβλῆσι, εὐσεβής εὐσεβέϊ εὐσεβέσι, ἀλλὰ καὶ φθογγῆς φθογγῆντι φθογγῆσι, Ξενοφῶν Ξενοφῶντι Ξενοφῶσι καὶ ἐπὶ μετοχῶν λαβών λαβόντι λαβοῦσι, ποιῶν ποιοῦντι ποιοῦσ ι. σεσημείωται τὸ μηδενί μηδέσιν καὶ οὐδενί οὐδέσι ν. Τὸ « σπέσσι γλαφυροῖσι (Od. α 15) ὅσον ἐπὶ δισυλλαβίᾳ ὀξύνεσθαι ὤφειλεν, νῦν δὲ τῷ τύπῳ βεβαρυτόνηται· τὰ γὰρ ἔχοντα διπλασιασμὸν τοῦ ς τῷ ε παραληγόμενα βαρύνεται, θήρεσσι, κύνεσσι οὕτως οὖν τὸ σπέσσι. τὸ γοῦν ποσσί μὴ παραληγόμενον τῷ ε εὐλόγως ὠξύνθη. Πάλιν ἡ γυναιξί σημειούσθω. Αἱ πλεονάσασαι τὸ α κατὰ τὴν παραλήγουσαν παροξύνονται, πατράσ ι , θυγατράσ ι , μητράσ ι. Αἱ μεταπεπλασμέναι ὑπὲρ δύο συλλαβὰς ἀπὸ μὲν τῶν εἰς ῳ προπαροξύνονται, πολυπλατάγῳ πολυπλάταγι, διχομήνῳ διχόμην ι. τοῦτο δύναται ἀπὸ τοῦ διχόμηνις «πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα» Ἀπολλώνιος (Ι 1231) καὶ δοτικῆς διχομήνιδι ἀποκεκόφθαι «οὐδέ τις ἀδρανέων φέρεται διχόμηνι σελήνῃ» (Arat. Phaen. 470) καὶ ἀναδρομὴν ποιήσασθαι τοῦ τόνου. τὸ δὲ κλάδος κλάδου κλάδῳ καὶ κατὰ μεταπλασμὸν κλαδί καταβιβάζει διὰ τὴν δισυλλαβίαν καθ' ὁμοιότητα τῷ μηνί καὶ παιδί καὶ ἀνδρί. καὶ πάλιν τὸ λιτόν τοῦ λιτοῦ τῷ λιτῷ καὶ κατὰ μεταπλασμὸν τῷ λιτί οἷον «ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν» (Σ 352) καὶ ὀξύνεται διὰ τὴν δισυλλαβίαν. Αἱ δὲ ἀπὸ τῶν εἰς νη θηλυκῶν φύσει μακρᾷ παραληγομένων μεταπεπλασμέναι δοτικαὶ προπερισπῶνται οἷον ὑσμίνῃ ὑσμῖνι «μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι» (Θ 56), Δωδώνῃ Δωδῶνι «Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν».

3,1 414 ὁ Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι «καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον' εὐλογούμενον» (fr. 415 Nauck) καὶ ἐν Τραχινίαις (170) «ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη» καὶ Καλλίμαχος «τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκὸν ἤγειρον». Ὁμοίως καὶ αἱ πληθυντικαὶ μεταπεπλασμέναι εἰς σι λήγουσαι προπαροξύνονται ἐγκάτοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔγκασι, ἄστροις ἄστρασι, προβάτοις πρόβασ ι. Περὶ τόνου τῆς ἑνικῆς αἰτιατικῆς. Αἱ αἰτιατικαὶ ἑνικαὶ εἰς α λήγουσι ἢ εἰς ν , ἀπαθεῖς οὖσαι. Αἱ μὲν οὖν εἰς α λήγουσαι ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχουσι τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μὴ τονικὸν κωλύοι παράγγελμα. Αἴας Αἴαντα, μήν μῆν α, σωτήρ σωτῆρ α. ἐπὶ δὲ τοῦ Ἄδωνις Ἀδώνιδα, Ἄθηνις Ἀθήνιδα διὰ τὸ μὴ πρὸ τριῶν πίπτειν ποτὲ τὸν τόνον κατεβιβάσθη συλλαβὴν ὁ τόνος. πάλιν τὸ γυναῖκα «γυναῖκα θήσατο μαζόν» (Ω 88) προπερισπώμενον, δέον προπαροξύνεσθαι, ἐπεὶ καὶ ἡ εὐθεῖα γύναιξ παρωξύνθη. σημειωτέον οὖν αὐτό. καὶ ἔτι τὸ μητέρα καὶ θυγατέρα παροξυνομένα· ἔδει γὰρ ὡς ἐπὶ τοῦ θυγάτηρ καὶ μήτηρ. ἀλλὰ πάλιν ταῦτα συνεξῆλθον ταῖς συγγενικαῖς δαέρα πατέρα ἀνέρα. τὸ δὲ θύγατρα «λυσόμενός τε θύγατρα» (Α 13) ἀναβιβάζει. Οὐδεμία εἰς α λήγουσα αἰτιατικὴ ὀξύνεται· —τὸ γὰρ τινά ὀξύνεται εἰς διαφορὰν τοῦ τίν α· —ἔνθεν ἡ νιφάδα ἀποκοπεῖσα ἀνεβιβάσθη «ἀλευόμενοι νίφα λευκήν» (Hes.

3,1 415 Opp. 533). τὸ δὲ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ καὶ χοᾶ κατὰ κρᾶσιν τοῦ ε καὶ α περισπᾶται. Πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα περισπᾶται, ἀπέστραπται δὲ τὸν ὀξὺν τόνον μῦ ν , μνᾶ ν , σῦ ν , ὗ ν , δρῦ ν , λῖν «ἐπί τε λῖν ἤγαγε δαίμων» (Λ 480), γῆ ν , ναῦ ν , γραῦ ν . θεῦν «τὴν θεῦν Ἄρτεμιν οἷ' ἔπαθεν» τὴν θεὸν κατὰ κρᾶσιν, νοῦ ν , χοῦ ν , βοῦ ν· ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται τῆς εὐθείας ὀξυνομένης. Αἱ ὑπὲρ μίαν συλλαβὴν ἰσοσύλλαβοι καὶ ὁμόχρονοι ταῖς εὐθείαις οὖσαι ὁμότονοί εἰσι, καλός καλόν, Ἑρμῆς Ἑρμῆν, χρυσοῦς χρυσοῦν, Ἀτρείδης Ἀτρείδην, ταχύς ταχύν, μῆνις μῆνιν, ἤπερ βραχυκαταληκτεῖ. τὰ γὰρ εἰς ιν λήγοντα ἐν τῇ αἰτιατικῇ πάντα βραχέα ἐστὶν οἷον Εὔπολι ν , Ἄλεξι ν , ἔχι ν , Θέτι ν· οὕτω γοῦν καὶ μῆνιν, διὸ τὴν κνημῖδα καὶ σφραγῖδα οἱ Αἰολεῖς κνᾶμιν καὶ σφρᾶγιν λέγοντες μετὰ ὀλιγότητος συλλαβῶν συστέλλουσιν. εἶπον δὲ «ὁμόχρονοι» διὰ τὸ ἰχθύ ν· ὀξύνεται γὰρ παρὰ Πινδάρῳ, ἐπεὶ βραχὺ τὸ υ τῆς αἰτιατικῆς, τῆς εὐθείας μακρὸν ἐχούσης καὶ παραλόγως περισπωμένης.

3,1 416 Αἱ εἰς η λήγουσαι αἰτιατικαί, εἰ μὲν ἀπὸ ἐντελῶν εἰσι προπαροξυνομένων, παροξύνονται ἐν τῇ συναιρέσει οἷον Διομήδεα Διομήδη, Ἀριστοφάνεα Ἀριστοφάνη, Δημοσθένεα Δημοσθένη, Σωκράτεα Σωκράτη, εἰ δὲ ἀπὸ ἐντελῶν εἰσι παροξυνομένων, περισπῶνται ἐν τῇ συναιρέσει εὐσεβέα εὐσεβ ῆ, ἀσθενέα ἀσθεν ῆ, εὐτυχέα εὐτυχ ῆ, Τυδέα Τυδῆ Δωρικῶς «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί» (Δ 384). Αἱ εἰς ω αἰτιατικαὶ ἀπὸ ἐντελῶν εἰς α πᾶσαι πεπόνθασιν· ἡ γὰρ Ἀπόλλω καὶ Ποσειδῶ καὶ κυκεῶ καὶ αἱ παραπλήσιοι ἀποκοπεῖσαι οὐκ ἤμειψαν τῶν ὁλοκλήρων τὸν τόνον. ἡ δὲ ἠῶ καὶ αἰδῶ συνήρηνται ἀπὸ τῆς ἠόα καὶ αἰδόα, ὅθεν περισπῶνται. ἀλλὰ καὶ τὴν Λητώ καὶ τὴν Ἐρατώ καὶ Κλειώ καὶ τὰς παραπλησίους ἀπὸ τῶν εἰς ω εὐθεῶν τῆς Λητώ Κλειώ Ἐρατώ, συνῃρημένας ἀπὸ τῆς Λητόα, Κλειόα Ἐρατόα, δέον περισπᾶν, ὀξύνομεν διὰ τὴν συνέμπτωσιν τῆς εὐθείας.

3,1 417 ὅτε γὰρ πτῶσις ἑτέρᾳ πτώσει συνεμπέσῃ κατὰ τὸν αὐτὸν ἀριθμόν, πάντως καὶ ὁμοτονεῖ· διὰ τοῦτο καὶ οἱ Δημοσθένεις οἱ εὐσεβεῖς καὶ τοὺς Δημοσθένεις καὶ τοὺς εὐσεβεῖς, οἱ ἰχθῦς καὶ τοὺς ἰχθῦς. πρόσκειται «κατὰ τὸν αὐτὸν ἀριθμὸν» διὰ τὸ τῆς φοβερᾶς καὶ τὰς φοβεράς· ὀξύνεται γὰρ ἡ πληθυντικὴ αἰτιατική, ἡ δὲ γενικὴ περισπᾶται. Αἱ εἰς ην λήγουσαι αἰτιατικαὶ ἀπὸ γενικῶν εἰς ους ληγουσῶν οὖσαι, εἰ μὲν βαρύνεται ἡ εὐθεῖα, βαρύνονται οἷον Σωκράτης Σωκράτους Σωκράτην, Δημοσθένης Δημοσθένους Δημοσθένην, εἰ δὲ περισπᾶται ἡ εὐθεῖα, περισπῶνται οἷον Ἡρακλῆς Ἡρακλοῦς Ἡρακλῆν, Περικλῆς Περικλοῦς Περικλῆ ν· εἰ δὲ ὀξύνεται ἡ εὐθεῖα, βαρύνονται διὰ τὸ τοὺς Αἰολεῖς κεχρῆσθαι ταύταις ταῖς αἰτιατικαῖς. δυσμένην γὰρ λέγουσι καὶ κυκλοτέρην καὶ εὐρυνέφην τῶν εὐθειῶν ὀξυνομένων οἷον ὁ δυσμενής, ὁ κυκλοτερής, ὁ εὐρυνεφής. οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰσι· τὸ γὰρ Ἀτρεύς Ἄτρευς λέγουσι καὶ τὸ Πηλεύς Πήλευς καὶ τὸ Ἀχιλλεύς Ἀχίλλευς. Περὶ τόνου τῆς κλητικῆς. Πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα τοῦ

τόνου, χωρὶς τῶν μελλόντων προσδιορίζεσθαι, οἷον Ὅμηρος Ὅμηρ ε, καλός καλ έ, εὐσεβής εὐσεβές, Χρύσης Χρύσ η, πανταπώλης πανταπώλη, βασιλεύς βασιλε ῦ. ἀλλ' ἐπὶ τῶν εἰς ευς εὐθειῶν ὀξυνομένων αἱ κλητικαὶ περισπῶνται, καθόλου γὰρ ἡ διὰ τοῦ υ δίφθογγος καταλήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν· ἔνθεν σημειούμεθα τὴν οὔ ἀπόφασιν καὶ ἰδού δεικτικὸν καὶ ἰού σχετλιαστικὸν ἐπίρρημα, περὶ ὧν ἐν ἄλλοις ἀπολογούμεθα. Ἔτι ὁμοτονεῖ βότρυς ὦ βότρ υ, ταχύς ὦ ταχ ύ, Ἄδωνις ὦ Ἄδων ι, πόλις ὦ πόλ ι, δελφίς ὦ δελφ ί, Λειώδης ὦ Λειῶδες, ξιφήρης ὦ ξιφῆρες, Αἰνείας ὦ Αἰνεία, Αἴας ὦ Αἶαν (ὁ μὲν Αἴας ὀξύνεται· μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται, τὸ δὲ Αἶαν προπερισπᾶται, τοῦ αν βραχέος ὄντος· πᾶσα γὰρ φύσει μακρὰ πρὸ βραχέος ἐν ἑνὶ μέρει οὖσα περισπᾶται), ποιητής ὦ ποιητ ά, σοφιστής ὦ σοφιστ ά, τοξότης ὦ τοξότ α.

3,1 418 Ἐν τοῖς εἰς ης βαρυτόνοις τέσσαρα σεσημείωνται ἀναβιβάσαντα τὸν τόνον, δέσποτ α , εὐρύοπ α , μητίετ α , ἀκάκητ α. Ἔτι ὁμοτονεῖ ἄρσην ὦ ἄρσεν, λιμήν ὦ λιμήν, Ἑρμῆς ὦ Ἑρμ ῆ. Αἱ εἰς ω λήγουσαι εὐθεῖαι θηλυκαὶ καὶ ἔτι αἱ εἰς ως Λητώ, Κλειώ, αἰδώς ἠώς εἰς οι ἔχουσι τὰς κλητικὰς περισπωμένας. περισπῶνται δὲ διὰ τὴν συνέμπτωσιν τῆς δοτικῆς. αὗται μὲν οὖν αἱ κλητικαὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ταῖς εὐθείαις τὸν τόνον ἐφύλαξαν. Αἱ ἀναβιβάσασαί εἰσιν ἀπὸ τῶν εἰς ης συνθέτων βαρυτόνων καὶ εἰς ους ἐχόντων τὴν γενικήν, Δημόσθενε ς , Σώκρατε ς , Διόμηδε ς. τὸ γὰρ ξιφῆρες καὶ φρενῆρες καὶ τὰ διὰ τοῦ ηρης πάντα καὶ τὰ διὰ τοῦ ωρης καὶ τὰ διὰ τοῦ ωδης ἁπλᾶ ἐστι καὶ οὐ σύνθετα, ὅθεν οὐκ ἀναβιβάζουσι τὸν τόνον. καὶ τὰ διὰ τοῦ ωλης οὐκ ἀναβιβάζουσιν· ἐξῶλες γὰρ καὶ πανῶλες προπερισπωμένως. τὰ δὲ παρὰ τὸ ηκης τανυήκης τανύηκες καὶ τὰ παρὰ τὸ αδης αὐθάδης αὔθαδες καὶ τὰ παρὰ τὸ αρκης αὐτάρκης αὔταρκες, ποδάρκης πόδαρκες καὶ τὰ παρὰ τὸ αντης κατάντης κάταντες, προσάντης πρόσαντες ἔχουσι τὴν κλητικὴν προπαροξύτονον. καὶ τὰ εἰς ης ἐπίθετα βαρύτονα σύνθετα ἀπὸ οὐδετέρων, ἔχοντα τὴν κλητικὴν εἰς ες , προπαροξύνονται κατὰ τὴν κλητικὴν οἷον ευμήκης εὔμηκες, ἐπιμήκης ἐπίμηκες, κακοήθης κακόηθες, συνήθης σύνηθες, παμμεγέθης παμμέγεθες, οἷς ἠκολούθησαν καὶ τὸ φιλαλήθης φιλάληθες καὶ μισαλήθης μισάληθε ς.

3,1 419 —τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν μὲν ὀξυνόμενα κατὰ τὴν εὐθεῖαν καὶ κατὰ τὴν κλητικὴν ὀξύνονται οἷον ὁ τριετής ὦ τριετές, ὁ πενταετής ὦ πενταετές, ὁ ἑξαετής ὦ ἑξαετές, παρὰ δὲ τοῖς Ἀθηναίοις παροξυνόμενα κατὰ τὴν εὐθεῖαν ἐν τῇ κλητικῇ προπαροξύνονται οἷον ὁ πενταέτης ὦ πεντάετες, ὁ ἑξαέτης ὦ ἑξάετε ς. Πᾶσα κλητικὴ εἰς ρ μετὰ βραχείας βαρύνεται, Ἕκτο ρ , Νέστο ρ , Μέντορ, ἔνθεν τὸ ἄνε ρ , σῶτε ρ , πάτε ρ , δᾶερ ἐβαρύνθησαν. Αἱ εἰς ηρ εὐθεῖαι ὑπὲρ δύο συλλαβὰς βαρύτονοι ἀναπέμπουσι τὸν τόνον ἐν τῇ κλητικῇ, θύγατε ρ , εἴνατε ρ , Δήμητε ρ , αἰνόπατε ρ. τὸ κυβερνᾶτερ ἀπὸ ὀξυτόνου τοῦ κυβερνατήρ γενόμενον προπεριεσπάσθη. αἱ δὲ εἰς ορ ὑπὲρ δύο συλλαβὰς κλητικαὶ ἐν ταύτῃ τῇ συλλαβῇ φυλάττουσι τὸν τόνον, ἐν ᾗ συλλαβῇ ἔχει αὐτὸν ἡ εὐθεῖα, κωμῆτο ρ , οἰκῆτο ρ , Πολυμῆστο ρ , παντοκράτο ρ. Αἱ ἀπὸ τῶν εἰς ων εὐθειῶν ἁπλῶν κλητικαὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ταῖς εὐθείαις τὸν τόνον φυλάττουσι, πέπων πέπον, δαίμων δαῖμον, Ἀρετάων Ἀρετᾶο ν· εἰ μέντοι σύνθετοι εἶεν, ἀναβιβάζουσι τὸν τόνον τουτέστι προπαροξύνονται, εὔδαιμο ν , κυλλοπόδιο ν , Αὐτόμεδο ν , Ἀγάμεμνο ν , ὀλβιόδαιμο ν. τὰ παρὰ τὸ φρήν οὐκ ἀνέδωκε τὸν τόνον, ἀλλ' ἐφύλαξεν ἐπὶ τῆς αὐτῆς, δαΐφρο ν , Λυκόφρο ν. σεσημείωται δὲ τὸ ὦ Λακεδαῖμον καὶ τὸ «ψευδόμενοί σε Παλαῖμο ν» μὴ ἀναπέμψαντα τὸν τόνον. Τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικὴν οἷον ὁ βελτίων ὦ βέλτιον, ὁ ἀμείνων ὦ ἄμεινον, ὁ γλυκίων ὦ γλύκιον, ὁ ἀρείων ὦ ἄρειο ν.

3,1 420 Περὶ τόνου τῆς δυϊκῆς εὐθείας. Πᾶσα εὐθεῖα δυϊκὴ εἰς α λήγει ἢ εἰς ε ἢ εἰς ω . —Αἱ εἰς ε λήγουσαι τῆς εἰς α αἰτιατικῆς ἔχουσι τὸν τόνον, ὅτε ἐστὶ ῥητή, Αἴαντα Αἴαντε, Πάριδα Πάριδε, ἄνδρα ἄνδρ ε, γυναῖκα γυναῖκ ε. ἔνθεν πάλιν παρὰ τὸ τινά ὀξύνεται τὸ τινέ «ξείνω δή τινε» (Od. δ 26), τὸ δὲ πυσματικὸν πάλιν βαρύνεται. ὅτε δὲ μή ἐστι ῥητὴ ἡ εἰς α αἰτιατική, τότε τῇ εἰς

ος γενικῇ ὁμοτονεῖ τὸ δυϊκόν, ταχέος ταχέ ε, πήχεος πήχε ε. τὰ δύο εε εἰς η συναιροῦσιν Ἀθηναῖοι. ἐγὼ δέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη (Aristoph. Pac. 820). οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ σκέλη χορεύετον (Arist. Pac. 325). καὶ πρός γε τούτοις ἥκετον πρεσβῆ δύο (Arist. fr. 495 Dind.). δεῖ προσθεῖναι χωρὶς τῶν ὀξυτόνων γενικῶν, ἐπὶ τούτων γὰρ ἡ εὐθεῖα οὐχ ὁμοτονεῖ, μυός μύ ε, συός σύ ε, δρυός δρύ ε, λιός λῖ ε. Τὰ εἰς α λήγοντα δυϊκὰ ἀπὸ μὲν ὀξυτόνων ὀξύνονται, ἀπὸ δὲ περισπωμένων περισπῶνται. τοῦ μὲν πρώτου αἰχμητής αἰχμητ ά, λογιστής λογιστ ά· τοῦ δὲ δευτέρου Ἑρμῆς Ἑρμ ᾶ, Ἀπελλῆς Ἀπελλ ᾶ. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, κἂν ἡ εὐθεῖα προπαροξύνηται, διὰ τὸ μέγεθος τοῦ α . τὸ γὰρ ἐν δυϊκοῖς α μακρόν ἐστιν, ὁ Αἰνείας τὼ Αἰνεία, ἡ Μήδεια τὰ Μηδεί α. Τὰ εἰς ω λήγοντα δυϊκὰ ἢ ὀξύνεται ἢ βαρύνεται, ἀπέστραπται δὲ τὴν περισπωμένην, ἔνθεν καὶ τὸ τώδε δυϊκὸν οὐ προπερισπᾶται, ἀλλὰ παροξύνεται.

3,1 421 ὀξύνεται μὲν ἀπὸ περισπωμένων καὶ ὀξυνομένων χρυσοῦς χρυσ ώ, καλός καλ ώ. πρὸ μιᾶς δὲ ἔχει τὸν τόνον τὰ ἀπὸ βαρυνομένων, Ὅμηρος Ὁμήρ ω, φίλος φίλ ω. τὸ δὲ ἄμφω καὶ δύο θεματικά εἰσιν. Περὶ τόνου τῆς δυϊκῆς γενικῆς. Αἱ γενικαὶ τῶν δυϊκῶν εἰς αιν λήγουσι καὶ εἰς οιν . αἱ μὲν οὖν εἰς αιν ἐκ τῶν ἰδίων εὐθειῶν κανονίζονται. εἰ μὲν γὰρ ὀξύνονται αἱ εὐθεῖαι καὶ περισπῶνται, πάντως αἱ γενικαὶ περισπῶνται, καλά καλαῖν, ἀλλὰ καὶ διπλᾶ διπλαῖ ν. εἰ δὲ βαρύνονται, καὶ αἱ γενικαί, φίλαι φίλαιν, μοῦσαι μούσαι ν. καὶ ἀποροῦσί τινες λέγοντες, διὰ τί ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν οὐ περισπᾶται ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν; ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν μᾶλλον τῇ Ἀτρείδαις δοτικῇ τῶν πληθυντικῶν ἀκολουθεῖ ἤπερ τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν. κατὰ γὰρ τὴν φωνὴν τῇ δοτικῇ τῶν πληθυντικῶν πλησιάζει· τὴν αὐτὴν γὰρ δίφθογγον ἔχει. Ἄλλως τε δὲ πᾶσαι αἱ πτώσεις βαρύνονται οἷον Ἀτρείδης Ἀτρείδου Ἀτρείδῃ Ἀτρείδην, δυϊκὰ Ἀτρείδα Ἀτρείδαιν, πληθυντικὰ Ἀτρείδαις Ἀτρείδας. οὕτως οὖν καὶ Ἀτρείδαιν βαρυτόνως. Μόνη δὲ ἡ Ἀτρειδῶν γενικὴ τῶν πληθυντικῶν περιεσπάσθη, ἐπεὶ καὶ μόνη διῃρέθη οἷον Ἀτρειδέων. Ἐὰν βούλωνται οὖν περισπᾶν τὴν Ἀτρείδαιν γενικὴν τῶν δυϊκῶν ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν, καὶ μὴ βαρύνειν ὁμοίως ταῖς ἄλλαις πτώσεσι, δότωσαν ἐπ' αὐτῆς τὸ ἐξαίρετον, ὅπερ ἔσχεν ἡ γενικὴ τῶν πληθυντικῶν, τουτέστι τὴν διαίρεσιν· εἰ δὲ οὐ διαιρεῖται, ἄρα οὐδὲ τὸν τόνον ἕξει τῆς γενικῆς τῶν πληθυντικῶν. Αἱ δὲ εἰς οιν γενικαὶ εἰ μὲν ἀπὸ τῶν εἰς ω γίνοιντο εὐθειῶν, βαρυνομένων μὲν συμβαρύνονται, φίλω φίλοιν, ὀξυνομένων δὲ περισπῶνται, καλώ καλοῖ ν. τὸ ἀμφοῖν καὶ δυοῖν καὶ δυεῖν, ὥς φασιν, κατὰ τροπὴν τοῦ ο εἰς ε , οὐκ ἀκόλουθα τῷ ἄμφω καὶ δύο βαρυνομένοις. Εἰ δὲ ἀπὸ τῶν εἰς ε , ἀπὸ μὲν τῶν δισυλλάβων περισπῶνται, χεῖρε χειροῖν, θῆρε θηροῖν, πόδε ποδοῖν, φῶτε φωτοῖν, ἐπὶ ἀνδρῶν, φῶτε δὲ φώτοιν ἐπὶ πυρσῶν. πάλιν σεσημειωτέον τὸ τίνοιν πύσμα βαρυνόμενον ὡς πρὸς τὸ ἀόριστον περισπώμενον καὶ ἔτι τὸ παίδοι ν , Τρώοι ν , πάντοιν καὶ τὰ λοιπά, ἃ καὶ κατὰ τὴν γενικὴν πληθυντικὴν σημειούμεθα ὡς βαρυνόμενα, ὧν καὶ αἱ γενικαὶ δυϊκαὶ ἐβαρύνθησαν.

3,1 422 ἀπὸ δὲ τῶν ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς ἔχουσι τὸν τόνον Αἴαντε Αἰάντοιν, Πάριδε Παρίδοι ν. εἰ δὲ συναλοιφὴ παρακολουθήσῃ, καὶ αὗται περισπῶνται, σκελέοιν σκελοῖν, Δημοσθενέοιν Δημοσθενοῖ ν. κἀνταῦθα γυναικοῖν καὶ θυγατροῖν σημειούσθωσαν παραλόγως περισπασθεῖσαι. Περὶ κλητικῆς. Πᾶσα κλητικὴ δυϊκὴ καὶ πληθυντικὴ ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ. Περὶ τόνου τῆς πληθυντικῆς εὐθείας. Πᾶσα εὐθεῖα πληθυντικὴ ἀρσενική τε καὶ θηλυκὴ εἰς ες λήγει ἢ εἰς οι ἢ εἰς αι ἢ κατὰ συναίρεσιν εἰς εις . Αἱ μὲν οὖν εἰς ες λήγουσαι οὐδέποτε ὀξύνονται, Πάριδε ς , μῆνε ς , Αἴαντε ς· χωρὶς εἰ μὴ ἐκ πάθους εἶεν διὰ τὸ βιοπλανές οἵ τε βιοπλανὲς ἀγρὸν ἐπ' ἀγροῦ φοιτῶσιν· (Callimach.) καὶ τὸ ἐπιτηδές εἰς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν (Il. A 142). ἔχουσι δὲ τῶν δυϊκῶν εὐθειῶν τὸν τόνον, Πάριδε Πάριδες, τίνε τίνες, Ἕκτορε Ἕκτορες, Αἴαντε Αἴαντες,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναῖκε γυναῖκες, μητέρε μητέρες, εἰνατέρε εἰνατέρε ς. Αἱ δὲ εἰς οι τῇ ἑνικῇ ἀκολουθοῦσι εὐθείᾳ καὶ αὐτῆς ἔχουσι τὸν τόνον, ἄνθρωπος ἄνθρωποι, πλησίος πλησίοι, ἱστός ἱστο ί.

3,1 423 ἔνθεν ἀπὸ μὲν τοῦ ὁ χρυσός οἱ χρυσοί ὀξύνεται, ἀπὸ δὲ τοῦ ὁ χρυσοῦς οἱ χρουσοῖ περισπᾶται, καὶ ἐπὶ τῶν ὁμοίων ὁμοίως. Αἱ δὲ εἰς αι μονογενεῖς μὲν οὖσαι ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχουσι τὸν τόνον τῇ εὐθείᾳ, Μήδεια Μήδειαι, μοῦσα μοῦσαι, ἄελλα ἄελλαι, τοξότης τοξόται, κοχλίας κοχλίαι, Αἰνείας Αἰνεῖαι, Ἀτρείδης Ἀτρεῖδαι, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα. ἡ γὰρ αι ἀντὶ κοινῆς λαμβάνεται. οὐδὲ ὄντως οὖν Ἀττικοὶ τὸ αἴτια ι , ἥμερα ι , εὐπράξια ι , τιμώριαι προπαροξύνουσι οὐδὲ τὸ τραγῴδια ι , κωμῴδια ι. Αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὦσιν ἀπὸ τῶν εἰς ος , τῷ τόνῳ τοῦ ἀρσενικοῦ ἀκολουθοῦσι, τουτέστι τῆς εὐθείας τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, οἷον ποικίλοι ποικίλαι, ἐναντίοι ἐναντίαι, σοφοί σοφα ί, καλοί καλα ί, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, ἅγιοι ἅγια ι, τίμιοι τίμιαι, δίκαιοι δίκαιαι, ὅσιοι ὅσια ι, Λύκιοι Λύκιαι τὸ τριγενές. Λυκίαι δὲ τὸ μονογενὲς πρὸς τὸ Λυκία· ἥμεροι ἥμερα ι , ἡμέραι δὲ τὸ μονογενές.

3,1 424 Ἐὰν δὲ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος , τοῖς ἑνικοῖς ἑαυτῶν ἀκολουθοῦσι κατὰ τὸν τόνον οἷον Θρῇσσα Θρῇσσα ι , θῆσσα θῆσσαι ἡ μισθῷ δουλεύουσα, τύπτουσα τύπτουσαι, χαρίεσσα χαρίεσσαι, τετυφυῖα τετυφυῖαι, ταχεῖα ταχεῖαι, βραδεῖα βραδεῖαι, μέλαινα μέλαινα ι. τὸ δὲ Τρῳαί καὶ δμῳαί ὀξυνόμενα ὁμολογοῦσι πεπτωκέναι ἀπὸ ὀξυτόνου ἑνικοῦ Τρῳή καὶ δμῳή. Αἱ εἰς εις ἀπὸ μὲν βαρυτόνων ἑνικῶν βαρύνονται, Δημοσθένης Δημοσθένεις, ἀπὸ δὲ τῶν ὀξυνομένων ἢ περισπωμένων περισπῶνται, εὐγενής εὐγενεῖς, Ἡρακλῆς Ἡρακλεῖ ς. τῶν δὲ τοιούτων Ἀθηναῖοι τὴν συναίρεσιν ποιοῦνται διὰ τοῦ η καὶ ὁμοίως περισπῶσιν, ἱππῆς ἐκ τοῦ ἱππέες, βασιλέες βασιλῆ ς. Οἱ ἥρωες ἡ εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ἥρωσιν «οἱ γὰρ ἥρως ἐγγύς εἰσιν» ἀντὶ τοῦ ἥρωες. Αἱ εἰς ους ἀπὸ συγκριτικῶν ἐνδείᾳ τοῦ ν καὶ κράσει τῶν φωνηέντων γενόμενα παροξύνονται οἷον μείζονες μείζους, βελτίονες βελτίους καὶ τὰ ὅμοια. Τὰ Ἀττικὰ εἰς ω καὶ εἰς ι λήγοντα κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν οἷον ὁ εὔγεως οἱ εὔγε ῳ, ὁ Μενέλεως οἱ Μενέλε ῳ, ὁ νεώς οἱ νε ῴ, ὁ λεώς οἱ λε ῴ. Πᾶσα εὐθεῖα πληθυντικὴ οὐδετέρου ὀνόματος ἐντελὴς εἰς α λήγει καὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ’ ἧς καὶ ἡ ἑνικὴ εὐθεῖα, γράμμα γράμματα, φίλον φίλ α, καλόν καλ ά· κάνεον μὲν κάνεα προπαροξυτόνως, κανοῦν δὲ κανᾶ προπερισπωμένως διὰ τὴν συναίρεσιν. αἱ δὲ εἰς η ἐκ συναιρέσεώς εἰσι καὶ πρὸς τὴν συναίρεσιν τὸν τόνον ποιοῦνται, τείχεα τείχ η· αἱ γὰρ δύο βαρεῖαι εἰς βαρεῖαν συναιροῦνται. τὰ εὐσεβέα δὲ τὰ εὐσεβ ῆ· ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰς περισπωμένην συναιρεῖται. Περὶ τόνου τῆς πληθυντικῆς γενικῆς. Αἱ γενικαὶ αἵτε ἑνικαὶ καὶ πληθυντικαὶ ἀπὸ μὲν τῶν ὀξυτόνων ἢ περισπωμένων ὀνομάτων, εἰ μὲν ἰσοσυλλάβως κλίνοιντο, πάντως περισπῶνται, καλός καλοῦ καλῶν, ψυχή ψυχῆς ψυχῶν, λουτρόν λουτροῦ λουτρῶν, ἀλλὰ καὶ Ἑρμῆς Ἑρμοῦ Ἑρμῶν, χρυσοῦς χρυσοῦ χρυσῶ ν.

3,1 425 εἰ δὲ περιττοσυλλάβως, ἐντελεῖς μὲν οὖσαι παροξύνονται, εὐσεβής εὐσεβέος εὐσεβέων, Ἡρακλῆς Ἡρακλέος Ἡρακλέω ν· συνῃρημέναι δὲ περισπῶνται, εὐσεβοῦς εὐσεβῶν, εὐγενοῦς εὐγενῶν, Ἡρακλοῦς Ἡρακλῶ ν. Αἱ δὲ εἰς οι λήγουσαι πληθυντικαὶ εὐθεῖαι βαρύτονοι βαρύνουσι καὶ τὰς ἰδίας γενικάς, φίλοι φίλων, ἥμεροι ἡμέρω ν· αἱ δὲ ὀξύτονοι ἢ περισπώμεναι περισπῶνται, καλοί καλῶν, σοφοί σοφῶν, χρυσοῖ χρυσῶν, χαλκοῖ χαλκῶ ν. Αἱ δὲ εἰς αι εὐθεῖαι πληθυντικαὶ μονογενεῖς περισπῶσι τὰς ἰδίας γενικάς, Μήδειαι Μηδειῶν, Αἰνεῖαι Αἰνειῶ ν. σεσημείωνται βαρυνόμενα τέσσαρα, χλοῦναι χλούνων, ἐτησίαι ἐτησίων, ἀφύαι ἀφύων, χρῆσται χρήστων διὰ τὸ μὴ συμπεσεῖν τῷ χρηστός χρηστοί χρηστῶ ν. τὸ ἀφύαι πάλιν βαρέως, ἵνα μὴ συνεμπέσῃ τῷ ἀφυεῖς τῶν ἀφυῶ ν. Αἱ εἰς αι λήγουσαι εὐθεῖαι θηλυκαὶ πληθυντικαὶ παρεσχηματισμέναι ἀρσενικοῖς, εἰ μὲν ἔχοιεν τὴν πληθυντικὴν ὁμόφωνον τῇ τοῦ ἀρσενικοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενικῇ, πάντως καὶ ὁμότονον ἔχουσιν· ὡς γὰρ οἱ φίλοι τῶν φίλων, οὕτως καὶ αἱ φίλαι τῶν φίλων, καὶ ὡς οἱ καλοί τῶν καλῶν περισπᾶται, οὕτως καὶ αἱ καλαί τῶν καλῶν περισπᾶται. εἰ μέντοι μὴ ὁμοφωνοῖεν αἱ γενικαί, πάντως τὸ θηλυκὸν περισπᾶται, οἱ τάλανες τῶν ταλάνων βαρυτόνως, αἱ τάλαιναι τῶν ταλαινῶν περισπωμένως. καὶ ταχέες μέντοι ταχέων βαρυτόνως, ταχεῖαι δὲ ταχειῶν περισπωμένως. τὸ αὐτὸ καὶ ἐπὶ μετοχῶν, οἱ τυπτόμενοι τῶν τυπτομένων, ἀλλὰ καὶ τυπτόμεναι τῶν τυπτομένων βαρυτόνως. ἐπὶ δὲ τοῦ ποιοῦντες καὶ ποιοῦσαι οὐκέτι· ποιούντων μὲν γὰρ τὸ ἀρσενικὸν βαρυτόνως, ποιοῦσαι δὲ ποιουσῶν περισπωμένως. —ὅτε δὲ κατὰ διάλεκτον ἡ γενικὴ τροπὴν ὑπομένει τοῦ ων εἰς αν , περισπᾶται, κυανεᾶ ν , ἀμφοτερᾶ ν. —ἐντεῦθεν τὸ Ῥοδίαι καὶ Σαμίαι καὶ τὰ τοιαῦτα, εἰ μὲν ἐθνικὰ εἴη, συμβαρύνει ταῖς ἀρσενικαῖς τὰς γενικάς· εἰ δὲ κύρια—ἐνδέχεται γὰρ Ῥοδίαν τινὰ καλεῖσθαι καὶ Σαμίαν—τότε περισπῶσι τὰς γενικάς, Ῥοδιῶν καὶ Σαμιῶ ν. διὰ τοῦτο ἡμέραι μὲν ἐπὶ τοῦ χρόνου ἡμερῶν, ἥμεραι δὲ ἡμέρων ἐπιθετικῶς βαρυτόνως, ἐπεὶ καὶ οἱ ἥμεροι τῶν ἡμέρων. τὸ πόρναι πορνῶν καὶ πέτραι πετρῶν καὶ χῶραι χωρῶν, βάκχαι βακχῶν, ὄχθαι ὀχθῶν, χῆραι χηρῶν, κοῦραι κουρῶν, παιδίσκαι παιδισκῶν «τῶν παιδισκῶν τινι δοὺς» παρὰ τῷ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ.

3,1 426 καὶ εἴ τι τοιοῦτον ἕτερον, περισπᾷ τὴν ἰδίαν γενικὴν καίτοι ὁμοφωνοῦσαν τῷ ἀρσενικῷ βαρυνομένῳ οἱ πόρνοι τῶν πόρνων καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως, ἐπεὶ μὴ ἐκ τῶν ἀρσενικῶν τὰ θηλυκὰ παρεσχημάτισται, ἀλλ' ἔστιν ἡ πρώτη τούτων θέσις ἐπὶ τῶν θηλυκῶν, διὸ καὶ ὡς μονογενὲς περιεσπάσθη. τὰ δὲ ἀρσενικὰ ποιητικώτερον κατὰ τὸ γένος τὴν παραγωγὴν πεποίηνται, ὅθεν καὶ βαρυτονοῦσι τὰς γενικὰς ταῖς ἰδίαις εὐθείαις ἀκολοθοῦντα. τὸ μέσαι μεσῶν, ὑπάται ὑπατῶν, νεάται νεατῶν ἐπὶ τῶν χορδῶν περισπῶμεν. κύρια γάρ εἰσιν αὐτῶν ὀνόματα καὶ διὰ τοῦτο μονογενῆ. τὰ μέντοιγε ἐπιθετικὰ βαρύνεται, ἐπεὶ τὰ τούτων ἀρσενικά «κοῦραι πετράων ἤριπον ἐξ ὑπάτω ν». τὸ χιλιῶν παρ' Ἀθηναίοις παραλόγως περισπᾶται. Ἐὰν δὲ εὑρεθῶσιν ὁμοφωνοῦσαι ἀπὸ τῶν εἰς ες πληθυντικῶν εὐθειῶν θηλυκῶν γενικαὶ γενικαῖς ἀρσενικῶν περισπωμέναις, οὐκ ἀναγκάζονται καὶ ὁμοτονεῖν αὐταῖς. ἐκ δὲ τοῦ ἐναντίου εἴ τι μὲν ἀρσενικὸν εἰς αι τὴν εὐθεῖαν ἔχοι, τὸ δὲ θηλυκὸν εἰς ες , ἡ μὲν τοῦ ἀρσενικοῦ περισπᾶται, ἡ δὲ τοῦ θηλυκοῦ βαρύνεται· αἱ Δαναΐδες μέντοι τῶν Δαναΐδων βαρυτόνως, οἱ Δαναΐδαι δὲ τῶν Δαναϊδῶν περισπωμένως· ὅμοιον ἔχει καὶ οἱ Τανταλίδαι Τανταλιδῶν, οἱ Ἡλιάδαι τῶν Ἡλιαδῶν, οἱ Πριαμίδαι τῶν Πριαμιδῶν, αἱ Τανταλίδες δὲ τῶν Τανταλίδων, αἱ Ἡλιάδες τῶν Ἡλιάδων, αἱ Πριαμίδες τῶν Πριαμίδων βαρυτόνως. Πᾶσα εὐθεῖα δισύλλαβος εἰς ες λήγουσα πληθυντικὴ δηλονότι περισπᾶται τὴν ἰδίαν γενικήν, μῆνες μηνῶν, ἄνδρες ἀνδρῶν, θῶπες θωπῶν, φῶτες φωτῶν, χῆνες χηνῶν, χεῖρες χειρῶν καὶ τὰ ἄλλα ὁμοίως, ἐννέα σεσημειωμένων, περὶ ὧν καὶ λόγον δίδομεν. τίνων, ὅτε πυσματικῶς, πρὸς ἀντιδιαστολὴν τοῦ ἀορίστου, ἐκεῖνο γὰρ περισπᾶται. Τρῶες Τρώων, δμῶες δμώων, ἵνα ἐκφύγωσι τὸ αἱ Τρῳαί τῶν Τρῳῶν καὶ αἱ δμῳαί τῶν δμῳῶν, ὀξυνόμενα κατὰ τὰς εὐθείας, καὶ διὰ τοῦτο περισπῶνται τὰς γενικάς. θῶες θώων διὰ τὸ θῳή, ὃ σημαίνει τὴν ζημίαν, αἱ θῳαί τῶν θῳῶν. παῖδες παίδων, οὐ πρὸς διαστολήν, ὥς τινες ἐνόμισαν, τοῦ αἱ πέδαι τῶν πεδῶν ἐπὶ τῶν δεσμῶν. ἡ γὰρ γραφὴ τὴν διαστολὴν ποιεῖται· τοῦτο μὲν γὰρ τὸ ἐπὶ τῶν δεσμῶν διὰ τοῦ ε , ἐκεῖνο δὲ διὰ τῆς αι διφθόγγου· ἀλλ' ἴσως ἐπειδὴ ὡς ἀπὸ ἐντελεστέρου τοῦ πάϊς γέγονεν, ὡς μὴ εἶναι φύσει δισύλλαβον.

3,1 427 ἔτι ἐστὶ πάντες πάντων, οὐχ ὅτι ἐκ τοῦ ἅπαντος, ὥς τινές φασιν, ἀφαιρέσει τοῦ α γέγονεν· ἐπεὶ ἔδει καὶ τὸ παντός καὶ παντί βαρύνεσθαι, ἐκ τοῦ ἅπαντος ἅπαντι ἀφῃρημένα· ἀλλ' ὅτι μετοχῆς εἴληφεν ἀναλογίαν, ὡς ἐν τῷ περὶ μετοχῶν δέδεικται, ᾧ λόγῳ καὶ τὸ πᾶσι βεβαρυτόνηται, ὡς στᾶσι δοῦσιν. ἔτι δᾷδες δᾴδω ν· δαΐδες δαΐδων γὰρ τρισυλλάβως τὸ ἐντελές. ἔτι λᾶες λάω ν. τὸ γὰρ ἐντελὲς ἀπὸ τοῦ λᾶας λάαες λαάων πάλιν τρισύλλαβον. ἔνατόν ἐστι τὸ κρᾶτες κράτων «κράτων τυπτομένων» (Od. χ 309, ω 184) ἴσως ἀπὸ τοῦ κράατες κραάτων ἐντελεστέρου. Χωρὶς δὲ τούτων ἐστὶ καὶ ἕτερα· σέες σέων ἐπὶ τῶν σκωλήκων ὡς παρ' Ἀριστοφάνει «ὑπὸ τῶν σέων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταπονούμενον» (Lys. 730) καὶ φῴδων, ὡς παρ' Ἀριστοφάνει «πλὴν φῴδων ἐκ βαλανείου» (Plut. 535), οὐδένω ν , Φθάντων τῷ λόγῳ τῶν μετοχῶν ὡς στάντες στάντων, βάντες βάντων, δόντες δόντω ν. Φασὶ δέ τινες ἀπολογούμενοι περὶ ὅλων τῶν σεσημειωμένων, ὅτι τὰ εἰς ς λήγοντα μονοσύλλαβα κατὰ τὴν γενικὴν περιττοσύλλαβα τὰ μὲν ὀξύτονα, ἐὰν διὰ συμφώνων κλίνωνται, περισπῶνται κατὰ τὴν γενικὴν πληθυντικήν, σής σητός σῆτες σητῶν, Κρής Κρητός Κρῆτες Κρητῶ ν. ἐὰν δὲ διὰ καθαροῦ τοῦ ος κλιθῶσι, βαρύνονται κατὰ τὴν γενικὴν πληθυντικήν, Τρώς Τρωός Τρῶες Τρώων, δμώς δμωός δμῶες δμώω ν. τὸ δὲ τίνων εἰς διαφορὰν τῶν τινῶν καὶ τὸ κράτων τῶν κεφαλῶν εἰς διαφορὰν τῶν κρατῶν ἀπὸ τοῦ κράτος ἡ ἀρχή. τὸ δὲ φῴδων καὶ δᾴδων ἀπὸ τῶν φωΐδων καὶ δαΐδων. τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου γίνεται· ἐὰν μὲν διὰ καθαροῦ τοῦ ος κλίνωνται, περισπῶσι τὰς γενικὰς πληθυντικάς, μῦς μυός μύες μυῶ ν, βοῦς βοός βοῶ ν, δρύες δρυῶν, σύες συῶ ν. ἐὰν δὲ διὰ συμφώνου, βαρύνονται, παῖς παιδός παῖδες παίδων, πάντες πάντω ν· τὸ δὲ λάων ἐβαρύνθη εἰς διαφορὰν τῶν λαῶ ν. ἀλλὰ κακῶς λέγουσιν οἱ οὕτως ἀπολογησάμενοι πρῶτον μὲν ὅτι ἀπὸ τῶν σεσημειωμένων πλέκουσι τὸν κανόνα, δεύτερον δὲ ὅτι ἀντίκειται τούτοις τὸ κίς κιός καὶ λίς λιός· ταῦτα γὰρ ὀξύνονται κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται καὶ ὅμως οὐ βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν, ἀλλὰ περισπῶνται. κιῶν γὰρ καὶ λιῶν περισπωμένως. Αἱ εἰς ες ὑπὲρ δύο συλλαβὰς εὐθεῖαι βαρύνουσι τὰς γενικάς, Αἴαντες Αἰάντων, ἑβδομάδες ἑβδομάδων, εὐσεβέες εὐσεβέων, στάχυες σταχύων, ὀσφύες ὀσφύω ν.

3,1 428 ἔδει οὖν καὶ τὸ πόλεω ν , μάντεω ν , πελέκεων καὶ τὰ τούτοις παραπλήσια πρὸ μιᾶς ἔχειν τὸν τόνον. ἀλλ' Ἀττικούς φασι προπαροξύνειν ταῦτα, ἅπερ ἐστὶν ἀπὸ τῶν εἰς ις εὐθειῶν, καὶ ἔτι δύο ἀπὸ τῶν εἰς υς , τό τε πήχεων καὶ πελέκεων. σεσημείωται πάλιν γυναικῶν καὶ θυγατρῶν περισπώμενα ἑπόμενα τῷ τόπῳ τοῦ τόνου τῆς γενικῆς ἑνικῆς καὶ τὰ παρ' Ἀθηναίοις ἀριθμητικὰ τὸ χιλιά δων καὶ μυριάδω ν. ταῦτα γὰρ παρ' αὐτοῖς περισπῶνται, παρ' ἡμῖν δὲ βαρύνονται. Αἱ δὲ εἰς εις εὐθεῖαι συνῃρημέναι εἰσὶ καὶ περισπῶσι τὰς ἰδίας γενικάς, ὡς ἤδη εἴπομεν, Σωκράτεις Σωκρατῶν, Δημοσθένεις Δημοσθενῶν, εὐσεβεῖς εὐσεβῶ ν. τὸ δυσώδων καὶ εὐώδων καὶ νοσώδων τῷ λόγῳ μὲν περισπασθήσονται, ὁ δὲ Ἀρίσταρχος ταύτας καὶ τὰς ὁμοίας βαρύνει ἐκ τοῦ οἴεσθαι τὰς ἐντελεῖς γενικὰς αὐτῶν προπαροξύνεσθαι, εὐώδεων ὡς πόλεων. οὐκ εὐλόγως· μόναι γὰρ αἱ ἀπὸ τῶν εἰς ις ὑπάρχουσιν αἱ προπαροξυνόμεναι, πόλεων, μάντεων, καὶ δύο ἀπὸ τῶν εἰς υς πελέκεων, πήχεων, αἱ δὲ λοιπαὶ πᾶσαι βαρύτονοι οὖσαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον, ὡς πρόκειται. παραλόγως οὖν Ἀρίσταρχος βαρύνει καὶ ἐπείσθη ἡ παράδοσις. καὶ τὸ τριήρων οἱ μὲν βαρύνουσιν, οἱ δὲ περισπῶσιν, ὥσπερ καὶ αὐτάρκων καὶ αὐθάδων καὶ τὸ συνήθων καὶ κακοήθων βαρύνεται ὥσπερ καὶ τὰ αὐτῶν ἐπιρρήματα. Αἱ εἰς α λήγουσαι εὐθεῖαι πληθυντικαὶ οὐδετέρων ὀνομάτων, εἰ μὲν ὀξύνοιντο ἢ περισπῷντο, πάντως τὴν πληθυντικὴν γενικὴν περισπῶσι, πυρά πυρῶν, σφυρά σφυρῶν, καλά καλῶν, ἀλλὰ καὶ κανᾶ περισπωμένως κανῶν, ὀστᾶ ὀστῶν, χρυσᾶ χρυσῶ ν· εἰ μέντοι βαρύνοιντο, συμβαρύνουσι καὶ τὰς γενικάς, φίλα φίλων, ξύλα ξύλων, φῶτα φώτων, ὦτα ὤτω ν.

3,1 429 εἰ δὲ ἀπὸ περισσοσυλλάβων συναλοιφὴ παρακολουθήσειε, ἡ γενικὴ πάντως περισπᾶται, τειχέων τειχῶν, βελέων βελῶν, κρεάων κρεῶ ν. σεσημείωται τὸ φρητῶ ν. ἔστι γὰρ φρέατα καὶ γίνεται κατὰ κρᾶσιν φρῆτα τοῦ ε καὶ α εἰς η κραθέντος. καὶ τούτου βαρυνομένου κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὤφειλε καὶ ἡ γενικὴ τῶν πληθυντικῶν βαρύνεσθαι καὶ εἶναι φρήτων βαρυτόνως ὥσπερ τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων. ὅμως δὲ περισπῶσιν αὐτὸ οἷον φρητῶν ὁμοτόνως τῇ Κρητῶν καὶ σητῶν καὶ θητῶν γενικῇ. Περὶ τόνου τῆς δοτικῆς πληθυντικῆς. Περὶ μὲν τῶν εἰς ι ἐκφωνούμενον δοτικῶν πληθυντικῶν εἴπομεν ἐν τοῖς ἑνικοῖς, νῦν δὲ περὶ τῶν λοιπῶν ἐροῦμεν. Αἱ εἰς αις καὶ εἰς οις ἀπὸ ὀξυτόνων καὶ περισπωμένων εὐθειῶν οὖσαι περισπῶνται, ἀθληταί ἀθληταῖς, καλοί καλοῖς, σοφοί σοφοῖς, ἀλλὰ καὶ οἱ Ἑρμαῖ

τοῖς Ἑρμαῖς, αἱ χρυσαῖ ταῖς χρυσαῖ ς. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, φίλοι φίλοις, ἵπποι ἵπποις, Μήδειαι Μηδείαις, τάλαιναι ταλαίναις, ξύλα ξύλοι ς. Περὶ τῶν Ἀττικῶν, ὅτι τὸν τόνον τῆς κοινῆς εὐθείας ἔχει πᾶσα πτῶσις Ἀττική, εἴπομεν ἤδη· διὰ τοῦτο τοῖς Μενέλεῳς προπαροξύνομεν, ἐπεὶ καὶ ὁ Μενέλαος, τοῖς δὲ λεῴς ὀξύνομεν, ἐπεὶ καὶ ὁ λαός. Περὶ τόνου τῆς πληθυντικῆς αἰτιατικῆς. Πᾶσα αἰτιατικὴ πληθυντικὴ ὁμοφωνοῦσα τῇ πληθυντικῇ εὐθείᾳ καὶ ὁμοτονεῖ ταύτῃ, οἱ ταχεῖς τοὺς ταχεῖς, οἱ Δημοσθένεις τοὺς Δημοσθένεις, οἱ βελτίους τοὺς βελτίους, οἱ ἰχθῦς περισπωμένως καὶ τοὺς ἰχθῦς, ὁμοίως αἱ κλιτῦς τὰς κλιτῦς, οἱ βασιλῆς τοὺς βασιλῆς οἷον «τούς τε διστάρχας ὤλεσας βασιλῆς» παρὰ τῷ Σοφοκλεῖ (Ai.

3,1 430 390). Αἱ εἰς ας λήγουσαι, συνεσταλμένον ἔχουσαι τὸ α , ὁμότονοί εἰσι ταῖς πληθυντικαῖς εὐθείαις, Αἴαντες Αἴαντας, Πάριδες Πάριδας, ταχέες ταχέας, αἱ ἐκτεταμένον ἔχουσαι τὸ α ἀπὸ μὲν βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, Μήδειαι Μηδείας, τάλαιναι ταλαίνα ς· ἀπὸ δὲ ὀξυτόνων ὀξύνονται, καλαί καλάς, ταφαί ταφά ς. ἀπὸ δὲ περισπωμένων περισπῶνται, διπλαῖ διπλᾶς, συκαῖ συκᾶς, γαλαῖ γαλᾶ ς· μακρὸν δὲ ἔχουσι τὸ α ὅσαι εἰσὶν ἀπὸ τῶν εἰς αι εὐθειῶν, ὡς αἱ προκείμεναι· βραχὺ δὲ αἱ ἀπὸ τῶν εἰς ες , ὧν πάλιν κεῖται τὰ ὑποδείγματα. Αἱ εἰς ους αἰτιατικαὶ πάλιν ταῖς εὐθείαις ἀκολουθοῦσι κατὰ τὸν εἰρημένον κανόνα, φίλοι φίλους, καλοί καλούς ὀξυτόνως καὶ ἀργυροῖ ἀργυροῦς περισπωμένως. Τὰ Ἀττικὰ ὁμοτονοῦσι ταῖς εὐθείαις τῶν πληθυντικῶν οἷον οἱ εὔγεῳ τοὺς εὔγεως, οἱ Μενέλεῳ τοὺς Μενέλεως, οἱ νεῴ τοὺς νεώ ς, οἱ λεῴ τοὺς λεώ ς. Τὸ Ἐρετριέας Ἐρετριᾶς καὶ ἁλιέας ἁλιᾶς κατὰ συναίρεσιν περισπῶνται παρ' Ἀθηναίοις. Τὰ περὶ τόνου τῶν κατὰ θέμα ἀριθμῶν ἐκλέλοιπεν. ΠΕΡΙ ΤΩΝ ΕΙΣ ω ΚΑΙ ΕΙΣ μι ΡΗΜΑΤΩΝ ΚΑΤΑ ΠΑΝ ΠΡΟΣΩΠΟΝ. ΒΙΒΛΙΟΝ ιϛʹ. Πᾶν ῥῆμα βαρύνεται ἢ περισπᾶται· γράφ ω , τύπτ ω , ποι ῶ , βο ῶ. ὀξύνεται δὲ οὐδέποτε κατὰ τὴν κοινὴν συνήθειαν, εἰ μὴ παρὰ Δωριεῦσι τὰ συνῃρημένα ἀπαρέμφατα εἰς ειν ἀφαιρέσει τοῦ ι , ποιέν ἀντὶ τοῦ ποιεῖν, δασμοφορέν ἀντὶ τοῦ δασμοφορεῖν. σεσημείωται δέ τινα ῥήματα ὀξύτονα. ἐν μὲν προστακτικοῖς μονοσυλλάβως τὸ δό ς , θέ ς , ἕς τὸ ἀπόλυσον, σχέ ς , σπέ ς , φρέ ς, ἅπερ διὰ τὴν βραχυκαταληξίαν οὐδὲ περισπᾶται.

3,1 431 ὅθεν ἐν τῇ συνθέσει εὐλόγως ἀνεβίβασε τὸν τόνον ἀπόδο ς , κατάθε ς , ἐπίσχε ς , ἐπίσπε ς , πρόες «ἀλλὰ σὺ μὲν νῦν τῆνδε θεῷ πρόες» (A 127), ἐπίφρε ς. δισύλλαβα δὲ τὸ ἐλθ έ , εὑρ έ , εἰπ έ, ἃ καὶ αὐτὰ συντεθέντα κατὰ φύσιν βαρὺν ἀπείληφε τὸν τόνον, κάτελθ ε , ἔξειπ ε , ἔφευρ ε. τὸ δὲ λαβέ καὶ ἰδέ ὀξυνόμενα Ἀττικά ἐστι. τὰ γὰρ κοινὰ τούτων βαρύνεται. ταῦτα μὲν ἐν προστακτικοῖς. ἐν δὲ ὁριστικοῖς τὸ χρή «οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα» (B 24). καὶ τὸ φημί καὶ εἰμί καὶ τὰ τούτων κινήματα, φῄς φησ ί, ὅπερ πάλιν ἀποκοπὲν ὀξύνεται· τὸ γὰρ « φὴ ἐκεῖνος» ἀντὶ τοῦ φησί. φατόν φατόν φαμέν φατέ φασίν καὶ τὸ τούτου προστακτικοῦ δεύτερον φαθί ὡς παρ' Ἀριστοφάνει (Eqq. 22) ἐξόπισθε νῦν αὐτὸ φαθὶ ποῦ μόλωμεν οὕτω ἐπεκράτησε λέγεσθαι. πάλιν εἰμ ί , εἶς «αἵματός εἰς ἀγαθοῖο» (δ 611), ἐσσ ί , ἐστ ί , ἐστό ν , ἐστό ν , ἐσμέ ν , ἐστέ εἰσ ί. καὶ ταῦτα δέ, λέγω δὴ τὸ φημί καὶ εἰμί, συντιθέμενα βαρύνεται σύμφημ ι , σύνειμ ι. ἔτι καὶ τὸ ἠμ ί, ὅπερ ταὐτὸν δύναται τῷ φημί—Ἀριστοφάνης Βατράχοις (37) «παῖ, ἠμί, παῖ», ἐξ οὗ τὸ ἦ τὸ σημαῖνον τὸ εἶπον οἷον «ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων» (A 528) καὶ «ἦ ῥα καὶ ἐξ ὀχέων» (Δ 419)—ὀξύνεται.

3,1 432 ταῦτά ἐστι τῶν ῥημάτων τὰ ὀξυνόμενα. εἰ δέ τί ἐστιν ἄλλο ἐπὶ τέλους ἔχον τὸν τόνον, περισπᾶται ποιῶ νο ῶ , ποιοῦ νοο ῦ , ποιεῖν νοεῖν καὶ τὰ τοιαῦτα. Πᾶν ῥῆμα εἰς ω μονοσύλλαβον περισπᾶται, ζ ῶ , κλ ῶ , κν ῶ , θλ ῶ , δρ ῶ, ἐὰν β ῶ, ἐὰν στ ῶ. λείπεται τοίνυν διασαφηνίσαι τὴν τῶν εἰς ω ληγόντων ἐνεστώτων τάσιν κατὰ τὰς ἑαυτῶν συζυγίας. Τὰ εἰς βω λήγοντα βαρύνεται. τότε περισπᾶται, ὅτε ἐν ταῖς δυσὶ συλλαβαῖς ἔχει τὸ β , ἢ ὄνομα προϋπάρχει ἢ τὸ ο ἔχει ἐν τῇ παραληγούσῃ ἢ τὸ ω μέγα. καὶ βαρύνεται μὲν ταῦτα, λείβω καὶ κατὰ ἀποβολὴν τοῦ λ εἴβ ω , τρίβ ω , στείβ ω , φέρβ ω , ἀμείβ ω , σέβ ω , φέβω τὸ φοβοῦμαι, ῥέμβομα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι , θλίβ ω , στίλβ ω. περισπᾶται δὲ ταῦτα ὡς ἔχοντα ἐν δυσὶ συλλαβαῖς β βαυβῶ τὸ καθεύδω, βομβ ῶ , βιβῶ τὸ περιπατῶ. ἔτι περισπῶνται τὰ ἔχοντα προϋπάρχοντα ὀνόματα, φόβος φοβ ῶ, ἀσεβής ἀσεβ ῶ, εὐσεβής εὐσεβ ῶ, θόρυβος θορυβ ῶ, κόλυμβος κολυμβ ῶ, λαβή λαβ ῶ. τὸ γὰρ λάβω ὑποτακτικόν ἐστι τοῦ ἔλαβον. Ἔτι περισπῶνται τὰ ἔχοντα ο μικρὸν ἢ ω μέγα ἐν τῇ παραληγούσῃ, σοβ ῶ , στροβ ῶ , κολοβ ῶ , λωβ ῶ. Τὰ εἰς πω λήγοντα βαρύνονται, εἰ μὴ παραλήγοιτο τῷ υ ἢ τῷ ω , ἢ εἰ μὴ παρώνυμα εἴη ἢ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ ἔχοι τὸ π θάλπ ω , λάμπ ω , πέμπ ω , λείπ ω , μέλπ ω , βλέπ ω , ἐρείπω τὸ καταβάλλω, ἕρπ ω , δρέπ ω , ἕπ ω , τρέπ ω , σκέπ ω , λέπ ω , ἔπω τὸ ἐνέπω. πρόσκειται «εἰ μὴ ἔχοι ἐν τῇ πρὸ τέλους τὸ υ ἢ τὸ ω » διὰ τὸ γνυπῶ τὸ γονυπετῶ καὶ κλωπῶ τὸ κλέπτω, ὅθεν καὶ κλώψ. τὸ δὲ «εἰ μὴ παρώνυμα εἴη» διὰ τὸ κόπος κοπ ῶ, ἶπος ἡ παγίς ἰπῶ τὸ βλάπτω, λύπη λυπ ῶ, τρύπη τρυπ ῶ, κτύπος κτυπ ῶ, ῥύπος ῥυπ ῶ.

3,1 433 πρόσκειται δὲ «εἰ μὴ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ ἔχει τὸ π » διὰ τὸ πιπῶ καὶ ὀπιπῶ τὸ περιβλέπομαι. τὸ δὲ πίπτω βαρύνεται ἔχον τὸ τ . Τὰ εἰς φω λήγοντα βαρύνεται, εἰ μὴ παραλήγοιτο τῷ ο μικρῷ ἢ τῷ ω μεγάλῳ ἢ παρώνυμα εἴη, γράφ ω , γλύφ ω , νήφω ἐπὶ τοῦ φρονῶ, νείφω δὲ ἐπὶ τοῦ χιονίζω, δέφ ω , τρέφ ω , στρέφ ω , στέφ ω , ψέφ ω , ἀλείφ ω , κνίφ ω , στύφ ω , τύφ ω , μέμφ ω, ἀφ’ οὗ τὸ μέμφομαι εὔχρηστον. σεσημείωται τὸ διφῶ τὸ ζητῶ Ἰλιάδος Π (747) «τήθεα διφῶν» ζητῶν ἐρευνῶν. Καλλίμαχος «μηδ’ ἀπ’ ἐμεῦ διφᾶτε μέγα ψοφέουσαν ἀοιδήν» καὶ ἀμφαφ ῶ. καὶ ἴσως παρώνυμα εἴη ἀπὸ τοῦ ἁφή ἁφῶ καὶ διαφῶ καὶ κράσει διφῶ τὸ τῇ ἁφῇ ὑποβάλλω καὶ ἀμφαφῶ. πρόσκειται «εἰ μὴ παρώνυμα εἴη» διὰ τὸ τρυφή τρυφ ῶ, κορυφή κορυφ ῶ, σοφός σοφ ῶ, ζωγράφος ζωγραφ ῶ, ψόφος ψοφ ῶ, ἁφή ψηλαφ ῶ. τὸ δὲ στρωφῶ καὶ ῥοφῶ ἔχουσιν ο καὶ ω . Τὰ εἰς πτω βαρύνεται, εἰ μὴ προκατάρχοι ὄνομα ἢ διαστολὴ γένοιτο σημαινομένου, σκάπτ ω , θάπτ ω , βλάπτ ω , κλέπτ ω , σκέπτ ω , χαλέπτ ω , πίπτ ω , ἴπτ ω , λίπτ ω , ἴπτω τὸ βλάπτω, ὅπερ ψιλοῦται· ἐπὶ γὰρ τοῦ πετῶ δασύνεται καὶ περισπᾶται, χρίπτ ω , νίπτ ω , ἐνίπτω τὸ ἐπιπλήττω, σκηρίπτ ω , ῥίπτ ω. τὸ γὰρ ῥιπτῶ Ἀττικὸν ἢ ποιητικόν. κόπτ ω , ὄπτω τὸ βλέπω. τὸ δὲ ὀπτῶ πρὸς διαστολὴν τοῦ ὄπτω, σκώπτ ω , θρύπτ ω , θύπτω τὸ τυφῶ, κύπτ ω , κρύπτ ω , ῥύπτ ω , δύπτ ω , καλύπτ ω , κορύπτ ω , τύπτ ω. τὸ δὲ τυπτῶ τυπτήσω Ἀττικῶς. πρόσκειται «εἰ μὴ προκατάρχεται ὄνομα» διὰ τὸ ἄβλεπτος ἀβλεπτ ῶ, ἄπεπτος ἀπεπτ ῶ, ἀλείπτης φιλαλειπτ ῶ. Τὰ εἰς γω δισύλλαβα η παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, θήγ ω , λήγ ω , τμήγ ω.

3,1 434 τὸ δὲ ἡγ ῶ, ἀφ’ οὗ τὸ ἡγοῦμαι, περισπᾶται, ἀπὸ φωνήεντος ἀρχόμενον. Τὰ εἰς γω ὑπερδισύλλαβα ἔχοντα ὀνόματα προκατάρχοντα σύνθετα διὰ τοῦ γος παρηγμένα τῷ η παραληγόμενα περισπᾶται, ποδηγός ποδηγ ῶ, φορτηγός φορτηγ ῶ, στρατηγός στρατηγ ῶ, κυνηγός κυνηγ ῶ. τὸ δὲ ἀρήγω οὐκ ἀπὸ τοῦ ἀρηγός, ἀλλ’ αὐτὸ ἀπ’ ἐκείνου. τὸ δὲ κεκλήγω, ᾧ ἀκόλουθος μετοχὴ ἡ κεκλήγων βαρυνομένη, ἔνθεν τὸ κεκλήγοντες (Μ 125), καὶ πεπλήγω, ἔνθεν τὸ «ἐπέπληγον πόδες ἵππων» (Il. E 504) ποιητικῶς βαρύνονται ἀπὸ τῶν παρακειμένων γεγονότα. Τὰ εἰς γω ὑπερδισύλλαβα τῷ α παραληγόμενα περισπᾶται μὴ ὄντα σύνθετα παρὰ πρόθεσιν σμαραγ ῶ , πλαταγ ῶ , λαλαγ ῶ. καὶ καθόλου τὰ εἰς αγω περισπᾶται, ἀγῶ «εὖτ’ ἂν τόδ’ ἀγᾷ χρέος ἀνδρός», τραγ ῶ. τὸ δὲ ἄγω βαρύνεται καὶ τὰ ἀπ’ αὐτοῦ σύνθετα διάγ ω , ἀνάγ ω , κατάγ ω , παράγ ω , μετάγ ω , εἰσάγ ω , ἐνάγ ω , ἐξάγ ω , προσάγ ω , προάγ ω , συνάγ ω. Τὰ εἰς γω μὴ παρώνυμα ἢ κατὰ παραγωγὴν γινόμενα ἀπὸ βαρυτόνου βαρύνονται, ὁπότε μὴ πρὸς διαστολὴν παραλαμβάνοιτο ἢ παραλήγοιτο τῷ η ἢ τῷ α , ψέγ ω , φλέγ ω , λέγ ω , εἴργ ω , πνίγ ω , ἀμέλγ ω , ἀλέγ ω , ὀρέγ ω. πρόσκειται «μὴ παρώνυμα» διὰ τὸ τρύγη τρυγ ῶ, ἄλγος ἀλγ ῶ, σιγή σιγ ῶ, ῥῖγος ῥιγ ῶ. «μὴ ἀπὸ βαρυτόνου» δὲ «ῥήματος παραχθέντα» διὰ τὸ λέγω ἀλογ ῶ. «μὴ πρὸς ἀντιδιαστολὴν» πρόσκειται διὰ τὸ ἄγω καὶ ἀγῶ τὸ καταπλήττομαι, ἐξ οὗ τὸ ἄγημι ἄγαμαι.

3,1 435 «ἢ εἰ μὴ παραλήγοιτο τῷ α ἢ τῷ η » διὰ τὸ σμαραγῶ καὶ ἡγ ῶ, ὅθεν τὸ ἡγοῦμαι. Τὰ εἰς γω ἰαμβικά, εἰ μὲν ἔχοι πρὸ τοῦ τέλους τὸ ε , βαρύνεται, εἰ δὲ ἄλλο τι, περισπᾶται, φλέγ ω , λέγ ω , στέγ ω, οἷς ὅμοιον τὸ ἀλέγ ω , ὀρέγ ω . μογῶ δὲ καὶ στυγῶ καὶ τρυγῶ καὶ σφριγῶ μὴ τὸ ε ἔχοντα περισπῶνται. Τὰ εἰς γω ἔχοντα πρὸ τοῦ γ σύμφωνον βαρύνεται, εἰ μὴ παρ’ ὄνομα γένοιτο, εἴργ ω , στέργ ω , ἀμέλγ ω , σφίγγ ω , μίσγ ω , τέγγ ω. τὸ δὲ ἀλγῶ ἔχει τὸ ἄλγος καὶ τὸ ἀργῶ τὸ ἀργός καὶ τὸ γεωργῶ τὸ γεωργός καὶ κακουργῶ τὸ κακοῦργος. τὸ δὲ ἀμέργω οὐκ ἔχει· τὸ γὰρ ἀμόργη ἐκ τοῦ ἀμέργω γίνεται. Τὰ εἰς γω δισύλλαβα παραληγόμενα φύσει μακρᾷ ὅτε ἀπὸ συμφώνου ἄρχοιτο, βαρύνεται, εἰ μὴ παρ’ ὄνομα εἴη, τρώγ ω , σμώγ ω , φεύγ ω , τμήγ ω , λήγ ω , θήγ ω. τὸ μέντοι ῥιγῶ ἔχει τὸ ῥῖγος. τὸ δὲ λωγῶ οὐ γνήσιον ἔχει τὸ ω , ἀλλὰ ποιητικόν. Τὰ εἰς γω ὑπερδισύλλαβα μὴ παρ’ ὄνομα σύνθετα, εἰ παραλήγοιτο φύσει μακρᾷ, βαρύνεται ἐπείγ ω , ἀρήγ ω , ἐρεύγ ω , ἀνώγ ω. τὸ δὲ παιδαγωγῶ ἔχει τὸ παιδαγωγός. Τὰ εἰς κω δισύλλαβα ἔχοντα τὸ ε ἐν τῇ πρὸ τέλους συλλαβῇ βαρύνεται, εἰ μὴ ἄρχοιτο ἀπὸ τριῶν συμφώνων ἢ παρ’ ὄνομα εἴη, ῥέγκ ω , δέρκ ω , πλέκ ω , τέκ ω , πέκω τὸ ξηραίνω καὶ πείκω καὶ πέκτ ω , κρέκ ω , δέκ ω , ἕλκ ω, ἑλκήσω· τοῦτο δὲ ἀπὸ περισπωμένου τὸ ἑλκ ῶ . δείκω τὸ δεικνύω, εἴκ ω. τοιαῦτα καὶ τὰ ὑπερδισύλλαβα τῷ ε παραληγόμενα ὀλέκ ω , ἐρείκω τὸ σχίζω, ἐνέκ ω. πρόσκειται «εἰ μὴ παρ’ ὄνομα εἴη» διὰ τὸ ἑλκόω ἑλκῶ ἕλκος καὶ πελεκῶ πέλεκυς καὶ «μὴ ἄρχοιτο ἀπὸ τριῶν συμφώνων» διὰ τὸ σπλεκῶ τὸ συνουσιάζω, ὅθεν τὸ διασπλεκ ῶ. Τὰ εἰς κω δισύλλαβα τῷ η παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, ἀπὸ δὲ ἡμιφώνου περισπῶνται· καὶ βαρύνονται μὲν ταῦτα, τήκ ω , δήκω ὅθεν ἔδακον, μεθ’ ὧν καὶ ἥκ ω.

3,1 436 περισπᾶται δὲ ταῦτα, ληκ ῶ , σφηκ ῶ , μηκ ῶ. Τὰ εἰς κω , εἰ μὴ τῷ ς παραλήγοιτο ἢ τῷ η , περὶ ὧν προείρηται, πάντως περισπᾶται, κακ ῶ , ἀρκ ῶ , ναρκ ῶ , σαρκ ῶ , φαλκ ῶ , δοκ ῶ , κυκ ῶ , μυκ ῶ , οἰκῶ καὶ παροικ ῶ. τὸ δὲ διώκω καὶ ἥκω καὶ ἐρύκω βαρύνεται. τὸ δὲ ἀσκ ῶ , σφηκῶ περισπᾶται. Τὰ εἰς σκω βαρύνεται, εἰ μὴ κατάρχοιτο ὄνομα, δράσκ ω , γηράσκ ω , πιπράσκ ω , διδάσκ ω , τιτρώσκ ω , γινώσκ ω , βιβρώσκ ω , ἀρέσκ ω , πιφαύσκ ω , κικλήσκ ω , θνήσκ ω , μιμνήσκ ω , ἀλδήσκ ω , πιπίσκ ω , ἀέσκ ω , μαχέσκ ω , ἐΐσκω «ἐΐσκω πηγεσιμάλλῳ» (Il. Γ 197) καὶ ἀποβολῇ τοῦ ε «εἴ κέ σε τῷ ἴσκοντες» (Λ 799). δειδίσκ ω , εὑρίσκ ω , τελίσκ ω , γαμίσκ ω , κυΐσκ ω , ὀφλίσκω, ἀφ’ οὗ τὸ ὀφλισκάνω, ἁλίσκ ω , ἀραρίσκ ω , στερίσκ ω , μεθύσκ ω , βόσκω βοσκήσω· τοῦτο δὲ ὡς ἀπὸ περισπωμένου ἐγένετο βοσκῶ βοσκήσω. τὸ μέντοι δισκῶ καὶ ἀσκῶ καὶ διασκῶ ἔχουσι τὸ δίσκος καὶ ἀσκός, καὶ τὸ βοσκῶ τὸ βοσκός καὶ ἱπποβοσκῶ ἱπποβοσκός. Τὰ εἰς κτω μὴ παρ’ ὄνομα γινόμενα βαρύνεται, τίκτ ω , πέκτω τὸ κτενίζω. τὰ δὲ περισπώμενα ἔχουσιν ὄνομα, εὔτακτος εὐτακτ ῶ, ἄτακτος ἀτακτ ῶ, ὑλακή ὑλακτ ῶ. τούτοις ἠκολούθησε καὶ τὸ ἀγανακτ ῶ. Τὰ εἰς χω δισύλλαβα ἀρχόμενα ἀπὸ συμφώνου μὴ διὰ τοῦ η παραληγόμενα φύσει μακρᾷ βαρύνεται· εἰ δέ τι περιεσπάσθη, τοῦτο ἐκ βαρυτόνου παρήχθη ὡς ἐπὶ τοῦ τρέχω τροχ ῶ, ἢ παρ’ ὄνομα ἐγένετο, τεῦχος τευχ ῶ, καὶ τὸ στοιχῶ καὶ τὸ μοιχῶ ἀπὸ τοῦ στοῖχος καὶ μοιχός.

3,1 437 βαρύνεται δὲ ταῦτα, στείχ ω , τεύχ ω , ψύχ ω , τρύχ ω , σμύχ ω , βρύχ ω , λείχ ω , γλίχ ω, ὅθεν τὸ γλίχομαι. οὐκ ἀντιπίπτει τὸ αὐχ ῶ. ἀπὸ φωνήεντος γάρ, ᾧ ἠκολούθησε καὶ τὸ καυχ ῶ. τὸ δὲ βληχῶ ἔχει η . Τὰ εἰς χω δισύλλαβα τῷ η παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα, εἰ μὴ πεποιημένην φωνὴν σημαίνοι, βαρύνεται, νήχ ω, ἐξ οὗ τὸ νήχομαι, σμήχ ω , τρήχω τὸ κτυπῶ, ἐξ οὗ τὸ «τετρήχει δ’ ἀγορή» (Β 95), λήχ ω, ἀφ’ οὗ τὸ ἔλαχον. τὸ δὲ βληχῶ πεποιημένην φωνὴν δηλοῖ. τὸ δὲ ἠχῶ ἀπὸ φωνήεντος ἤρξατο. Τὰ εἰς χω δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ χ τὸ ς περισπᾶται, εἰ ἔχοι τὴν πρὸ τέλους μὴ φύσει μακράν, ὑπεσταλμένων τῶν ἐχόντων τὸ ε ἢ τὸ α πρὸ τέλους, λοχ ῶ , τροχ ῶ , ὀρχ ῶ, ὅθεν ὀρχοῦμαι, κιχ ῶ , ὀχ ῶ , στιχ ῶ , διχ ῶ , τριχ ῶ , τυχ ῶ. τὸ δὲ ἴσχω ἔχει ς . καὶ τὸ σμήχω ἔχει τὴν παραλήγουσαν φύσει μακράν. τὸ δὲ τρέχω ἔχει ε καὶ τὸ ἄρχω α . Τὰ εἰς χω ἐν τῇ πρὸ τέλους συλλαβῇ ε ἔχοντα βαρύνεται, εἰ μὴ παρ’ ὄνομα γένοιτο,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρέχ ω , βρέχ ω , δέχ ω, ὅθεν δέχομαι ἐν χρήσει, ἔχ ω , σπέρχ ω , εὔχ ω, ὅθεν εὔχομαι, ἔρχ ω,
ὅθεν ἔρχομαι, ἐλέγχ ω , τεύχ ω. τὸ δὲ τευχῶ περισπώμενον ὅτι τεῦχος. Τὰ εἰς χω δισύλλαβα
ἔχοντα τὸ α ἐν τῇ πρὸ τέλους βαρύνεται, ἄχω ἄχομαι, μάχ ω, ὅθεν τὸ μάχομαι καὶ μαχέομαι
μαχοῦμαι, ὅθεν μαχήσομαι μέλλων, ἄρχ ω , πάσχ ω, μεθ’ ὧν καὶ τὸ ἴσχ ω. τὸ δὲ βακχῶ
περισπᾶται ὡς ἔχον τὸ βάκχος. Τὰ διὰ τοῦ αχω τρισύλλαβα βαρύνεται, στενάχω «βαρὺ δὲ
στενάχοντος ἄκουσα» (Od. θ 95) «ἐπεστενάχοντο δ’ ἑταῖροι» (Il. Δ 154), ἰάχω «ἡμεῖς δὲ
ἰάχοντες» (Od. δ 454), «τρὶς δ’ ἄϊεν ἰάχοντος» (Il.
3,1 438 Λ 463), «σμερδαλέα ἰάχων» (Ε 304), «φθέγξομ’ ἐγὼν ἰάχουσα» (Il. Φ 341). ταῦτα δὲ καὶ ὡς ἀπὸ
περισπωμένων μέλλοντα ποιοῦσιν, ἰαχήσω, στεναχήσω. Τὰ εἰς χω ὑπερδισύλλαβα φύσει μακρᾷ
παραληγόμενα ἢ παρ’ ὄνομα ὄντα ἢ διὰ τοῦ ιχω περισπᾶται, στοναχ ῶ , συμμαχ ῶ , γνωσιμαχ
ῶ , ἡνιοχ ῶ , ὀμιχῶ τὸ οὐρῶ—ἔστι δὲ καὶ βαρύτονον ῥῆμα οἷον ὀμίχω ὁ μέλλων ὀμίξω ὡς παρ’
Ἱππώνακτι οἷον «ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλησεν» (Bergk 55) καὶ τὸ ἀναρριχᾶσθαι δὲ τοῖς
Ἀττικοῖς παρὰ τὸ ἀρχαῖόν ἐστι γενόμενον ἀραχνιῶ καὶ ἐν ὑπερθέσει τῶν στοιχείων ἀναρριχῶ,
τοῦ μὲν ν εἰς τὴν χώραν τοῦ ρ τεθέντος, τοῦ δὲ ι ἀμοιβαίως καὶ τοῦ ρ εἰς τὴν χώραν τοῦ ν , τοῦ
δὲ χ πλησίον τοῦ ω . σεσημείωται τὸ στενάχω καὶ ἰάχ ω. τὸ δὲ διδάχω διδάξω οὐκ ἐν χρήσει ὂν
βαρύνεται. Τὰ εἰς δω δισύλλαβα παραληγόμενα τῷ η βαρύνεται, ἥδω ἥδομαι, κήδω κήδομαι, τὸ
δὲ πηδῶ περισπᾶται. Τὰ εἰς δω δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους εἰς τὸ ε καταλήγουσαν
περισπᾶται, ἐδῶ ἐδήσω, μεδ ῶ, ἐξ οὗ τὸ μεδέων, μεδήσω. ταῦτα δὲ βαρύτονα λέγονται ἔδω καὶ
μέδ ω. ἔτι βαρύνεται τὸ ῥέδ ω. Πᾶν εἰς δω λῆγον ἔχον τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν
λήγουσαν μετὰ βραχείας οὐ βαρύνεται, ἀλλὰ περισπᾶται, ὡς ἔχει τὸ σταφιδ ῶ , ὁμαδ ῶ , κελαδ
ῶ. τὸ δὲ κελάδων κελάδοντος «πὰρ ποταμὸν κελάδοντα» (Il.
3,1 439 Σ 576) ὡς ἀπὸ βαρυτόνου τὸ φείδω φείδομαι—τὸ δὲ ἀπ’ αὐτοῦ μεταγόμενον φιδῶ ἀφ’ οὗ
πεφιδήσεται συστέλλον τὴν παραλήγουσαν περισπᾶται— ψεύδω ψεύδομαι, σπεύδω σπεύδομαι,
ἐρείδω ἐρείδομαι, ἀείδ ω , αἵδω ἐπὶ τοῦ αἰσχύνομαι, ὅπερ καὶ περισπᾶται—παραλήγουσι
διφθόγγῳ. Τὰ εἰς δω ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ ε , ᾧ ὑποτέτακται ἢ σύμφωνον ἢ
ὑποτακτικὸν φωνῆεν, βαρύνεται, εἰ μὴ παρ’ ὄνομα εἴη, σπένδ ω , ἔρδ ω , ἀμέρδω τὸ στερίσκω,
εὕδ ω , σπεύδ ω , φείδ ω , δείδω τὸ φοβοῦμαι, εἴδω καὶ εἰδ ῶ. τὸ δὲ κερδ ῶ, ὅτι κέρδος,
περισπᾶται. Τὰ εἰς δω παραληγόμενα τῷ ο περισπᾶται, σποδ ῶ , ποδ ῶ , οἰδῶ τὸ οἰδαίνω, ἀοιδ
ῶ, ὅθεν ἀοιδιῶ. Τὰ εἰς δω παραληγόμενα τῷ ω , εἰ παρ’ ὄνομα εἴη, περισπᾶται, κιθαρῳδ ῶ ,
κωμῳδ ῶ , τραγῳδ ῶ , μονῳδ ῶ , μελῳδ ῶ , ὑμνῳδ ῶ , ληρῳδ ῶ, μεθ’ ὧν καὶ ὀπηδῶ καὶ αὐδῶ
καὶ νωδ ῶ. Τὰ εἰς δω ἐν τῇ πρὸ τέλους ἔχοντα τὸ ι εἰς τὸ ν καταλῆγον βαρύνεται, ἀλίνδ ω ,
καλίνδ ω , κυλίνδω «ἡ δὲ κυλινδομένη καναχὴν ἔχε» (Il. Π 794), «προπροκυλινδόμενος» (Od. ρ
525), «μέγα κῦμα κυλίνδων» (Od. ε 296). ταῦτα δὲ καὶ περισπᾶται. Τὰ εἰς δω δισύλλαβα, εἰ ἔχει
τὸ α λῆγον ἐν τῇ πρὸ τέλους συλλαβῇ, περισπᾶται, φραδῶ τὸ βουλεύομαι· εἰ μέντοι εἰς
σύμφωνον καταλήγοι, βαρύνεται, ἄρδ ω , ἄλδω τὸ αὔξω.
3,1 440 τὸ μέντοι ἀλδήσω ἀπὸ περισπωμένου τοῦ ἀλδῶ ἐγένετο. Τὰ διὰ τοῦ αθω ὑπερδισύλλαβα
βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα, ὅπερ κατὰ τροπὴν τοῦ τέλους εἰς ω ἐποίησε τὸ ῥῆμα,
κιάθω τὸ πορεύομαι, ἀμυνάθω τὸ βοηθῶ, διωκάθω τὸ διώκω, εἰργάθ ω , εἰκάθ ω. τὸ μέντοι
φιλομαθῶ καὶ εὐσταθῶ περισπῶνται· παρ’ ὄνομα γάρ. τὸ δὲ μαθῶ μαθήσω δισύλλαβον. Τὰ διὰ
τοῦ εθω βαρύνεται, σχέθ ω , ἔθ ω , ἐρέθ ω , ἀερέθ ω , φαέθ ω , φλεγέθ ω , σπερέθ ω , νεμέθ ω ,
βρεμέθ ω , ἀρέθ ω , χρεμέθ ω , τελέθ ω , ἐγερέθ ω , ἐμέθ ω , ἀγερέθ ω. τὸ δὲ τηλεθῶ τὸ εἰς ὕψος
θέω περισπᾶται. * Τὸ αἴθω ἐπὶ τοῦ καίω μόνον διὰ τῆς αι γραφόμενον βαρύνεται. Τὰ διὰ τοῦ
ηθω βαρύνεται· εἰ δέ τι περισπᾶται, ἀπὸ ὀνόματος γέγονε, ἀλήθ ω , κνήθ ω , λήθ ω , πήθ ω, ἐξ
οὗ καὶ ἔπαθον, πλήθ ω , πρήθ ω , δήθ ω, ἐξ οὗ παραγωγὸν τὸ δηθύνω, μήθ ω , νήθ ω. τὸ δὲ
βοηθ ῶ , ἀηθῶ παρ’ ὄνομα. ὅμοιον καὶ τὸ γηθῶ γηθήσω καὶ ἠθῶ τὸ διυλίζω. * Τὸ βρίθω μόνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ ι παραληγόμενον βαρύνεται. Τὰ εἰς υθω βαρύνεται, μινύθ ω , φθινύθ ω , βαρύθ ω. τὸ δὲ μυθῶ ἔχει μῦθος. Τὰ εἰς θω κατ’ ἐπιπλοκὴν συμφώνου βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα ἢ τῷ ο παραλήγοιτο, ἀΐσθω τὸ ἐκπνέω «ὁ δ’ ἔβραχε θυμὸν ἀΐσθων» (Il. Π 468), βιβάσθω «μακρὰ βιβάσθων» (Ν 809), ἐρέχθω τὸ σχίζω «νῆα θοὴν ἐρεχθομένην ἀνέμοισι» (Ψ 317), ἄχθ ω, ὅθεν ἄχθομαι, αἴσθω καὶ αἴσθομαι, αἰσθήσομαι.

3,1 441 τοῦτο δὲ ἀπὸ περισπωμένου ἐγένετο. τὸ μέντοι μισθῶ περισπᾶται, ὅτι μισθός. τὸ μέντοι μοχθῶ καὶ ῥοχθῶ τῷ ο παραληγόμενα περισπᾶται. σεσημείωται τὸ ὀρεχθῶ «πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον» (Ψ 30). Τὰ εἰς θω παραληγόμενα ευ βαρύνεται, πεύθ ω , ἐλεύθ ω , κεύθ ω. Τὰ εἰς θω παραληγόμενα φύσει μακρᾷ χωρὶς τῶν διὰ τοῦ η , εἰ μὴ ὄνομα προκατάρχοιτο, βαρύνεται, πείθ ω , κλώθ ω , βρώθ ω, ἀφ’ οὗ βέβρωθα, πρώθ ω. σεσημείωται τὸ ὠθ ῶ. τὸ μέντοι μυθῶ καὶ ἀπειθῶ περισπῶνται, ὅτι μῦθος καὶ ἀπειθής. τὸ δὲ ἀπιθῶ «οὐδ’ ἀπίθησεν μύθῳ Ἀθηναίης» (Α 220) περισπᾶται συστέλλον τὴν παραλήγουσαν. τὸ γὰρ πείθω μετάγεται εἰς περισπώμενον πιθῶ, οὗ ὁ μέλλων πιθήσω, ὁ ἀόριστος ἐπίθησεν, ὡς τὸ φείδω γίνεται φιδῶ περισπώμενον καὶ πεφιδήσεται. οὕτως ἐστὶ καὶ τὸ ἀπιθῶ. Τὰ εἰς θω δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν μετὰ βραχείας, μὴ τοῦ ε , περισπᾶται, τιθ ῶ , ποθ ῶ , μαθ ῶ, ἐξ οὗ τὸ μαθήσω. τὸ μέντοι σχέθω βαρύτονον ἔχον τὸ ε . σεσημείωται τὸ ὄθω τὸ φροντίζω «οὐδ’ ὄθομαι κοτέοντος» (Α 181). Τὰ εἰς θω , εἰ ἔχοι πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν, ὑπεσταλμένης τῆς ερ , περισπᾶται, πτορθ ῶ , ἀνθ ῶ , πενθ ῶ , ὀρθ ῶ. σεσημείωται τὸ ἄλθ ω. τὸ δὲ πέρθω καὶ ἐγέρθω βαρύνεται ὡς ἔχον ερ . Τὰ εἰς τω δισύλλαβα μὴ κατ’ ἐπιπλοκὴν τοῦ ς περισπᾶται, ζητ ῶ , κροτ ῶ , πατ ῶ , στρατῶ τὸ στρατοπεδεύομαι, κοτῶ τὸ ὀργίζομαι, βροντ ῶ.

3,1 442 τὰ μέντοι βαρύτονα διὰ τοῦ τ οὐ πολλὰ ὦπται καὶ μὴ ἐνεργητικῶς λεγόμενα, ἀλλὰ τὸ λίτ ω, ὅθεν τὸ λιτέσθαι, καὶ τὸ πέτ ω, ἀφ’ οὗ τὸ πέτομαι, καὶ ἔνια, ἃ ἤδη ὡς περισπώμενα ἐκλίθη, ὥσπερ τὸ κέντ ω, ἐξ οὗ τὸ «κένσαι ὁμοκλήσας» (Ψ 337) καὶ ἄντ ω, ὅθεν ἀντόμενος «ὡς ἄν τίς σε συναντόμενος» (Od. ρ 165) καὶ «ἄντεσθαι ἐν πολέμῳ» (Ο 698). τὸ δὲ «ἤντης’ οὐδὲ ἴδον» (Od. δ 201) καὶ «ἀντήσω γὰρ ἐγὼ τοῦδ’ ἀνέρος» (Il. Π 423) ὡς ἀπὸ περισπωμένου κέκλιται. τὸ δὲ ἀνύτω καὶ ἀρύτω τῷ τ ἐπλεόνασεν ὡς ἐκ τοῦ ἀνύω καὶ ἀρύω. Τὰ εἰς ζω βαρύνεται, εἰ δέ τι περισπᾶται, τοῦτο καὶ βαρύτονον ὤφθη. εἰ δὲ μόνως περιεσπάσθη, προϋπῆρξεν αὐτῷ ὄνομα, οὗ τὸ τέλος εἰς ω τραπὲν ἰσοσύλλαβον ῥῆμα ἀπετέλεσε. * Τὰ εἰς αζω βαρύνεται, βάζ ω , βιβάζ ω , λάζω τὸ λαμβάνω, στάζ ω , φράζ ω , σφάζ ω , χάζ ω , αἰάζ ω , στενάζ ω , ἀλαπάζ ω , εὐάζ ω , ἐκκλησιάζ ω , σκεπάζ ω , ἀνιάζ ω , σκιάζ ω , σκεδάζ ω , ἁρπάζ ω , ἐνθουσιάζ ω , βιάζ ω , αἰτιάζ ω , ἁλιάζ ω , ἀγοράζω, ὅπερ τινὲς ἐπὶ τοῦ ἐν ἀγορᾷ διατρίβειν «ὅδ’ ἀγοράζει κλεῖδ’ ἔχων» ἐκτείνουσι πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι. κράζ ω, ὅπερ παρὰ λόγον ἐκτέταται, τὰ γὰρ εἰς αζω συστέλλει τὸ α ὑπεσταλμένων τῶν Αἰολικῶν, τοῦ πτάζω ἔπταζον ὥστ’ ὄρνιθες ὦκυν αἵετον ἐξαπίνας φανέντα ἀντὶ τοῦ ἔπτησσον· καὶ τοῦ πλάζω τὸν δ’ ἐπιπλάζοντ’ ἄνεμοι φέροιεν καὶ μελέδωνα ἀντὶ τοῦ ἐπιπλήσσοντα.

3,1 443 ἔτι καὶ βαρύνεται τὰ πρὸς τῷ α ἔχοντα τὸ ι σφαδᾷζ ω , τερᾷζ ω , ματᾷζω καὶ τὸ παίζω μόνον ἔχον πρὸ τέλους τὴν αι δίφθογγον ἐκφωνουμένην. * Τὰ εἰς ζω παραληγόμενα τῷ ε βαρύνεται, ἕζ ω , χέζ ω , ῥέζ ω , πιέζω μόνον εἰς ζω ὑπὲρ δύο συλλαβὰς βαρύτονον τῷ ε παραληγόμενον, Δωριεῖς πιάζω ἀναλογώτερον. τοῦτο δὲ καὶ ἀπὸ περισπωμένου. τὸ δὲ τραπεζῶ περισπᾶται, ὅτι τράπεζα. * Τὰ εἰς ιζω βαρύνεται, τρίζ ω , σχίζ ω , πρίζ ω , κτίζ ω , ἵζ ω , χαρίζ ω , χωρίζ ω , βαπτίζ ω , ὀνειδίζ ω , αἰκίζ ω , στηρίζ ω , θρυλλίζ ω , λυρίζ ω , σαλπίζ ω , συρίζ ω , χαιτίζ ω , κιθαρίζ ω , Δωρίζ ω , Θετταλίζω, ἀφ’ οὗ τὸ ἐντεθετταλίσμεθα παρὰ τῷ Εὐπόλιδι ἐν Μαρικᾷ, τουτέστι χλαμύδα Θετταλικὴν φοροῦμεν, Σκυθίζ ω , Περσίζ ω , σφετερίζ ω. τὸ δὲ ῥιζῶ περισπᾶται, ὅτι ῥίζα. * Τὰ εἰς ζω τὸ ο παραληγόμενα τρία ἐστὶ καὶ βαρύνεται, ὄζω — τοῦτο δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνίοτε καὶ περισπώμενον λέγεται, ἐξ οὗ καὶ ὁ μέλλων ὀζέσω, ἀλλὰ καὶ ὀζήσω ὡς παρ' Ἀριστοφάνει «λίθος τις ὤζησεν τεθυμιαμένος», ἁρμόζ ω , δεσπόζ ω.

3,1 444 * Τὰ εἰς ζω τῷ ω ἢ τῇ ῳ καὶ τῇ οι διφθόγγῳ παραληγόμενα βαρύνεται, κρῴζ ω , οἰμώζ ω , πατρώζ ω , μητρώζ ω , χρῴζ ω , σῴζ ω , πλῴζω σὺν τῷ ι , εὕρηνται γὰρ ἐν διαιρέσει σωΐζω, πλωΐζω τρισυλλάβως, ἀθροίζ ω. τὸ δὲ ῥοιζῶ περισπᾶται, ὅτι ῥοῖζος. * Ἔτι τὰ τῇ ει καὶ ῃ διφθόγγῳ παραληγόμενα εἰς ζω βαρύνεται, δανείζ ω , χρῄζω παρὰ τὸ χρέος χρεΐζω χρηΐζω καὶ χρῄζω, κλῄζω ἀπὸ τοῦ κλέος κλεΐζω καὶ κληΐζω καὶ κλῄζω, οὐ γέγονε δέ, ὡς ἡγοῦνται, κατὰ συγκοπὴν παρὰ τὸ καλήζω τὸ παρὰ Κυπρίοις λεγόμενον. τοῦτο γὰρ οὐκ ἔχει τὸι · ἔστι δὲ παρὰ Ἴωσι καλέω, παρὰ δ' Αἰολεῦσι καλήω. * Τὰ εἰς ζω ῥήματα παραληγόμενα υ φιλεῖ πως βαρύνεσθαι οἷον τρύζ ω , γρύζ ω , κλύζ ω , ἀτύζ ω , ὀλοφύζω, ὃ πρωτότυπόν ἐστι τοῦ ὀλοφυδνόν, ὀτοτύζ ω , ὀλολύζ ω , σφύζ ω , γογγύζ ω , ἑρπύζ ω , ἑλκύζ ω , λαγαρύζ ω , ποππύζ ω , κελαρύζ ω , μασταρύζ ω , βαΰζ ω. εὑρέθη μέντοι τινὰ καὶ περισπώμενα, ὧν ἔσθ' ὅτε καὶ προκατάρχει ὄνομα ὡς τὸ κορυζῶ καὶ φυζ ῶ, οὗ μέσος παρακείμενος ἐν τῷ «πεφυζότες ἠΰτε νεβροί» (Il. X 1) καὶ τὸ μυζ ῶ, ἐξ οὗ τὸ μεμυζότε μυδαλέω τε» παρ' Ἀντιμάχῳ. Ὀφείλει μὲν τὰ εἰς ζω περισπώμενα τῷ υ παραληγόμενα τρίτης συζυγίας εἶναι· τὸ δὲ κνυζῶ ἐστι καὶ πρώτης καὶ δευτέρας συζυγίας, ὁ μέλλων κνυζήσω, ἐξ οὗ καὶ κνυζηθμός ὡς μυκηθμός. «κνυζηθμῷ δ' ἑτέρωσε διὰ σταθμοῖο φόβηθεν» (Od. π 163). καὶ πάλιν Σοφοκλῆς Φρίξῳ (fr. 650 Nauck) «κυνηδὸν ἐξέπραξαν κνυζούμενον». ἔστι καὶ τρίτης ὡς τὸ «κνυζώσω δέ τοι ὄσσε» (Od. ν 401). τὸ δὲ κνυζῶσαι ἀντὶ τοῦ διαφθεῖραι κεῖται. δι' ὃ ἐπιφέρει Ὅμηρος τὸ «πάρος περικαλλέ' ἐόντα». καί τινες μὲν ἀπὸ κυνῶν κυνῶ καὶ κνυζῶ. ἀλλ' ἔστιν ἀπίθανον καὶ δυσκατάστατον παριστᾶν ἐκ τῆς κατὰ κύνας μεταφορᾶς τὸ τῶν ὀφθαλμῶν ἀπρεπές.

3,1 445 οἱ δὲ παρὰ τὴν κόνυζαν οἷον χαμαιζήλοιο κονύζης» (Nicand. Ther. 70) γίνεσθαι κνυζῶ ὡς κόρυζα κορυζῶ καὶ ῥίζα ῥιζῶ, ὅπερ ἀπίθανον. ἄμεινον οὖν Φιλοξένῳ συγκατατίθεσθαι εἰπόντι, ὅτι παρὰ τὸ κνύω γίνεται, ὃ δηλοῖ τὸ ξύω, Δωρικὸν μὲν ὄν, προφερόμενον δὲ παρὰ Ἀττικοῖς καὶ Ἴωσιν. Σώφρων ἐν Μίμοις (fr. 9 Ahrens) κνύζομαι δὲ οὐδὲν ἰσχύων. ἁ δὲ ξύσμα ἐκ ποδῶν εἰς κεφαλὰν ἱππάζεται. καὶ ξύσιλον ἀποφαίνεταί τινα ἐκ τοῦ συνεχοῦς ἐν γήρᾳ κνησμοῦ καὶ Δημόκριτος (fr. 49 Mullach) «ξυόμενοι ἄνθρωποι ἥδονται καί σφιν γίνεται ἅπερ τοῖς ἀφροδισιάζουσιν» καὶ παρὰ τῷ κωμικῷ ἐν Θεσμοφοριαζούσαις (481) «οὗτος πόθῳ μου ἔκνυεν ἐλθὼν τὴν θύραν» ἤγουν διὰ τὸν πόθον μου ἔξυε τὴν θύραν. καὶ ἀρέσκεται ὥσπερ ἑρπύω ἑρπύζω καὶ μύω μύζω, τρύω τρύζω οὕτως εἶναι καὶ κνύω κνύζω, ἐξ οὗ καὶ τὸ κνυζῶ ὁμοίως τῷ δίζω διζῶ. ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ «κνῦμα δακτύλων» παρὰ τῷ κωμικῷ (Eccl. 36) καὶ κνύος δὲ ἡ φθορὰ κατὰ γένος οὐδέτερον ὁμοίως τῷ θύω θύος καὶ φλύω φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας καὶ παρὰ Ἡσιόδῳ ἐν καταλόγῳ περὶ τῶν Προιτίδων (fr. V Dind.) καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν. ἄλφος γὰρ χρόα πάντα κατάσχεθεν, ἐν δέ νυ χαῖται ἔρρεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα. τὸ δὲ κνύω γίνεται ἐκ τοῦ κνῶ «ἐπὶ δ' αἴγειον κνῆ τυρόν» παρ' Ὁμήρῳ (Λ 638), ἐξ οὗ καὶ ἡ κόνις καὶ παρὰ τὸ αὐτὸ κνῶ παράγεται τὸ κναίω τὸ διαφθείρω, οὗ χρῆσις καὶ παρὰ τῷ κωμικῷ Ἱππεῦσιν (771) ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ. καὶ ὥσπερ στῶ στίζω, πρῶ πρίζω, οὕτω κνῶ κνίζω τὸ ἐξεπιπολῆς καὶ ἰσχνῶς καταξύω, οὗ ὁ μέλλων κνίσω, ἀφ' οὗπερ γίνεται ἡ κνῖσα δι' ἑνός τε γραφομένη ς καὶ ἔκτασιν λαβοῦσα τοῦ ι . δηλοῖ δὲ ἡ κνῖσα τὴν κατ' ὀλίγον ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀσφρήσει προσίζουσαν. προσηγόρευται δὲ καὶ ἐπίπλους εὖ μάλα καὶ αὐτὸς εὐανάδοτος ὢν πρὸς ὄσφρησιν, οὐκ αὐτοτελὴς δὲ περιτεθειμένος τοῖς μηρίοις. Γίνεται δὲ ἀπὸ τοῦ κνίζω οὐ μόνον ἡ κνῖσα, ἀλλὰ καὶ ἡ κνίζα ὡς σχίζω σχίζα.

3,1 446 Ἀνακρέων (fr. 87 Bergk), κνίζη τις ἤδη καὶ πέπειρα γίνομαι σὴν διὰ μαργοσύνην. τὸ δὲ κνύζα, εἰ μὲν ἐπὶ φυτοῦ, κατὰ συγκοπήν ἐστιν οἷον «χαμαιζήλοιο κονύζης», εἰ δὲ ἐπὶ παρεφθαρμένου καὶ

ἐρρυπωμένου, οὐκ ἔστι συγκοπή, ἀλλὰ ἀπὸ τοῦ κνύω, ἐξ οὗ καὶ κνύος ἡ φθορά. ὁμοίως δὲ καὶ ἐκ τοῦ κνῶ καὶ κνάπτω γίνεται. ὡς γὰρ ῥῶ ῥάπτω τὸ τὰ διαλελυμένα εἰς ῥῶσιν ἄγω καὶ βῶ βάπτω τὸ ἐμβιβάζω ποι τὸ ἐνιέμενον καὶ θῶ θάπτω τὸ ἀποτίθημι τὴν ταφήν, οὕτω καὶ κνῶ κνάπτω, ἀφ’ οὗ κνάφος φυτὸν ἀκανθῶδες, ᾧ τὰ ἄθικτα ἱμάτια ἐπισύροντες κατεργάζονται. τὸ δὲ αὐτὸ καὶ γνάπτω, ὅθεν ὁ κναφεὺς καὶ γναφεύς ὁ αὐτός. Τὰ διὰ δύο σς βαρύνεται· εἰ δέ τι περιεσπάσθη, τοῦτο παρ’ ὄνομα ἐγένετο. πάσσ ω , πλάσσ ω , μάσσ ω , νάσσ ω , ἱμάσσ ω , ἀράσσ ω , πατάσσ ω , χαράσσ ω , ἀλλάσσ ω , θαάσσ ω , ἀνάσσ ω , τινάσσ ω , ἐρέσσ ω , πυρέσσ ω , ἀηθέσσ ω , πτήσσ ω , ῥήσσ ω , πλήσσ ω , πτίσσ ω , φρίσσ ω , λίσσω «ὣς φάτο λισσόμενος μέγα νήπιος» (Π 46), δεδίσσω καὶ δειδίσσ ω , αἰνίσσ ω , δρομίσσ ω , ἐνίσσω τὸ ἐκφοβῶ «ἐκπάγλως ἐπέεσσιν ἐνισσέμεν» (Ο 198), ἑλίσσ ω , ὄσσω μετειλημμένον ἀπὸ τοῦ ὄπτω, πτύσσ ω , μύσσ ω , νύσσ ω , ἀφύσσ ω , ὀρύσσ ω , κηρύσσ ω , κορύσσ ω , πτώσσ ω , κνώσσ ω , ὀνειρώσσ ω , ἀμβλυώσσ ω , τυφλώσσ ω , ἀγρώσσω, «ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ» (ε 53), ὑπνώσσ ω , λιμώσσ ω , νεώσσ ω , καρδιώσσ ω , ἰκτερώσσ ω , λεύσσ ω , γλαύσσω τὸ φωτίζω.

3,1 447 τὰ δὲ ἀπ’ ὀνομάτων περισπᾶται, θάλασσα θαλασσ ῶ, ἐλάσσων ἐλασσ ῶ, ἥσσων ἡσσ ῶ, κρείσσων κρεισσ ῶ, κισσός κισσ ῶ, λύσσα λυσσ ῶ. Τὰ εἰς σω ἐπὶ ἐνεστῶτος, ὁπότε μὴ ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα μετήχθη ποιητικῶς, περισπᾶται, ἰσ ῶ , νοσ ῶ , μασ ῶ , πεσ ῶ, ἐξ οὗ γίνεται ὁ μέλλων πεσήσω, ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα πέσημα καὶ ὁ ἀόριστος δεύτερος ἔπεσον ὥσπερ καὶ ἐκ τοῦ χραισμῶ ἔχραισμον καὶ ἀπὸ τοῦ ὀλισθῶ ὤλισθον. τὸ δὲ οἴσ ω, οὗ τὸ προστακτικὸν «οἶσε θέειον γρηΰ» (χ 481), «οἴσετε πῦρ» (Il. Ο 718) καὶ δύσ ω, οὗ ὁ παρατατικὸς «ἐδύσετο» (β 388) καὶ βήσω κατὰ ποιητικὴν ἄδειαν μετηνέχθη ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα. Τὰ εἰς λλω βαρύνεται, εἰ μὴ ἀπὸ ὀνόματος εἴη, ψάλλ ω , βάλλ ω , θάλλ ω , σκάλλ ω , σφάλλ ω , στέλλ ω , τίλλ ω , ποικίλλ ω. τὸ δὲ κυλλῶ περισπᾶται, ὅτι κυλλός, καὶ τὸ μεταλλ ῶ, ὅτι μέταλλος, καὶ ἁμιλλ ῶ, ἐξ οὗ ἁμιλλῶμαι, ὅτι ἅμιλλα. Τὰ εἰς λω παραληγόμενα τῇ ου διφθόγγῳ σπάνιά εἰσι, βούλ ω, ὅθεν τὸ βούλομαι, βαρύνεται. τὸ δὲ οὐλῶ περισπᾶται, ὅτι οὐλή, καὶ τὸ δουλ ῶ, ὅτι δοῦλος. Τὰ εἰς λω δισύλλαβα, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς ε καταλήγουσαν, βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου μὴ μέσου, χωρὶς εἰ μὴ παρ’ ὄνομα εἴη, κέλ ω , πέλ ω , μέλ ω· τὸ δὲ μελήσω ὡς ἀπὸ περισπωμένου. θέλ ω. τὸ μέντοι ἐλῶ περισπᾶται, ὅτι ἀπὸ φωνήεντος ἤρξατο.

3,1 448 παρ’ ἐνίοις δὲ βαρύνεται. τὸ δὲ ἕλω δασυνόμενον ὑποτακτικόν ἐστι τοῦ εἶλον. τὸ δὲ τελῶ ἔχει τὸ τέλος ὄνομα. τὸ μέντοι βέλω ἀπὸ μέσου ἀρχόμενον, ὅθεν βέλος βέλεμος καὶ πλεονασμῷ τοῦ ν βέλεμνον, οὐκ ἔστιν ἐν χρήσει. Τὰ εἰς λω ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν ἢ φωνήεντα λήγουσαν περισπᾶται, ὑπεσταλμένων τῶν ἐχόντων τὴν ου δίφθογγον ἢ τὸ ε ἐν δισυλλάβῳ, καλ ῶ , χαλ ῶ , ζηλ ῶ , δηλ ῶ , αὐλ ῶ , πολῶ τὸ ἀναστρέφομαι, πωλ ῶ , ἀπειλ ῶ , βουκολ ῶ , ἀμελ ῶ , ὠφελ ῶ. σεσημείωται τὸ ἐθέλω καὶ ὀφείλ ω. * Τὰ διὰ τοῦ λω ὑπὲρ δύο συλλαβὰς τῷ ε παραληγόμενα, μὴ ἔχοντα ἕτερον λ προηγούμενον περισπᾶται οἷον ὠφελ ῶ , ἀμελ ῶ. τὸ δὲ ἐθέλω βαρύνεται. παράλογον οὖν τὸ ἐθέλω κατὰ τόνον τρισύλλαβον ὄν. τὸ δὲ θέλω δισύλλαβον κατὰ τοῦτο ἀναλογώτερόν ἐστι. ἔχομεν γάρ τινα δισύλλαβα βαρυνόμενα, μέλω, ἕλω, κέλω. μηδεὶς δὲ οἰέσθω, ὅτι τὸ ἐθέλω ἐκ τοῦ θέλω ἐστὶ κατὰ πλεονασμὸν τοῦ ε . τὸ γὰρ ε ἐπὶ φωνήεντι πέφυκε πλεονάζεσθαι ὡς τὸ εἶπας ἔειπας, ἐπὶ συμφώνου δὲ οὐ πλεονάζεται. τὸ δὲ θέλω δοκεῖ ἐκ τοῦ ἐθέλω εἶναι· τὸ γὰρ ε τὸ μετὰ συμφώνου ὑπάρχον πέφυκε πολλάκις ἀποβάλλεσθαι, ὡς τὸ ἔφη φῆ, ἔβη βῆ. καὶ δεῖ γινώσκειν, ὅτι ἀεὶ τὸ τρισύλλαβον εὑρίσκεται παρὰ τῷ ποιητῇ ἐθέλω. ἀμέλει ἐν τῷ μήτε σὺ Πηλεΐδη θέλ’ ἐριζέμεναι (Α 277) δηλονότι κράσει ἐγένετο τοῦ η καὶ ε εἰς η . —πρόσκειται «μὴ ἔχοντα ἕτερον λ προηγούμενον» διὰ τὸ ἀνατέλλ ω. Τὰ εἰς λω μετ’ ἐπιπλοκῆς συμφώνου περισπᾶται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο πάθος ἔχει ἐξ ἐντελεστέρου τοῦ εἰς λω καθαρεύοντος, ἁπλ ῶ , διπλ ῶ , τριπλ ῶ , πιμπλ ῶ , κυκλ ῶ , ἀντλ ῶ. ταῦτα καὶ τὰ ὅμοια περισπῶνται. τὸ μέντοι ὄφλω βαρύνεται ἐκ τοῦ ὀφείλω, ὥσπερ καὶ τὸ κέλω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κέκλω καὶ μέλω μέμβλ ω. Τὰ εἰς μω ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα παραληγόμενα τῷ ε βαρύνεται, εἰ μὴ παρ’ ὄνομα εἴη, τρέμ ω , νέμω καὶ νεμῶ, ὅθεν νενέμηκα, δέμ ω , τέμ ω , γέμ ω , τρέμ ω , χρέμω τὸ ἠχῶ, βρέμω τὸ κτυπῶ.

3,1 449 σεσημείωται τὸ κρεμῶ περισπώμενον, ὁμοίως καὶ τὸ θεμῶ καὶ πολεμ ῶ. τὸ δὲ ἀτρεμῶ καὶ ἐμῶ ἀπὸ φωνήεντος ἄρχονται. Τὰ εἰς μω μὴ παραληγόμενα τῷ ε περισπᾶται, κομ ῶ , δαμ ῶ , γαμ ῶ , θυμῶ καὶ θυμοῦμαι, μιμῶ καὶ μιμοῦμαι, χραισμ ῶ , κοσμ ῶ , κοιμῶ καὶ κοιμῶμαι, οἰμῶ τὸ ὁρμῶ, μαιμῶ τὸ ὁρμῶ. Τὰ εἰς νω δισύλλαβα μὴ κατ’ ἐπιπλοκὴν συμφώνου ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον καταλήγουσαν περισπᾶται, κιρν ῶ , πιλν ῶ , πορν ῶ , ἀρνῶ ἀρνοῦμαι. Τὰ εἰς νω δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεσταλμένον καταλήγουσαν ἀρχόμενα ἢ ἀπὸ συμφώνου ἢ συμφώνων μὴ ἀντιστοίχων περισπᾶται, χωρὶς εἰ μὴ κατ’ ἐπένθεσιν εἴη τοῦ ν γινόμενα, κυνῶ καὶ ἐν συνθέσει προσκυν ῶ , πλαν ῶ , σινῶ τὸ βλάπτω. τὸ δὲ τιῶ τίνω κατ’ ἐπένθεσιν τοῦ ν , οὗ τὸ δίχρονον ποτὲ μὲν συστέλλει, ποτὲ δὲ ἐκτείνει. τὸ δὲ φθίνω καὶ φθάνω ἀπὸ ἀντιστοίχων ἤτοι ἰσοστοίχων. τὸ δὲ ἄνω ἀντὶ τοῦ ἀνύω ἀπὸ φωνήεντος ἄρχεται. Τὰ εἰς νω παραληγόμενα τῷ ε , περισπᾶται, εἰ προκατάρχοι ὄνομα, ἐξ οὗ γέγονε, φρενός φρεν ῶ, ἑνός ἑν ῶ, ξένος ξεν ῶ, ἀσθενής ἀσθεν ῶ, σθένος σθεν ῶ, στένος στεν ῶ. τὸ γὰρ στένω οὐκ ἔχει ὄνομα οὔτε μέν ω, μεθ’ ὧν καὶ φένω τὸ φονεύω καὶ πέν ω, ἀφ’ οὗ πένομαι, καὶ σθένω καὶ θένω τὸ τύπτω. Τὰ εἰς νω παραληγόμενα τῷ ο περισπᾶται, φθον ῶ , δον ῶ , πον ῶ , κλον ῶ , ὀνῶ τὸ ὠφελῶ, φρον ῶ , κον ῶ. Τὰ εἰς νω παραληγόμενα φύσει μακρῷ φωνήεντι, ὁπότε μὴ εἴη κατ’ Αἰολίδα διάλεκτον, περισπᾶται, σκην ῶ , θρην ῶ , σφην ῶ , φων ῶ , ὠνῶ καὶ ὠνοῦμαι, κοιν ῶ , κοινων ῶ. καὶ τὸ γεγωνῶ ἔοικε μᾶλλον περισπώμενον εἶναι παρὰ τῷ ποιητῇ· ὡς γὰρ ἐνόεον καὶ ἐφίλεον, οὕτως καὶ ἐγεγώνεον ἔφη· «ἠμὲν ὅς’ ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνεον» (Od. ρ 161). ἀπαρέμφατον δὲ προηνέγκατο τὸ γεγωνέμεν· «ἤ ῥ’ ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν» (Il. Θ 223). οἱ δὲ μετ’ αὐτὸν καὶ ὡς βαρύτονον αὐτὸ ἔκλιναν καὶ ὡς περισπώμενον. τὸ πώνω βαρύνεται ὡς ἴδιον Αἰολέων. Τὰ εἰς νω δισύλλαβα παραληγόμενα τῇ ει διφθόγγῳ βαρύνεται, εἰ μὴ παρ’ ὄνομα εἴη, τείν ω , γείν ω , κτείν ω.

3,1 450 τὸ δειν ῶ, ὅτι δεινός, καὶ τὸ πειν ῶ, ὅτι πεῖνα. Τὰ εἰς νω δισύλλαβα παραληγόμενα ι ἐκτεταμένῳ βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα, κρίν ω , πίν ω , κλίν ω , σίν ω , γίν ω . δινῶ δινεῖς, ὅτι δίνη καὶ ῥινῶ ῥινοῖς, ὅτι ῥίνη. τούτοις ὅμοιον καὶ τὸ κινῶ Τὰ εἰς νω παραληγόμενα υ μακρῷ βαρύνεται, εἰ μὴ προκατάρχοι ὄνομα, δύν ω , θύν ω , πλύν ω , φύν ω , μηκύν ω , πλατύν ω , ταχύν ω , τραχύν ω , ὀτρύν ω , μολύν ω , κρατύν ω , φαιδρύν ω , ἀμύν ω , εὐθύν ω , βραδύν ω , « ἀμορφύνειν ἐθέλωσιν» ὁ Ἀντίμαχος ἀντὶ τοῦ ἀμορφεῖν, ἀκαχύνω ὁ αὐτός, ἔνθεν ἀπαρέμφατον ἀκαχυνέμεν. σεσημείωται τὸ βυνῶ περισπώμενον καὶ παρ’ Ἡσιόδῳ τὸ » ἐθύνεο ν» (Scut. 210) ὡς ἐνόεον ἢ πλεονασμῷ τοῦ ε ἢ μεταβολῇ τῆς δι εἰς θυ . τὸ δὲ ξυνῶ ἔχει τὸ ξυνός. καὶ τὸ ὀδυνῶ ἔχει τὸ ὀδύνη καὶ τὸ υ βραχύ. καὶ τὸ τορυνῶ ἔχει τὸ τορύνη. τοῦτο δὲ οἱ Ἀττικοὶ καὶ βαρύνουσι καὶ ἐκτείνουσι «ἐτόρυνε» γάρ (Arist. Eqq. 1172). Τὰ διὰ τοῦ αινω βαρύνεται· ἃ δὲ περισπῶνται, ὀλίγα εἰσὶ καὶ παρ’ ὄνομα γεγόνασι, φαίνω φαίνομαι, μαίνω μαίνομαι, χαίν ω , ῥαίν ω , βαίν ω , δραίν ω , καίν ω , κραίν ω , σαίν ω , χραίν ω , αἴνω τὸ δασυνόμενον τὸ παρὰ τοῖς Ἀττικοῖς. Φερεκράτης «αἴνειν, πτίσσειν». μιαίν ω , μελαίν ω , ὑφαίν ω. τὸ μέντοι αἰνῶ περισπώμενον ἔχει τὸ αἶνος ὥσπερ καὶ τὸ κελαινῶ τὸ κελαινός καὶ τὸ τριαινῶ τὸ τρίαινα. Τὰ εἰς νω παραληγόμενα διφθόγγῳ, μὴ τῇ αι ἢ ει , περισπᾶται, ἐρευν ῶ , θοιν ῶ , χαυν ῶ , κοιν ῶ , οἰνῶ χωρὶς τοῦ ἐλαύν ω. Τὰ εἰς νω ὑπερδισύλλαβα παραληγόμενα τῇ ει διφθόγγῳ ἢ μακρῷ τῷ ι βαρύνεται καταείνω τὸ καλύπτω, ὠδίν ω , ὀρίν ω , ἀλεείν ω , φαείν ω , ἐλεείν ω.

3,1 451 τὸ χαλινῶ περισπᾶται, ὅτι ἔχει τὸ χαλινός, ὥσπερ καὶ τὸ ταπεινῶ τὸ ταπεινός. Τὰ εἰς νω μετ’ ἐπιπλοκῆς συμφώνου περισπᾶται, ὑπν ῶ , πυκν ῶ , ἱκνῶ καὶ ἱκνοῦμαι, τεχνῶ καὶ τεχνῶμαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκιδν ῶ , ἰδν ῶ. σεσημείωται τὸ δάκνω βαρύτονον, ὅπερ ἀπὸ τοῦ δαγκάνω γέγονε κατὰ συγκοπήν. τὰ δὲ ἔχοντα πρὸ τοῦ ν τὸ μ βαρύνεται, χωρὶς εἰ μὴ ἀπὸ δύο συμφώνων ἄρχοιτο, ἢ ὄνομα προκατάρχοι, μίμν ω , κάμν ω , τέμν ω. τὸ δὲ κρημνῶ περισπᾶται, ὅτι ἀπὸ δύο συμφώνων ἤρξατο. Τὰ διὰ τοῦ ανω ὑπερδισύλλαβα βαρύνεται, ὁπότε παρῆκται ἀπὸ ῥήματος· αὐτὴ δὲ ἡ διὰ τοῦ ανω παραγωγὴ οὐκ ἔχει κατ' ἀρχὴν τὸ ι ἐκτεταμένον διὰ τὸ ἴσχω ἰχανῶ ἢ τὴν ει δίφθογγον διὰ τὸ δείκω τὸ δεικνύω καὶ δεικαν ῶ. βαρύνεται δὲ ταῦτα, λείπω λιμπάνω, λήβω λαμβάνω, μήθω μανθάνω, λήθω λανθάνω, δήκω δαγκάνω, φεύγω φυγγάνω, οἰδῶ οἰδάνω «οἰδάνει ἐν στήθεσσι νόον» (Il. I 554), ᾧ ὅμοιον καὶ τὸ κυδάνω (Ξ 73) καὶ τὸ μελάνω (Η 64). ἱκάν ω , κιχάνω, ἃ ἄλογον ἔχοντα τὸν πρῶτον χρόνον τοῦ ἀορίστου ἐκτείνει τὸν δεύτερον. περισπῶνται δὲ τὰ διπλασιασμὸν πάσχοντα γαγγανῶ τὸ ταράσσω καὶ παμφανῶ ἢ ὁπότε ἀπὸ ὀνόματος ἐγένετο, κυρκάνη κυρκανῶ τὸ θορυβῶ, δαπάνη δαπαν ῶ, μηχανή μηχαν ῶ, στέφανος στεφαν ῶ, λίβανος λιβαν ῶ, μέλανος μελαν ῶ. Τὰ εἰς ρω παραληγόμενα φωνήεντα α ἢ η ἢ ω περισπᾶται, κηρ ῶ , πληρ ῶ , γηρ ῶ , τηρ ῶ , ὠρῶ τὸ φυλάττω, τιμωρ ῶ. σεσημείωται τὸ ἄρω βαρύτονον τὸ ἁρμόζω ἢ τὸ λαμβάνω καὶ ἀποφέρομαι. Τὰ εἰς ρω παραληγόμενα τῷ ε καὶ βαρύνεται καὶ περισπᾶται. καὶ περισπᾶται μέν, ὁπότε ἔχει πλησιάζον ψιλὸν τῷ ε , κερῶ τὸ κιρνῶ, περ ῶ , πτερ ῶ , στερ ῶ. μὴ οὕτως δὲ ἔχοντα βαρύνεται, δέρ ω , φέρ ω. τὸ ἐρῶ περισπᾶται ἀπὸ φωνήεντος ἀρχόμενον. Τὰ εἰς ρω μὴ ὄντος πρὸ τοῦ ρ συμφώνου, εἰ παραλήγοιτο τῷ ο μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, περισπᾶται, ἀγορ ῶ , ἀφορ ῶ , εὐπορ ῶ , ἀπορ ῶ , καρποφορ ῶ , ἱστορ ῶ , ἐπικουρ ῶ , ἀμοιρ ῶ.

3,1 452 τὸ δὲ ὄρω «ὅτε τ' ὤρετο» (Il. Μ 279) «ὦρτο πολὺ πρῶτος μὲν» (Il. Η 162) «ὄρθαι» (Θ 474) βαρύτονόν ἐστιν. Τὰ διὰ τοῦ αιρω βαρύνεται, χωρὶς εἰ μὴ παρ' ὄνομα εἴη, μαρμαίρ ω , καρκαίρ ω , σπαίρω καὶ ἀσπαίρ ω , χαίρ ω , γεραίρ ω , αἴρω τὸ κουφίζω, ἐξ οὗ τὸ ἐπαίρ ω· τὸ δὲ αἰρῶ καὶ τὰ ἀπ' αὐτοῦ ἀναιρ ῶ , διαιρ ῶ , καθαιρ ῶ , συναιρῶ περισπῶνται. τὸ δὲ σφαιρῶ ἔχει τὸ σφαῖρα καὶ ἑταιρῶ τὸ ἑταῖρος. Τὰ διὰ τοῦ ειρω βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, μείρω τὸ μερίζω, τείρ ω , φθείρ ω , εἴρ ω , σπείρ ω , κείρ ω , πείρω «παννυχίη μέν ῥ' ἥ γε καὶ ἠῶ πεῖρε κέλευθον» (Od. β 434), δείρ ω , ἐγείρ ω , οἰκτείρ ω , ἐθείρω τὸ ἐξ ἔθους τι διαπράττομαι, ἀείρ ω , ἀγείρ ω. τὸ δὲ πειρ ῶ, ὅτι πεῖρα, καὶ τὸ χειρ ῶ, ὅτι χείρ. Τὰ διὰ τοῦ υρω ἐκτεταμένον τὸ υ ἔχοντα βαρύνεται, σύρ ω , πτύρ ω , φύρω καὶ φυρῶ περισπώμενον, μορμύρ ω , πλημμύρ ω , ὀδύρ ω, ἐξ οὗ τὸ ὀδύρομαι, ὀλοφύρω, ἐξ οὗ τὸ ὀλοφύρομαι, πορφύρ ω. τὰ μέντοι ἔχοντα συνεσταλμένον τὸ υ περισπᾶται, μαρτυρ ῶ , ἀργυρ ῶ , πυρ ῶ , ξυρ ῶ , κυρῶ τὸ τυγχάνω, τοῦ δὲ κύρω τὸ υ ἐκτέταται. Τὰ εἰς ρω παραληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ υ περισπᾶται, ἀμαυρ ῶ , εὐρ ῶ , ἐπικουρ ῶ , οἰκουρ ῶ. Τὰ εἰς ρω ἔχοντα ἐπιπλοκὴν συμφώνου, ὁπότε μὴ συγκοπὴν ἐμφαίνοι, περισπᾶται, μετρ ῶ , γεωμετρ ῶ , ἱδρ ῶ , κοπρ ῶ , πιμπρ ῶ , ποδαγρ ῶ , λυτρ ῶ, ἐξ οὗ τὸ λυτροῦμαι. τὸ δὲ ἔγρω κατὰ συγκοπὴν τοῦ ἐγείρω. * Οὐδὲν ῥῆμα λῆγον εἰς ρ δισύλλαβον κατὰ τὴν τῶν ποιητῶν χρῆσιν καὶ τῶν πεζῶν ἔχει τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν, ἀλλὰ μόνον τὸ ἔρρω «ὅτε τ' ἤλυθεν ἐνθάδε ἔρρων» καὶ (κ 72) ἔρρ' ἐκ νήσου θᾶσσον ἐλέγχιστε ζωόντων.

3,1 453 τὰ δὲ τοιαῦτα Αἰολικὰ ἦν ἔχοντα κοινά, ἱμέρρ ω , ἀγέρρ ω , οἰκτίρρ ω , ὀλοφύρρ ω. εἴπερ οὖν Αἰολικόν, ζητητέον, τί αὐτοῦ ἦν κοινόν. οὐ γὰρ αὐτὸ τὸ φθείρω, ὡς οἴονταί τινες. Τὰ διὰ τοῦ αιω βαρύνεται, εἰ μὴ εἴη ἀπὸ ὀνόματος, ῥαίω τὸ φθείρω, πταί ω , ναί ω , παί ω , δαί ω , καί ω , κλαί ω , γαί ω , παλαί ω , λιλαίω, ὅθεν λιλαίομαι, κεραί ω , ἀγαί ω , σταλαί ω , χαλαί ω , κρεμαί ω , διχαί ω. τὸ δὲ ἀραιῶ ἔχει τὸ ἀραιός, καὶ τὸ ἑδραιῶ τὸ ἑδραῖος καὶ τὸ δικαιῶ τὸ δίκαιος καὶ βεβαιῶ τὸ βέβαιος καὶ τὸ παλαιῶ τὸ παλαιός καὶ περαιῶ τὸ πέρας καὶ μαιῶ τὸ ζητῶ τὸ μαῖα καὶ ματαιῶ μάταιος. Τὰ εἰς ω καθαρὰ παραληγόμενα τῇ διὰ υ διφθόγγῳ βαρύνεται ψαύ ω , θραύ ω , ἀπολαύ ω , αὔω τὸ βοῶ καὶ αὔω τὸ ξηραίνω ἢ ἅπτω, δαύω τὸ κοιμῶμαι. ἅπαξ δὲ ἡ λέξις παρὰ Σαπφοῖ δαύοις ἀπάλας ἐτάρας ἐν στήθεσιν ... (Bergk 82). δαύω τὸ καίω παρὰ Σιμωνίδῃ «μηρίων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεδαυμένων» παρὰ τὸ δαίω τὸ καίω τροπῇ τοῦ ι εἰς υ . δεύ ω , ὁδεύ ω , τοξεύ ω , ἰξεύ ω , λιτανεύ ω , ἱππεύ ω , βασιλεύ ω , κυριεύ ω , σεύ ω. τὸ δὲ « ἐδεύησεν δ’ οἰήϊον ἄκρον ἱκέσθαι» (ι 483) οὐκ ἀπὸ περισπωμένου τοῦ δευῶ γέγονεν, ἀλλ’ ἐδέησεν ἐστὶ καὶ πλεονάσαντος τοῦ υ ἐδεύησε. τὸ ἐρευνῶ περισπώμενον οἱ Αἰολεῖς ἀποβάλλοντες τὸ ν βαρύνουσι διὰ τὸν τρόπον τοῦ ευω . Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῷ α βαρύνεται, ὁπότε πλησιάζουσι τοῖς διὰ τοῦ αυω , χραύω χρά ω, φαύω φά ω. περισπῶνται δὲ τὰ μὴ οὕτως ἔχοντα, δαῶ δαήσω, σαῶ σαώσω, ἀλαῶ ἀλαώσω. τὸ δὲ βοάω καὶ γελάω καὶ πεινάω βαρύνεται καὶ τἆλλα ὡς ἐντέλειαι τῶν περισπωμένων. Τὰ εἰς ω καθαρὸν παραληγόμενα ε βαρύνεται, χωρὶς εἰ μὴ προκατάρχοιτο ὄνομα, ἢ ἀπὸ βαρυτόνου μετασταίη εἰς περισπώμενον, ἔω τὸ ὑπάρχω, ἐξ οὗ τὸ εἰμί, ἔω τὸ πορεύομαι, ἐξ οὗ εἶμι, ἕ ω, οὗ παραγωγὸν τὸ ἑννύω, νέ ω , χέ ω , κέ ω, ἐξ οὗ τὸ κέομαι καὶ ἐν πλεονασμῷ τοῦ ι καὶ συγκοπῇ τοῦ ο κεῖμαι, δέ ω , ξέ ω , θέ ω , πνέ ω , πλέ ω , ῥέ ω , ποιέ ω , νοέ ω , τελέ ω.

3,1 454 κιρνάμενα δὲ ἔνια περισπῶνται, ποι ῶ , νο ῶ , τελ ῶ. σεσημείωται τὸ ἐῶ περισπώμενον. τὸ δὲ θε ῶ, ὅθεν τὸ θεῶμαι, ἔχει τὸ θέα, καὶ τὸ νεῶ τὸ νέος. καὶ τὸ δεῶ δεήσω ἀπὸ τοῦ βαρυτόνου δέω γέγονεν. Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῇ ει διφθόγγῳ βαρύνεται, εἰ μὴ ὄνομα ἔχοι, σεί ω , θεί ω , κεί ω, ἐξ οὗ παθητικὸν κείομαι καὶ κατὰ συγκοπὴν κεῖμαι, βρωσεί ω , ὀψεί ω , κιχεί ω , τελεί ω , ὀκνεί ω , ῥιγεί ω , θαλπεί ω , γαμησεί ω. τὸ μέντοι μειῶ ἔχει μεῖος καὶ τὸ τελειῶ τὸ τέλειος καὶ τὸ ἀρειῶ τὸ ἀρείων καὶ ἀρειῶ ἀρειᾷς τὸ ἀπειλῶ ὡς παρ’ Ἱππώνακτι «ἀρειᾷς σύκινόν με ποιῆσαι» fr. 70 Bergk) τὸ ἀρειή καὶ τὸ ἀχρειῶ τὸ ἀχρεῖος, τὸ οἰκειῶ τὸ οἰκεῖος καὶ τὸ ἀνδρειῶ τὸ ἀνδρεῖος. * Οὐδὲν εἰς ω λῆγον ῥῆμα βαρύτονον καθαρὸν δισύλλαβον τῷ η παραλήγει, ἀλλὰ μόνον τὸ δήω δήεις «δήεις τόνγε σύεσσι παρήμενον» (ν 407). τὸ γὰρ ἔκηα οὐ πάντως ἐνεστῶτα τὸν κήω αἰτήσει, ὡς ἀπαιτεῖ Φιλόξενος. ἡ δὲ τοιαύτη παράληξις ἢ περισπωμένη ἐστίν, ὥσπερ τὸ θη ῶ , νηῶ ἢ εἴπερ βαρύτονα εἴη, πάντως κατὰ διάλεκτον, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖς, τὸ παλαίω παλήω καὶ παρ’ Αἰολεῦσιν ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς, ἀδικήω «Ψάπφ’, ἀδικήει» (Sapph. fr. I 20), ποθήω «καὶ ποθήω καὶ μάομαι» τό τε κλήω ἐκ τοῦ κλείω γενόμενον. Τὰ εἰς ω καθαρὸν ὑπερδισύλλαβα παραληγόμενα ι βραχεῖ περισπᾶται, μειδι ῶ , κοπι ῶ , ἀξι ῶ , ἐρυθρι ῶ , ἀγωνι ῶ , ἀκηδι ῶ , μετρι ῶ, καὶ χαιρι ῶ , ἐρευθι ῶ , φλεγι ῶ , κνηθι ῶ , κνιφιῶ κατ’ ἐπέκτασιν τοῦ ι γενόμενα παρὰ τὸ χαίρω, ἐρεύθω, φλέγω, κνήθω, κνίφω.

3,1 455 τὸ δὲ ἐσθίω καὶ αὐτὸ ἐπέκτασιν τοῦ ι λαβὸν καὶ ἀΐω καὶ ἀτίω σύνθετον βαρύνονται. τὸ δὲ δειδίω οὐ ῥητόν. τὸ γὰρ «δείδιε» (Σ 34, Ω 358) οὐχ, ὥς τινες οἴονται, ἀπαιτεῖ θέμα τὸ δειδίω· εἰ δὲ καὶ ἀπαιτήσῃ, ἐκ παρακειμένου ἂν εἴη γενόμενον. τὸ δὲ κηκίω τὸ ἀναδίδωμι ἐκ διπλασιασμοῦ «πολλὴ δ’ ἀνεκήκιεν ἅλμη». τὸ δὲ μαστίω κατ’ ἔλλειψιν τοῦ ζ ἀπὸ τοῦ μαστίζω. σπάνια δέ εἰσι τὰ δισύλλαβα κατὰ συστολὴν τοῦ ι , ὡς καὶ τὸ δίω «τρὶς περὶ ἄστυ μέγα Πριάμοιο δίον» (Il. Χ 251) καὶ τὸ «κνώδαλον ὅτι δίοιτο» (Od. ρ 317) καὶ διῶ τὸ διώκω, ἔνθεν τὸ δίημι ἐγένετο, παρ’ ὃ τὸ «ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται» καὶ «αὔτως ἐνδίεσαν» (Il. Σ 584), ἴω καὶ ἰῶ τὸ πορεύομαι καὶ τίω τὸ τιμῶ, τιῶ δὲ τὸ τιμωρῶ. τὸ δὲ βιῶ βιοῖς βιοῖ τὸ ζῶ, βιῶ δὲ βιᾷς βιᾷ τὸ βιάζω. Τὰ εἰς ω καθαρὸν ἔχοντα ι ἐκτεταμένον βαρύνεται, εἰ μὴ ὄνομα ἔχοι, ψίω τὸ ἐμβρωματίζω, λίω τὸ θέλω, πί ω, ἀφ’ οὗ ὁ μέλλων πίσω, ἀφ’ οὗ πιπίσκω, ἵω ὃ καὶ περισπᾶται, ἐξ οὗ καὶ ἵημι, μνίω τὸ ἐσθίω, δηρίω καὶ δηριῶ περισπώμενον «δὴ τότε δηριόωντο Ποσειδάων καὶ Ἀπόλλων», μητίω καὶ μητι ῶ , κονί ω , μηνίω τὸ ὀργίζομαι ὃ διφορεῖται κατὰ τὸν χρόνον, καὶ μηνι ῶ, τὸ δὲ ἰῶ ἰῶμαι ἰός, κριῶ κριός, ἀνιῶ ἀνία.

3,1 456 Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῷ ο μόνῳ περισπᾶται, νο ῶ , βο ῶ , γο ῶ , θρο ῶ , πο ῶ , μακκοῶ τὸ μωραίνω, πτο ῶ , λο ῶ , κο ῶ , ἀγνο ῶ , ἀκρο ῶ , ἀλο ῶ. αἱ μέντοι ἐντέλειαι τῶν περισπωμένων βαρύνονται, χρυσό ω , στεφανό ω , γυψό ω. Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οι διφθόγγῳ περισπᾶται, εἰ μὴ διάστασις γένοιτο τοῦ ι , ποι ῶ , οἰῶ τὸ μονῶ, ἀλοιῶ τὸ τύπτω, ἀλλοιῶ τὸ μεταποιῶ, πτοι ῶ , χροι ῶ , ὁμοι ῶ , ἑτεροι ῶ. τὸ δὲ οἴ ω, ὅθεν οἴομαι καὶ οἶμαι, διαιρεῖται, ὀΐω γὰρ ποιητικῶς. ὁ δὲ οἴω ἐνεστὼς τοῦ οἴσω μέλλοντος οὐκ ἔστιν ἐν χρήσει. Τὰ διὰ τοῦ υω δισύλλαβα βαρύνεται καὶ περισπᾶται. περισπᾶται μέν, ὅσα ἔχει ὄνομα ἢ κατ' ἐναλλαγὴν γέγονε, δυ ῶ , θυῶ τὸ θυμιῶ, ὅτι θύος, μυῶ καὶ μύω βαρύτονον, κυῶ Ἀττικὸν ἐκ τοῦ κύω. τὰ δὲ μὴ οὕτως ἔχοντα βαρύνεται, δύ ω, ἐξ οὗ δύνω, θύ ω, ἐξ οὗ θύνω, λύ ω , μύ ω , κύ ω , ξύ ω , ὕ ω , βρύ ω , πτύ ω , ῥύ ω. Ἔτι τὰ διὰ τοῦ υω ὑπερδισύλλαβα βαρύνεται, εἰ μὴ ἔχοι ὄνομα, ἀλύ ω , ἀρτύ ω , πληθύ ω , κωλύ ω , ζευγνύ ω , ὀμνύ ω , ὀρνύ ω , σβεννύ ω , ἀνύ ω , μηνύ ω , ἀρύ ω , ζωννύ ω , χρωννύ ω , ῥωννύ ω , χωννύ ω , στρωννύ ω. τὸ δὲ ἰχθυῶ ἔχει τὸ ἰχθῦς, καὶ τὸ ἐγγυῶ τὸ ἐγγύη καὶ τὸ βοτρυῶ τὸ βότρυς. Τὰ εἰς ω καθαρὸν παραληγόμενον τῇ υι βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, ἀλυί ω , ὀπυί ω , μεθυί ω. τὸ δὲ γυιῶ περισπᾶται. Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῷ ω βαρύνεται, ζώ ω , πλώ ω , σώ ω , χώ ω , τρώ ω , ῥώ ω , ἀλώ ω , ἡβώ ω. χωρὶς τοῦ κολῳ ῶ, ὅπερ ἀπὸ τοῦ κολῳός γέγονε, καὶ ἔχει ι προσγεγραμμένον, ὡς Φιλόξενος. Τὰ εἰς ξω καὶ ψω περισπᾶται, διψ ῶ , γυψ ῶ , κενοδοξ ῶ , φιλοδοξ ῶ , ἀδοξ ῶ , αὐξ ῶ , ἀλεξ ῶ , ἑψ ῶ. τὸ γὰρ αὔξω καὶ ἀλέξω καὶ ἕψω Ἀττικῶς βαρύνεται. τὸ δὲ ἵξ ω, οὗ ὁ παρατατικὸς ἷξον «οἱ δ' ἷξον κοίλην Λακεδαίμονα» (Od. δ 1) καὶ τὸ ἄξ ω, οὗ τὸ προστακτικὸν «ἄξετε δὲ Πριάμοιο βίην» (Γ 105) καὶ τὸ ὄψω καὶ ὄψομαι, οὗ τὸ προστακτικὸν «ὄψεσθε Τρῶες καὶ Τρῳάδες» (Ω 704) καὶ πάλιν «ἀλλ' ὄψεσθε ἵνα τώγε καθεύδετον» (Od.

3,1 457 θ 313) ἀντὶ τοῦ ἴδετε, κατὰ ποιητικὴν ἄδειαν μετηνέχθη ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα. Οἱ εἰς ω μέλλοντες κατὰ τὴν κοινὴν διάλεκτον, ἐὰν ἔχωσι πρὸ τοῦ ω τὸ ξ ἢ τὸ ψ ἢ τὸ ς , βαρύνονται, λέξ ω , πλέξ ω , τύψ ω , γράψ ω , ποιήσ ω , νοήσ ω. ἐὰν δὲ μηδὲν ἔχωσι τούτων πρὸ τοῦ ω , περισπᾶται, σπερ ῶ , φθερ ῶ , πλυν ῶ , κτεν ῶ , τιλ ῶ. πρόσκειται δὲ κατὰ τὴν κοινὴν διάλεκτον, ἐπειδὴ τὸ ποιήσω ποιησῶ οἱ Δωριεῖς λέγουσι, καὶ τὸ λέξω λεξ ῶ. Τὰ εἰς ω λήγοντα δεύτερα πρόσωπα προστακτικὰ ὁμοτονεῖ τοῖς ἰδίοις ὁριστικοῖς, νικῶ ἐγώ, νικῶ σ ύ, κρεμῶ ἐγώ, κρεμῶ σ ύ. τὰ μέντοι τρίτα εἴτε εἰς τω εἴτε εἰς θω βαρύνεται, λεγέτ ω , ποιείτ ω , τυπτέσθ ω , λεγέσθ ω. Τὰ εἰς ω τρίτα πρόσωπα τῶν εὐκτικῶν περισπῶνται μετὰ τοῦ προσγεγραμμένου ι βοάοι βο ῷ, τρυπάοι τρυπ ῷ. Τὰ εἰς ω ὑποτακτικὰ μονοσύλλαβα μὲν ὄντα περισπῶνται, ἐὰν ὦ , ἐὰν δ ῶ , ἐὰν β ῶ , ἐὰν στ ῶ , ἐὰν σχ ῶ. καὶ ἐξ ἀνάγκης δὲ περισπῶνται. βαρύνεσθαι μὲν γὰρ οὐκ ἠδύναντο, ἐπειδὴ μονοσύλλαβά εἰσι· οὐδέποτε δὲ μονοσύλλαβος λέξις βαρύνεται, ἀλλ' ἢ ὀξύνεται οἷον τίς, τί, πούς, Ζεύς, Φρύξ, Κρής, νύξ ἢ περισπᾶται οἷον βοῦς νοῦς ῥοῦς. ὀξύνεσθαι δὲ οὐκ ἠδύναντο, ἐπεὶ τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν οἷον τύπτω, γράφω, βοῶ, χρυσῶ, ποιῶ χωρὶς τῶν σεσημειωμένων. λοιπὸν οὖν ἐξ ἀνάγκης περισπῶνται, ἐὰν ὦ ἐὰν σχῶ καὶ ἐὰν σπῶ, συντιθέμενα δὲ καὶ ὑπερβαίνοντα τὴν μονοσυλλαβίαν βαρύνονται οἷον ἐὰν κατάσχω ἐὰν παράσχω, ἐὰν ἐπίσπω· τὸ δὲ ἐὰν ὦ ἐν συνθέσει τὸν αὐτὸν τόνον φυλάσσει, οἷον ἐὰν συνῶ ἐὰν παρῶ, ἐπειδὴ ἡ συναίρεσίς ἐστιν ἡ αἰτία, ἀπὸ γὰρ τοῦ ἐὰν συνέω καὶ ἐὰν παρέω γεγόνασι κατὰ κρᾶσιν τοῦ ε καὶ ω εἰς ω . Τὰ δὲ εἰς ω ὑπὲρ μίαν συλλαβὴν ὑποτακτικὰ βαρύνεται καὶ περισπᾶται. καὶ περισπῶνται μέν, ἡνίκα ἔχωσι τὴν μετοχὴν εἰς εις μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, τυφθείς τυφθέντος ἐὰν τυφθ ῶ, τυπείς τυπέντος ἐὰν τυπ ῶ, τιθείς τιθέντος ἐὰν τιθ ῶ, νυγείς νυγέντος ἐὰν νυγ ῶ, δαρείς δαρέντος ἐὰν δαρ ῶ, σταλείς σταλέντος ἐὰν σταλ ῶ, σπαρείς σπαρέντος ἐὰν σπαρ ῶ, φθαρείς φθαρέντος ἐὰν φθαρ ῶ. ἢ ἡνίκα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ τῶν συνῃρημένων, ποιῶ ἐποίουν ἐὰν ποι ῶ , ἐὰν βο ῶ , ἐὰν χρυσ ῶ.

3,1 458 ἡνίκα δὲ μὴ ὦσι τοιαῦτα, βαρύνονται, ἔτυπτον ἐὰν τύπτ ω, ἔλεγον ἐὰν λέγ ω, ἔφαγον ἐὰν φάγ ω, ἔλαβον ἐὰν λάβ ω, ἔμαθον ἐὰν μάθ ω, ἔπαθον ἐὰν πάθ ω, εἶπον ἐὰν εἴπ ω, εἶδον ἐὰν ἴδ ω, τέτυφα ἐὰν τετύφω, τέτυπα ἐὰν τετύπω, πέποιθα ἐὰν πεποίθ ω. σεσημείωται τὸ ἐὰν εἰδῶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περισπώμενον οἷον «ὄφρ’ εὖ εἰδῶ» (Α 515), οὗ ἡ μετοχὴ ὁ εἰδώς τοῦ εἰδότος, εἰ καὶ ἀπὸ τοῦ εἰδέω. τὸ δὲ « ἵνα εἴδομεν ἄμφω» (Α 363) προπαροξύνεται, ἐπειδὴ ἡ συστολὴ ἀνέδωκε τὸν τόνον. οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον. Τὰ εἰς ω ὑποτακτικὰ τῶν ἀορίστων παθητικῶν περισπῶνται, ἐὰν ληφθ ῶ , ἐὰν τυφθ ῶ, διὸ καὶ τὸ « ἐὰν ἐγκαταλειφθῶ ὑπὸ σοῦ» περισπᾶται. τότε γὰρ τὰ τοιαῦτα ὑπὲρ μίαν συλλαβὴν περισπῶνται, ὅτε ἔχουσιν ἀπαρέμφατον εἰς ναι , ὡς τὸ ἐὰν νυγῶ νυγῆναι, ἐὰν δαρῶ δαρῆναι, καὶ μετοχὴν εἰς εις ὁ νυγείς ὁ δαρείς, καὶ τὸ εὐκτικὸν εἰς ην καθαρὸν νυγείην, δαρείην. ὁμοίως ἐὰν εἰδῶ εἰδείην, εἰ καὶ μὴ ἔχει τὴν μετοχὴν εἰς εις . γέγονε δὲ ὡς ἀπὸ τοῦ περιπατοῖμι περιπατοίην κατὰ τροπὴν τῆς μι εἰς ην , τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἴδοιμι εἰδοίην καὶ εἰδείην κατὰ τροπὴν τοῦ ο εἰς ε . ἐὰν δὲ μὴ οὕτως ἔχῃ, βαρύνεται, ἐὰν δράμ ω· δραμεῖν γὰρ καὶ δράμοιμι, ἐὰν φύγω φυγεῖν καὶ φύγοιμι. Τὰ δεύτερα καὶ τρίτα ἑνικὰ τῶν ὁριστικῶν ὁμοτονεῖ τοῖς πρώτοις, ἐὰν ἰσοσυλλαβῇ, λείπω λείπεις λείπει, ποιῶ ποιεῖς ποιε ῖ. τὸ δὲ πνεῖ καὶ ῥεῖ καὶ πλεῖ οὐκ ἰσοσυλλαβεῖ. οὕτω καὶ ἐπὶ μέλλοντος, νοήσω νοήσεις νοήσει καὶ ἐπὶ ὑποτακτικῶν, ἐὰν λέγω ἐὰν λέγῃς ἐὰν λέγ ῃ, ἐὰν βοῶ βοᾷς βο ᾷ. Τὰ εἰς μι λήγοντα ὁριστικὰ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, καὶ τὰ τρίτα ὁμοτονοῦσι τοῖς ἰδίοις πρώτοις, τίθημι τίθης τίθησι, δίδωμι δίδως δίδωσ ι· σεσημείωται φημί φῄς φησ ί, εἰμί εἷς εἶ ἐστ ί. * Τὰ τρίτα πληθυντικὰ ἐνεστῶτος χρόνου ἢ μέλλοντος εἰς ι λήγοντα θέλει ὁμοτονεῖν ταῖς πληθυντικαῖς δοτικαῖς τῶν μετοχῶν, ὁπότε καὶ ὁμοφωνοῦσιν, λέγομεν λέγετε λέγουσι καὶ τοῖς λέγουσιν, ἵσταμεν ἵστατε ἱστᾶσι καὶ τοῖς ἱστᾶσιν, ἵεμεν ἵετε ἱεῖσ ι· καὶ γὰρ ἱέντες ἱέντων ἱεῖσι, λέξομεν λέξετε λέξουσι καὶ τοῖς λέξουσι, διδοῦσιν ἐκεῖνοι καὶ τοῖς διδοῦσιν, ζευγνῦσιν ἐκεῖνοι καὶ τοῖς ζευγνῦσιν.

3,1 459 ἀντιπίπτει μόνον τὸ φασί πρὸς τὸ φᾶσι μετοχικὸν ὡς στᾶσι. τὸ δὲ αἴτιόν ἐστιν, ὅτι τοῦτο ἐγκλιτικόν, τὰ δὲ ἐγκλιτικὰ αὐτὰ καθ’ ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ θέλουσιν ἔχειν τὸν τόνον, φημί, εἰμί, ἐστί. * Τὰ εἰς σι παραληγόμενα τῷ α προπερισπᾶται, πιμπρᾶσ ι , κιχρᾶσ ι , ἱστᾶσ ι· καὶ ζητοῦσί τινες, τίνος χάριν οὐ περισπᾶται «καί τ’ ἀγεληδὸν ἴασι» (Π 160) καὶ λέγομεν, ὅτι τὰ προπερισπώμενα ἰσοσυλλαβεῖ τοῖς πρώτοις, ἱστᾶσι ἵσταμεν, κιχρᾶσι κίχραμεν, τὰ δὲ πλεονάζοντα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, δίδομεν διδόασι, τίθεμεν τιθέασιν, ἐν οἷς οὖν τὸ ἴασι πλεονοσυλλαβεῖ τοῦ ἴμεν, ἐν τούτοις καὶ προπαροξυνθήσεται. ἔστι καὶ οὕτως εἰπεῖν περὶ τοῦ ἴασιν· πᾶν πληθυντικὸν εἰς μεν λῆγον, ὅτε ἐστὶ ἀπὸ τῶν εἰς μι , μεταποιεῖ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ασι προπαροξυνόμενον, τίθεμεν τιθέασι, δίδομεν διδόασι, ἵεμεν ἱέασ ι, ἔμεν ἔασ ι, ζεύγνυμεν ζευγνύασι ν· εἰ οὖν ἐστιν ἴμεν, σαφὲς ὅτι τῇ αὐτῇ ἀκολουθίᾳ καὶ τὸ ἴασι προπαροξυτονηθήσεται. ἔστι δὲ ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ι . Τὰ εἰς μι εὐκτικὰ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, τύπτοιμ ι , τύποιμ ι , ποιοῖμ ι , χρυσοῖμ ι , βοῷμ ι. Τὰ δεύτερα καὶ τὰ τρίτα τῶν εἰς μι εὐκτικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις πρώτοις, τύπτοιμι τύπτοι ς , τύπτοι, ποιοῖμι ποιοῖς ποιο ῖ, βοῷμι βοῷς βο ῷ. Πᾶς παρῳχημένος ὁριστικὸς εἰς α λῆγον ὑπερδισύλλαβος ἁπλοῦς προπαροξύνεται, τέτυφ α , πεποίηκα παρακείμενος. ὁμοίως καὶ ὁ ἀόριστος ἔτυψα ἐποίησ α. τὸ δὲ ἧψα καὶ οἶδα δισύλλαβα, καὶ τὸ συνῆψα σύνθετον. τὸ δὲ ἐφοίτα ἀπὸ τοῦ ἐφοίταε τὸ α μακρόν. Τὰ εἰς θα ἐν δευτέραις προσώποις ὑπερδισύλλαβα προπαροξύνεται, λάβῃσθ α , ἔφησθ α , οἴδησθ α , λέγῃσθ α , βάλῃσθ α.

3,1 460 τὰ μέντοι δισύλλαβα προπερισπᾶται, φῆσθα ἐπὶ δευτέρου ἀορίστου καὶ φῇσθα σὺν τῷ ι ἐπὶ τοῦ ἐνεστῶτος, ἧσθ α , οἶσθ α. Καὶ τὰ εἰς θα πρῶτα πρόσωπα προπαροξύνονται, τυπτόμεθ α , νικώμεθ α , χρυσούμεθ α. Πᾶν ῥῆμα εἰς ν μακροκατάληκτον ὑπὲρ μίαν συλλαβὴν πρὸ μιᾶς τοῦ τέλους ἔχει τὴν ὀξεῖαν, ἐνόου ν , ἐδείκνυ ν , ἔγνω ν , ἐγεγράφει ν , νυγείη ν , διδοίμη ν , ἐτυπέτη ν , ἔστω ν. τὸ δὲ ἐχρῆν καὶ ἦν περισπᾶται. Πᾶν πρόσωπον ὁριστικὸν εἰς ον εἴτε ἑνικὸν εἴτε πληθυντικὸν ἁπλοῦν ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ἔγραφον ἐγὼ καὶ ἔγραφον ἐκεῖνοι, ἔτυπτον ἐγὼ καὶ ἔτυπτον ἐκεῖνοι, ὑπεσταλμένης τῆς Δωρίδος διαλέκτου, οἱ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δωριεῖς τὸ ἐλέγον ἐκεῖνοι παροξύνουσι. τὸ δὲ εἶχον, ἐξ οὗ τὸ κατεῖχον, καὶ ἄλλα περισπᾶται ὡς δισύλλαβον. τὰ γὰρ δισύλλαβα ἢ προπερισπῶνται ἢ παροξύνονται κατὰ τοὺς κανόνας. μακρᾶς γὰρ οὔσης τῆς παραληγούσης προπερισπῶνται, ἦλθο ν , εὗρο ν , εἶχο ν , εἶδον καὶ τἄλλα· βραχείας δὲ τῆς παραληγούσης, παροξύνονται, ἴδο ν , ἔσχο ν. Τὰ εἰς ον προστακτικὰ τοῦ πρώτου ἀορίστου ὑπερδισύλλαβα προπαροξύνονται, ἄκουσο ν , νόησο ν , φίλησο ν· δισύλλαβα δὲ ὄντα παροξύνονται ἢ προπερισπῶνται κατὰ τοὺς κανόνας, νεῖμο ν , κρῖνο ν , τύψο ν , λέξο ν , γράψο ν , εἶπον ἀντὶ τοῦ εἰπέ ὡς παρὰ Μενάνδρῳ «εἶπον δὲ τί ποιεῖν μέλλετε». ἔστι δὲ δηλονότι ἀορίστου τοῦ εἶπα προστακτικόν· εἰ γὰρ ἦν δευτέρου ἀορίστου Συρακουσίων ἔθει, ὠξύνετο ἂν ὁμοίως τῷ κοινῷ προστακτικῷ τῷ εἰπέ. οἱ γὰρ Συρακούσιοι μεταποιοῦντες εἰς ον τὰ προστακτικὰ τοῦ β′ ἀορίστου τὸν τόνον φυλάττουσι τῶν κοινῶν προστακτικῶν οἷον λάβε λάβον, νύγε νύγον, ἄνελε ἄνελο ν. Πᾶν δεύτερον πρόσωπον παρῳχημένου χρόνου ὑπὲρ μίαν συλλαβὴν λήγοντος ἢ εἰς ν ἢ εἰς α ὁμοτονεῖ τῷ πρώτῳ, ἐνύγην ἐνύγης, ἐδάρην ἐδάρης, τέτυφα τέτυφα ς , ἔτυψα ἔτυψας, ἔτυπον ἔτυπε ς.

3,1 461 ἔτι καὶ τὰ τρίτα ὁμοτονεῖ τοῖς δευτέροις, ἔλαβες ἔλαβεν, ἔτυψας ἔτυψε ν. Τὰ εἰς μαι ὁριστικὰ προπαροξύνονται ἢ προπερισπῶνται. τὰ μὲν οὖν βραχείᾳ παραληγόμενα προπαροξύνονται, λέγομα ι , ἵσταμα ι , δύναμα ι , ἄγαμα ι , δίδομα ι· τὰ δὲ φύσει μακρᾷ ἁπλᾶ ὄντα προπερισπῶνται, κεῖμα ι , ἧμα ι , ποιοῦμα ι , γελῶμα ι , ἀγῶμαι, ὑπεσταλμένων τῶν τῆς Αἰολίδος διαλέκτου, ἀκάχημαι γὰρ καὶ ἀλάλημαι, καὶ τοῦ παρακειμένου· οὗτος δὲ προπαροξύνεται, ὁμότονος ὢν τῷ ἰδίῳ ἐνεργητικῷ, νενόηκα νενόημαι, πεποίηκα πεποίημα ι. τὸ δὲ κατάκειμαι καὶ κάθημαι προπαροξύνονται σύνθετα ὄντα. Τὰ εἰς ται τρίτα ὁμοφωνεῖ τοῖς εἰς μαι πρώτοις, τύπτομαι τύπτεται, πεποίημαι πεποίηται, ποιοῦμαι ποιεῖται, οἴομαι καὶ οἶμαι οἴετα ι. τὰ δεύτερα πρόσωπα τῶν εἰς μαι ἰσοσυλλαβοῦντα μὲν τοῖς πρώτοις καὶ ὁμοτονεῖ αὐτοῖς, τίθεμαι τίθεσαι, δίδομαι δίδοσαι, πεποίημαι πεποίησα ι· ἐνδέοντα δὲ μιᾷ συλλαβῇ, ἀπὸ μὲν προπαροξυτόνων ὄντα, παροξύνονται, τύπτομαι, τύπτ η, γράφομαι γράφ η, ἀπὸ δὲ περισπωμένων περισπᾶται, βοῶμαι βο ᾷ, ποιοῦμαι ποι ῇ. Τὰ εἰς μαι ὑποτακτικὰ περισπῶνται μὲν ἀπὸ περισπωμένων ὄντα, ἐὰν νοῶ ἐὰν νοῶμαι, ἐὰν φιλῶ ἐὰν φιλῶμα ι· καὶ ὅταν ὦσι παρακειμένου καὶ ὑπερσυντελίκου, ἐὰν πεποιῶμα ι , ἐὰν μεμνῶμα ι , ἐὰν κεκτῶμα ι , ἐὰν κεχρυσῶμα ι. βαρύνονται δὲ ἀπὸ βαρυτόνων ὄντα, ἐὰν τύπτω ἐὰν τύπτωμαι, ἐὰν τύπω ἐὰν τύπωμαι, ἐὰν λίπω ἐὰν λίπωμα ι , ἐὰν ἵκωμα ι. Ζήτησιν δὲ ἔχουσι τὰ τοῦ ἐνεστῶτος χρόνου τοῦ ἀπὸ τῶν εἰς μι , πότε προπαροξύνονται καὶ πότε προπερισπῶνται; καὶ ἔστιν εἰπεῖν ὅτι, εἰ μὲν ἔχωσι τὸ ἐνεργητικὸν ὁριστικὸν ἐν χρήσει, προπερισπῶνται, τίθημι ἐὰν τιθῶμαι, ἵστημι ἐὰν ἱστῶμαι, δίδωμι ἐὰν διδῶμα ι.

3,1 462 εἰ δὲ μὴ ἔχωσι τὸ ἐνεργητικὸν ἐν χρήσει, προπαροξύνεται, δύναμαι ἐὰν δύνωμαι (τὸ γὰρ δύνημι οὐκ ἐν χρήσει), ἐπίσταμαι ἐὰν ἐπίστωμαι, κρέμαμαι ἐὰν κρέμωμα ι. Τὰ δεύτερα τῶν εἰς μην παρῳχημένων βαρύνεται, ὁπότε βραχυκαταληκτεῖ. καὶ προπαροξύνονται μὲν κατὰ τὸ δεύτερον πρόσωπον ὑπὲρ δύο συλλαβὰς ὑπάρχον, ἐτίθεσ ο , ἐδίδοσ ο , ἐπεποίησ ο , ἔκεισ ο. τὸ δὲ ἧσο προπερισπᾶται ὡς δισύλλαβον. εἰ δὲ μακρᾷ λήγουσιν, ἀορίστου μὲν ὄντα παροξύνονται, ἐγράψ ω , ἐποιήσ ω , ἐγένο υ , ἐλάβο υ· παρατατικοῦ δὲ ὄντα ἀπὸ βαρυτόνων θεμάτων βαρύνονται, ἐλεγόμην ἐλέγου, ἐκρεμάμην ἐκρέμ ω. εἰ δὲ ἀπὸ περισπωμένων ῥημάτων, περισπῶνται, ἐποιούμην ἐποιο ῦ, ἐνικώμην ἐνικ ῶ, ἐκρεμώμην ἐκρεμ ῶ. Τῶν εἰς μην εὐκτικῶν τὰ δεύτερα πρόσωπα εἰς ο καταλήγουσι καὶ ἢ προπαροξύνονται ἢ προπερισπῶνται. προπερισπῶνται μὲν τὰ δισύλλαβα, σχοίμην σχοῖ ο, δοίμην δοῖ ο. ἔτι καὶ ὧν τὰ ἐνεργητικὰ εἰς μι λήγουσι, νοοίμην νοοῖ ο, ποιοίμην ποιοῖο, βιῴμην βιῷ ο. Ὁμοίως δέ ἐστιν εἰπεῖν, ὅσα ἀπὸ τῶν εἰς μι ὁριστικῶν εἰσι καὶ ἔχουσι τὰ εὐκτικὰ ἐνεργητικὰ εἰς ην καθαρόν, προπερισπῶνται, τίθημι τιθείμην τιθεῖο, τιθείην γὰρ τὸ εὐκτικὸν ἐνεργητικόν. τὸ δὲ δυναίμην δύναιο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προπαροξύτονον διὰ τὸ μὴ ἔχειν δύνημι ἐν χρήσει οὔτε δυναίην εὐκτικόν. προπερισπῶνται δὲ καὶ τὰ τοῦ παρακειμένου, δεδοίμην δεδοῖο, πεποιήμην πεποιῇο, μεμνήμην μεμνῇο, μεμνῴμην μεμνῷ ο. τὰ δὲ λοιπὰ πάντα δεύτερα πρόσωπα εἰς ο λήγοντα προπαροξύνονται, τυπτοίμην τύπτοιο, λεγοίμην λέγοιο, τετυψοίμην τετύψοι ο· οὕτω καὶ μεμνεῴμην μεμνέῳ ο. Τὰ εἰς το τρίτα τῶν εὐκτικῶν ὁμοτονεῖ τοῖς οἰκείοις δευτέροις.

3,1 463 νοοῖο νοοῖτο, τύπτοιο τύπτοιτο, μεμνῇο μεμνῇτο ὡς παρ᾽ Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ «ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου», μεμνῷο μεμνῷτο παρὰ Ξενοφῶντι ἐν Κύρου παιδείας πρώτῳ (6, 3) «ἀλλ᾽ ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο». μεμνέῳο μεμνέῳτο, «ὡς μεμνέῳτο δρόμου» (Ψ 361) Τὰ εἰς το τρίτα τῶν ὁριστικῶν ὑπερδισύλλαβα ὄντα τότε προπερισπῶνται, ὅτε τὰ ἑαυτῶν δεύτερα περισπῶνται, ἐνοοῦ ἐνοεῖτ ο· ὅτε δὲ τὰ δεύτερα μὴ περισπᾶται, τὰ τρίτα προπαροξύνονται, ἐδέξω ἐδέξατο, ἐγένου ἐγένετ ο. ἧσο δὲ τὸ καθέζου καὶ ἧτο τὸ τρίτον καὶ πλεονασμῷ τοῦ ς ἧστο προπερισπῶνται. Πᾶν μονοσύλλαβον προστακτικὸν μακροκαταληκτούμενον περισπᾶται, θλ ᾶ , κλ ᾶ , ζ ῆ , τῆ ἀντὶ τοῦ δέξαι. βραχυκατάληκτον δὲ ὀξύνεται, σπέ ς , σχέ ς , ἕ ς, ἀφ᾽ οὗ τὸ ἄφες, δό ς , φρές τὸ φέρε. Τὰ εἰς θι προστακτικὰ βαρύνονται, τύπηθ ι , δάρηθ ι , τύφθηθι καὶ τύφθητ ι , βῆθ ι , στῆθ ι , ἴσθι τὸ γίνωσκε. τὸ φαθί ὀξύτονον σεσημείωται. τοῦτο δὲ ὀξύνουσιν, ἐπεὶ πᾶν ῥῆμα τῶν εἰς μι τροπῇ τοῦ μ εἰς θ συστέλλον τὴν παραλήγουσαν εἰς τὴν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν μετὰ τοῦ αὐτοῦ τόνου προστακτικὸν ποιεῖ, τίθημι τίθετι, ἵστημι ἵσταθι καὶ ἐπειδὴ ὀξύνεται τὸ φημί, ὀξύνεται καὶ τὸ φαθί. ἐγὼ δὲ οὐ συγκατατίθεμαι τοῖς ὀξυτονοῦσι, οὐδὲν γὰρ προστακτικὸν εἰς θι λῆγον ὀξύνεται. παραλόγως δὲ ὀξύνεσθαι ἐπεκράτησεν. Πᾶν προστακτικὸν ὑπὲρ μίαν συλλαβὴν ὁμοιοκατάληκτον τῷ οἰκείῳ ὁριστικῷ καὶ ὁμότονόν ἐστιν αὐτῷ, ἔτυπτε τύπτ ε, ἐνόει νόε ι, ἐβόα βό α, ἐτίθη τίθ η, ἐπίμπλη πίμπλη, ἵστην ἵστης ἵστη καὶ ἵστ η, ἐκρήμνην ἐκρήμνης ἐκρήμνη καὶ κρήμνη, ὡς παρ᾽ Εὐριπίδῃ «κρήμνη σεαυτὴν ἐκ μέσης ἀντηρίδος»· ἐτύπτου τύπτο υ.

3,1 464 τὸ δὲ λαβοῦ καὶ πιθοῦ παρὰ Ἀττικοῖς περισπᾶται. οὐ πάντῃ δὲ τὰ προστακτικὰ τοῦ δευτέρου ἀορίστου περισπῶνται, εὑρίσκεται γὰρ τὸ ἀφίκου βαρυνόμενον καὶ τὸ ἴδο υ. ἔτι καὶ τὸ ἐλθέ καὶ εἰπέ καὶ εὑρέ ὀξύνουσιν. ἔστι δὲ ἀπολογεῖσθαι περὶ αὐτῶν κατὰ δύο τρόπους. τὰ γὰρ ἀπαρέμφατα τοῦ β′ ἀορίστου εἴωθεν ὁ ποιητὴς κατὰ διάλυσιν προφέρειν οἷον φαγεῖν φαγέειν, ἰδεῖν ἰδέειν, ταῦτα δὲ οὐ προφέρεται κατὰ διάλυσιν· τὸ γὰρ ἐλθεῖν οὐκ εἶπεν ἐλθέειν οὐδὲ τὸ εἰπεῖν εἰπέειν οὐδὲ τὸ εὑρεῖν εὑρέειν. ἐπειδὴ οὖν ταῦτα ἡμαρτήθησαν κατὰ τοῦτο, φημὶ τὸ μὴ διαλύεσθαι, τούτου χάριν καὶ ἐν τοῖς προστακτικοῖς κατὰ τὸν τόνον ἡμαρτήθησαν καὶ ὠξυτονήθησαν. ἄλλως τε δὲ ὁ β′ ἀόριστος οὐ θέλει μακρᾷ παραλήγεσθαι, ἀλλὰ βραχείᾳ οἷον ἔλαβον ἔφαγον ἔνυγον. ταῦτα δὲ μακρᾷ παραλήγεται οἷον ἦλθον εἶπον εὗρον. ἐπειδὴ οὖν διήλλαξε περὶ τὸν χρόνον τῆς παραληγούσης ἐν τοῖς ὁριστικοῖς, τούτου χάριν διήλλαξε καὶ περὶ τὸν τόνον ἐν τοῖς προστακτικοῖς καὶ ὠξυτονήθησαν. * Τὰ εἰς τε προστακτικὰ ὁμοιοκατάληκτα ὄντα τοῖς ὁριστικοῖς ὁμότονα καθεστήκασιν οἷον ὅτι λέγετε— λέγετε, ὅτι ἄγετε— ἄγετ ε.

3,1 465 ἐπίστασιν οὖν ἔχει τὸ ἔστ ε. τὸ μὲν ὁριστικὸν ὀξύνεται, τὸ δὲ προστακτικὸν βαρύνεται. ὁμοίως καὶ τὸ φάτ ε. * Τὰ εἰς σθε προστακτικὰ ὁμοιοκατάληκτα τῷ οἰκείῳ ὁριστικῷ καὶ ὁμότονά ἐστιν αὐτῷ, ἐτύπτεσθε— τύπτεσθε, ἐλέγεσθε— λέγεσθε, ἐπίθεσθε πίθεσθε, ἐλάβεσθε λάβεσθ ε. τὸ δὲ πιθέσθε λαβέσθε παροξυνόμενα μεταγενεστέρων Ἰώνων ἐστίν. Τὰ εἰς αι ὑπερδισύλλαβα προστακτικὰ προπαροξύνονται, ποίησα ι , ἄσπασα ι , πείρησαι «εἰ δ᾽ ἄγε μὴν πείρησαι» (Α 302), «ἀλλὰ σὺ μὲν κατάλεξα ι» (Od. τ 44), «νῦν δ᾽ αὖτ᾽ ἐμὸν ἔγχος ἄλευα ι» (Il. Χ 285). τὸ δὲ λοῦσαι καὶ δέξαι καὶ κτῆσαι βαρύνονται ὡς δισύλλαβα. Πᾶν ἀπαρέμφατον ἢ εἰς ν λήγει ἢ εἰς αι . καὶ τὰ εἰς ν μακροκατάληκτα δύο ἔχει τόνους. ἢ γὰρ βαρύνονται ἢ περισπῶνται. καὶ τὰ μὲν

μονοσύλλαβα περισπῶνται, πλεῖ ν , ῥεῖ ν , ζῆ ν , δρᾶ ν. τὰ μέντοι ὑπὲρ μίαν συλλαβὴν ἢ βαρύνεται ἢ περισπᾶται. βαρύνεται μὲν τὰ ἀπὸ βαρυτόνων χρόνων ἐνεστῶτος καὶ μέλλοντος τύπτω τύπτειν τύψω τύψειν, ποιήσω ποιήσει ν. τότε δὲ περισπᾶται, ὅτε καὶ τὰ ὁριστικὰ περισπῶνται, ποιῶ ποιεῖν, κτυπῶ κτυπεῖν, στελῶ στελεῖν, χρυσῶ χρυσοῦν, βοῶ βοᾶ ν. καὶ οἱ μὲν ἐνεστῶτες ἀπὸ ἐντελείας ἔχουσι τὴν περισπωμένην ποιέειν ποιεῖν, οἱ δὲ δεύτεροι μέλλοντες οὔ· ἀπὸ γὰρ τοῦ εὐφρανεῖν γέγονε κατὰ διάλυσιν τὸ εὐφρανέειν. καὶ τὰ δὲ εἰς ν τοῦ δευτέρου ἀορίστου ἀπὸ κλίσεως περισπῶνται, ὥσπερ καὶ τὰ περισπώμενα, δραμεῖ ν , φαγεῖ ν , πιεῖ ν , ἐλθεῖ ν , ἰδεῖ ν. τὸ δὲ πέφνειν σεσημείωται. ἐβαρύνθη δέ, ἐπειδὴ καὶ ἡ μετοχὴ τούτου ἐβαρύνθη. Τὰ δὲ εἰς αι λήγοντα ἀπαρέμφατα πάντα βαρύνεται, τύψα ι , ποιῆσα ι , κεῖραι —τὸ δὲ ποιήσαι κείραι εὐκτικά ἐστι— τελέσα ι , συρίσα ι , λεπίσα ι , τιθένα ι , ἱστάνα ι , διδόνα ι , ζευγνύνα ι , στῆνα ι , βῆνα ι , γνῶνα ι , βιῶνα ι , ἁλῶνα ι , θεῖνα ι , δοῦνα ι , εἷνα ι , τυφθῆνα ι , τετύφθα ι , τύπτεσθα ι , τυπέσθα ι.

3,1 466 * Πᾶν ἀπαρέμφατον εἰς σθαι ἁπλοῦν πάντως ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ οἷον τύπτεται τύπτεσθαι, βοᾶται βοᾶσθαι, χρυσοῦται χρυσοῦσθαι, τυφθήσεται τυφθήσεσθαι, τυπήσεται τυπήσεσθαι, ἔρχεται ἔρχεσθαι, ἐτύψατο τύψασθαι, ἐποιήσατο ποιήσασθαι, τύψεται τύψεσθαι χωρὶς τῶν εἰς θαι ἀπαρεμφάτων τοῦ παθητικοῦ παρακειμένου καὶ δευτέρου μέσου ἀορίστου. ταῦτα γὰρ οὐχ ὁμοτονοῦσι τοῖς ἰδίοις ὁριστικοῖς, ἀλλὰ πρὸ μιᾶς ἔχουσι τὸν τόνον οἷον πεποίηται πεποιῆσθαι, νενόηται νενοῆσθαι, τέτυπται τετύφθαι, γέγραπται γεγράφθαι, λέλεκται λελέχθαι, ἐτύπετο τυπέσθαι, ἐνύγετο νυγέσθαι, ἐλάβετο λαβέσθαι, ἵκετο ἱκέσθαι, ἀφίκετο ἀφικέσθα ι. σεσημείωται τὸ ἔρεσθαι δευτέρου μέσου ἀορίστου ὂν καὶ προπαροξυνόμενον, περὶ οὗ ἔστιν εἰπεῖν ὅτι ἐξηκολούθησε τῷ δέρεσθαι καὶ φέρεσθαι καὶ στέρεσθαι, ἅτινά εἰσιν ἐνεστῶτος καὶ παρατατικοῦ, καὶ ἐκ τοῦ ἐναντίου δὲ σεσημείωται τὸ λιτέσθαι ἐνεστῶτος καὶ παρατατικοῦ ὂν καὶ παροξυνόμενον οἷον «οἷ τ’ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι» (Π 47) ἀντὶ τοῦ ἱκετεύειν. ὤφειλε γὰρ προπαροξύνεσθαι ὁμοίως τῷ ἰδίῳ ὁριστικῷ τῷ λίτεται. κάλλιον δὲ ἠκολούθησε τῷ λιπέσθαι θέσθαι ἰδέσθαι, ἅτινά εἰσι δευτέρου μέσου ἀορίστου. Σεσημείωται τὸ ἐγρήγορθαι οἷον «ἐγρήγορθαι ἄνωχθι» (Κ 67), ὅτι παρακειμένου ὂν προπαροξύνεται· περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι Αἰολίδος ἐστὶ διαλέκτου καὶ τούτου χάριν ἀνεβίβασε τὸν τόνον· οἱ γὰρ Αἰολεῖς ἀναβιβαστικοὶ τῶν τόνων εἰσί.

3,1 467 τὸ γὰρ Ἀτρεύς Ἄτρευς λέγουσι καὶ τὸ Πηλεύς Πήλευς. —πρόσκειται ἐν τῷ κανόνι ἁπλοῦν διὰ τὸ κατάκειται κατακεῖσθαι, κάθηται καθῆσθα ι. * Ὅσα εἰς θαι λήγει ἀπαρέμφατα μὴ κατ’ Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τοῦ τέλους βραχύνεσθαι, λέγεσθα ι , τίθεσθα ι , ἵστασθα ι , κίχρασθα ι , πίμπρασθα ι. ὅσα δὲ πρὸ τέλους ἔχει φύσει μακράν, περισπᾶσθαι θέλει, νικᾶσθα ι , φιλεῖσθα ι. τὰ γὰρ τοιαῦτα δίζησθα ι , φίλησθαι ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. ὅθεν οἱ ἀξιοῦντες ἐκτείνειν τὸ δεύτερον α ἐν τῷ εὐχετάασθαι, πάντως μὲν περισπῶσιν· εἰ δὲ δεδώκασι τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, δώσουσι καὶ τὴν παραλήγουσαν βραχυνομένην· οὕτως οὖν πάντα ταῦτα ἀναγνωστέον, δεδάασθαι (Od. π 316), μηχανάασθαι (Od. γ 213), αἰτιάασθαι (Il. Κ 210), ἑδριάασθαι (Od. γ 35), μνάασθαι (Od. α 39). ΠΕΡΙ ΤΩΝ ΣΥΝΘΕΤΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΕΤΙ ΠΕΡΙ ΜΕΤΟΧΩΝ. ΒΙΒΛΙΟΝ ιζ. Πᾶν ῥῆμα ὀξύτονον ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον· καὶ εἰ μὲν δισύλλαβον εἴη τὸ ἁπλοῦν, τὸ σύνθετον προπαροξύνεται, φημί σύμφημι, ἔστι σύνεστι, εὑρέ ἔφευρε, τὸ γὰρ ἐφεῦρε ἐκ τοῦ εὗρε βαρυτόνου ἐγένετο, εἰπέ κάτειπ ε. εἰ δὲ μονοσύλλαβον εἴη τὸ ἁπλοῦν, τὸ σύνθετον παροξύνεται δός ἀπόδος, θές ἐπίθες, ἕς πρόες σημαῖνον τὸ ἄφες, σχές ἐπίσχες, σπές ἐνίσπες «σὺ δ’ ἀληθὲς ἐνίσπες» (Od. γ 247), τὸ δὲ «ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες» (Ω 388) ἐστιν ὁριστικὸν ἐκ τοῦ ἤνισπες τὴν ἀρχὴν συστείλαντος. τὸ μέντοι ἄνευ τοῦ ς προστακτικὸν προπαροξύνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 468 λέγω δὲ τὸ «νημερτές μοι ἔνισπε» (Od. δ 642)—χρή ἀπόχρ η. τὸ γὰρ ἀποχρῇ ἀπὸ τοῦ χρῇ περισπωμένου ἐγένετο. Τὰ εἰς ω μονοσύλλαβα μὴ ἔχοντα τὴν μετοχὴν εἰς ς ὀξύτονον ἐπὶ ἐνεστῶτος μετὰ προθέσεως συντεθειμένα τὴν περισπωμένην φυλάττει καὶ ἐν τῇ συνθέσει, σμῶ περισμ ῶ, δρῶ συνδρ ῶ, κλῶ συγκλ ῶ , ὦ συν ῶ , παρ ῶ. πρόσκειται «ἐπὶ ἐνεστῶτος» διὰ τὸ σχῶ παράσχω, σπῶ ἐπίσπω, τὸ δὲ βῶ ἀναβ ῶ, δῶ παραδῶ φυλάσσει τὸν αὐτὸν τόνον ὡς ἔχοντα τὴν μετοχὴν εἰς ς ὀξύτονον. πρόσκειται «μετὰ προθέσεως» διὰ τὸ ἄζω τὸ ξηραίνω. τοῦτο γὰρ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ζῶ. * Τὰ εἰς ου μονοσύλλαβα προστακτικά, ἡνίκα μὲν συντεθῇ μετὰ μονοσυλλάβου προθέσεως, περισπᾶται οἷον οὗ προο ῦ. ἡνίκα δὲ μετὰ δισυλλάβου, βαρύνεται, θοῦ ἀπόθου κατάθου, σχοῦ ἀνάσχο υ. Πᾶν ῥῆμα ὁριστικὸν εἰς ω ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει φυλάττει τὸν αὐτὸν τόνον, γράφω καταγράφω, βαίνω μεταβαίνω, φιλῶ καταφιλ ῶ, λέγω ἀλέγ ω. τὸ δὲ χειρογραφῶ καὶ καλαμογλυφῶ καὶ ἀσθενῶ καὶ εὐσεβῶ καὶ ἀπειθῶ οὐ φυλάττουσι τὸν τόνον οὐ γὰρ ἀπὸ ῥημάτων συνετέθησαν. Πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν φυλάττει τόνον καὶ ἐν τῇ συνθέσει, εἶχον κατεῖχον, ἧψα συνῆψα, εἶπον ἐξεῖπον, εὗδον «εὗδ’ ἀνακλινθείς» (Od. δ 794) καθεῦδον «ἔνθα καθεῦδ’ ἀναβάς» (Α 611), ἧστο καθῆστο, πλὴν τοῦ εἶξεν ὑπόειξεν ὡς παρὰ τῷ ποιητῇ ἐν Ὀδυσσείᾳ (π 42) τῷ δ’ ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς, εἶκον ὑπόεικον «νεῶν δ’ ὑπόεικον ἀνάγκῃ (Π 305). τὸ δὲ οἶδα σύνοιδα Αἰολικόν. χαίρουσι γὰρ οἱ Αἰολεῖς ἀναβιβάζειν τοὺς τόνους ὥσπερ ἐπὶ τοῦ Ἀτρεύς Ἄτρευς. πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενα διὰ τὸ χεῦε περιέχευε, κεῖτο κατέκειτ ο.

3,1 469 πρόσκειται ἀπὸ φύσει μακρᾶς διὰ τὸ ἷζε ἔφιζε «Νέστωρ δ’ αὐτὸς ἔφιζε» (Od. γ 411). ἷεν ξύνιεν «καὶ μέν μευ βουλέων ξύνιεν» (Α 273) ὡς «αὐτὰρ ἐπεὶ κόσμηθεν» (Il. Γ 1). εἶχε κάτεχε «νὺξ δὲ μάλα στυγερὴ κάτεχ’ οὐρανόν» (Od. ν 269). πρόσκειται «ὁριστικός» διὰ τὸ εἰπέ ἔξειπε, εὑρέ ἔφευρε εὗδε κάθευδε, ἧσο κάθησο «ἀλλ’ ἀκέουσα κάθησο» (Α 565) * Πᾶν ὑποτακτικὸν εἰς μαι λῆγον ἐπὶ δευτέρου μέσου ἀορίστου ἐν τῇ συνθέσει προπαροξύνεται οἷον θῶμαι ἀπόθωμαι καὶ διάθωμαι «δεῦτε τέκνον καὶ διάθωμαι», σχῶμαι ἀπόσχωμαι «ἀπόσχωνται πολλοί». * Τὰ εἰς μι εὐκτικὰ ἀπὸ μονοσυλλάβων ῥημάτων ἐπὶ ἐνεστῶτος τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει, σμῷμι σμῷς σμῷ περισμῷμι περισμῷς περισμ ῷ, δρῷμι δρῷς δρῷ συνδρῷμι συνδρῷς συνδρ ῷ. πρόσκειται «ἐπὶ ἐνεστῶτος» διὰ τὸ σχοῖμι σχοῖς σχοῖ ἐπίσχοιμι ἐπίσχοις ἐπίσχο ι. τὸ δὲ « ἐπίσχοιε ς» (Ξ 241) ἀπὸ τοῦ ἐπίσχοις πλεονασμός ἐστι τοῦ ε ἢ συστολὴ τοῦ ἐπισχοίης. * Τὰ σύνθετα προστακτικὰ βραχυκατάληκτα ὡς ἐπὶ πλεῖστον ἀναπέμπει τὸν ἑαυτῶν τόνον, τὰ δὲ μακροκατάληκτα τὸν αὐτὸν τοῖς ἁπλοῖς φυλάττει τόνον. βραχυκατάληκτα μὲν λέγε κατάλεγε, σπεῖρε κατάσπειρε, ἧσο κάθησ ο. μακροκατάληκτα δὲ νοοῦ διανοο ῦ, ποίει περιποίε ι. * Πᾶν ἀπαρέμφατον συντιθέμενον φυλάττει τὸν αὐτὸν τόνον, ἴσχειν ἐπίσχειν, σχεῖν ἐπισχεῖν, πτέσθαι ἐπιπτέσθαι, σχέσθαι ἀποσχέσθαι «τότ’ ἂν οὔτοι ἀποσχέσθαι» (Od. ι 211), ἧσθαι καθῆσθαι, κεῖσθαι κατακεῖσθα ι. Οὐδεμία μετοχὴ περισπᾶται, εἰ μὴ ἐκ συναιρέσεως εἴη. αὗται δὲ ἢ εἰς ων λήγουσαι, ἀρσενικαὶ οὖσαι ἢ οὐδέτεραι, ἢ εἰς ουν μόνως οὐδέτερον ἢ ἐνεστῶτός εἰσιν ὁ ποιέων ὁ ποιῶν καὶ τὸ ποιέον τὸ ποιοῦν, ὁ βοάων ὁ βοῶν καὶ τὸ βοάον τὸ βοῶ ν, ὁ χρυσόων ὁ χρυσῶν καὶ τὸ χρυσόον τὸ χρυσοῦν, ἤγουν μέλλοντος τῆς πέμπτης συζυγίας, κερῶ ν , σπερῶ ν , κτενῶν, ἐπεὶ καὶ τούτων ῥήματα περισπῶνται— ποιῶ, βοῶ, χρυσῶ, κερῶ, σπερῶ, κτενῶ.

3,1 470 —βαρύνεται δὲ ἡ εἰς ων μετοχή, ὅτε τὸ ῥῆμα βαρύνεται, τύπτω τύπτων, γράφω γράφων, γράψω γράψων, ποιήσω ποιήσω ν. ὀξύνονται δὲ αἱ εἰς ων δευτέρου ἀορίστου λαβώ ν , τυπώ ν , φαγών, μεθ’ ὧν καὶ ἐών καὶ ἰών καὶ κιώ ν, πλὴν τοῦ πέφνων βαρυνομένου ὁμοίως τῷ τέμνων καὶ κάμνων, τὸ δὲ ἑκών ἠκολούθησε τοῖς προειρημένοις ἀπὸ τοῦ εἴκω τὸ ὑποχωρῶ. ἐπειδὴ δὲ αἱ εἰς ων λήγουσαι καὶ ἐπὶ τέλους ἔχουσαι τὸν τόνον ἄδηλον εἴτε ὀξύνονται εἴτε περισπῶνται, ἐκ τῆς κλίσεως διατελείσθωσαν. ὧν μὲν γὰρ αἱ πλάγιοι φύσει μακρᾷ παραλήγονται, τούτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντως καὶ αἱ εὐθεῖαι περισπῶνται οἷον βοῶντος βοῶν, χρυσοῦντος χρυσοῦν, κεροῦντος κερῶν, κτενοῦντος κτενῶν. ὧν δὲ μόνον ἐστὶ τὸ ο ἐν τῇ παραληγούσῃ, τούτων αἱ εὐθεῖαι ὀξύνονται, δευτέρου οὖσαι ἀορίστου, λαβόντος λαβών, δραμόντος δραμώ ν. Αἱ δὲ εἰς ας αἱ μὲν τοῦ πρώτου ἀορίστου πᾶσαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον τελέσα ς , ποιήσα ς , τύψα ς , γεμίσα ς , σαλπίσα ς , λεπίσα ς , καλλωπίσα ς , βρίσα ς , κτίσα ς , λακτίσας, μεθ’ ὧν καὶ ἡ ἴσας ἀπὸ τοῦ ἴσημι.

3,1 471 αἱ δὲ τοῦ δευτέρου ἀορίστου ἢ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς μι πᾶσαι ὀξύνονται, στά ς , φθά ς , ἱστά ς , κιχρά ς. Αἱ δὲ εἰς εις καὶ εἰς ους καὶ εἰς ως καὶ εἰς υς πᾶσαι ὀξύνονται, τυφθεί ς , δαρεί ς , τυπεί ς , τιθεί ς , διδού ς , βιού ς , πεποιηκώ ς , τετυφώ ς , τετυπώ ς , ἑστώ ς , βεβώ ς , πηγνύ ς , ὀλλύ ς , ὀμνύ ς. Αἱ δὲ εἰς μενος πᾶσαι προπαροξύνονται χωρὶς τῶν τοῦ παρακειμένου, τυπτόμενο ς , γραφόμενο ς , τυψόμενο ς , τυψάμενο ς , γραψάμενο ς , τυπούμενο ς· αἱ γὰρ τοῦ παρακειμένου πρὸ μιᾶς ἔχουσι τὸν τόνον, τετυμμένο ς , πεποιημένο ς , πεφιλημένο ς , πεπταμένος, χωρὶς εἰ μὴ πάθωσι· τότε γὰρ ἀναβιβάζουσι καὶ αὗται τὸν τόνον μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς ὡς ὧρκα ὧρμαι ὅρμενος, ἥδω ἥσω ἧσμαι ἡσμένος καὶ ἄσμενος, καὶ βεβλημένος βλήμενος καὶ ἄρχμενος καὶ δέγμενος καὶ ἄλμενος καὶ ἐμπλήμενος, εἴτε παρακειμένου εἶεν παθητικοῦ εἴτε ἄλλου χρόνου, εἰκότως προπαροξύνονται. πρόσκειται «μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς» διὰ τὸ ἀκαχῶ ἀκαχήσω ἠκάχημαι ἠκαχημένος ἀκαχημένο ς. τὸ γὰρ οὐτάμενος καὶ ἐληλάμενος οὐ κατὰ πάθος γίνονται προπαροξυτόνως ἀπὸ τοῦ οὐτασμένος καὶ ἐληλασμένος, ἐπειδὴ ὡς ὄντα ὑπὲρ τρεῖς συλλαβὰς ὤφειλον τὸν αὐτὸν τόνον φυλάξαι, ἀλλ’ ἀπὸ τῶν εἰς μι εἰσίν, ὡς ἀπὸ τοῦ οὔτημι καὶ ἐλήλημι, ἵνα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ ὥσπερ ἵστημι ἵσταμαι ἱστάμενο ς.

3,1 472 Αἱ εἰς η λήγουσαι θηλυκαὶ παροξύνονται, τυπτομέν η , τετυμμέν η. Αἱ εἰς α θηλυκαὶ προπαροξύνονται ἢ προπερισπῶνται. καὶ προπερισπῶνται μέν, ὅσαι ἀπὸ ὀξυτόνων εἰσὶν ἀρσενικῶν ἢ περισπωμένων, νοῶν νοοῦσα, εὐφρανῶν εὐφρανοῦσα, τυπείς τυπεῖσα, τετυφώς τετυφυῖ α. προπαροξύνονται δέ, ὅσαι ἀπὸ βαρυτόνων εἰσὶν ἀρσενικῶν, λέγων λέγουσα, τύψων τύψουσα, ποιήσας ποιήσασ α. Αἱ οὐδέτεραι μετοχαὶ ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, ὁ τύπτων τὸ τύπτον, ὁ ποιῶν τὸ ποιοῦν, ὁ λαβών τὸ λαβόν, ὁ ποιήσας τὸ ποιῆσαν, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα. Αἱ συντιθέμεναι μετοχαὶ οὐκ ἀναβιβάζουσι τὸν τόνον, λέγων καταλέγων, φέρων περιφέρων, ἐλθών ἀνελθών, σπών μετασπών, πατῶν περιπατῶ ν. εἰ δὲ ἀναβιβάζουσι τὸν τόνον, οὐκέτι μένουσι μετοχαί, ἀλλ’ ὀνόματα γίνονται, τλάς Ἄτλας, βάς Ἄβα ς, φάς Περίφας, χωρὶς τῆς ἑκών καὶ ἀέκω ν. καὶ ἔστιν εἰπεῖν διαφόρους λύσεις, ὧν πρώτη ἐστὶν αὕτη.

3,1 473 αἱ μετοχαὶ ἢ ἁπλαῖ εἰσιν ἢ παρασύνθετοι, οὐδέποτε δὲ σύνθετοι· ἐπειδὴ οὖν ἡ ἀέκων σύνθετός ἐστιν, οὐδὲ γὰρ ἔχει ῥῆμα προϋπάρχον ἐν συνθέσει, ἵνα παρασύνθετον αὐτὴν εἴπωμεν, ἀλλ’ ἐν τῇ μετοχῇ ἐγένετο ἡ σύνθεσις οἷον ἑκών ἀέκων, τούτου χάριν ἐν τῇ συνθέσει ἀνεβίβασε τὸν τόνον, ἵνα δείξῃ, ὅτι σύνθετός ἐστι καὶ οὐ παρασύνθετος ὡς ἄλλαι μετοχαί. δευτέρα δὲ αἰτία ἐστὶν αὕτη· ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ γέγονε ἡ ἑκών κατὰ πάθος τουτέστι κατὰ ἀποβολὴν τοῦ ι , καὶ ἐπειδὴ τὸ εἴκω ῥῆμα συνέστειλε τὴν παραλήγουσαν ἐν τῇ ἑκών μετοχῇ, τούτου χάριν ὠξύνθη ὁμοίως ταῖς ἄλλαις μετοχαῖς ταῖς βραχείᾳ παραληγομέναις, φημὶ δὴ ταῖς τοῦ δευτέρου ἀορίστου, ἀλλ’ ἐπειδὴ ἡ ἑκών οὐκ ἔστι δευτέρου ἀορίστου, ἀλλ’ ἐνεστῶτος καὶ παρατατικοῦ, δηλονότι οὐκ ὤφειλεν ὀξύνεσθαι ὁμοίως ἐκείναις. Ἐπειδὴ οὖν παραλόγως συνέδραμεν ἐκείναις καὶ ὠξύνθη ἡ ἑκών μετοχή, τούτου χάριν ἐν τῇ συνθέσει, φημὶ δὴ ἐν τῇ ἀέκων ἐβαρύνθη, ἵνα τὴν παράλογον τάσιν τοῦ ἁπλοῦ ἐκφύγῃ, φημὶ δὴ τὴν ὀξεῖαν. —ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί ἡ ἑκών μετοχὴ ἐν τῇ ἀέκων ἀναβιβάσασα τὸν τόνον ἔμεινε μετοχὴ καὶ οὐκ ἐγένετο ὄνομα; καὶ ἔστιν εἰπεῖν, ὅτι λέξις ἐκ τῆς α στερήσεως συντιθεμένη καὶ φυλάττουσα τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέλος, φυλάττει καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου οἷον δοῦλος ἄδουλος, φίλος ἄφιλος, σεμνός ἄσεμνος, κακός ἄκακος, ψευδής ἀψευδής, σαφής ἀσαφής· τὸ γὰρ τλάς Ἄτλας καὶ τὸ βάς Ἄβας φυλάξαντα τὸ τέλος καὶ μὴ φυλάξαντα τὸ αὐτὸ μέρος τοῦ λόγου, ἀλλὰ γενόμενα ὀνόματα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουσι τὴν α στέρησιν, ἀλλὰ τὴν α ἐπίτασιν οἱονεὶ ὁ πάνυ καρτερῶν, πάνυ βαίνων· ἐπειδὴ οὖν ἡ ἀέκων ἐφύλαξε τὸ τέλος τῆς ἑκών, τούτου χάριν καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου ἐφύλαξε καὶ ἔμεινε μετοχή. ΠΕΡΙ ΤΟΝΟΥ ΑΡΘΡΩΝ ΑΝΤΩΝΥΜΙΩΝ ΚΑΙ ΠΡΟΘΕΣΕΩΝ. ΒΙΒΛΙΟΝ ιη′. Περὶ ἄρθρων. Πᾶν ἄρθρον ὀξύνεται, χωρὶς τῶν γενικῶν καὶ δοτικῶν· αὗται γὰρ περισπῶνται, τοῦ τ ῷ , τῆς τ ῇ , τοῖν ταῖ ν , τῶ ν , τοῖς ταῖ ς. καὶ τὰ τούτων δὲ ὑποτακτικά, ἀποβολῇ τοῦ τ γινόμενα, περισπῶνται. ὁμοίως καὶ τὸ κλητικὸν ὦ ἄρθρον μὲν οὐκ ἔστιν, ἀλλ’ ἐπίρρημα, περισπᾶται δὲ ὅμως καὶ ψιλοῦται τῶν ἀπὸ φωνηέντων ἀρχομένων ἄρθρων δασυνομένων «ᾧ ἐχαρισάμην».

3,1 474 τὰ δὲ λοιπὰ πάντα ὀξύνονται, ὅ, τό ν , ο ἵ , τού ς , οὕ ς , ἥ , ἥ ν , τή ν , τ ά , ἅ. Περὶ ἀντωνυμίας. Πᾶσα πρωτότυπος ἀντωνυμία ἑνικὴ ἀπαθής, ὑπεσταλμένων τῶν καλουμένων μονοπροσώπων, ὀξύνεσθαι θέλει κατὰ πᾶσαν πτῶσιν ἐν τοῖς τρισὶ προσώποις, πλὴν τῆς εἰς ου γενικῆς, ἐγ ώ , σ ύ, ἵ. ἐπεκτεινομένη δὲ ἡ ἐγώ παρ’ Ἀθηναίοις ἐν τῷ ἔγωγε τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς καὶ ἡ ἔμοιγε δοτική. ἡ δὲ σύγε φυλάττει τὸν τόνον. ὀξύνονται αἱ δοτικαὶ καὶ αἰτιατικαὶ εἴτε δισυλλάβως εἴτε μονοσυλλάβως προφερόμεναι, μέ ἐμέ σέ ἕ , μοί ἐμοί σο ί. ἡ δὲ τοῦ τρίτου οἷ ἔχει περισπωμένην, ὀφείλουσα καὶ αὐτὴ ὀξύνεσθαι. τὰ γὰρ ἀπὸ τοῦ ς ἀρχόμενα καὶ τὰ κατὰ ἀποβολὴν τοῦ ς ἀπὸ δευτέρων γινόμενα ὁμοτονεῖ. καὶ τὰ παραδείγματα πρόκειται. αἱ γενικαὶ μοῦ ἐμοῦ σοῦ οὗ περισπῶνται. εἴπομεν γὰρ ὅτι ἡ διὰ τοῦ υ δίφθογγος ἀπέστραπται τὴν ὀξεῖαν τάσιν χωρὶς τῆς οὐ ἀποφάσεως καὶ τοῦ ἰδού δεικτικοῦ καὶ τοῦ ἰού σχετλιαστικοῦ. αἱ δὲ ἐκ τούτων διαλυθεῖσαι ἢ πλεονάσασαι τῷ ι ἢ κατὰ φωνὴν παραχθεῖσαι εἰς θεν πρὸ μιᾶς ἔχουσι τὸν τόνον ἐμέο ἐμεῖ ο , ἐμέθε ν. ἡ δὲ ἐμεῦ συνῃρημένη παρ’ Ἴωσι περισπᾶται «ἐμεῦ δ’ ἕλετο μέγαν ὅρκον» (Od.

3,1 475 δ 746). ὁμοίως τοῦ δευτέρου καὶ τοῦ τρίτου, σέο σεῖο σεῦ σέθε ν , ἕο εἷο εὗ ἕθε ν. Αἱ δυϊκαὶ πρώτου καὶ δευτέρου προσώπου κοιναὶ καὶ ἀπαθεῖς βαρύνονται, νῶ ϊ , σφῶ ϊ. καὶ αἰτιατικῇ ταύτας κατὰ ἀποβολὴν τοῦ ι μονοσυλλάβως Ἀθηναῖοι προφέρουσι, νώ σφ ώ, οὐκέτι περισπωμένως, καίτοι τῷ λόγῳ τῆς ἀποκοπῆς ὀφειλούσας περισπᾶσθαι ὡς τὸ Ποσειδῶ κυκεῶ. ἀλλ’ οὐδὲν δυϊκῶν εὐθείας πτώσεως καὶ αἰτιατικῆς εἰς ω περισπᾶται, ὅθεν ὠξύνθησαν μετὰ τὴν ἀποκοπήν. αἱ δὲ τούτων γενικαὶ νῶϊν σφῶϊν προπερισπῶνται. ταύτας δὲ κατὰ συναίρεσιν Ἀττικοὶ προφέρονται μονοσυλλάβως, τοῦ ι γραφομένου μὴ συνεκφωνουμένου ὧν καὶ ἡ περισπωμένη μένει μετὰ τὴν συναίρεσιν οἷον νῷν σφῷ ν. Αἱ τρίτου προσώπου ὀξύνονται πᾶσαι καὶ ἐγκλίνονται πᾶσαι, αἰτιατικῆς μὲν σφωέ «τίς τάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι»; (Α 8). εὐθεῖα γὰρ τούτου οὐκ ἔστι, διότι οὐδεμία ἐστὶν εὐθεῖα ἀντωνυμίας ἐγκλινομένης. γενικῆς καὶ δοτικῆς σφωΐν «καί σφωϊν δὸς ἄγειν» (Α 338)· τόνῳ μὲν μόνῳ τῆς τοῦ δευτέρου διήνεγκεν. ὥστε ὅτε μὲν περὶ Ἀθηνᾶς καὶ Ἥρας Ζεὺς πρὸς τὴν Ἶρίν φησιν, ἐγκλιτικῶς ἀναγινώσκομεν «γυιώσω μέν σφωϊν ὑφ’ ἅρμασιν ὠκέας ἵππους» (Θ 402). τρίτου γὰρ προσώπου. ὅτε δὲ πρὸς αὐτὰς ἡ Ἶρις, ὀρθοτονοῦντες προπερισπῶμεν «γυιώσειν μὲν σφῶϊν ὕφ’ ἅρμασιν ὠκέας ἵππους» (Θ 416). Πληθυντικὴ ἀντωνυμία ἀπαθὴς μὴ κατὰ διάλεκτον ἐκφερομένη, ἀλλὰ κοινῶς καὶ Ἀττικῶς περισπᾶται, ἡμεῖς ὑμεῖς σφεῖ ς , ἡμῶν ὑμῶν σφῶ ν , ἡμᾶς ὑμᾶ ς , ἡμῖν ὑμῖ ν.

3,1 476 σημειώδης κἀνταῦθα ἡ τοῦ τρίτου σφίν καὶ βραχυνομένη καὶ ὀξυνομένη, δέον ἀκολούθως τοῖς τοῦ πρώτου καὶ δευτέρου ἐκτείνεσθαι καὶ περισπᾶσθαι. ἐν ἑνικοῖς ἡ οἷ παραλόγως περιεσπάσθη. οὕτως ἐκ τοῦ ἐναντίου ἡ σφίν πληθυντικὴ συσταλεῖσα ὠξύνθη· ὥστε ἀμοιβὴ τῶν τόνων ἐν αὐταῖς γέγονεν. βαρύνεται δὲ ἡ σφιν ἐν τῇ σφίσιν καὶ δισυλλαβήσασα ἐπεκτείνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν σφᾶς οἱ μὲν ὀξύνουσιν, οἱ δὲ περισπῶσι. Αἱ ἀντωνυμίαι μονοπρόσωποι ὑπὲρ μίαν συλλαβὴν οὖσαι, μὴ ἐπεκτεταμέναι διὰ τοῦ ι , βαρύνονται χωρὶς τῆς αὐτό ς.

3,1 477 αὕτη γὰρ μόνη ὀξύνεται. αἱ δὲ βαρύνονται οὗτος ἐκεῖνος ὅδ ε. κλίσιν δὲ εἴς τε τὰς πτώσεις καὶ εἰς τὰ γένη καὶ εἰς ἀριθμοὺς αὗται κατὰ τὴν ὀνομάτων ἔχουσιν ἀναλογίαν τῶν οὕτως παρηγμένων, λέγω δὲ τὸ τόσος τοσοῦτος τοσόσδ ε , τόση τοσαύτη τοσῆδ ε , τόσον τοσοῦτον τοσόνδ ε. Αἱ δὲ διὰ τοῦ ι ἐπεκτεταμέναι ὀξύνονται, οὑτοσ ί , ἐκεινοσ ί , ὁδ ί. Αἱ μονοσύλλαβοι κατ’ εὐθεῖαν μὲν καὶ αἰτιατικὴν ὀξύνονται, ὅ ς , ἕ , μί ν , νί ν, κατὰ δὲ γενικὴν καὶ δοτικὴν περισπῶνται, οὗ ο ἷ. Αἱ δὲ σύνθετοι τῶν ἀντωνυμιῶν τὸν αὐτὸν ταῖς ἁπλαῖς τόνον φυλάττουσιν, ἐμοῦ αὐτοῦ ἐμαυτο ῦ, ἐμοὶ αὐτῷ ἐμαυτ ῷ, ἐμὲ αὐτόν ἐμαυτό ν.

3,1 478 ὁμοίως ἐπὶ δευτέρου καὶ τρίτου καὶ ἐπὶ θηλυκῶν ὁμοίως. αἱ γὰρ οὐδέτεραι κατὰ γενικὴν καὶ δοτικὴν τῷ ἀρσενικῷ ὁμοφωνοῦσιν, ἡ δὲ αἰτιατικὴ τῶν οὐδετέρων ἐκλέλοιπεν. ἐπεὶ ὁμόφωνοι μὲν ἐν οὐδετέροις ἡ εὐθεῖα καὶ αἰτιατική, οὐδέποτε δὲ εὐθεῖα ἀντωνυμίας συντίθεται, ἔνθεν συνεκλείπει ἡ αἰτιατική. εἰ δὲ ἅπαξ που παρ’ Εὐριπίδῃ εὕρηται τὸ σεαυτό (fr. 694 Nauck) εἶα δή, φίλον ξύλον ἔγειρέ μοι σεαυτό καὶ παρὰ Φιλήμονι τὸ αὐτό, ἀλλ’ οὐ τὸ σπάνιον τοῦ ὅλου κατέστησε κανόνας. Ἡ ὁ δεῖν περισπᾶται, κλίνεται δὲ τοῦ δεῖνος τῷ δεῖνι, τὸν δεῖνα. ἡ ὁ δεῖνα προπερισπᾶται, κλίνεται δὲ τοῦ δείνατος, τῷ δείνατι. εἰσὶ δὲ κοιναὶ τῶν τριῶν γενῶν. Αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν, ὀνομάτων ἔχουσαι χαρακτῆρα, καὶ τὴν τῶν ὀνομάτων ἀναλογίαν ἔχουσιν. ἡ μὲν οὖν τῶν ἑνικῶν εὐθειῶν ὀξύνεται, ἀπὸ τῆς ἐμοῦ ὁ ἐμός καὶ κατ’ ἀκολουθίαν ταύτης καὶ ἡ αἰτιατικὴ ἐμό ν, ἡ δὲ γενικὴ καὶ δοτικὴ περισπᾶται, ἐμο ῦ , ἐμ ῷ. οἱ δὲ ἀριθμοὶ καὶ τὰ γένη ἀκολούθως τονοῦνται, ὡς καὶ τὰ εἰς ος ὀνόματα. ὁμοίως καὶ ἡ σός καὶ ἑό ς. Αἱ διὰ τοῦ τερος , αἵτινές εἰσι δυϊκαὶ ἢ καὶ πληθυντικαί, πᾶσαι τρίτην ἀπὸ τέλους ἔχουσι τὴν ὀξεῖαν, δυϊκαὶ μὲν ἀπὸ τῆς νῶϊ νωΐτερος καὶ ἀπὸ τῆς σφῶϊ σφωΐτερο ς. ἀπὸ γὰρ τῆς τοῦ τρίτου δυϊκῆς οὐ γίνεται κτητικὴ παραγωγή, διότι αἱ μὲν τοῦ τρίτου δυϊκαὶ πᾶσαι ἐγκλίνονται, ἀπὸ δὲ ἐγκλινομένων οὐ γίνεται κτητικὴ ἀντωνυμία. πληθυντικαὶ δὲ ἀπὸ μὲν τῆς ἡμῶν ἡμέτερος καὶ ἀπὸ τῆς ὑμῶν ὑμέτερος καὶ ἀπὸ τῆς σφῶν σφέτερο ς. ἀπὸ δὲ τῆς ἡμῶν καὶ ὑμῶν ἐγένετο ἐθνικὴ παραγωγή, ἡμεδαπός καὶ ὑμεδαπός, αἵτινες ὠξύνθησαν τῷ χαρακτῆρι τῶν ὁμοίων τοῦ ἀλλοδαπός καὶ παντοδαπός καὶ τηλεδαπός.

3,1 479 Περὶ προθέσεως. Πρόθεσις εἴρηται ἐκ τοῦ πάσης λέξεως ἐθέλειν προτίθεσθαι, λέγω δὲ ὀνομάτων περὶ Ἀριστάρχου, ῥημάτων καταγράφω, μετοχῶν καταγράψας —λέγομεν δὲ ὅτι οὐκ ἔστιν ἡ κατά πρόθεσις ἐν τῷ καταγράφω, καταγράψας, ἀλλὰ μέρος ἐστὶ τοῦ ῥήματος, εἰ καὶ μετὰ προθέσεως ἐγένετο ἡ σύνθεσις. ὥσπερ γὰρ ἐν τῷ εὐγενής οὐκ ἔστι τὸ ευ ἐπίρρημα, ἀλλὰ μέρος ἐγένετο τοῦ ὀνόματος, εἰ καὶ ἀπὸ ἐπιρρήματος ἐγένετο ἡ σύνθεσις, οὕτω καὶ ἐν τῷ καταγράφω οὐ λέγομεν, ὅτι πρόθεσίς ἐστιν ἡ κατά, ἀλλὰ μέρος τοῦ ῥήματος, εἰ καὶ ἀπὸ προθέσεως ἐγένετο ἡ σύνθεσις—ἀντωνυμιῶν περὶ ἐμο ῦ, ἄρθρων τῶν προτακτικῶν περὶ τοῦ στεφάνου. * Οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφ ί. λέγεται δ’ ἔσθ’ ὅτε καὶ ἀμπί ἐν συνθέσει διὰ τοῦ π καὶ ἴσως ἀναλογώτερον. * Οὐδεμία πρόθεσις μονοσύλλαβος εἰς φωνῆεν λήγει, ἀλλὰ μόνον ἡ πρ ό. * Οὐδεμία πρόθεσις εἰς διπλοῦν λήγει, ἀλλὰ μόνη ἡ ἐξ. * Αἱ εἰς α λήγουσαι προθέσεις σύμφωνον ἔχουσι πρὸ τοῦ α , ἀλλὰ μόνη ἡ διά τὸ α καθαρεύει. * Οὐδεμία πρόθεσις δισύλλαβος εἰς σύμφωνον καταλήγει, ἀλλὰ μόνη ἡ ὑπέ ρ. * Αἱ ὑπὲρ μίαν συλλαβὴν προθέσεις εἰς φωνῆεν λήγουσι δίχρονον ὑπεσταλμένης τῆς ἀπό καὶ ὑπ ό· ἀναλογώτεροι ἄρα οἱ Αἰολεῖς τὴν ὑπό ὕπα λέγοντες, τὴν δὲ ἀπό ἄπ υ, ἴσως ἵνα τὸ υ ληκτικὸν γένηται τῆς προθέσεως ὡς τὸ α καὶ ι . Πᾶσα πρόθεσις εἴτε μονοσύλλαβος εἴτε δισύλλαβος ὀξύνεται—εἰ μὴ κατὰ ἀναστροφὴν παραληφθῶσι· τότε γὰρ βαρύνονται αἱ δισύλλαβοι οἷον « ἄστυ κάτα Ξάνθοιο»—ὅθεν καὶ ἡ ἀπό καὶ ὑπ ό, μηδεμιᾶς ληγούσης λέξεως εἰς ο ὀξυνομένης,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τὸ εἶναι προθέσεις ὠξύνθησαν· διὸ σημειούμεθα τὴν αὐτό ἀντωνυμίαν, ὅτι ὠξύνθη διὰ τὴν αὐτός ἀρσενικήν.

3,1 480 διὰ δὲ τὴν αὐτὴν αἰτίαν ἐγένετο, ὅτι ἡ ὑπέρ πάλιν ὠξύνθη καὶ ταῦτα μηδεμιᾶς λέξεως εἰς ερ ληγούσης μετὰ βραχείας καὶ ὀξυνομένης. καὶ διὰ τοῦτο καὶ τὸν αὐτάρ σύνδεσμον τῷ λόγῳ τῶν συμπλεκτικῶν πάλιν ὠξύνομεν, ἐπειδὴ πᾶς σύνδεσμος συμπλεκτικὸς ὀξύνεται χωρὶς τοῦ ἤτοι. Εἰσὶ δὲ προθέσεις δέκα καὶ ὀκτώ. τούτων αἱ μὲν ὀρθοτονούμεναι δέκ α , ἀν ά , δι ά , ἀμφ ί , ἀντ ί , σύ ν , ἐ ξ , εἰ ς , ἐ ν , πρό ς , πρ ό. ἐγκλινόμεναι δὲ καὶ ἀναστρεφόμεναι ὀκτώ, κατ ά , μετ ά , παρ ά , περ ί , ἀπ ό , ἐπ ί , ὑπ ό , ὑπέ ρ. Καθόλου δὲ αἱ ἀναστρεφόμεναι δισύλλαβοί τε εἶναι θέλουσι καὶ δίχρονοι· ὅθεν τριχρονοῦσαι ἡ ἀντί καὶ ἀμφί οὐκ ἀναστρέφονται, οὐδὲ αἱ τῷ ι πλεονάζουσαι, κατα ί , παρα ί , ὑπα ί , ὑπεί ρ. σημειούμεθα τὴν διά χώραν ἔχουσαν ἀναστροφῆς καὶ μὴ ἀναστρεφομένην διὰ τὴν πρὸς τὸν Δία «Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος» (Β 2) συνέμπτωσιν καὶ τὴν ἀνά μὴ ἀναστρεφομένην, ἵνα μὴ σημαίνῃ τὸν ἄνακτα ὡς ἐν τῷ «Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ» (Π 233) ἢ τὸ ῥῆμα «ἀλλ' ἄνα, εἰ μέμονάς γε» (Ι 247). ἡ δὲ ἐν πλεονάσασα τῷ ι ἀνεστράφη «ᾧ ἔνι κούρη κοιμᾶτο» (ζ 15). καὶ τὰς μονοσυλλάβους δὲ ἐὰν ἐπὶ τέλει ὦσι στίχου, ἀναστρέφουσιν οἷον «ἐλθὼν δ' ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύ ν» (ο 410)· ῥώννυται γὰρ ὁ τόνος τῆς σύν προθέσεως, ἵνα νοῆται ἡ ἀναστροφή. τοιοῦτό ἐστι καὶ τὸ «οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔ ξ» (Ξ 472). Αἱ ὀρθοτονούμεναι.

3,1 481 Ἡ ἀνά ὀρθοτονουμένη οἰκείᾳ πτώσει αἰτιατικῇ «ἀνὰ στρατόν» (Α 10). κατὰ δὲ Ἀττικοὺς καὶ Ἴωνας δοτικῇ «χρυσέῳ ἀνὰ σκήπτρῳ» (Α 15) ἀντὶ τῆς σύν. Ἡ διά ὀρθοτονουμένη οἰκείαις πτώσεσι γενικῇ καὶ αἰτιατικῇ «διὰ προμάχων» (Δ 495) «διὰ δρυμὰ πυκνά» (Λ 118). Ἡ ἀμφί ὀρθοτονουμένη οἰκείαις πτώσεσι γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. Ἡ ἀντί ὀρθοτονουμένη οἰκείᾳ πτώσει γενικῇ. Ἡ σύν καὶ ξύν ὀρθοτονουμένη οἰκείᾳ πτώσει δοτικῇ. Ἡ ἐξ καὶ ἐκ ὀρθοτονουμένη οἰκείᾳ πτώσει γενικῇ. Ἡ εἰς καὶ ἐς ὀρθοτονουμένη οἰκείᾳ πτώσει αἰτιατικῇ καὶ γενικῇ Ἀττικῶς. Ἡ ἐν ὀρθοτονουμένη οἰκείᾳ πτώσει δοτικῇ καὶ γενικῇ Ἀττικῶς. Ἡ πρός ὀρθοτονουμένη γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. Ἡ πρό ὀρθοτονουμένη γενικῇ. Αἱ δὲ ἐγκλινόμεναι καὶ ἀναστρεφόμεναι αἵδε. Ἡ κατά ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ καὶ αἰτιατικῇ. Ἡ μετά ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. τὸ δὲ «μετά σφισιν» ἀντὶ τοῦ ἐν. Ἡ παρά ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. Ἡ περί ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. Ἡ ἐπί ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Ἡ ὑπό ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. Ἡ ἀπό ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ. Ἡ ὑπέρ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ καὶ αἰτιατικῇ. * Ὅταν πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν «νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο—ἤσθιον (α 8). Ἐὰν μεταξὺ πέσωσιν ὀνόματος καὶ ῥήματος ἢ μετοχῆς, πρὸς διάφορον σημασίαν ἢ ἀναστρέφονται ἢ οὔ, οἷον «Ἰθάκην κατακοιρανέουσιν» (α 247)· εἰ μὲν πρὸς τὴν Ἰθάκην συντάττοις τὴν κατά, ἵνα τοπικὴν δηλώσῃς σχέσιν κατὰ Ἰθάκην, ἀναστρέψεις τὴν πρόθεσιν· εἰ δὲ πρὸς τὸ κοιρανέουσιν, ἵνα πλείονα ἔμφασιν δηλώσῃς τῆς τῶν μνηστήρων ἐπικρατείας, ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσεις τὴν πρόθεσιν.

3,1 482 τὸ αὐτὸ καὶ ἐν τῷ «εὗρε δὲ Πατρόκλῳ περικείμενον» (Τ 4)· εἰ γὰρ περὶ τῷ Πατρόκλῳ κείμενον, καὶ ἀναστραφήσεται ὁ τόνος· εἰ δὲ τῷ Πατρόκλῳ περικείμενον, ἵνα ᾖ οἷον περικεχυμένον αὐτῷ, ὀρθοτονηθήσεται, ἔμφασιν γὰρ πλείονα δηλοῖ. Εἰ δὲ μεταξὺ πέσῃ δύο ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου ὄντος, τοῦ δὲ προσηγορικοῦ, ἢ ἐπιθετικοῦ καὶ προσηγορικοῦ, ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν, ἵνα τῆς ὅλης συντάξεως προηγήσηται· «ποταμοῦ ἄπο Σελλήεντος» (Μ 97) ἀπὸ τοῦ ποταμοῦ. «Ξάνθῳ ἔπι δινήεντι» (Ε 479) ἐπὶ τῷ δινήεντι ποταμῷ· «μάχῃ ἔνι κυδιανείρῃ» (Ζ 124) ἐν τῇ κυδιανείρῃ μάχῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 483 Ὁμοίως καὶ ἐὰν μεταξὺ δύο κυρίων ᾖ ἢ δύο προσηγορικῶν, ἀναστρέφεται, συνδέσμου συμπαραλαμβανομένου μετὰ τὴν πρόθεσιν· «νηῶν ἄπο καὶ κλισιάων» (Β 91), «Ἀγαμέμνονος πέρι καὶ Ἀχιλῆος», ἵνα πάλιν προηγῆται ἡ πρόθεσις· εἰ δὲ μὴ μεταξὺ εἴη, ὑποταγείη δὲ τούτῳ, οὗπερ ἔδει αὐτὴν προηγεῖσθαι, μηδενὸς λόγου μεταξὺ πίπτοντος, πάλιν ἀναστρέφεται «ᾧ ἔπι πόλλ' ἐμόγησα» (Α 162)· τὸ γὰρ ἑξῆς ἐστιν ἐφ' ᾧ πόλλ' ἐμόγησα.

3,1 484 «θεῶν ἄπο μήδεα εἰδώς» (ζ 12) ἀπὸ θεῶν εἰδὼς μήδεα. εἰ δὲ μεταξὺ τῆς προθέσεως καὶ τοῦ προσηγορικοῦ ὀνόματος ἢ ῥήματος, πρὸς ὃ τὴν σύνταξιν ἔχει ἡ πρόθεσις, ἕτερον μέρος λόγου πέσῃ, ὡς ἐπὶ τοῦ «τῷ δ' ἐπὶ Τυδείδης ἦλθε κρατερὸς Διομήδης» (Η 163, Ψ 290)· ἔστι γὰρ τὸ ἑξῆς ἐπὶ τούτῳ δὲ ὁ Τυδείδης ἦλθε· οὐκ ἀναστρέφεται ἡ πρόθεσις διὰ τὸ μεσοσυλλαβῆσαι τὸν δέ. τοιοῦτό ἐστι καὶ τὸ «ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος» (ς 1). Εἰ μέντοι ἐν τέλει στίχου εἴη ἢ ἁπλῶς ἐν τέλει ὀνόματος, μεθ' ἣν τίθεται στιγμή, ἀναστρέφεται πάντως οἷόν ἐστι «τῶν πάντων δ' ἔπτυσε πουλὺ κάτα». ἀναστρέφομεν γὰρ τὴν πρόθεσιν, τοῦ ἑξῆς ὄντος κατέπτυσε, κἂν μεσοσυλλαβήσῃ τινὰ μόρια. διὸ σημειοῦνται τὴν παρὰ τῷ Πλάτωνι ἀνάγνωσιν «ἀρετῆς δ' αὖ πέρι», διότι ἀνεστράφη ἡ πρόθεσις, μεσοσυλλαβοῦντος τοῦ δέ συνδέσμου καὶ τοῦ αὖ. τὸ γὰρ ἑξῆς ἐστι περὶ ἀρετῆς δ' αὖ. * Ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται, οὐκ ἀναστρέφεται οἷον «οἳ περὶ μὲν βουλήν» (Α 258)· ἡ περί γὰρ ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ. * Ὅταν παρέλκῃ ἡ πρόθεσις, οὐ ποιεῖται ἐναλλαγὴν ὡς ἐν τῷ «τοὺς δ' ἄρ' ὑπὸ τρόμος εἷλεν» (Ε 862) βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ.

3,1 485 Καὶ πᾶσα δὲ πρόθεσις ῥῆμα σημαίνουσα βαρύνεται «ἔνθ' ἔνι μὲν φιλότης (Ξ 216) «πάρα δ' ἀνήρ, ὃς καταθήσει» (π 45). Αἱ συναληλιμμέναι οὐκ ἀναστρέφονται, εἰ μὴ στιγμῆς ἐπιφέροιτο ἀνάπαυσις ἢ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι «τῇσι παρ' εἰνάετες» (Σ 400)· τὸ γὰρ ἑξῆς παρὰ τῇσι· «νῆας ἐπ' ἐσσεύοντο» (Β 150) ἐπὶ τὰς νῆας· οὐκ ἀναστρέφονται οὖν διὰ τὴν συναλοιφήν· ἐν μέντοι τῷ «ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθινύθουσι νομῆες» (ρ 246) ἀναστρέφεται ἡ κατά, διότι μετ' αὐτὴν κεῖται στιγμή.

3,1 487 καὶ ἐν τῷ «στεῦτο γὰρ Ἡφαίστοιο παρ' οἰσέμεν» (Σ 191) τὴν παρά ἀναστρέφουσιν, ἵνα ᾖ παρὰ τοῦ Ἡφαίστου οἰσέμεν καὶ μὴ νομίζηται τοῦ Ἡφαίστου ὅπλα παροισέμεν. ΠΕΡΙ ΤΟΝΟΥ ΤΩΝ ΕΠΙΡΡΗΜΑΤΩΝ ΚΑΙ ΣΥΝΔΕΣΜΩΝ. ΒΙΒΛΙΟΝ ιθʹ. Περὶ ἐπιρρημάτων. Τῶν ἐπιρρημάτων τὰ μὲν ἀπὸ πτωτικῶν σύνταξιν ἐπιρρηματικὴν μετῆλθον, τὰ δὲ θεματικά εἰσιν. Τὰ ἐπιρρήματα ἀπὸ πασῶν τῶν πτώσεων γίνεται. πολλὰ μὲν οὖν ἐπιρρήματα ὁμοφωνοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν οὐδετέρων «ψεύσομαι ἢ ἔτυμον ἐρέω» (Κ 534, δ 140), «ἠὲ νέον μεθέπεις» (α 175), « νέον δ' ἀπέληγεν ἐδωδῆς» (Ω 475), «οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι» (Ρ 19), «Ἕκτωρ δ' ἐχάρη μέγα μῦθον ἀκούσας» (Γ 76), «οὐ μὲν καλὸν ἀτέμβειν» (Od.

3,1 488 φ 312), «δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ (Υ 30), «ὡς καὶ νῦν Αἴγισθος ὑπέρμορον» (α 34)· δύναται δὲ ταῦτα καὶ κατὰ διάλυσιν ἀναγινώσκεσθαι ὁμοίως τῷ «μὴ καὶ ὑπὲρ μοῖραν Ἄϊδος» (Υ 336). πολλὰ δὲ καὶ τῇ εὐθείᾳ τῶν πληθυντικῶν οὐδετέρων «ἥ μευ καλὰ πατὴρ ὣς κήδεαι» (Od. ρ 397), «οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο» (Il. Ζ 326), «δεῖξ' ἐνδέξια πᾶσιν» (Η 184), «ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος ἐτύχθη» (Β 155), « πυκνὰ μάλα στενάχοντα» (Φ 417), « πύκα ποιητοῖο» (Σ 608) μὴ φυλάξαν τὴν φωνὴν τοῦ ὀνόματος, ἀλλὰ ἀποβολῇ τοῦ ν πεποιηκὸς βαρύτονον· ὠκέα ὦκ α , σαφέα σάφ α , κρατέα κράτα καὶ ἐν ὑπερθέσει κάρτ α , ἀντία οἷον «ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα» (Il. Γ 425) καὶ ἄντ α, καὶ τούτων ἀνεβιβάσθη ὁ τόνος μετὰ τὴν ὑπεξαίρεσιν τοῦ ε ἢ τοῦ ι . τὸ δὲ θαμά ὀξότονον ἀπὸ θαμός ὀξυτόνου. «καλλιγραφεῖς καὶ ταχύτατα διαλέγῃ». ἀπὸ τοῦ ἐτεόν ὀξυτόνου «ἀλλ' ἐτεὸν μὲν ἐοικότες» καὶ ἐτε ά. καὶ ἀπὸ τοῦ ἐτός πάλιν ὀξυτόνου ἐτά ὀξυτόνως, ὡς «ἐτὰ Τημενίδεω χρύσεον γένος» καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ πάντων ὁμοίως. Τὰ εἰς η μετὰ τοῦ ι , εἰ ἀπὸ δοτικῶν εἴη μηδὲ θαυμαστικά, ἢ βαρύνεται ἢ περισπᾶται, οὐδέποτε δὲ ὀξύνεται.

3,1 489 περισπᾶται μὲν διπλῇ καὶ τριπλ ῇ , πεζ ῇ , π ῇ , ὁμαρτῇ καὶ ἁμαρτ ῇ , κομιδ ῇ , διχ ῇ , τριχ ῇ , τετραχ ῇ , ἀλλαχ ῇ , μοναχ ῇ , ἡσυχ ῇ , ὁμ ῇ , σιωπ ῇ , ἐνωπ ῇ. βαρύνεται δὲ πάντ η , ἄλλ η , ταύτ ῃ· τοιοῦτόν ἐστι καὶ τὸ ἀμηγέπῃ παρ' Ἀττικοῖς. τὸ ἤδη τῶν βαρυτονουμένων χωρὶς τοῦ ι γράφεται καὶ τὸ νῦν δ ή, ὅτε σημαίνει τὸ πρὸ ὀλίγου «οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος» (ω 260), ἐστὶ σύνθετον ὡς καὶ τὸ δηλαδή ὀξυνόμενον. τὸ δὲ μή ἀπαγορευτικὸν καὶ νή καὶ ἤ ἀντὶ τοῦ ὡς καὶ φή «φὴ νέος οὐκ ἀπάλαμνος» χωρὶς τοῦ ι γράφεται καὶ ὀξύνεται. καὶ τὰ καθαρεύοντα μὴ δηλοῦντα χρόνον ὀξύνεται οἷον ἰή ὠή ἰω ή. ὥστε λοιπὸν εἴ τι εἰς η λήγει καὶ ἐπὶ τέλει τὸν τόνον ἔχει, τοῦτο καὶ περισπᾶται καὶ τὸ ι ἔχει προσγεγραμμένον. Καὶ τὸ ἰδίᾳ δὲ καὶ δημοσίᾳ ἀπὸ δοτικῆς γέγονε· καὶ τὸ κατωκάρᾳ παρ' Ἀθηναίοις «κατωκάρᾳ ῥίψας με βουκολήσεται» (Arist. Pac. 153) ἐπίρρημά ἐστι σύνθετον καὶ σὺν τῷ ι γράφεται. τὸ ἁμᾷ οἱ Δωριεῖς περισπῶσι καὶ τὸ παντᾷ ὥσπερ καὶ τὸ κρυφᾷ παρὰ Πινδάρῳ (Olymp. I 75)· τοιοῦτον δέ ἐστι καὶ τὸ ἁμᾷ (Pyth. III 65) ἀπὸ τοῦ ἁμῇ γινόμενον. ζητεῖται δὲ ἐν τῷ περισπωμένῳ ἁμᾷ, εἰ προστεθήσεται τὸ ι . Ἔστι δέ τινα καὶ παρ' αἰτιατικῆς γεγονότα, οἷον τὸ πέραν καὶ πέρην «ἀλλ' ὅσοι ναίουσι πέρην» (Β 535) καὶ μετὰ προθέσεως « ἀντιπέραν λεύσσουσα πυρὸς σέλας» καὶ ἀπὸ δοτικῆς «ἐπίσχες αὐτοῦ, μὴ πέρᾳ προβῇς λόγου» Κρατῖνος ἐν Εὐνείδαις.

3,1 490 καὶ τὸ πρῴην δὲ παρ' αἰτιατικὴν σχηματίζουσι—ἐκ τῆς πρό προθέσεως γέγονε προΐα, ἐξ οὗ καὶ ἡ αἰτιατικὴ προΐαν καὶ ἐκτάσει τοῦ ο εἰς ω πρωΐαν καὶ Ἰωνικῶς πρωΐην καὶ κατὰ συναίρεσιν τοῦ ω καὶ τοῦ ι εἰς τὴν ω ͺ δίφθογγον πρῴην— «τῇδε πρῴαν» καὶ τὸ « ἀκὴν ἐγένοντο σιωπῇ» (Il. Γ 95) καὶ « ἀκμήν τοι βρύα τῆμος ἐπὶ στήθεσσι κέχυνται». ὡς παρὰ ἀεικές ὄνομα ὀξύτονον ἐπίρρημα τὸ «οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης τεθνάμεν (Ο 496) καὶ τὸ » ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ (β 207) καὶ τὸ «ὗε δ' ἄρα Ζεὺς συνεχέ ς» (Μ 25) ἀτρεκέ ς , διαμπερές, οὕτως ἔδει καὶ παρὰ τὸ ἀληθές ὄνομα τὸ ἐπίρρημα ὀξύνεσθαι. ἀλλὰ καὶ παρ' Ἀθηναίοις διαστολῆς ἔτυχεν καὶ ἐπὶ μὲν τοῦ ὀνόματος ὀξύνεται, ἐπὶ δὲ τοῦ ἐπιρρήματος βαρύνεται· «ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεᾶς;» Ἀριστοφάνης Βατράχοις (840) καὶ ἐν Νεφέλαις (840) «τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηστός τις ἄν; ἄληθες; ὅσα περ ἔστ' ἐν ἀνθρώποις σοφά». τοιοῦτό ἐστι καὶ τὸ ἐπιτηδές ὀξυνόμενον, ἐπιρρηματικῶς προπαροξυνόμενον. καὶ τὸ αὐτοετές ὁμοίως. καὶ τὸ χάριεν δὲ παρ' αὐτοῖς προπαροξυνόμενον, ὅτε καὶ ἐπιρρηματικῶς λέγεται· ὄνομα δὲ ὂν παροξύνεται. καὶ τὸ σφόδρα βαρύνεται ἐπίρρημα ὄν, καὶ τὸ ἠρέμα παροξύνεται, ἐπίρρημα ὄν, δέον προπαροξύνεσθαι ὡς τὸ ἥσυχ α, πλὴν εἰ μὴ παρὰ τὸ ἠρεμῶ γέγονεν ὡς ἀτρεμῶ ἀτρέμ α , σιγῶ σῖγ α, ἀντῶ ἄντ α· τό τε ἡσυχῇ περισπᾶται παραλόγως, εἰ μὴ συνεξέδραμε τοῖς εἰς χῃ ἐπιρρήμασι περισπωμένοις, τριχ ῇ , τετραχ ῇ , πενταχ ῇ.

3,1 491 καὶ τὸ αὐθημερόν ὀξύνεται ἀπὸ τοῦ αὐθήμερος προπαροξυνομένου. ἔστι τινὰ σύνθετα ἀναβιβάζοντα τὸν τόνον ὡς τὸ παντάπασ ι , πάμπα ν. τὰ παρὰ τὸ ἦμαρ συντιθέμενα φυλάττει τοῦ ἁπλοῦ τὸν τόνον, αὐτῆμα ρ , ἐννῆμα ρ , ἐξῆμα ρ , ποσσῆμα ρ. τὰ μὲν οὖν ἐξ ὀνομάτων γενόμενα ἐπιρρήματα τοιαῦτά ἐστι. λοιπὸν καὶ περὶ τῶν θεματικῶν λεκτέον. Πᾶν μονοσύλλαβον ἐπίρρημα, εἰ μὲν ἔχει φύσει βραχεῖαν, δῆλον ὡς ὀξύνεται, πά ξ , μά ψ , λά ξ , χθέ ς , ἄ ψ , δάξ παρὰ τὸ δήκω, ὅπερ καὶ ὀδάξ λέγεται, μί ξ , πύ ξ , πρί ν , δί ς , τρί ς , ψό παρὰ τῷ Σοφοκλεῖ ἐν ποιμέσι μόνον εἰς ο λῆγον ἐπίρρημα, καὶ εἴτι ὅμοιον. Τούτοις ὁμοίως ὀξύνεται καὶ τὰ ἐπιτατικὰ καὶ στερητικὰ μόρια, ζ ά , δ ά , δύ ς , ν ό , ν έ , ν ή , ἐρ ί , ἀρ ί, ἃ οὐδέποτε καθ' αὑτὰ λέγονται, ἀλλ' ἐν συνθέσει. τῶν δὲ μακρὰν ἐχόντων φύσει τὰ μὲν περισπᾶται, τὰ δὲ ὀξύνεται. τὰ πυσματικὰ περισπᾶται, π ῇ , πο ῦ , πῶ ς. ταῦτα δὲ ἀοριστούμενα ἐγκλίνεται· οὔ πως ἐστ' Ἀγέλαε» (χ 136), «ἀλλά που ἄλλῃ», «οὐ γάρ πω τοιούτους ἴδον» (Α 262). τὸ δὲ πῶ συντασσόμενον τῇ οὐ ἀποφάσει καὶ τῇ μή ἀπαγορεύσει ὑπισχνεῖται τὸ μετὰ ταῦτα γίνεσθαι τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συντασσόμενον αὐτοῖς πρᾶγμα, οἷον οὔπω ἔφαγον, οὔπω ἐδείπνησα· μέλλων γάρ τις δειπνεῖν τοῦτο ἀποφαίνεται. τὸ γὰρ οὐ δειπνῶ ἀπόφασιν ὑπισχνεῖται τελείαν, τὸ δὲ οὔπω δειπνῶ τὸ μέλλον ὑπισχνεῖται.

3,1 492 ἀνταποδοτικὰ δὲ ταῦτα γινόμενα μεταβάλλει τὸν τόνον, ὅπω ς , ὅπ η , ὅπο ι , ὅπο υ. ἐκ δὲ τοῦ πω καὶ τοῦ μάλα τὸ πώμαλα προπαροξύνουσιν Ἀθηναῖοι καὶ ἔτι τὸ πώποτε ἐκ τοῦ πω καὶ τοῦ ποτέ. τὸ δὲ πῶς ποτε περισπᾶται. Τὰ ἔχοντα δίχρονον ἐκτεταμένον περισπᾶται, «ἆ δειλὲ πάντων» «ἆ γῆρας» καὶ τὸ βᾶ ἐν τῇ συνηθείᾳ παρὰ ἀρχαίοις ἔκπληξιν δηλοῦν, καὶ νῦν χρονικόν, γρ ῦ , μ ῦ , κρῖ καὶ εἴ τι ὅμοιον. ὁπότε δὲ συστέλλεται, ὀξύνεται, μ ά , μύ τὸ θρηνητικόν. τὸ δὲ αἴ ὀξύνεται ὡς ἔχον τὸ ι . Τὰ μέντοι τὸ η ἔχοντα μονοσύλλαβα μὴ προσκειμένου τοῦ ι ὀξύνεται ὡς καὶ ἤδη εἶπον, νή, μή, πλήν καὶ τὸ δήν καὶ τὸ ἤ ἰσοδυναμοῦν τῷ ὡς «ἣ θέμις ἐστί» (Β 37), φή ἀντὶ τοῦ καθάπερ «φὴ νέος οὐκ ἀπάλαμνος». τὸ δὲ ᾖ ἀντὶ τοῦ ὅπου καὶ ἀντὶ τοῦ καθά τοῦ ι προσκειμένου περισπᾶται ὡς καὶ τὸ πῇ τὸ ἐρωτηματικὸν καὶ αὐτὸ σὺν τῷ ι καὶ τὸ κῇ ἀντὶ τοῦ ἐκεῖ τροπῇ τῆς ει διφθόγγου εἰς η Αἰολικῶς καὶ βῆ μίμημα φωνῆς ἀλόγου ἰσοδυναμοῦν τῷ βληχᾶσθαι. Τὰ ἔχοντα τὸ ω ὀξύνεται καὶ περισπᾶται· τὸ τώς ἀνταποδοτικόν » τὼς δέ ς' ἀπεχθήρω» (Γ 415). τὸ τ ώ, ὅτε τὸ διό σημαίνει «τὼ οὐκ ἂν βασιλῆας» (Β 250).

3,1 493 τὸ ὥς ἀεὶ ὀξύνεται, κἂν ἐν ἀρχῇ κἂν ἐν μέσῳ κἂν ἐν τέλει ᾖ, πλὴν μόνον ὅτε σημαίνει τὸ οὕτως, ὁπότε γε ὑποτάσσοιτο συνδέσμῳ, ὡς Ἀρίσταρχος καὶ Τυραννίων, ἢ ὡς ἐγὼ ἡγοῦμαι τὸ ὅμως. τότε γὰρ περισπᾶται. ὀξύνεται μὲν ἐν ἀρχῇ οὕτως «ὣς δὲ λέων ἐχάρη (Γ 23) κοιμιζομένης ἐν τούτῳ τῆς ὀξείας διὰ τὸ μὴ εἶναι τὸ δέ ἐγκλιτικόν. καὶ ἐν μέσῳ «ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει ὡς τὸν ὁμοῖον» (ρ 218) «τὼς δέ ς' ἀπεχθήρω, ὣς νῦν ἔκπαγλα φίλησα» (Γ 415) καὶ ἐν τέλει «Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς» (Γ 2). τοῦ δὲ περισπωμένου, ὅτε δηλοῖ τὸ ὅμως «ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν, εἰ τόγ' ἄμεινον» (Α 116) «ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν—καὶ πεζός περ ἐών, ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη» (Λ 720 et 721), τὸ μὲν πρότερον ὧς περισπωμένως, τὸ δὲ ἕτερον κατ' ἔγκλισιν, ἐπειδήπερ τὸ μεταφραστικὸν αὐτοῦ ἐστιν, ἐπεὶ οὕτως ἦγε τὸ νεῖκος Ἀθήνη. «ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέσσομαι» (Δ 322) «ἐμὲ δ' οὐδ' ὧς θυμὸς ἀνῆκεν». Καὶ τὸ ὦ κλητικὸν περισπᾶται «ὦ ἄνθρωπε».

3,1 494 ὅτε δὲ σχετλιαστικόν, ὀξύνεται «ὤ τί ς' εἴπω» (Ar. Nub. 1378) καὶ ὅτε προσγράφεται αὐτῷ τὸ ι καὶ ταὐτὸν σημαίνει τῷ ὥσπερ «ἀλλ' ἔχον ᾥτε τάλαντα γυνὴ χερνῆτις ἀληθής» (Μ 433) καὶ ᾥπε ρ· γίνεται δὲ οὕτως· ὡσείτε καὶ ὡσείπερ καὶ ἀποβολῇ τοῦ ς καὶ κράσει τοῦ ω καὶ ε εἰς τὴν ῳ δίφθογγον διὰ τὴν τοῦ ι συναίρεσιν ᾥτε καὶ ᾥπερ. Τὸ μέντοι πρῴ μονοσύλλαβον παρ' Ἀττικοῖς ὀξύνεται, ἐπεὶ ἐκ τοῦ πρωΐ δισυλλάβου ὀξυνομένου κατὰ συναίρεσιν γέγονε. τὸ δὲ πρῷν περισπᾶται «οὐ πρῷν μὲν ἡμῖν ὁ τραγῳδὸς ἤγειρεν» (Callim. chol. fr. 18 Mein.), ἐπεὶ ἐκ τοῦ πρωῒν. Τὰ ἔχοντα τὴν οι δίφθογγον ἢ τὴν ει περισπᾶται. Ἀριστοφάνης ἐν Βατράχοις (199) «ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ». πο ῖ , εἶ «εἶ τὰ τῶν χοιραγχᾶν». Σώφρων. «πεῖ γὰρ ἁ ἄσφαλτος». κεῖ παρὰ Ἀρχιλόχῳ. ὅτε δὲ ἐπίρρημά ἐστιν εὐκτικόν, τὸ εἴ ὀξύνεται ὁμοίως τῷ συνδέσμῳ «εἴγ' ὤφελες». τὸ γὰρ στοιχεῖον περισπᾶται. καὶ τὸ φνεί παρ' Ἀριστοφάνει· ἔστι δὲ μίμημα φωνῆς ὀρνέου. καὶ πάντα ὅσα εἰς τὴν διὰ τοῦ υ δίφθογγον περισπᾶται, ε ὖ , φε ῦ , πο ῦ , οὗ τὸ δασυνόμενον. κἂν ὑπὲρ μίαν συλλαβὴν εἴη, ὁμοίως περισπᾶται πλὴν τῶν ἀναφορικῶν, αὐτο ῦ , τηλο ῦ , ἀγχο ῦ , πανταχο ῦ , ἀλλαχο ῦ , ὁμοῦ καὶ τὰ λοιπὰ πάντα. σημειωτέον ἰδού ἰού καὶ οὐ ἀρνητικόν. ταῦτα γὰρ ὀξύνεται.

3,1 495 τὰ δὲ ἀναφορικὰ βαρύνεται, ὅπο υ , ὅκο υ. καὶ τὸ βαύ κατὰ μίμησιν κυνὸς ὀξύνεται «βαὺ βαὺ καὶ κυνὸς φωνὴν ἱείς». ἐξ οὗ καὶ τὸ βαύζω ῥῆμα. Τὰ τὴν αι δίφθογγον ἔχοντα ὀξύνεται, οἷον αἴ τάλας καὶ αἴ τὸ εὐκτικόν, ὅπερ ἀπὸ τοῦ εἴ γέγονε Δωρικῇ τροπῇ τοῦ ε εἰς α ὡς κύπειρον κύπαιρον, καὶ τὸ ναί συγκαταθέσεως. Ταῦτά ἐστι μονοσύλλαβα. Οὐδὲν τῶν ὑπὲρ μίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συλλαβὴν εἰς α ληγόντων ἐπιρρημάτων περισπᾶται, ἀλλὰ ὀξύνεται, ὡς τὸ ἀναφανδ ά , τριχθ ά , δηθά ἢ βαρύνεται ὡς τὸ αἶψ α , ἤλιθ α , αὐτίκ α. Τὰ εἰς α δισύλλαβα, ὑπεσταλμένων τῶν εἰς δα καὶ θα , βαρύνεσθαι θέλει, ῥέα ῥεῖ α , σάφ α , μίγ α, ὅπερ μίγδα λέγεται, ἅμ α , κάρτ α , τέττ α , ἔμπ α, ὅπερ καὶ σύνδεσμός ἐστιν, αἶψ α , ὦκ α , ἧκ α , οἷα ἀντὶ τοῦ καθά, εἶα τὸ παρακελευστικὸν ἐπίρρημα, ὄκκα τὸ ὅτε παρ' Ἀλκμᾶνι. καὶ τὸ τρόπα δὲ ὀφείλει βαρύνεσθαι, ἔστι δὲ παιδιά· τινὲς δὲ ὤξυναν. συντιθέμενα δὲ δισύλλαβα προπαροξύνεται, ἄναντ α , πάραντ α. τὰ εἰς δα ἐπὶ παιδιᾶς κείμενα, παραληγόμενα τῷ ι καὶ ν παροξύνεται, βασιλίνδ α , χυτρίνδ α , φαινίνδ α , ὀστρακίνδ α , μυΐνδα ἀπὸ τοῦ μύειν τοὺς ὀφθαλμοὺς καὶ ἐρωτώμενον λέγειν τίνα τάδε καὶ πόσα τάδε, ἔστ' ἂν ἐπιτύχῃ, δραπετίνδ α , ποσίνδ α , ἐπαιτίνδ α , ξιφίνδ α , δαληκίνδ α , φυγίνδ α. τὸ σκαπέρδα ἐπὶ παιδιᾶς μὲν κεῖται, ὄνομα δέ ἐστι καὶ οὐκ ἐπίρρημα. τὰ δὲ λοιπὰ τῶν εἰς δα ὀξύνεται, χωρὶς εἰ μὴ πρὸ τοῦ δ ἕν τι τῶν μέσων, ἀναφανδ ά , καναχηδ ά , παμπηδ ά , ἀποκριδ ά.

3,1 496 τὸ δὲ κρύβδα καὶ μίγδα πρὸ τοῦ δα μέσον ἔχουσι τὸ β καὶ γ . τὸ χύδα οἱ μὲν ὤξυναν, οἱ δὲ ἐβάρυναν, ὅπερ καὶ ἐπεκράτησεν. τὰ εἰς θα , εἰ μὲν πρὸ τοῦ θ τὸ χ , ὀξύνεται, τριχθ ά , τετραχθ ά. εἰ δὲ μὴ ἔχῃ, βαρύνεται, ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνεται, ὑπεσταλμένου τοῦ ἐνταῦθα προπερισπωμένου, ἔνθ α , πρόσθ α , πάροιθ α , ἄτερθ α , ὄπισθ α , ὕπισθ α , ἤλιθ α , ὕπαιθα «ὁ δ' ὕπαιθα λιάσθη» (Ο 520), μίνυνθ α. τὰ εἰς χα λήγοντα ἐπὶ ποσότητος βαρύνεται, δίχα «δίχα δέ σφιν ἥνδανε βουλή» (Σ 510), τρίχ α· τὸ «διὰ τρίχα κοσμηθέντες» (Β 655) οὐ σύνθετον. ἔμελλε γὰρ προπαροξύνεσθαι ὡς διάνδιχα, ἀλλ' ἔστι τὸ ἑξῆς διακοσμηθέντες τρίχα. τὰ γὰρ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, τέτραχ α , πένταχ α , ἕξαχ α. τὰ διὰ τοῦ δεια δίφθογγον ἔχοντα ὑπὲρ δύο συλλαβὰς τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, διχάδει α , τροπάδει α , ἐγκρικάδει α , καταλοφάδεια «βῆν δὲ καταλοφάδεια φέρων» (Od. κ 169), κρυφάδει α. τὰ εἰς α λήγοντα, ὅτε δικαταληκτοῦντα καὶ εἰς σύμφωνον λήγει, πρὸ μιᾶς ἔχει τὸν τόνον, ἀτρέμα καὶ ἀτρέμας, ἠρέμα καὶ ἠρέμας, ὑπόδρα καὶ ὑποδράξ λέγεται, χωρὶς δὲ τοῦ ξ παροξύνεται. καὶ τὰ εἰς κα τῷ ι παραληγόμενα πρὸ μιᾶς ἔχει τὸν τόνον, κἂν ἁπλᾶ ᾖ κἂν σύνθετα, αὐτίκ α , παραυτίκ α , ἡνίκ α , πηνίκ α , ὁπηνίκ α. Τὰ εἰς τε λήγοντα ὑπὲρ δύο συλλαβὰς πάντα προπαροξύνεται, ἄλλοτ ε , ἐνίοτ ε , ἑκάστοτ ε , ἔκτοτ ε. μόνον τὸ ἠΰτε πρὸ μιᾶς ἔχει τὸν τόνον· τὸ δὲ αἴτιον, ὅτι μόνον τῷ υ παραλήγεται, τὰ γὰρ ἄλλα ο . τὰ δὲ δισύλλαβα μὴ ἔχοντα τὸ τ πρὸ τοῦ ε καὶ αὐτὰ βαρύνεται, ὑπεσταλμένων ὀλίγων, τῆλ ε , πόσ ε , κεῖσ ε , ὧδ ε , βάλ ε. τὸ δὲ εἶθε καὶ αἴθε βαρύνεται μέν, οὐ περισπᾶται δὲ ὡς τὸ τῆλε καὶ ὧδε, ἀλλὰ παροξύνεται, ὅτι περιττή ἐστιν ἡ θε συλλαβή.

3,1 497 τὸ μέντοι ὀψέ ὀξύνεται· ἔστι δὲ μόνον εἰς ψε λῆγον ἐπίρρημα, ὅπερ ἐν συνθέσει φιλεῖ τρέπειν τὸ ε εἰςι · διὸ τὸ «ὀψὲ δύων» (Φ 232) ἐν δυσὶ μέρεσι λόγου· εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ι ἐγράφετο ὀψιδύων ὡς ὀψιμαθής, ὀψιτέλεστον. οὕτως δὲ καὶ τὸ «ὀψὲ δύοντα Βοώτην» (ε 272). ἤδη μέντοι Αἰολεῖς καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ι αὐτὸ ἀποφαίνονται «ὄψι γὰρ ἄρξατο». καὶ τὸ αἰέ ὀξύνεται, ὃ χωρὶς τοῦ ν καὶ μετὰ τοῦ ν λέγεται. δωδεκαχῶς δὲ λέγεται ἀεί τὸ ἐπίρρημα. αἰεί αἰέν παρὰ Δωριεῦσιν· παρὰ δὲ Ἀττικοῖς κατὰ συστολὴν τοῦ α ἀε ί. ἀλλὰ καὶ κατ' ἔκτασιν τοῦ α ἀε ί. παρὰ δὲ Αἰολεῦσιν τῆς ἀρχούσης ἐχούσης τὴν αι δίφθογγον, τοῦ δὲ τέλους τὸ ι συστελλόμενον βαρυτόνως αἶ ι· λέγεται δὲ παρ' αὐτοῖς καὶ σὺν τῷ ν αἶι ν. γίνεται δὲ παρ' αὐτοῖς καὶ κατὰ συστολὴν τῆς ἀρχούσης ἄϊν καὶ ἀποβολῇ τοῦ ν ἄϊ βαρυτόνως. Λάκωνες δὲ αἰές φασίν. λέγεται δὲ καὶ αἰέ δίχα τοῦ ν καὶ τοῦ ς διὰ τῆς αι διφθόγγου κατ' ἀρχὴν καὶ διὰ τοῦ ε κατὰ τὸ τέλος. Βοιωτοὶ δὲ ἠΐ διὰ τοῦ η καὶ μακροῦ τοῦ ι κατὰ τὴν λήγουσαν· λέγεται δὲ καὶ αἰή διὰ τοῦ η παρὰ Ταραντίνοις φυλαττομένης τῆς κατ' ἀρχὴν αι διφθόγγου τροπῇ τῆς ει διφθόγγου εἰς η . —τὰ δὲ ἔχοντα τὸ τ , πυσματικὰ μὲν ὄντα ἢ ἀνταποδοτικὰ ἢ ἀναφορικά,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρύνεται, πότ ε , τότ ε , ὅτ ε , εὖτ ε, ὃ ἐκ τοῦ ὅτε καὶ πλεονασμῷ τοῦ ε καὶ κράσει τοῦ εο εἰς τὴν ευ δίφθογγον Δωρικῶς γίνεται.

3,1 498 ἀόριστα δὲ ὀξύνεται καὶ ἐγκλίνεται, ὡς τὸ «ὣς Ἕκτωρ οτὲ μὲν μετὰ πρώτοισι φάνεσκεν» (Il. Λ 64) ὀξυτόνως δεῖ ἀναγινώσκεσθαι. Τὰ εἰς δε ἐπιρρήματα, τὴν εἰς τόπον σχέσιν σημαίνοντα, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, οἴκαδ ε , ἄγραδ ε , ἅλαδ ε , Παλλήναδ ε , φύγαδε «ὁ μὲν φύγαδ’ αὖθις ὑποστρέψας» (Λ 446), ὃ ἰσοδυναμεῖ τῷ εἰς φυγήν, οὐ μὴν τὸ «τοὺς ἕλεν, οἱ δ’ ἄλλοι φύγαδε μνώοντο» (Π 697)· ἀντὶ γὰρ αἰτιατικῆς οὐ μετὰ τῆς εἰς, διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου εἰσίν, ἤτοι κατὰ μεταπλασμὸν γενομένης τῆς αἰτιατικῆς ποιητικῶς ὡς σκέπην σκέπα, φυγήν φύγα, ἢ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀπ’ εὐθείας τῆς φύξ, ὡς Στύξ Στύγα, τοῦ δε ἐνθάδε παρέλκοντος. ἢ ἐπίρρημά ἐστι ταὐτὸ σημαῖνον τῇ αἰτιατικῇ, ὡς καὶ ἄλλα παραγωγὰ ἐπιρρήματα ἰσοδυναμοῦντα τοῖς πρωτοτύποις «Ἴδηθεν μεδέων» (Il. Γ 276), «δόρυ δ’ ἔκβαλεν ἔκτοσε χειρός» (Od. ξ 277). ἀλλ’ οὖν γε ὡς ἂν ἔχῃ, οὐκ ἐναντιοῦται τὸ τοῦ τόνου· ἤτοι γὰρ δύο τόνοι ἔσονται φύγα δέ, ὡς Οὔλυμπον δέ, ἢ εἷς ὡς ἄγραδε. τὸ γοῦν ἅλαδ’ ἑλκομενάων» (Il. Ξ 100) δύναται καὶ δύο μέρη λόγου εἶναι, ὡς οἶκον δέ, ἐντελοῦς οὔσης τῆς αἰτιατικῆς, ἢ πάλιν κατὰ παραγωγήν, ὡς ἄγραδε ἅλαδε. τὸ οἶκον δέ, ἀγρὸν δέ δύο μέρη λόγου, τὴν ἰδίαν ἕκαστον ἔχον προσῳδίαν, ἰσοδυναμοῦντα τοῖς ἐπιρρήμασι, τὸ ἀγρὸν δὲ τῷ ἄγραδε, τὸ οἶκον δὲ τῷ οἴκαδε. οὕτως Ἄϊδος δέ, οὐκ Ἄϊδος δῶ. τὸ ἐνθάδε παροξυνόμενον οὐκ ἀντίκειται· οὐδὲν γὰρ πλέον σημαίνει τοῦ ἐνταῦθα, ὥστε περιττὴ ἡ συλλαβή, οὐδὲ τῆς παραγωγῆς τὸ α , ἀλλὰ τοῦ πρωτοτύπου.

3,1 499 τοιοῦτό ἐστι καὶ τὸ πηνικάδε ἀπὸ τοῦ πηνίκα. τὰ γὰρ φωνὴν παραχθέντα εἰς δε , μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα, πρὸ μιᾶς ἔχει τὸν τόνον, τοιόσδε, τοσόσδε, τηλικόσδε. οὕτως οὖν καὶ ἐπὶ τῶν ἐπιρρημάτων, τημόσδε, τηνικάδε, ἐνθάδε. οὐδὲν γὰρ πλέον δηλοῖ τοῦ τῆμος, τηνίκα, ἔνθα. Τὰ εἰς ζε , εἰ μὲν ἔχει πρὸ τέλους βραχὺ τὸ α , τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν οἷον ἔραζ ε , θύραζ ε· παραιτητέον δὲ τοὺς περισπῶντας τὸ θύραζε· Ἀθήναζ ε , Ὀλυμπίαζ ε , Θήβαζ ε , Ἀφίδναζ ε , μέταζε μόνον τῶν εἰς αζε ἐπὶ χρόνου τεθειμένον «μέταζε χατίζων» (Hesiod. opp. 396) παρὰ πρόθεσιν παρηγμένον. τὰ φύσει μακρᾷ παραληγόμενα προπαροξύνεται ἢ προπερισπᾶται· προπαροξύνεται μὲν ὅσα ἔχει βαρύτονον τὸ πρωτότυπον, ὡς παρὰ τὸ Οἰνόη Οἰνόηζε, προπερισπᾶται δὲ τὰ ἀπὸ ὀξυτόνων, ὡς παρὰ τὸ Ἀχαρνή Ἀχαρνῆζε, κεφαλή κεφαλῆζε, χαμαί χαμᾶζ ε. Τὰ εἰς σε τοῖς εἰς θεν ὁμοτονεῖ· ἐπεὶ γὰρ τὸ πάντοθεν προπαροξύνεται, διὰ τοῦτο καὶ πάντοσε, ἔκτοθεν ἔκτοσε, ἄλλοθεν ἄλλοσε, ἑτέρωθεν ἑτέρωσε, ἀμφοτέρωθεν ἀμφοτέρωσε, ἑκατέρωθεν ἑκατέρωσ ε. προπερισπᾶται δὲ τὸ Θριῶσε, ἐπεὶ καὶ τὸ Θριῶθεν ὁμοίως, ἐκεῖθεν ἐκεῖσ ε. τό τε κυκλόθεν παροξύνεται καὶ τὸ κυκλόσε, τηλόθεν τηλόσε, ὁμόθεν ὁμόσ ε. Τὰ εἰς θεν πάντα δισύλλαβα μὲν ὄντα πρὸ μιᾶς ἔχει τὸν τόνον, οἷον νέρθε ν , πόθε ν , πρόσθε ν , ὅθε ν , τόθε ν , κεῖθε ν , γῆθε ν , δῆθε ν , κρῆθεν «ἀπὸ κρῆθεν» (Π 548).

3,1 500 τὰ δὲ ὑπὲρ δύο συλλαβὰς εἰ ἔχοι πρὸ τοῦ θ σύμφωνον, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὕπερθε ν , ἔνερθε ν , ὄπισθε ν. καὶ τὰ τῷ ο παραληγόμενα παροξύνεσθαι θέλει, πλὴν τῶν ἐχόντων ἐγκειμένην πρόθεσιν ἢ παρ’ ὄνομα ἐπιμεριζόμενον παρηγμένων· ταῦτα γὰρ προπαροξύνεται· τὸ μὲν γὰρ ἔνδοθε ν , ἔκτοθε ν , ἀπόπροθεν πρόθεσιν ἕκαστον ἔχει καὶ ἔτι τὸ πάροιθεν πλεονάσαν τὸ ι . τὸ δὲ ἄλλοθε ν , ἑκάστοθεν ὀνόματα ἔχει ἐπιμεριζόμενα. τὰ δὲ λοιπὰ πάντα παροξύνεται, ἀγρόθε ν , οὐρανόθε ν , κυκλόθε ν , Λεσβόθε ν , Ἰλιόθε ν , Ἀβυδόθε ν , ποντόθε ν , αὐτόθε ν , πρυμνόθεν —τὸ δὲ πρύμνηθεν τῷ η παραληγόμενον προπαροξύνεται— τηλόθεν καὶ ἄλλα μυρία. σημειούμεθα τὸ οἴκοθε ν , πάντοθεν προπαροξυνόμενα. τὰ μέντοι τῷ α μακρῷ παραληγόμενα ἢ τῷ η ἢ τῷ ω , εἰ μὲν πρωτότυπον αὐτῶν βαρύτονον ᾖ, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ δὲ ὀξύτονον, προπερισπᾶται. τῶν μὲν προπαροξυνομένων ὑποδείγματα πρῷρα πρῴραθεν, Φθία Φθίαθεν, Πιερία Πιερίαθεν, τὸ δὲ Πιερίηθεν τροπῇ τοῦ α

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς η , Ὀλυμπία Ὀλυμπίαθεν, θύρα θύραθε ν , Ἀφίδνηθε ν , Αἰγίνηθε ν , κλισίηθε ν , Μυκήνηθε ν , Ἴδηθε ν , πρύμνηθεν, τὸ μέντοι πρυμνόθεν διὰ τοῦ ο παροξύνεται. τῶν δὲ προπερισπωμένων ὑποδείγματα ταῦτα, Ὑσιαί ὀξυτόνως, προπερισπωμένως Ὑσιᾶθε ν , Θεσπιᾶθε ν , Πλαταιᾶθε ν , Δεκελιᾶθεν, παρὰ δὲ Καλλιμάχῳ Δεκελειόθε ν , ἀρχῆθεν, ὅτι ἀρχή. ἔσω ἔσωθεν, ἔξω ἔξωθεν, πρόσω πρόσωθεν, ἄνω ἄνωθεν, κάτω κάτωθε ν , προτέρωθε ν , ἑκατέρωθε ν , ὁποτέρωθε ν , ἑτέρωθε ν , ἀμφοτέρωθεν, καὶ ὡς ἀπὸ τοῦ ἄπω μὴ εἰρημένου τὸ ἄπωθε ν.

3,1 501 διὰ τοῦτο ἀπὸ μὲν τοῦ ἕως βαρυτόνου τὸ ἕωθεν, ἀπὸ δὲ τοῦ ἠώς ὀξυτονουμένου ἠῶθεν προπερισπᾶται ὡς ἀπὸ τοῦ Πυθώ Πυθῶθεν διὰ τοῦ ω ὡς Κριῶθεν καὶ μετὰ συστολῆς Πυθόθεν ὡς Λεσβόθεν καὶ Θριώ ὄνομα δήμου Ἀττικοῦ Θριῶθεν, μεθ’ ὧν τηλῶθεν ποιητικῶς ἐκτεταμένον. παρὰ τὸ ἄνευ ἄνευθεν φυλάττει τοῦ πρωτοτύπου τὸν τόνον. ὁμοίως ἄτερ ἄτερθε ν. τὸ ἐντεῦθεν προπερισπᾶται παρὰ τὸ ἐνταῦθα, καὶ παρὰ τὸ ἐκεῖ περισπώμενον ἐκεῖθεν προπερισπώμενον. παρὰ τὸ ἐγγύς ὀξύτονον ἐγγύθεν παροξυνόμενον καὶ ἀπὸ τοῦ πρωΐ πρωΐθε ν. τὸ ἕκαθεν καὶ ἀνέκαθεν προπαροξύτονα, οὐκ οὖν παρὰ τὸ ἑκάς ὀξυνόμενον γενόμενα. Τὰ εἰς θι καὶ εἰς σι τὸν τῶν εἰς θεν ἐπιρρημάτων ἔχει τόνον, οἷον οἴκοθεν οἴκοθι, ἀγρόθεν ἀγρόθι, οὐρανόθεν οὐρανόθ ι , ὑψόθ ι , αὐτόθι, Ὀλυμπίαθεν Ὀλυμπίασιν, θύραθεν θύρασι, Θήβηθεν Θήβησ ι , Ἀθήνησι, Ἀλωπεκῆθεν Ἀλωπεκῆσιν, Ἑρχιᾶθεν Ἑρχιᾶσι, Πλατειᾶθεν Πλατειᾶσιν, Θριᾶθεν Θριᾶσι, Θριῶθεν Θριῶσι ν. Τὸ ὥρασι «μὴ ὥρας’ ἵκοισθε» (Arist. Lysistr. 1037) προπαροξύνεται μὲν εὐλόγως παρὰ βαρυτόνου τοῦ ὥρα, οὐκ ἔχει δὲ προϋποκείμενον εἰς θεν .

3,1 502 Τὰ εἰς οι ἐπιρρήματα, ὅτε δηλοῖ τὴν ἐν τόπῳ ἢ τὴν εἰς τόπον σχέσιν, ὑπὲρ δύο συλλαβὰς ὄντα, περισπᾶται, Μεγαρο ῖ , Πυθο ῖ , Φρεαρο ῖ , Παιανιο ῖ , Ἀθμονο ῖ , οὐδαμο ῖ , μηδαμο ῖ , πανταχο ῖ , ἑκασταχο ῖ , ἐνταυθο ῖ, ὃ τὴν αὐτὴν ἔχει σημασίαν τῷ ἐνταῦθα τῷ πρωτοτύπῳ. τὰ δὲ δισύλλαβα τῶν εἰς οι βαρύνεται καὶ περισπᾶται· περισπᾶται μέν, ὅτε ἔχει πρωτότυπον ὀξύτονον, παρὰ τὸ σφίγξ σφιγγο ῖ, ἰσθμός ἰσθμο ῖ, βυθός βυθο ῖ, τὸ ἁρμοῖ συμπερισπᾶται τῷ ἁρμῷ. ἔστι δὲ τὸ ἁρμοῖ Συρακουσίων· ἁρμός γὰρ ἁρμοῦ ἁρμῷ καὶ συστολῇ ἁρμοῖ ὡς παρὰ Καλλιμάχῳ ἁρμοῖ πὰρ Δαναὸν γῆς ἀπὸ βουγενέων (fr. 230) ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος (fr. 44). οὕτως Θέων ὁ Ἀρτεμιδώρου. τὰ δὲ ἀπὸ βαρυτόνων βαρύνεται, ἔξω ἔξο ι, πέδον πέδοι «πέδοι δὲ βᾶσαι» Αἰσχύλος Προμηθεῖ δεσμώτῃ (v. 280), ἔνδον ἔνδοι «ἔνδοι Πραξινόα» ὁ Θεόκριτος (XV 1) οἶκος οἶκο ι. Τὰ σχετλιαστικὰ τῶν εἰς οι καὶ αι ἄλογον ἔχει τὸν τόνον. ἃ μὲν γὰρ αὐτῶν περισπᾶται, ὡς τὸ ὀτοτοῖ ἔχον συμπαρακείμενον καὶ τὸ ἀτατα ῖ, καὶ τὸ οὐαῖ καὶ αἰα ῖ , σαβοῖ τε καὶ αἰβοῖ καὶ τὸ σαβαῖ παρ’ Εὐπόλιδι ἐν Βάπταις. τὸ δὲ εὐαί παρὰ τῷ αὐτῷ ὀξύνεται «εὐαὶ σαβαῖ» ὡς τὸ α ἴ , οὐα ί , βαβα ί. βαρύνεται δὲ τὸ οἴμοι ὤμο ι. τὸ δὲ ὢ πόποι δυσὶ τόνοις χρῆται.

3,1 503 Ἀρίσταρχος δέ φησιν ἀπίθανον εἶναι τὸ τὸν Δία ὢ πόποι οἷον ὢ θεοί λέγειν· ἀλλ’ ἐπεὶ ἔδει τὸ πόποι σχετλιαστικὸν ὑπάρχον καὶ ἄνευ τοῦ ὢ λέγεσθαι καὶ ἐπεὶ παράκειται αὐτῷ τὸ παπαῖ, ὥστε εἰ μὴ ὀνοματικόν ἐστιν, ὀφείλει περισπᾶσθαι ὡς εἶναι δύο περισπωμένας ὢ ποποῖ, λέγομεν βαρύνεσθαι αὐτὸ ὡς τὸ ὦ φίλοι, ἐκ τοῦ ὑπολαβεῖν ὄνομα εἶναι τὸ πόποι. καὶ τὸ ἰατταταῖ δὲ περισπᾶται καὶ τὸ ἀππαπα ῖ· ἡ δὲ συνήθεια ὀξύνει τὸ παπαί καὶ ἀτατα ί. καὶ καθόλου δὲ οὐ δεῖ τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων οἱονεὶ βακχικὰ ὄντα ὑπὸ τὴν ἔντεχνον ἀκολουθίαν ἄγειν, εἴγε οὐδὲ μέρη λόγου τινὲς ταῦτα ἐνόμισαν· πασχούσης γὰρ ψυχῆς ἢ διακόρου ὑπὸ οἴνου οὔσης ἄλογοι δηλονότι καὶ αἱ ἐκφωνήσεις αὐτῆς. διὸ ἐπ’ αὐτῶν ἔσθ’ ὅτε τὸ δασὺ πνεῦμα ἀλόγως ἐν τῇ ληγούσῃ συλλαβῇ ὁρᾶται, ὡς ἔχει τὸ εὐοῖ εὐάν, εὐα ἵ. τὸ γὰρ λέγειν ὅτι εὖ σοι ἦν καὶ κατὰ ἔλλειψιν τοῦ ς γέγονε εὐ οἵ καὶ κατὰ συναφὴν εὐοῖ ἀμφίβολον, εἰ μὴ ἄρα παρὰ τὸ εὐοῖ Εὔϊος παρῆκται. τὸ δὲ χαμαί ὀξύνεται, οὐκ ὂν σχετλιαστικόν. τὸ δὲ πάλαι χρονικὸν βαρύνεται καὶ συντιθέμενον προπαροξύνεται, πρόπαλα ι , τρίπαλα ι. Τὰ εἰς ου περισπῶνται, πανταχο ῦ , ἀγχοῦ «ἀγχοῦ δ’ ἱσταμένη» (Β 172), ὁμο ῦ , αὐτοῦ ἀντὶ τοῦ εἰς τὸν

τόπον αὐτόν «αὐτοῦ πρόσθε ποδῶν» (χ 4), ὑψοῦ «ὑψοῦ δ’ ἐπὶ ψαμάθοισι» (Α 486) τηλο ῦ , ἀλλαχο ῦ , οὐδαμο ῦ , ἑκασταχοῦ ὡς παρὰ Δημοσθένει (p.

3,1 504 308, 28) «καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας» καὶ τὰ λοιπὰ πλὴν τοῦ ἰδού τὸ δεικτικόν, ἰού τὸ σχετλιαστικὸν καὶ οὔ τὸ ἀρνητικόν. τοῦτο δὲ καὶ ἐν τῇ συνεπείᾳ ὀξύνεται. οὐ μάχεται τὸ ὅπου βαρυνόμενον, ἀλλ’ ἀνέδωκε τὸν τόνον ὁμοίως τῷ πῇ ὅπη, ποῦ ὅπου. Ὀλίγα ἐστὶν εἰς ευ . τὸ μὲν εὖ περισπᾶται καὶ τὸ φε ῦ. καὶ τὸ ἄνευ βαρύνεται καὶ τὸ ὑπέρφευ συντεθέν. τὸ ἐλελεῦ περισπᾶται. Τὰ εἰς ει δίφθογγον λήγοντα ἐπιρρήματα ὀξυνόμενα δύο ἐστί, τὸ ἀεί καὶ τὸ ἐπεί χρονικὸν «ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς» (θ 452). ἔστι γὰρ ὁ ἐπεί καὶ σύνδεσμος. βαρύτονα δὲ τὸ ἄγρε ι, ὃ κατὰ συνεκδρομὴν τοῦ ῥήματος πληθυντικῶς εἴρηται «ἀγρεῖθ’ αἱ μὲν δῶμα κορήσατε» (υ 149), ὁ δέ γε Ἀντίμαχος ἀργεῖτε ἔφη ὑπερβιβάσας τὸ ρ . καὶ ἔτι τὸ οἴκει παρὰ Μενάνδρῳ ἀντὶ τοῦ οἴκοι. περισπώμενα δὲ τοπικὰ Δώρια, τηνε ῖ , τουτε ῖ , πεῖ αὐτε ῖ. τὸ δὲ ἐκεῖ ἀποκέκοπται. Τὰ διὰ τοῦ ι ἐπεκτεταμένα δεικτικῶς ὀξύνεται, δευρ ί , νυν ί , οὑτωσ ί , ὡδ ί , ἐνθαδ ί , ἐντευθεν ί.

3,1 505 τὸ κοΐ μίμημά ἐστι φωνῆς ἀλόγου ζῴου. ἐχρήσατο δὲ καὶ Ἀριστοφάνης τῇ λέξει. καὶ τὰ παρωνύμως παρηγμένα ὀξύνεται, ἅπερ τινὲς διὰ τῆς ει διφθόγγου, τινὲς δὲ διὰ τοῦ ι γράφουσι μακροῦ, πάνδημος πανδημε ί, ἄπνευστος ἀπνευστ ί , ἀναιμωτ ί , ἀκλαυτ ί , ἀνιδρωτ ί , ἀπηρωτ ί , ἀπαυστ ί , ἀγελαστ ί , αὐτονυχ ί , ἀκονιτ ί , πανθοιν ί , ἀκριτ ί , ἐρρεντί παρὰ Ἀλκαίῳ. ἀπὸ τοῦ ἔρρω ἢ ἐρρῶ περισπωμένου ἡ μετοχὴ ἐρρείς ἐρρέντος ἐρρεντί ὡς παρὰ τὸ ἐθέλοντος ἐθελοντ ί , ἀμισθ ί , ἀμογητ ί. τὸ δὲ ι ἐσθ’ ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ «Νέστωρ δ’ ὁ γέρων ἀμογητί» (Λ 636) «ἀμισθὶ γάρ σε πάμπαν» (Archil.). Τὰ δὲ εἰς βραχὺ ι καταλήγοντα δισύλλαβα ὄντα βαρύνεσθαι θέλει, ἔτ ι , αὖθ ι , νόσφ ι , ἶφ ι , ἄγχ ι , μέχρ ι , ἄχρ ι , κεῖθ ι , πόθ ι , ἄρτ ι , ἦρ ι , ὕψι —τινὲς δὲ τοῦτο ὀξύνουσι— ᾖχι τὸ γενόμενον ἐπεκτάσει τῆς χι συλλαβῆς, οἱ Δωριεῖς ᾆχι λέγουσι διὰ τοῦ α «ᾆχι Λίχα μέγα σᾶμα» ᾆχι ὁ κλεινὸς Ἀμφιτρυωνίδας Ἀρίσταρχος τὸ ἦχι ἄνευ τοῦ ι φησί καθάπερ καὶ τὸ ἦφι βίηφι, ἡ μέντοι παράδοσις ἔχει τὸ ι .

3,1 506 ναίχ ι, ὅπερ παροξύνεται διὰ τῆς χι ἐπεκτεταμένον. ἐχρῆν δὲ καὶ τὸ οὐχί βαρύνεσθαι· ἔστι γὰρ ἐπέκτασις τῆς οὔ. ἀλλ’ ἐπειδὴ παραλόγως ὀξύνεται πρὸ τῆς ἐπεκτάσεως—ὤφειλε γὰρ περισπᾶσθαι, ἐπεὶ πᾶσα συλλαβὴ τελικὴ εἰς ου λήγουσα καὶ ἐφ’ ἑαυτῆς τὸν τόνον ἔχουσα περισπᾶται—τούτου χάριν παραλόγως ὀξύνεται καὶ μετὰ τὴν ἐπέκτασιν· οὐδέποτε δὲ ἀποβολὴν τοῦ ι πάσχει. ὀξύνεται δὲ καὶ τὸ οὐκί καὶ τὸ πρω ΐ. καὶ τὸ γίγγρι ἐπιφώνημά τι ὂν ἐν καταμωκήσει λεγόμενον, εἰ ὠξύνετο, οὐκ ἄτοπον. ἀχαρακτήριστον γάρ ἐστιν. τὸ δὲ «χῶρι διατμήγουσι» (Callim. fr. 48 Bentl.) βαρύνεται. τὰ ὑπὲρ δύο συλλαβὰς εἰς τι ὀξύνεται, Ἰαστ ί , Ἰαονιστ ί , Δωριστ ί , Συριστ ί , Ἀττικιστ ί , Μεγαριστ ί , Θρᾳκιστ ί , Περσιστ ί , Σκυθιστ ί , Λυδιστ ί , Φρυγιστ ί , μεγαλωστ ί , ἱερωστ ί , νεωστ ί , δημιωστ ί. εἰ δὲ μὴ ἔχοι τὸ ς πρὸ τοῦ τ , βαρύνεσθαι θέλει, ἔκητ ι. τὸ δὲ ἀπαρτί παρ’ Ἀθηναίοις ὀξύνεται καὶ τὸ ἐγκυτί «σὺ δ’ ἐγκυτὶ τέκνον ἐκέρσω» (Callim. fr. 311 Bentl.). τὸ ἱνατί καὶ διατί καὶ ἐν τῇ συνεπείᾳ ὀξύνεται. Καὶ τὰ ἀπὸ τῶν εἰς ις κατ’ ἀποβολὴν τοῦ ς βαρύνεται, πολλάκ ι , τουτάκ ι , θαμάκ ι , δυάκ ι , τριάκ ι , ἑξάκ ι. Τὰ εἰς υ λήγοντα δισύλλαβα, μὴ καθαρεύοντα μηδὲ μελετήσαντα τὸ ς ἔχειν, βαρύνεται, κόκκυ τὸ ἐλάχιστον, πάγχ υ , πρόχν υ , δεῦρ υ , πῆλ υ , ἄρρυ ἐπίφθεγμα τῶν ἐρετῶν. τὸ ἰ ύ, ὃ λέγεται καὶ ἰη ΰ, ὀξυνόμενον καθαρεύει ἐπὶ θαύματος κείμενον. τὸ δὲ ἔϋ βαρύνεται· ἔστιν ἐΰς ἐΰ εὖ καὶ ἀπὸ τοῦ εὖ κατὰ διάλυσιν τῆς ευ διφθόγγου εἰς ε καὶ υ ἔϋ.

3,1 507 εἶπον δὲ μὴ μελετήσαντα τὸ ς ἔχειν, διὰ τὸ ἰθύς ἰθ ύ, εὐθύς εὐθύ ὀξυνόμενα· δισύλλαβα διὰ τὸ μεταξ ύ , μεσσηγύ καὶ τὸ ἀντικρ ύ, ὅτε χωρὶς τοῦς · ὅτε γάρ ἐστι μετὰ τοῦ ς , προπαροξύνεται· ὡς καὶ τὸ ἐμβραχύ σημαῖνον τὸ ἁπαξαπλῶς ἢ καθάπαξ. * Τὰ Αἰολικῶς διὰ τοῦ υϊ ἐκφερόμενα βαρύνεται καὶ τοπικὴν σχέσιν δηλοῖ οἷον πήλυ ϊ , ἄλλυ ϊ , ἀτέρυ ϊ , τούτυ ϊ· τὸ ὀτοτύϊ παρὰ τὸ ὀτοτοῖ παροξυνόμενον ἀπολογίαν ἔχει ὡς οὐκ ἔστιν τοπικὸν οὔτε Αἰολικόν, σχετλιαστικὸν δέ·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ σχετλιαστικὰ οὐ πεφρόντικε τῆς ἀκριβοῦς ἐξετάσεως, ὡς πολλάκις διείληπται. * Τὰ εἰς ο λήγοντα ἐπιρρήματα ὑπὲρ μίαν συλλαβὴν οὐκ ἔστιν ὅτι μὴ τὸ δεῦρο βαρυνόμενον. τὸ γὰρ εἰς ὃ δύο μέρη λόγου εἰσίν καὶ τὸ ἀπό πρόθεσίς ἐστιν ἰσοδυναμοῦσα τῷ ἄποθεν ἐπιρρήματι. τὸ γοῦν δεῦρο παρακελευσματικὸν ὂν ἔχει τὸ δεῦτε πληθυντικόν· γίνεται δὲ καὶ δευρί παρὰ Ἀττικοῖς· ποιητικῶς δὲ κατ' ἐπέκτασιν τοῦ ο εἰς ω δεύρω. ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ ἐν τῷ «ἢ δεύρω μὲν ἕποντο» (Γ 240), ἐνίοτε καὶ δεῦρυ. Πᾶν ἐπίρρημα εἰς ω λῆγον παραγωγόν, μὴ Δώριον πρὸ μιᾶς ἔχει τὸν τόνον, ἄν ω , κάτ ω , ἔξ ω , εἴσ ω , πρόσω καὶ πόρσω καὶ τροπῇ Ἀττικῇ τοῦ ς εἰς ρ ὡς ἄρσην ἄρρην πόρρ ω , ἄφν ω· παρὰ τὸ ἀφανής ἀφανῶς ὡς εὐσεβής εὐσεβῶς καὶ συγκοπῇ καὶ ἀποβολῇ τοῦ ς καὶ ἀναδρομῇ τοῦ τόνου διὰ τὸν χαρακτῆρα ἄφνω. ἑκαστέρω τὸ πορρωτέρω ἀπὸ τοῦ ἑκάς, ὃ σημαίνει τὸ ἄποθεν, καὶ οὐ παρὰ τὸ ἑκάτερος, ἑκατέρω γὰρ ἦν. πορρωτέρ ω , ἐγγυτέρ ω , ἀνωτάτ ω , ἐγγυτάτ ω , ἀπωτέρ ω , περαιτέρ ω. τὸ δὲ ἄνεῳ προπαροξύνεται· τὸ ἰώ ὀξύνεται, ἀνακλητικὸν ὂν καὶ οὐκ ὂν παραγωγόν· καὶ τὸ ἐπισχερώ ὀξύτονον. τὸ δὲ τουτῶ αὐτῶ κατὰ ἀποκοπὴν τῆς θεν συλλαβῆς καὶ ἐκτάσει τοῦ ο εἰς ω Δώριά ἐστιν.

3,1 508 Τὰ εἰς αν λήγοντα καὶ μακρὸν ἔχει τὸ α καὶ βαρύνεται, λία ν , ἄγα ν , εὐά ν , πέραν, ὅπερ Ἰωνικῶς πέρην λέγεται «πέρην κλυτοῦ ὠκεανοῖο» Διονύσιος. τὸ πάμπαν καὶ τάλαν συστέλλει τὸ α . τὸ δὲ ὅταν δύο μέρη λόγου, ὅτε καὶ ἄν. τὸ δοάν ὀξυνόμενον πλεονασμὸν ἔχει τοῦ ο , δήν δάν δοάν. τὸ ὦ τᾶν δύο περισπωμένας ἔχει. * Σπάνια τὰ εἰς εν λήγοντα ἐπιρρήματα τὰ μὴ ἔχοντα πρὸ τοῦ ε τὸ θ καὶ εὐαρίθμητα· ἔστι γὰρ τὸ ἔπειτεν ἀπὸ τοῦ ἔπειτα γεγονὸς καὶ εἶε ν, ὅ τινες ὀξύνουσιν. καὶ τὸ αἰέν ὁμότονον καὶ ὁμόσημον τῷ ἀεί. Τὰ εἰς δην πάντα βαρύνεται, κλίδη ν , μίγδη ν , ἐμπλήγδη ν , ἄδη ν , ἐπαΐγδη ν , βάδη ν , χύδη ν , κρύβδη ν , φύρδη ν , σποράδη ν , ἀλλάγδη ν , παμπήδη ν , διαρρήδην καὶ ἄλλα μυρία. καὶ τὰ εἰς ην ἐπιρρήματα μὴ προηγουμένου τοῦ δ πρῴη ν , μάτη ν , βύζη ν , ἔμπλην καὶ ἄντην βαρύνεται· τὸ γὰρ ἀκμή ν , ἐθελοντή ν , ἑκοντήν ὀνοματικά· διὸ καὶ συνοξύνονται τοῖς ὀνόμασιν. τὸ δὲ ἠμήν ὁρκικὸν ἐπίρρημα ὀξύνεται. ὁ δὲ ποιητὴς ἀεὶ διὰ τοῦ ε προφέρεται «ἠμέν μοι πρόφρων» (Α 77) «ἠμὲν ἐμοὶ δώσειν» (Ξ 275). τὸ δὲ ἐχρῆν περισπώμενον οὐκ ἐπίρρημα, ἀλλὰ ῥῆμα. * Τὰ εἰς ιν ἐπιρρήματα ἐκ πλεονασμοῦ ἔχει τὸ ν οἷον αὖθι αὖθιν, οὕτω γὰρ λέγεται παρὰ Ῥηγίνοις. πάλι πάλιν, πέρυσι πέρυσιν, ὃ καὶ πέρυτις λέγεται Δωρικῶς.

3,1 509 αἶι ν, ὅπερ ἀπὸ τοῦ ἀεί παρὰ Αἰολεῦσι γέγονεν. νυνί ν , οὑτωσί ν. Τὰ εἰς δον ὀξύνεται, χανδό ν , σχεδό ν , βοτρυδόν «βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι». ἔστι δὲ μονῆρες τὸ βοτρυδόν. τὰ γὰρ εἰς δον ἐπιρρήματα ὀξυνόμενα οὐ θέλει ἀπὸ τῶν εἰς υς ὀνομάτων παράγεσθαι καὶ πρὸ τέλους ἔχειν τὸυ · ὁ μέντοι Εὐφορίων παρὰ τὸ εἰς υς παραγωγὸν ποιήσας ἐπίρρημα οὐκ ἔδωκε πρὸ τέλους τὸ υ , ἀλλὰ τὸ η «πάντα δέ οἱ νεκυηδὸν ἐλευκαίνοντο πρόσωπα». ἀγεληδό ν , σωρηδό ν , ποταμηδό ν , κιονηδό ν , ταυρηδό ν , κρουνηδό ν , βομβηδό ν , ἰλαδό ν , ἐνωπαδό ν , στοχανδό ν , φανδό ν , ἑλκηδό ν , παρασταδό ν , παρακλιδό ν , ῥυδόν «ῥυδὸν ἀφνειοῖο» (ο 426), ἀμφαδό ν· καὶ ἐν συνθέσει φυλάσσουσι τὸν τόνον οἷον αὐτοσχεδό ν. μόνον τὸ ἔνδον βαρύνεται, διότι μόνον παρὰ προθέσεως καὶ ὅτι μόνον τοπικὸν τῶν εἰς δον . λήγει δὲ καὶ δος , ἔνδος γὰρ λέγεται πολλάκις καὶ εἰς δοι ἔνδοι. τέσσαρσιν οὖν διαφοραῖς διαλλάξαν οὐδὲν θαυμαστὸν εἰ καὶ κατὰ τόνον διήλλαξεν. εἰδέναι δὲ δεῖ ὡς τὰ εἰς δον σπανίως κατ' ἀρχὴν λέξεως συντίθενται, ὡς ἔχει τὸ ἐνδόμυχος, ἐνδόπυρος, ἔνδορχις. Τὰ εἰς ον ἐπιρρήματα μὴ ἔχοντα πρὸ τοῦ ο δ ἀλλ' ἢ ἕτερον σύμφωνον ἢ τὸ ι βαρύνεται, σήμερο ν , αὔριο ν , πόρσιο ν , ἔγγιο ν , μᾶλλο ν , ἧττο ν , ἄσσο ν. τὸ δὲ αὐθημερόν ὀξύνεται ἀπὸ τοῦ αὐθήμερος προπαροξυνομένου. * Εἰς υν λῆγον οὐδέν ἐστιν, εἰ μὴ τὸ βίσχυν βαρύτονον μόνον ὄν. Τὰ εἰς ων πάντα ὀξύνονται, ἐμποδώ ν , ἐκποδώ ν , ἐκδεξιώ ν , ἐξαριστερώ ν , τελευτώ ν. καὶ τὸ χρεών μετοχικὸν ὀξύνεται, τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκέων καὶ αὐτὸ μετοχικὸν παροξύνεται. * Οὐδὲν εἰς ουν ἐπίρρημα, ἀλλὰ μόνον τὸ ἀθροῦ ν· ὅπερ καὶ ἐπεκτάσεσι ποιητικαῖς κέχρηται καὶ παραθέσει ἄρθρου ἑνικοῦ καὶ πληθυντικοῦ.

3,1 510 παραιτοῦμαι δὲ αἰσχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺς εἵλω τασαίμην· ἀλλὰ μισχοῦν καθήμενοι· ἐπεὶ ὀνοματικά ἐστι. Τὰ εἰς ξ λήγοντα ἐπιρρήματα ὀξύνεσθαι θέλει πλὴν τῶν ἀπὸ προθέσεως· ταῦτα γὰρ βαρύνεται, εὐρά ξ , μουνά ξ , ὀκλά ξ , ὀδά ξ , ἐναλλά ξ , αὐτοδά ξ , ἐπιτά ξ , κοά ξ , ὑποδρά ξ , ἰατταταιά ξ , διαμπά ξ , βεβρεκέ ξ , κουρί ξ , ἀπρί ξ , ἀναμί ξ , ἐπιμί ξ. τὸ δὲ πέριξ βαρύνεται ἀπὸ προθέσεως ὂν καὶ πάρε ξ· τὸ δὲ πάρεξ βαρυνόμενον καὶ γενικῇ συντασσόμενον ἔχει τι παράσημον, ὡς καὶ παρὰ δύο προθέσεις ἐγένετο. ὁπότε γὰρ ὀξύνεται, οὐ φαμὲν εἶναι ἐπίρρημα, ἀλλὰ δύο προθέσεις. σημειούμεθα δὲ καὶ τὸ ἅπαξ βαρυνόμενον. διὸ ἐν τῇ συντάξει μεταλαμβάνει τὸν ἴδιον τόνον ἁπαξἅπαντες, ἁπαξἁπλῶς κεκοιμισμένου τοῦ τόνου. Εἰς ρ λήγοντα ἐπιρρήματα ὀξύτονα οὐκ ἔστιν καὶ τὰ ἁπλᾶ βαρύτονα σπάνια καὶ μονήρη ὡς ἔχει τὸ νύκτωρ μόνον εἰς ωρ καὶ τὸ ἄτερ μόνον εἰς ερ .

3,1 511 τὸ γὰρ Δάματερ κλητικὴ ὡς τὸ Ἥρακλες, καὶ ἄφα ρ. τὸ γὰρ αὐτῆμα ρ , ποσσῆμα ρ , ἐννῆμαρ σύνθετα παρώνυμά εἰσιν. Τὰ εἰς ας μὴ παραληγόμενα τῷ ε σὺν ἀμεταβόλῳ ὀξύνεται, ἑκά ς , ἀνεκά ς , ἀγκά ς , ἐντυπά ς , ἀνδρακά ς. τὸ μέντοι πέλας βαρύνεται καὶ τὸ ἀτρέμας «ἀτρέμας ἧσο» (Β 200), ὅπερ καὶ χωρὶς τοῦ ς λέγεται ἀτρέμα. τὸ δὲ ἅλιας παρ' Ἱππώνακτι προπαροξύνεται ἀπὸ τοῦ ἅλις πλεονάσαν τὸ α . * Τὰ εἰς ες λήγοντα ἐπιρρήματα ἁπλᾶ φυσικῶς οὐκ ἔστιν, εἰ μὴ τὸ ἐχθές δισύλλαβον καὶ χθές μονοσύλλαβον καὶ ἐνδελιστές ὀξύτονον παρὰ Συρακοσσίοις, ὃ καὶ ἐλλιστές λέγεται· τὸ γὰρ ἀές ἀπὸ τοῦ ἀεί· τὸ δὲ ἄληθε ς , ἐπίτηδες ὀνοματικὰ καὶ βαρύτονα. Τὰ εἰς ης βαρύνεται, ἔμπη ς , ἐξαίφνη ς , ἐξαπίνη ς , ἑξείη ς· τὸ δὲ ἑξῆς τὸ ἀπ' αὐτοῦ περισπᾶται. καὶ τὸ ἀκαρής ὀξυνόμενον ὀνοματικόν ἐστιν ὅμοιον τῷ εὐρυπυλής. Τὰ εἰς ις λήγοντα δισύλλαβα βαρύνεται, μόλι ς , μόγι ς , ἅλι ς , ἄνις ἀντὶ τοῦ χωρίς, μέχρις καὶ τὸ παρ' αὐτὸ ἄχρι ς. λέγεται δὲ καὶ μέχρι καὶ ἄχρι ἄνευ τοῦ ς , αὖθις, ὃ λέγεται καὶ αὖθι καὶ αὖθιν. μόνα τὸ χωρίς καὶ ἀμφίς ὀξύνονται. τὰ δὲ ὑπὲρ δύο συλλαβὰς εἰς ις λήγοντα, ὑπεσταλμένων τῶν διὰ τοῦ αδις καὶ ακις ὀξύνονται, ἐγκυτίς, ὃ χωρὶς τοῦ ς Καλλίμαχος εἶπεν «σὺ δ' ἐγκυτὶ τέκνον ἐκέρσω», λικριφί ς , κραταιΐ ς , αὐτονυχί ς.

3,1 512 λέγεται δὲ καὶ αὐτονυχιδίς καὶ αὐτονυχί, παμπηδονίς, λέγεται δὲ καὶ πάμπαν καὶ παμπήδην καὶ παμπηδόν, σολικρίς (?), ἀμφικελεμνί ς. τὸ μέντοι πέρυτις προπαροξυνόμενον Δώριόν ἐστιν ἐκ τοῦ πέρυσι μεταποιηθὲν καὶ οὐ μάχεται. τὰ διὰ τοῦ ακις παροξύνεται, πολλάκι ς , ὀλιγάκι ς , τοσαυτάκι ς. καὶ τὰ εἰς δις τρισύλλαβα τῷ α παραληγόμενα παροξύνεται, χαμάδι ς , φυγάδι ς , ὀκλάδι ς , κρυφάδι ς , ἐσχάδις (?), πτακάδι ς , μιγάδι ς , ἁμάδι ς. τὸ ὠμαδίς ὀξύνεται καὶ ἴσως ἐκ τοῦ κατωμαδίς ἀφῃρέθη. τὸ οἴκαδις σεσημείωται προπαροξυνόμενον. τὰ δὲ ὑπερτρισύλλαβα ἢ ὅσα μακρᾷ φύσει ἢ θέσει παραλήγεται, πάντα ὀξύνεται, λαθρηδί ς , κωπηδί ς , αἰφνηδί ς , στοιχηδί ς , ἀντηδί ς , ἀμοιβηδί ς· λέγεται καὶ ἀμοιβηδόν, ἐπαμοιβαδίς «ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς» (Od. ε 481), ἐμβολαδί ς , κατωμαδί ς , ἀμφουδί ς , ἐπουδί ς , ἀκροπουδί ς. Τὰ δὲ τῷ υ παραληγόμενα προπαροξύνεται, ἄλλυδι ς , ἄμυδις Αἰολικὸν ἔχον τὸ πνεῦμα. * Τὰ εἰς δις ἐπιρρήματα ἔχοντα πρὸ τοῦ δ τὴν αν συλλαβὴν Δώριά ἐστι καὶ παροξύνεται, χαμάνδι ς , ἀγράνδι ς , Ὀλυμπιάνδι ς. Τὰ εἰς ος ἀπὸ προθέσεως παραχθέντα, εἰ ἔχοι τὸ τ , ὀξύνεται, ἐντό ς , ἐκτό ς. τὰ δὲ ἄλλα βαρύνεται, πάρο ς , ἦμο ς , τῆμο ς , ὁπῆμο ς , τημοῦτο ς , κῆχο ς. «ποῖ κῆχος; εἰς οὐρανόν» καὶ Ἀριστοφάνης «ποῖ κῆχος, εὐθὺ Σικελίας» καὶ παρὰ Φερεκράτει «ποῖ κῆχος;» τὸ πῇ κῇ· πῇ ἐγγύς πῇ ἄγχος, ὅπερ ἐστὶν ἐν τῷ ἔναγχος· ἐλλείψει τοῦ γ κῆχος.

3,1 513 τὸ δὲ ἔναγχος προπαροξύνεται· τὸ εἰκός ὀξυνόμενον οὐδέτερον ἦν μετοχὴ οὐδετέρου γένους εἰς σύνταξιν ἐπιρρηματικὴν ἐλθοῦσα. τὸ γοῦν ἔνδο ς , ἔξος βαρύτονα Δώρια. Τὰ εἰς υς συστελλόμενον ἔχοντα τὸ υ ὀξύνεσθαι θέλει, πλὴν εἰ μὴ τρισύλλαβα ὄντα ἀπὸ προθέσεως ἄρχοιτο, ἐγγύ ς , εὐθύ ς , ἰθύ ς , μεσσηγύς, ἃ εἰ λέγοιτο ἄνευ τοῦ ς ἰσόχρονα λέγεται ἰθύ εὐθύ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεσσηγύ. τὸ δὲ ἄντικρυς καὶ σύνεγγυς πρόθεσιν ἔχει. τὸ ἀντικρύ ὀξυνόμενον ἐκτείνει τὸ υ . τὸ ἀλλῦς μακρὸν ἔχον τὸ υ περισπᾶται. Τὰ εἰς χως ἐπὶ ποσότητος περισπᾶσθαι θέλει, διχῶ ς , τριχῶ ς , τετραχῶ ς , ἑξαχῶ ς , ἑπταχῶ ς , ποσαχῶ ς. τὸ ἐξόχω ς , ἡσύχως βαρύνεται· ἀπὸ ὀνομάτων γάρ. Τὰ καλούμενα τῆς μεσότητος ἀπὸ γενικῶν πληθυντικῶν γενόμενα καὶ τὸν αὐτὸν τόνον αὐταῖς ἔχει, εἴτε παρ’ ὀνόματα γένοιτο εἴτε παρὰ μετοχάς, εἴτε παρ’ ἀντωνυμίας, κούφων κούφως, βαρέων βαρέως, καλῶν δὲ καλῶς περισπωμένως καὶ σεμνῶν σεμνῶς ἀσέμνων ἀσέμνως, καὶ τὰ παρὰ τὸ πᾶς δὲ καὶ μέγας πάντων μεγάλων ὁμοίως πάντω ς , μεγάλως ὡς καὶ ἐξόχων ἐξόχως καὶ ἡσύχων ἡσύχω ς. τὸ δὲ αὐτάρκω ς , εὐώδως τῷ μὲν λόγῳ περισπασθήσεται, ἐπεὶ καὶ αἱ γενικαὶ αὐτῶν, ὁ δὲ Ἀρίσταρχος βαρύνει.

3,1 514 καὶ τὴν κακοήθων γενικὴν καὶ αὐθάδων βαρύνειν μεμελετήκασι παραλόγως, αἷς συμβαρύνουσι καὶ τὰ ἐπιρρήματα, κακοήθω ς , αὐθάδω ς. ὁ δὲ Ἀρίσταρχος καὶ τὸ νοσώδων ἐβάρυνεν ἀλόγως. καὶ ἀπὸ μετοχῶν, ἀγαπώντων ἀγαπώντως, ἐπαρκούντων ἐπαρκούντως, προσηκόντων προσηκόντω ς. παρὰ τὸ ζάφελος προπαροξυνόμενον ὀφείλει καὶ τὸ ζαφελῶς ἐπίρρημα βαρύνεσθαι, ὡς ἀπὸ τοῦ ζάθεος ζαθέως· οὐ γάρ ἐστι παρὰ τῷ ποιητῇ ζαφελής. περιεσπάσθη δὲ τὸ ζαφελῶς, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιρρήματα παραληγόμενα τῷ ε ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶ ς , ἐπιμελῶ ς , ἀμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται «ὡς ἐπὶ τὸ πλεῖστον» διὰ τὸ εὐτραπέλω ς , ἰκέλω ς. τὸ νουνεχόντως ἀπὸ δύο κατὰ διάστασιν λέξεων παρήχθη, τῆς νοῦν καὶ τῆς ἐχόντων. τὸ ἕως καὶ ἀνταποδοτικὸν τὸ τέως πρωτότυπά ἐστι καὶ οὐχ ὡς τὰ λοιπὰ παρῆκται. τὸ ὥς παρ’ εὐθεῖαν γέγονε τὸ ὅς, ὅθεν καὶ ὀξύνεται καὶ συνετέθη καθώ ς. καὶ τὸ οὕτως καὶ τὸ αὕτως βαρύνεται. οὐκ ἔστι δὲ τὸ οὕτως ἀπὸ τῆς γενικῆς, ἀλλ’ ἀπὸ εὐθείας γίνεται. εἰ γὰρ ἀπὸ γενικῆς, ὤφειλεν εἶναι τούτως. καὶ ὅτε μὲν ἐπιφέρεται σύμφωνον, ἐξέρχεται τὸ ς . ὅτε δὲ φωνῆεν, φυλάττεται τὸ ς . ἔστι δὲ οὕτως ἀναλογώτερον τοῦ οὕτω· ἐπειδὴ τὰ ἀπὸ τριγενῶν ὀνομάτων γινόμενα μεσότητος ἐπιρρήματα εἰς ως λήγειν ὀφείλει· ὅταν δὲ μὴ τριγενῆ ᾖ, εἰς ω λήγει, κύκλος κύκλῳ. ἴδωμεν οὖν, εἰ τοῦτο τριγενές. οὗτος αὕτη τοῦτο. οὕτως ἄρα τὸ ἀνάλογον. τὸ δὲ οὕτω ἀπὸ τοῦ οὕτως γέγονε κατ’ ἀποβολὴν τοῦ ς . Τὰ εἰς ως μέγα ἐπιρρήματα ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπῶνται ἀληθῶ ς , ἀψευδῶς πλὴν τοῦ ὥ ς.

3,1 515 Δωριεῖς δὲ τὰ ἀπὸ τῶν εἰς ος ὀξυτόνων ἐπιρρήματα ὀξύνουσι σοφός σοφώς, καλός καλώ ς. Περὶ συνδέσμων. Πᾶς σύνδεσμος μονοσύλλαβος μὴ ἔχων φύσει μακρὰν ὀξύνεται, γά ρ , τά ρ , ἄ ρ , ῥ ά , δ έ , τ έ , μέ ν , κέ ν , ἄ ν , πέ ρ. Οἱ δὲ εἰς α λήγοντες καὶ ὑπὲρ μίαν συλλαβὴν ὄντες πάντες βαρύνονται, ὡς ἔχει τὸ ἆρ α, ὅτε διαπορητικός ἐστι, ἐκτείνων τὸ πρῶτον α , καὶ ὁ συλλογιστὸς καὶ παραπληρωματικὸς ἑκάτερον συστέλλων. τοιοῦτος καὶ ὁ κᾶτα μακρὸν ἔχων τὸ α τὸ πρῶτον, ὄφρ α , ἵν α , ἔμπ α , ἕνεκ α , οὕνεκ α , δῆτ α. ὅθεν σημειούμεθα τὸν ἀλλά ὀξυνόμενον. καθόλου γὰρ οἱ συμπλεκτικοὶ ὀξύνονται, μέ ν , δ έ , τ έ , κα ί , ἠμέ ν , ἠδ έ , ἀτά ρ , αὐτά ρ· οὕτως οὖν καὶ ὁ ἀλλά. σημειούμεθα ἐν τοῖς συμπλεκτικοῖς τὸν ἤτοι βαρυνόμενον, ὃς οὐ μόνον συμπλεκτικός ἐστιν, ἀλλὰ καὶ διαζευκτικὸς οἷον «ἤτοι ἄξιον ἢ οὐκ ἄξιον». Πᾶς σύνδεσμος εἰς ς λήγων μακροκατάληκτος βαρύνεται, εἰσὶ δὲ σπάνιοι, ὅπω ς , ἔμπη ς , ὅμως ὅτε σύνδεσμος, ὅτε δὲ ἐπίρρημα, περισπᾶται ὁμῶς ὡς σαφῶς.

3,1 516 Καὶ οἱ παραπληρωματικοὶ πάντες ὀξύνονται, δ ή , θή ν , ν ύ , τά ρ , ἄ ρ , ῥ ά , το ί , γ έ , πέ ρ , ἄ ν , κέ ν , μή ν. Ὁ δὲ αὖ καὶ ὁ οὖν περιεσπάσθησαν διὰ τὸ τὴν εἰς υ λήγουσαν δίφθογγον ἀποστρέφεσθαι τὴν ὀξεῖαν, ὡς πολλάκις εἴπομεν. Πᾶς αἰτιολογικὸς σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, οὕνεκ α , ἕνεκ α , ὄφρ α , ἵν α , ὅτ ι , χάριν, δηλοῖ γὰρ οὐκ ὄνομα μόνον, ἀλλὰ καὶ σύνδεσμον αἰτιολογικὸν «χάριν Δίωνος» ἀντὶ τοῦ ἕνεκα Δίωνος. Ὁ εἰ συναπτικὸς καὶ ὁ ἐπεί παρασυναπτικὸς συνεστηκὸς παρὰ τὴν ἐπί πρόθεσιν καὶ τὸν εἰ σύνδεσμον συναπτικὸν ὀξύνονται· τούτῳ ἠκολούθησε καὶ ὁ ἐά ν, ὅτι καὶ αὐτὸς σύνδεσμός ἐστιν ἀπὸ τοῦ εἰ συναπτικοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνδέσμου καὶ τοῦ ἄν παραπληρωματικοῦ. ὁμοίως καὶ ὁ ἤν καὶ ὁ ἐπήν καὶ ὁ ἐπεάν καὶ ὁ μή ν· ἔτι δὲ καὶ ὁ ἀλλαμήν εἴτε δύο λέξεις εἶεν εἴτε μία, ὀξύνεται. ὁ εἰδή καὶ ἐπειδή δύο μέρη λόγου ἐστὶν ὀξυνόμενα. ὁμοίως καὶ ὁ εἴπερ καὶ ὁ ἐπείπερ καὶ ἐπειδήπε ρ. ἀλλ' ἐπειδὴ ἐγκλιτικός ἐστιν ὁ πέρ, ἐγείρει τὴν πρὸ αὐτοῦ βαρεῖαν εἰς ὀξεῖαν ὡς ὁ κέ ἐν εἴκε, αἴκε. Πᾶς σύνδεσμος δίφθογγον ἔχων τὴν διὰ τοῦ ι ὀξύνεται, το ί , δα ί , ε ἰ. Ὁ μῶν πα ρ ' Ἀθηναίοις διαπορητικὸς ὢν περισπᾶται· ἀπὸ γὰρ τοῦ μὴ καὶ τοῦ οὖν σύγκειται, Δωρικώτερον τραπείσης τῆς ου διφθόγγου εἰς τὸ ω , τὴν δὲ οὖν εἴπομεν περισπᾶσθαι. Οὕτως δὲ καὶ ὁ οὖν συντασσόμενος τῇ οὐ ἀποφάσει ἐν τῷ οὔκουν, ὅτε μὲν παραπληροῖ, ὀξύνει τὴν οὐ ἀπόφασιν οὔκουν ὡς εὔρουν· ὅτε δὲ τὴν ἰδίαν ἔχει δύναμιν, τουτέστιν συλλογιστικός ἐστι, φυλάττει τὴν ἰδίαν περισπωμένην, ὡς χρυσοῦν, οὕτως καὶ οὐκοῦ ν. Ὁ ἠ ὀξύνεται ἢ περισπᾶται. διαζευκτικὸς μὲν οὖν ὑπάρχων ἢ παραδιαζευκτικὸς ἢ διασαφητικὸς ὀξύνεται πάντως· εἰ δὲ καὶ πλεονάζει τὸ ε , ἐπὶ τέλους ἔχει τὴν ὀξεῖαν.

3,1 517 διαζευκτικὸς μὲν «ἢ νύξ ἐστιν ἢ ἡμέρα»· τὸ γὰρ ἕτερον ἀληθές, τὸ δὲ ἕτερον ψευδές. καὶ τὸ Αἰδώς, Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν» (Ο 502 et 503). παραδιαζευκτικὸς δὲ «Φαίδων ἢ περὶ ψυχῆς» «ἢ νέος ἠὲ παλαιός» (Ξ 108)· ἢ γὰρ τὸ ἓν ἢ καὶ τὸ ἕτερον ἢ καὶ ἀμφότερα· ἡ γὰρ τῶν διαζευκτικῶν δύναμις τοιαύτη ἐστί. διασαφητικὸς δὲ «πλουτεῖν ἢ πένεσθαι» ὃς καὶ τὸ περ λαμβάνει, ἤπερ πένεσθαι. βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι (Α 117). διασαφεῖ γὰρ τὸ ἕτερον, ὅπερ αἱρεῖται. Ἡνίκα εὑρέθη διαπόρησις μετὰ διαζεύξεως, τότε τὸν μὲν πρῶτον η ὀξυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον οἷον ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα (Od. λ 172). ἐναντία γὰρ ταῦτα μαχόμενα καὶ ἅμα εἶναι οὐ δυνάμενα. καὶ διὰ τοῦτο ἐρώτησις καὶ ἀπορία μετὰ διαζεύξεως. τοιοῦτό ἐστι καὶ τὸ ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι (α 175).

3,1 518 διαζευκτικῆς οὖν οὔσης τῆς τάξεως τῶν διαπορητικῶν, ὁ μὲν πρότερος ὀξύνεται, ὁ δὲ δεύτερος περισπᾶται. οὗτος δὲ ὁ περισπώμενος, ἐὰν προσλάβῃ τὸ ε , φυλάττει τὴν περισπωμένην. οἷόν ἐστιν· ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρείδην ἐναρίζοι, ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν (Α 190—192). τὸν μὲν πρότερον σύνδεσμον βαρυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον. διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. Ὅτε δὲ μόνως ἐρωτηματικός ἐστιν ὁ ἦ χωρὶς διαζεύξεως, κἂν ἅπαξ κἂν πολλάκις παραληφθῇ, περισπᾶται, μὴ οὔσης τῆς ἐρωτήσεως ἐν διαζεύξει. ἐν μὲν γὰρ τῷ «ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα» διαζευκτικὸν τὸ αἰφνιδίως τελευτῆσαι τοῦ μακροχρονεῖν. ὅθεν ὁ πρῶτος ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται. ἐν μέντοι τοῖς ὑποκειμένοις ἔπεσι πάντες περισπῶνται ἐρωτηματικοὶ ὄντες, οὐκ ἐν διαζεύξει· ἦέ τι Μυρμιδόνεσσι πιφαύσκεαι ἦ ἐμοὶ αὐτῷ; ἦ τῷ Ἀχιλλεῖ ἦ τοῖς Μυρμιδόσιν, ἀντὶ τοῦ τούτῳ κἀκείνοις. ἦέ τιν' ἀγγελίην Φθίης ἐξ ἔκλυες οἶος (Π 12 et 13); ἦε σύγ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται (Π 17).

3,1 519 Περισπῶσι καὶ τὸν βεβαιωτικόν· τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο; ἦ μοῦνοι φιλέους' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεῖδαι; (Ι 338—341.) ἐνταῦθα μὲν βεβαιωτικός ἐστιν ὁ ἦ μεθ' ὑπερωτήσεως· ἔστι δὲ καὶ μόνως διαβεβαιωτικὸς χωρὶς ἐρωτήσεως· ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός (Σ 12), ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾷ (Π 745) ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται (Α 573).

3,1 520 ἀλλὰ κἂν ὑποτάσσηται τῷ ἐπεί διαβεβαιωτικὸς ὤν, ὁμοίως περισπᾶται ἐπεὶ ἦ φάτ' ἄρ' ἀσφαλές. ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα (Α 156 et 157) Ὅτε παραπληροῖ μετὰ τί τὸ πυσματικόν, ὀξύνεται τί ἢ δὲ σὺ κήδεαι αὔτως Ἀργείων; (Ζ 55 et 56) ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός; (Λ 407). ΠΕΡΙ ΧΡΟΝΩΝ ΤΩΝ ΕΝ ΦΩΝΗΕΣΙ ΚΑΙ ΠΝΕΥΜΑΤΩΝ. ΒΙΒΛΙΟΝ κʹ. Περὶ χρόνων. Τῶν χρόνων οἱ μὲν μακροί, οἱ δὲ βραχεῖς. καὶ μακρὸς χρόνος ἐστὶ φωνήεντος ἔκτασις· βραχὺς δὲ τοὐναντίον, οὗ παραδείγματα πάντα τὰ βραχυκατάληκτα. Πᾶν δίχρονον ἐκ κράσεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὂν ἐκτείνεται, ἀέκων ἄκω ν, κρέαα κρέ α, κέραα κέρ α· εἰ μέντοι ἀποκοπήν τινα δέξεται τῆς τα συλλαβῆς, τοῦ κέρατα κέρα καὶ κρέατα κρέα συνεσταλμένον ἐστὶ τὸ δίχρονον.

3,1 521 Θέτιι Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ (Σ 407), μήτιι μήτι «μήτι δ' ἡνίοχος περιγίγνεται» (Ψ 318), μάστι (Ψ 500), Χίος Χίιος καὶ Χῖο ς, ἱερεύς ἱρεύ ς , ἴρη ξ, οἱ νέκυες οἱ νέκυς τοὺς νέκυας τοὺς νέκυς «ἐκ δὲ νέκυς οἴκων φόρεον» (Od. ω 417), οἱ βότρυς, ἐρύεσθαι ῥῦσθαι «πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε» (Il. Ο 147), δαινύατο δαινῦτο «τῇ δεκάτῃ δέ κε θάπτομεν δαινῦτό τε λαός» (Ω 665), λελῦτο δὲ γυῖα ἑκάστου» (Od. ς 237), χο ᾶ , Ἐρετριᾶ Πειραιᾶ Στειρι ᾶ , εὐφυᾶ διφυ ᾶ , εὐκλε ᾶ. τὸ μέντοι « ὑπερδέα δῆμον ἔχοντας» (Ρ 330), καὶ « δυσκλέα Ἄργος ἱκέσθαι» (Β 115), καὶ « νηλέα θυμόν» (Γ 229), οὐκ ἔστι κατὰ κρᾶσιν, ἀλλὰ κατὰ ἔνδειαν τοῦ ἑνὸς ε . * Πᾶν δίχρονον ἔχον διπλασιασμὸν ἀμεταβόλου ἐπιφερομένου συστέλλεσθαι θέλει, Πράξιλλ α , Τελέσιλλ α , ἄμμο ς , Κόριννα , ἄλλο ς , γάλλο ς , θαλλό ς , θάλλ ω , πάλλ ω , ἅλλομα ι , ἀγάλλομα ι , πυρρό ς. παραλόγως οὖν ἐκτέτατο τὸ μᾶλλο ν. τὸ δὲ ἄλλ α, μὴ μεγαλύνεο δακτυλίω πέρι καὶ ἄλλαν, μήτι κατ' ἀμμετέραν φρένα καὶ ἄβρα δηὖτε πάχῃ σπόλᾳ ἀλλόμαν κατὰ διάλεκτόν ἐστιν. * Τὸ α ἡ στέρησις συστέλλεσθαι θέλει, ἄκακο ς , ἄσεμνο ς , ἄφιλο ς. τὸ γὰρ ἀθάνατος καὶ ἀκάματος ἐξέτειναν τὸ α διὰ τὰς ἐπαλλήλας τέσσαρας βραχείας, αἵ τινες ἄθετοί εἰσιν εἰς ἡρωϊκὸν μέτρον. Τὸ α πρὸ τοῦ β συστέλλεται, ῥάβδο ς , Λάβδακο ς , βλάβ η , βλάβο ς , Ἄβυδο ς , στραβό ς , Ἄβο ς , ἁβρό ς , Ἄβδηρο ς , Ἀβαρβαρέ η , ἐπιγράβδη ν. οὐ μάχεται τὸ ἆ βάλ ε. δύο γὰρ μέρη λόγου εἰσί. τὸ δὲ ἁβάσομε ν , ἄναβος κατὰ διάλεκτον ἐγένετο ἐκ τοῦ ἡβήσομεν καὶ ἄνηβος. Τὸ α πρὸ τοῦ μ συστέλλεται, ἅμιλλ α , ἀμύμω ν , ἅμ α , ἀμύσσ ω , ἅμαξ α , ἀμνό ς , ἀμάρ α , ἄμυστι ς , ἄμεινο ν , ἀμί ς , ἀμύν ω , ἄμαθο ς.

3,1 522 σημειούμεθα τὸ ἀμῶ ῥῆμα ἐκτεινόμενον «εἰς ὥρας ἀμῷεν» (ι 135), ᾧ ἀκόλουθα ῥηματικά «οἱ δ' ὥστ' ἀμητῆρε ς» (Λ 67), καὶ «ὀλίγος δ' ἀμητὸς ἔην». «ἀμητὸς δ' ὀλίγιστος» (Ι 223). τὸ δὲ ἁμέρ α , ἆμο ς , ἆμαρ διαλέκτῳ κατὰ τροπὴν ἐγένετο. * Ἡ αρ συλλαβὴ ἄρχουσα ἀσυνάλειπτος οὖσα, ἐπιφερομένου συμφώνου μὴ τοῦ δ , συστέλλεσθαι θέλει, ἄρβηλο ς , ἄρκευθο ς , ἀρκ ῶ , ἄρκιο ν , ἄρτο ς , ἄρχω ν , ἀργή ς , Ἄργυννο ς. τὸ ἀργός ἐκτεινόμενον ἐκ τοῦ ἀεργός συναληλιμμένον· τὸ δὲ δ ἐφυλαξάμην, ἐπεὶ τὸ μὲν ἄρδις συστέλλεται, τὸ δὲ ἄρδω ἐκτείνεται «τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν» (Aristoph. Eqq. 96, 114). καὶ τὸ ἄρδην δὲ ἐκτείνουσιν. * Τὸ α ἐπιφερομένου τοῦ ς , ᾧ ὑποτέτακται ἄφωνον, συστέλλεσθαι θέλει, ἄσθμ α , ἀσπί ς , ἄστ υ , Ἀσκληπιό ς , ἀσχάλλ ω , ἄσβολο ς , ἀσκό ς. οὕτως ἄρα ὀφείλει καὶ τὸ ἀσκήσας καὶ ἀσκηθεί ς. * Τὸ α ἔχον ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ξ ἢ ψ μὴ ἐν ῥηματικῇ κλίσει φιλεῖ συστέλλεσθαι, ἄξω ν , ἀξίν η , ἁψί ς , ἄψε α , Ἄψυρτο ς , ἀψευδή ς. τὸ δὲ « ἆξον δὴ ἔγχος Διομήδεος» (Ζ 306), καὶ τὸ κρᾶξον ἐκτεταμένον ἔχουσι τὸ α , διὸ ἔφην μὴ ἐν ῥηματικῇ κλίσει. * Τὸ α πρὸ τοῦ ζ ἐν ὀνόμασι συστέλλεται, γάζ α , χάλαζ α , ἀζηχέ ς , μαζό ς· σεσημειωμένου τοῦ μᾶζα καὶ Ἀμαζών καὶ ἀλαζώ ν. Τὸ ι κατ' ἀρχὴν πρὸ τοῦ τ συστέλλεται, ἴτυ ς , ἰταμό ς , Ἰταλό ς , Ἰταμῶ ν , ἰτέ α. τὸ γὰρ « Ἰτωνά τ ε» (Β 696) καὶ « ἰτέα ι» (κ 510), ποιητικά. τὸ δὲ Ἰτυμονεύς (Λ 671) ἐκτέταται, ὀφείλει δὲ συστέλλεσθαι, διὰ τὸ υ . καὶ τὸ ἴτριο ν· ἐκτέταται. * Τὸ ι ἐπιφερομένου ἑνὸς συμφώνου ἁπλοῦ, ὅπερ ἔχει ὑποτασσόμενον ι ἢ υ , φιλεῖ ἐκτείνεσθαι ὑπεσταλμένων τῶν κατὰ κλίσιν, ἶβι ς , Ἴβυκο ς , ἰδί ω , ἰθύ ς , Ἶρι ς , Ἴλιο ν , ἰνίο ν , ἶφ ι , Ἰτυμονεύ ς. τὸ δὲ ἴτυς συστέλλει τὸ ι . τὸ δὲ ἴθι κλίσις ῥηματική. * Τὸ ι κατ' ἀρχὴν ἐπιφερομένων δύο συμφώνων μὴ κατὰ κλίσιν συστέλλεσθαι θέλει, ἴσχ ω , ἱστό ς , ἴκτινο ς , Ἴσμαρο ς , ἴφθιμο ς. ἐφυλαξάμην δὲ κατὰ κλίσιν διὰ τὸ ἵστανον καὶ ἵστη ν. σεσημείωται τὸ ἴκριον * Τὸ ι κατ' ἀρχὴν ἔχον τὴν δευτέραν συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ ν , μὴ κατὰ κλίσιν ῥηματικήν, ἐκτείνεσθαι θέλει, Ἰν ώ , Ἴναχο ς , ἰνίο ν.

3,1 523 ἀντιπίπτει τὸ ἵνα εἴτε ἐπίρρημα εἴη εἴτε σύνδεσμος. προσέθηκα δὲ μὴ ἐν κλίσει ῥηματικῇ διὰ τὸ ἶναι καὶ ἐξῖναι ἀπαρέμφατα. * Αἱ διὰ τοῦ ι μόνου ἐπεκτάσεις ἐν οἱῳδήποτε μέρει λόγου ἐκτεταμένον ἔχουσι τὸ ι , ὡδ ί , ἐνθαδ ί , νυν ί , δευρ ί. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκεινοσ ί , οὑτοσ ί. Πᾶν ὄνομα μονοσύλλαβον μακροκατάληκτόν ἐστι φύσει ἢ θέσει οἷον, στύ ξ , νύ ξ , πᾶ ς , Γρᾶ ς , Πρά ς , κρά ς , λί ς , κί ς , ῥί ς , ἶ ς , μῦ ς , σῦ ς , δρῦ ς , πῦ ρ , ψά ρ , Κά ρ. διὸ τὸ τίς σημειούμεθα συστελλόμενον τὸ ι . εἰ δέ τινες συστέλλουσι τοῦ Ἶς ἐπὶ ποταμοῦ τὸ ι εἰς ἀποφυγὴν τούτου «οὐ γὰρ ἐμὴ ἲς Ἔσθ’ οἵη πάρος ἔσκεν» (Λ 668), πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν. τὸ δὲ « στάδα λίμνην» ἢ « κλάδα χρυσεόκαρπον» οὐχ ἕξει τινὰ εὐθεῖαν στάς ἢ κλάς. μεταπλασμοὶ γάρ εἰσι. τὸ δὲ «ἐξ ὀρέων ἐπὶ κὰ ρ» (Π 392) κατὰ πάθος. ἀπὸ γὰρ τοῦ κάρη κατὰ ἀποκοπὴν τοῦ η γέγονεν. Πᾶν ἀρσενικὸν ἢ θηλυκὸν εἰς ἀμετάβολον λῆγον μακροκαταληκτεῖ, Ἀλκμά ν , παιά ν , Τιτά ν , δελφί ν , ἀκτί ν , ῥί ν , Σαλαμί ν , κά ρ , ψά ρ , μάρτυ ρ. καὶ τοῦ Φόρκυ ν , Πόλτυν τινὲς μὲν ἀξιοῦσι καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνεσθαι τὸ υ , ἐμοὶ δὲ δοκεῖ, ὅτι ἐν μὲν τῇ εὐθείᾳ συστέλλεται τὸ υ , ἐν δὲ ταῖς πλαγίαις ἐκτείνεται. σεσημείωται τὸ μάκα ρ , δάμα ρ. * Τὰ εἰς αρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἐπὶ παντὸς γένους συστέλλει τὸ α , μάκα ρ , ὄα ρ , θένα ρ , φρέα ρ , στέα ρ. Ἀττικοὺς δέ φασιν ἐκτείνειν τὸ στέαρ καὶ φρέαρ. * Τὰ εἰς ων λήγοντα καθαρὰ συγκριτικά, ὁπότε παραλήγοιτο τῷ ι , ἐκτεταμένῳ αὐτῷ παραλήγονται, καλλίω ν , ἡδίω ν , βελτίω ν , γλυκίω ν , κακίω ν. Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς λέξεσιν Ἀττικοὺς ἱστορεῖ προφέρεσθαι ἐκτεταμένως. Τὰ εἰς σσων συγκριτικὰ οὐδέποτε ἐκτεταμένῳ διχρόνῳ παραλήγεται, βράσσων (Κ 226), πάσσων (ζ 229), μάσσω ν , γλύσσω ν , βάσσων, ἔνθεν παρ’ Ἐπιχάρμῳ βάσσον.

3,1 524 τὸ ἐλάσσω ν , θάσσων «θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους» (Ν 819) σεσημείωται, ὅτι φύσει μακρᾷ παραλήγεται. * Τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα μὴ ὄντα κύρια ἐκτείνει αὐτό, κίω ν , πρίω ν , πίω ν. τὸ δὲ Δίω ν , Ἴων κύριά εἰσιν. * Τὰ εἰς αξ λήγοντα καὶ ἐκτείνει τὸ α καὶ συστέλλει· ὅσα μὲν οὖν δισύλλαβα ὄντα ἔχει πρὸ τέλους μὴ φύσει μακράν, ἀλλ’ ἢ βραχεῖαν ἢ θέσει μακράν, ἀδιάφορον ἔχει τὸν χρόνον τοῦ α , κόρα ξ , κόλα ξ , φύλα ξ , ἄνα ξ , βόα ξ , νέα ξ , ὄμφα ξ , φόρτα ξ. εἰ μέντοι ἡ πρὸ τέλους φύσει μακρὰ εἴη, ἡ δὲ τελευταία συστέλλοιτο, γένος θηλυκὸν ὁρᾶται, πῖδα ξ , κλῖμα ξ , λεῖμα ξ , βῶλα ξ. διὸ καὶ τὸ μεῖραξ ἐπὶ θηλυκῷ τιθέμενον εὖ ἂν ἔχοι. οὐκ ἀγνοῶ δὲ ὡς ἔσθ’ ὅτε οἱ κωμικοὶ καὶ ἀρσενικῷ γένει τὴν σύνταξιν ποιοῦνται ἀλλ’ εἰκὸς αὐτοὺς θηλυκῇ προσηγορίᾳ σκώπτειν τοὺς πασχητιῶντας. ὅσα μέντοι ἔχει τὴν πρὸ τέλους φύσει μακρὰν ἀρσενικὰ ὄντα καὶ τὸ α θέλει ἔχειν ἐκτεταμένον, ὡς ἔχει τὸ Φαία ξ , θώρα ξ , οἴα ξ , πλούτα ξ , βώμα ξ , κνώδα ξ· σημειούμεθα τὸ Γῦναξ καὶ Γῦλαξ, ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν καὶ συστέλλοντα τὸ α . εἰσὶ δὲ ταῦτα κύρια ὀνόματα, καὶ τὸ σαῦσαξ, φασὶ δὲ εἶναι τοῦτο ὄσπρεον, καὶ τὸ καύαξ διφορούμενον. τοῦτο γάρ ποτε μὲν συστέλλει τὸ α , ποτὲ δὲ ἐκτείνει αὐτό. ἔστι δὲ ὄρνεον. Τὰ μέντοι ὑπὲρ δύο συλλαβὰς ἐκτείνει τὸ α μὴ ὄντα σύνθετα, ἱέρα ξ , Ἐπιδαύρα ξ , ὀρθία ξ , θυμέλα ξ. τὰ δὲ σύνθετα βαρύτονα καὶ τὸν τῶν ἁπλῶν χρόνον φυλάττει, Ἀχαρνοφαία ξ , Ἱππῶνα ξ , Ἀρχεάνα ξ , ἐριβῶλα ξ , πολυπῖδα ξ. τὰ δὲ ὀξύτονα σύνθετα συστέλλει τὸ α , διασφά ξ , βλεφαροσπά ξ. τὰ μέντοι μονοσύλλαβα θηλυκὰ μὲν ὄντα, θέλει συστέλλειν τὸ α , σπά ξ, οὕτως ὁ κύων παρὰ Πέρσαις, [ κλά ξ] , πλά ξ , γλά ξ , δρά ξ, ἡ δὲ ῥάξ ἐκτέταται. τὰ δὲ ἐκτείνοντα τὸ α ἀρσενικά ἐστι, βλά ξ , κρά ξ , πτά ξ· τὸ δὲ Πράξ ἱστορεῖται μὲν ἐκτείνεσθαι· ἐγένετο δὲ Ἀχιλλέως ἀπόγονος, ἔνθεν οἱ Πρᾶκες· συστέλλεται δέ ἐσθ’ ὅτε τὸ α . * Τὰ μέντοι εἰς ιξ μονοσύλλαβα συστέλλει τὸ ι ἔχοντα δύο σύμφωνα πρὸ τοῦ ι , στί ξ , φρί ξ , θρί ξ. τὸ μέντοι ἴξ καὶ Φίξ ἐκτείνεται. τὰ μέντοι εἰς ιξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν πάντα συστέλλει τὸ ι . ἐπὶ μέντοι γενικῇ πῇ μὲν φυλάττει τὸ ι συνεσταλμένον, πῇ δὲ ἐκτείνει. καί φασι τήρησίν τινα εἶναι τοιαύτην, ὡς τὰ ἔχοντα πρὸ τέλους μακρὸν ἔχει ἐν τῇ γενικῇ ἐκτεινόμενον τὸ ι , φοῖνι ξ , βέμβι ξ , Τέμμι ξ , πέμφι ξ , τέττι ξ , σκάνδι ξ , πέρδι ξ , χοῖνι ξ. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης φησὶν ὡς τῆς πέρδικος καὶ χοίνικος γενικῆς ἡ μέση συστέλλεται, πεισθεὶς Ἀριστοφάνει τῷ γραμματικῷ καὶ τοῖς οὕτω χρησαμένοις ποιηταῖς διὰ μέτρον· ἀλλὰ ταῦτα διὰ μέτρον ἐγένετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 525 ἔστι γὰρ αὐτὰ εὑρεῖν ἐκτεταμένα πολλάκις· τὸ μέντοι Θρήϊκος συστέλλει τὸ ι , ἔχον διαλλαγήν. λέγεται γὰρ καὶ κατὰ συναλοιφὴν Θρῃκός. τὸ δὲ ἧλιξ συνεξῆλθε τοῖς ἔχουσι τὸ λ πρὸ τοῦ ι , χόλικο ς , ἕλικο ς , χάλικο ς , κύλικο ς. τὸ σύμμιγος σύνθετόν ἐστι. * Τὰ εἰς υξ μονοσύλλαβα συστέλλει τὸ υ , τρύ ξ , Φρύ ξ , πτύ ξ , Στύ ξ. χρόνος ὁ αὐτὸς καὶ ἐπὶ γενικῆς. τὰ εἰς υξ δισύλλαβα καὶ αὐτὰ συστέλλει τὸ υ , φυλάττει μέντοι τὸ υ συνεσταλμένον, ὁπότε τὸ χ ἢ τὸ γ ἐπὶ γενικῆς ἔχει, στόνυχο ς , ὄνυχο ς , ὄρτυγο ς , ἤλυγο ς , δίζυγο ς , φάρυγος, τὸ δὲ κόκκυγος συστέλλουσι καὶ ἐκτείνουσιν. εἰ μέντοι διὰ τοῦ κ ἡ κλίσις ὑπάρχοι, πῇ μὲν φυλάττει τὸ υ συνεσταλμένον, πῇ δὲ ἐκτείνει. Ἔρυκος γὰρ συνεσταλμένως καὶ ἄμβυκο ς , Βέβρυκο ς , κάλυκο ς , Γάνυκο ς , ἴβυκος, ἐκτεταμένως δὲ βόμβυκο ς , αἴθυκο ς , κήρυκο ς. τὸ «κήρυκι Ἠπυτίδῃ» (P 324) διὰ μέτρον φασὶν ἔχειν συστολήν. τὰ μέντοι εἰς υξ ὑπὲρ δύο συλλαβὰς ἤτοι σύνθετα ἢ καὶ ἁπλᾶ πρόδηλον ἔχει τὸν χρόνον. * Τὰ εἰς αψ ὑπὲρ μίαν συλλαβήν φαμεν συστέλλειν τὸ α , λαῖλα ψ. ἐν δὲ μονοσυλλάβοις τὸ δράψ ἐκτείνεται κείμενον παρὰ Ἀριστοφάνει· καὶ τὸ λάψ παρὰ Ταραντίνοις. ἡ δὲ γράψ καὶ φάψ θηλυκῷ γένει κατακλειόμενα συστέλλεται. * Τὰ εἰς ιψ μονοσύλλαβα ἐκτείνεται, ὁμοίως καὶ ἐπὶ γενικῆς. διὸ ἡ λιβός γενικὴ σημειώδης. τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν συστέλλεται. θέλουσι δὲ πεδότριψ ἐκτείνειν, πλανώμενοι ἐκ τοῦ παρ' Ἀρχιλόχῳ «ἄνδρας ἀμφιτρίβας». * Τὰ εἰς ας περισπώμενα ἀναγκαίως ἔχει τὸ α μακρόν, ἀλλᾶ ς , Ἡρᾶ ς , Βορρᾶ ς , πελεκᾶ ς. Τὰ εἰς ας ἀρσενικὰ βαρύτονα εἴτε ὀνόματα εἴτε μετοχαὶ ἐκτείνοντα ι , Αἴα ς , Θόα ς , Δρύα ς , Αἰνεία ς , λέξα ς , γράψα ς , ποιήσα ς. σεσημείωται τὸ μέγας ἐπίθετον καὶ τὸ « λᾶας ἀναιδής» (λ 598). τὸ «δουρὶ δὲ ξυστῷ μέμηνεν Αἶα ς» (Alcmanis) καὶ ὅσα τοιαῦτα κατὰ διάλεκτον, « δῆσας ἀλυκτοπέδῃσι» (Theogn. 521). Τὰ εἰς ας ὀξύτονα, εἰ μὲν εἴη ὀνόματα, συστέλλονται, εἰ δὲ μετοχαί, ἐκτείνονται, Ἀρκά ς , φυγά ς , ἐθά ς , πολυδειρά ς , κιχρά ς , ἱστά ς , πιμπρά ς , βιβά ς. σεσημείωται τὸ ἱμάς καὶ ἀνδριάς καὶ ὅσα παρὰ τὸ κέκραμαι, ἰσοκρά ς , ἁλικρά ς. Τὰ εἰς ις εἴτε καθαρὸν εἴτε μὴ βαρύτονα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ συστέλλει τὸ ι , ὄϊ ς , πάϊ ς , ἔρι ς , Θέτι ς , μῆνι ς , Πάρι ς , ἔχι ς , ὄφι ς , κόνι ς , δῆρι ς , μάντι ς , ὄρχι ς , λάτρι ς , ὄρνις, Ἀριστοκλῆς δὲ ἐν τῷ περὶ διαλέκτων φησὶν Ἀττικοὺς ἐκτείνειν.

3,1 526 εἰ δὲ σύνθετα ὑπάρχοι ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ι , ἐκτείνονται, κνημίς εὐκνήμις, ψηφίς μελαμψήφις καὶ ὅσα τοιαῦτα. οὕτως καὶ ἐν τῷ « ἐϋκλήις ἀραρυῖα» (Ω 318) Ἀρίσταρχος ἀναγινώσκει ἐϋκλήϊς ὡς ἐϋκνήμις σύνθετον ποιῶν τὴν λέξιν, οὕτως καὶ Ἀσκαλωνίτης. εἰσὶ δὲ οἵ διεῖλον «ἐΰ κληῖς' ἀραρυῖα», οἷς συγκατατίθεται καὶ Τρύφων, οὐκ εὖ. ἄμεινον γὰρ ἐπιθετικῶς ἀκούειν καὶ μὴ πάθος ἐκδέχεσθαι πληθυντικῆς δοτικῆς, λέγω δὲ τὸ τῆς ἐκθλίψεως. ὃ δέ φημι, τοιοῦτόν ἐστι, ὡς ὅτι ἐκθλίβεται μὲν τὸ ι τῆς δοτικῆς παρὰ τῷ ποιητῇ καὶ ἑνικῆς ὑπαρχούσης καὶ πληθυντικῆς «κέρκιδ' ὕφαινε» (Od. ε 62), «χέρς' ἐρετάων» (Od. ν 115), «καὶ νήεσς' ἡγήσατ' Ἀχαιῶν» (Il. A 71), οὔ γε μὴν τὸ ἀπὸ τῶν εἰς ις ἐκτεταμένον θηλυκῶν εἰ δ' ἡ προκειμένη λέξις κρίσεως δεῖται κατὰ τὴν ἀνάγνωσιν, δῆλον ὅτι συνθέτως ἀναγνωσόμεθα, ὅπως μὴ πληθυντικοῦ δῶμεν τὴν χρῆσιν παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ καὶ ἔκθλιψιν σημειώδη. εἰ δὴ σύνθετόν ἐστι τὸ εὐκλήις, καὶ παροξύνειν δεῖ αὐτό, μακρὸν γὰρ τὸ ι καὶ ἐν τῇ συνθέσει· ἀπὸ γὰρ τοῦ χρόνου τὸν τόνον ἐστήσαμεν. Τὰ ὀξύτονα θηλυκὰ εἰς ις λήγοντα μὴ καθαρεύοντα μεμελέτηκε καὶ ἐκτείνεσθαι καὶ συστέλλεσθαι. τοῖς μὲν οὖν συστέλλουσι τὸ ι ἀδιάφορος ἡ πρὸ τέλους εἴτε μακρὰ εἴη εἴτε βραχεῖα, βολί ς , ῥανί ς , αἰγί ς , μηλί ς , Δωρί ς· τοῖς δὲ ἐκτείνουσι τὸ ι , καὶ μάλιστα ἐπὶ δισυλλάβων, ἡ πρὸ τέλους μακρὰ ὑπῆρχεν ἤτοι φύσει ἢ θέσει, κρηνί ς , ψηφί ς , κηκί ς , κηλί ς , νησί ς , σφραγί ς , βαλβί ς , φαρκί ς , ἁρπί ς , ἀψί ς. δικαίως οὖν οἱ Ἀττικοὶ τὸ ῥιπίς καὶ καρίς, ἃ ἡ κοινὴ συνήθεια ἐκτείνει, συστέλλουσι. δισύλλαβα δὲ παρεθέμην, ἐπεὶ ὁρᾶται τρισύλλαβα βραχείᾳ παραληγόμενα καὶ κατὰ τὴν συνήθη χρῆσιν καὶ κατὰ τὴν τῶν Ἰώνων ἐκτείνοντα τὸι · κατὰ δὲ τοὺς Ἀττικοὺς συστέλλονται. πλοκαμί ς , κεραμί ς , καλαμί ς , βλεφαρί ς , ῥαφανί ς. τὸ δὲ ἀγαθίς ἀεὶ συστελλομένως· οὕτω δὲ καὶ ἡ

τρυφαλίς συστέλλεται. καὶ ἐπίστασιν ἔχει τὸ κληΐς ἐκτεινόμενον καὶ καθαρεῦον. τὰ δὲ λοιπὰ πάντα συστέλλονται, Λαΐ ς , Ναΐ ς , Θησηΐ ς , δμωΐ ς , ἡρωΐ ς , Μινωΐ ς. * Τὰ εἰς υς θηλυκὰ ὀξύτονα διὰ τοῦ δ κλινόμενα συστέλλονται, κροκύς κροκύδος, χλαμύς χλαμύδος, πηλαμύς πηλαμύδος.

3,1 527 τὰ δὲ εἰς υς θηλυκὰ ὀξύτονα διὰ καθαροῦ τοῦ ος κλινόμενα ἐκτεταμένον ἔχουσι τὸ υ , πληθύ ς , ἐδητύ ς , ὀϊζύ ς , ἐρινύ ς , ἰξύς ἡ ῥάχις, ἰσχύ ς , ἰλύ ς, τὸ δὲ νηδύς ποιητικῇ ἀδείᾳ συστέλλεται. φιλεῖ δὲ τὸ υ ἐπ’ εὐθείας ἐκτεινόμενον συστέλλειν τὰς ἄλλας πτώσεις οὐ μόνον ἐν τῷ πῦρ πυρός, ἀλλὰ καὶ ἐν τῷ ἰχθύος, δρυός, ἰσχύος, ἰλύος. ἐν δὲ τῷ «ἰλύος» (Φ 318) τὸ υ ἐκτέταται διὰ τὸ μέτρον. * Τὰ εἰς υς βαρύτονα εἴτε θηλυκὰ εἴτε ἀρσενικὰ συστέλλονται, γένυ ς , πίτυ ς , χέλυ ς , γῆρυ ς , ἀτράφαξυ ς , Πόλτυ ς , βότρυ ς , Ἕρπυ ς , Ἅλυ ς , ἥμισυ ς , πέλεκυ ς , Ῥαδάμανθυ ς. * Τὰ εἰς υς ὀξύτονα ἐπιθετικὰ συστέλλεται, πολύ ς , ἠΰ ς , ἡδύ ς , βραδύ ς. * Τὰ εἰς υς σύνθετα πάντα συνεσταλμένον ἔχει τὸ υ καὶ προπαροξύνεται, σύνοφρυ ς , λεύκοφρυ ς , κάλλιχθυ ς , δίβραχυ ς. * Τὰ εἰς ος ὀξύτονα ἀρσενικὰ δισύλλαβα καθαρὰ διχρόνῳ παραληγόμενα ἐκτείνει αὐτὸ οἷον ναό ς , λαό ς , κριό ς , ἰός πλὴν τοῦ βιό ς. * Τὰ εἰς ος καθαρὸν ἀρσενικὰ δισύλλαβα εἰ παραλήγοι τῷ α , ἐκτείνει αὐτὸ ναό ς , λαό ς . δάος οὐδέτερον. σεσημείωται τὸ σάο ς. * Τὰ εἰς λος λήγοντα δισύλλαβα ὀξύτονα, ὁπότε ἔχει πρὸ τέλους δίχρονον, τοῦτο ἔχει συνεσταλμένον ἢ ἐκτεινόμενον δι’ ἑαυτοῦ ἢ διὰ συμφώνου μεγεθυνόμενον. καὶ τὰ μὲν διὰ συμφώνων μεγεθυνόμενα τὰ τοιαῦτά ἐστι, κυλλό ς , μαλλό ς , θαλλός, τὰ δὲ δι’ ἑαυτῶν τὰ τοιαῦτα, ψιλό ς , χυλό ς , δαλό ς , βαλός, οὕτως ὁ βαθμός καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ κωμῳδίᾳ. ἐχρῆν οὖν καὶ τὸ καλός ἢ βοηθεῖσθαι συμφώνῳ ἢ αὐτόθεν ἐκτείνεσθαι. ὑγιὴς οὖν ἡ ἔκτασις παρὰ τῷ ποιητῇ. * Τὰ διὰ τοῦ ιμος παραγωγὰ ὑπὲρ δύο συλλαβὰς συνεσταλμένον ἔχει τὸ ι , κύδιμο ς , ὠφέλιμο ς , ὤκιμο ς. τὸ μέντοι ἄτιμος ἐκτεῖνον τὸ ι σύνθετόν ἐστιν. οὕτως δὲ ἀξιοῦται καὶ τὸ βούλιμος ἐκτείνεσθαι κατὰ τὴν δευτέραν συλλαβὴν συνθέτου ὑπάρχοντος τοῦ ὀνόματος· ἀντὶ γὰρ τοῦ ὁ μέγας λιμός. καὶ τὸ ἴφθιμος δὲ ἐκτείνει τὸ πρὸ τέλους ι . Τὰ εἰς μος καθαρὸν δισύλλαβα ἔχοντα τὸ υ ἐκτείνουσιν αὐτὸ καὶ ὀξύνονται, χυμό ς , θυμό ς , δρυμό ς , ῥυμό ς. εἰ δὲ ὑπὲρ δύο συλλαβὰς ὑπάρχει, καὶ προπαροξύνεσθαι θέλουσι καὶ συστέλλουσι τὸ υ , εἰ μὴ ἐκ συνθέσεως ὑπάρχει, οἷον ἔρυμο ς , ἔλυμο ς , δίδυμο ς , ἔτυμος ὁ ἀληθής.

3,1 528 τὸ δὲ πρόθυμος καὶ τὸ μεγάθυμος καὶ τὰ τοιαῦτα ἐκ συνθέσεως ἔσχον τὸ υ . * Τὰ εἰς νος λήγοντα δισύλλαβα μετ’ ἐπιπλοκῆς συμφώνου εἰ ἔχοι πρὸ τέλους ἕν τι τῶν διχρόνων συνεσταλμένον αὐτὸ ἔχει, καπνό ς , θαλπνό ς , ἁγνό ς , ἀμνό ς , γυμνό ς , πρυμνό ς , συχνό ς , πυκνό ς , στυγνό ς. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς, ἀλαπαδνό ς , ἀκιδνό ς , ὀλοφυδνό ς. τὸ μέντοι στρυφνός οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ υ . οὕτω γὰρ ἀνέγνωμεν παρ’ Ἀριστοφάνει ἐν Σφηξί (877) παῦσόν τ’ αὐτοῦ τοῦτο τὸ λίαν στρυφνόν. * Τὰ εἰς νος λήγοντα δισύλλαβα ὀξύτονα καθαρεύοντος τοῦ ν , εἰ ἔχοιεν ἐν τῇ πρὸ τέλους τὸ α , ἐκτεταμένον αὐτὸ ἔχουσι, δανός ὁ ξηρός, τρανό ς , μανό ς. τοῦτο δὲ παρὰ τοῖς Ἀττικοῖς συστέλλεται. * Τὰ εἰς νος λήγοντα ὀνόματα τρισύλλαβα ὀξυνόμενα καὶ ἔχοντα τὸ α συνεσταλμένον πρὸ τέλους μὴ καθαρεῦον οὐδέποτε τὴν ἄρχουσαν ἔχει φύσει μακράν, οἷον ἱκανός, καίτοιγε τὸ ῥῆμα ἐξέτεινε τὸ ι , πείθω πιθανό ς , εἴδω ἰδανός «σὰς ἰδανὰς χάριτας» ὁ Καλλίμαχος, τρώγω τραγανός, ἥδω ἑδανός, ἄγω ἀγανός, στέγω στεγανό ς , σφεδανό ς , ὀρφανό ς , πεδανό ς , ῥοδανό ς. σημειῶδες ἄρα τὸ οὐρανός, ὅτι ἤρξατο ἀπὸ φύσει μακρᾶς. Ἀλκαῖος δὲ καὶ εἰς ω ἀποφαίνεται τὸ ὄνομα, ὠρανός λέγων κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς τὸ ω καὶ ἄνευ τοῦ υ ὀρανός, ὥστε τὸ ἐπιζητούμενον παρ’ αὐτῷ λελύσθαι. καὶ Σαπφώ· «ψαύην δ’ οὐ δοκίμωμ’ ὀράνω δυσαπάχεα». προσέθηκα μὴ καθαρεῦον, ἵνα μὴ ἐπιζητῶμεν περὶ τοῦ «είανοῦ ἁπτομένη» (Π 9) καὶ «ἑανοῦ κασσιτέροιο» (Σ 613). Τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα κατὰ καιροῦ ἢ χρόνου παραλαμβανόμενα συστέλλει τὸ ι , ἐαρινό ς , θερινό ς , νυκτερινό ς , χειμερινό ς , ἑωθινό ς , πρωϊνό ς , ἡμερινό ς , ὀπωρινό ς. παρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέντοι τῷ ποιητῇ κατ' ἔκτασιν ἀναγινώσκομεν τοῦτο ἐπιζητοῦντος τοῦ μέτρου «ὡς δ' ὅτ' ὀπωρινὸς βορέης» (Φ 346) καὶ πάλιν «ἀστέρ' ὀπωρινῷ ἐναλίγκιος» (Ε 5). * Τὰ διὰ τοῦ ινος ἀπὸ ἐπιρρήματος ὀξύτονα τὸ ι βραχὺ ἔχουσι, ταχινό ς , ἀληθινό ς , πυκινό ς , ἀδινό ς. * Τὰ διὰ τοῦ ινος σημαίνοντα μετουσίαν προπαροξύτονα τὸ ι βραχὺ ἔχουσι, κρίθινο ς , δάφνινο ς , πύρινο ς , ξύλινο ς , λίθινο ς. τὰ δὲ μὴ οὕτως ἔχοντα ἐκτείνουσι τὸ ι , κάμινο ς , κύμινο ς , κυκλάμινο ς. * Τὰ διὰ τοῦ ινος πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἐκτείνουσι τὸ ι , ἐχῖνο ς , κορακῖνο ς , φοξῖνος πλὴν τοῦ καρκίνο ς.

3,1 529 * Τὰ διὰ τοῦ ινος ὀνόματα ὀξύτονα μὴ ὄντα παρώνυμα διὰ βραχέος τοῦ ι ἐκφέρεται οἷον ἀδινό ς , πεδινό ς , ταχινό ς , πυκινό ς , ἀληθινό ς. σεσημείωται τὸ χαλινός καὶ λαρινό ς. τὸ μὲν χαλινός, ὅτι ἐστὶ καὶ οὐδέτερον. λέγεται γὰρ τὰ χαλινά καὶ ὡς διαλλάξαν κατὰ τὰ ἄλλα, διήλλαξε καὶ κατὰ τὸν χρόνον. τὸ δὲ λαρινός ἐκτοῦ ῥινός βύρσης καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ σύνθετον. Τὰ διὰ τοῦ υνος δισύλλαβα ἐκτείνει τὸ υ , φρυνό ς , γρυνό ς , θυνό ς , Κῦνο ς. σεσημείωται τὸ πλυνός κατὰ χρόνον, καίτοιγε τὸ πλύνω ἐκτεινόμενον τὸ υ . Τὰ διὰ τοῦ υνος ὑπὲρ δύο συλλαβάς, εἰ μὲν παραλήγει τὸ ς , συστέλλει τὸ υ , δεσπόσυνο ς , πίσυνο ς , θάρσυνο ς. τὸ δὲ μόσυνος ἐκτεταμένον ἀπὸ γενικῆς ἐστι γενόμενον, αἱ δὲ γενικαὶ αἱ διὰ τοῦ υνος ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι Φόρκυνο ς , Πόλτυνος τῶν εὐθειῶν συστελλομένων ἐξέτειναν τὸ υ . εἰ δὲ μὴ παραλήγει τὸ ς , ἐκτείνει τὸ υ , κίνδυνο ς , εὔθυνο ς , Πάχυνο ς , Λάμυνος, διὸ καὶ τὸ βόθυνος ἀναλόγως ἐκτείνουσιν Ἀττικοί. κἂν ὀξύνηται δὲ τοιαῦτά ἐστι, Μαρυανδυνό ς , Βιθυνό ς. τὸ ἀνδρόγυνο ς , ἄγυνος καὶ τὰ ὅμοια τοῦ γυνή ἐτήρησαν τὸ υ . Τὰ εἰς ρος καθαρὸν δισύλλαβα τῷ α παραληγόμενα ὀξυνόμενα μὲν ἔχει ἐκτεινόμενον τὸ α ψαρό ς , ναρός, ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ σατυρικῷ «ναράς τε πατρὸς κυμάτων ἐπιρροὰς—ἐπώμοσα». Λαρός « λαρὸς ἄμης», ἔνθεν τὸ οὐδέτερον «λαρὸν τετυκοίμεθα δόρπον» (μ 283). βαρυνόμενα δέ, εἰ καὶ ἀρσενικὰ ὑπάρχοι ἢ θηλυκά, συστέλλειν θέλει τὸ α , λάρος «λάρῳ ὄρνιθι ἐοικώς» (ε 51), γάρο ς. Αἰσχύλος Πρωτεῖ σατυρικῷ «καὶ τὸν ἰχθύων γάρον», σκάρο ς , φάρο ς. λέγω δὲ τὸ ἀρσενικὸν ἢ καὶ τὸ θηλυκόν, Κλάρος, Νίκανδρος (Ther. 958) «μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρος νιφόεσσα πολίχνη», Πάρος νῆσος, σπάρο ς , Σάρος ὁ ποταμός. τὸ τοίνυν βᾶρος καὶ Ῥ ᾶρος παρ' Ἀττικοῖς σημειώδη. τὸ δὲ κλᾶρος κατὰ Δωρίδα διάλεκτον ἐκ τοῦ κλῆρος. τά τε ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα πάμπολλα ὄντα συνεσταλμένον ἔχουσι τὸ α , μὴ ὄντα Δώρια μήτε σύνθετα, μάρμαρο ς , βάρβαρο ς , τάλαρο ς , κύλλαρο ς· ἐπίστασιν οὖν ἔχει τὸ ἄγγαρος καὶ Αἴσαρο ς.

3,1 530 τὸ δὲ φλύαρος ὀφείλει συστέλλεσθαι. τούτου δέ τινες ἐκτείνουσι τὸ α , καὶ μάλιστα παρ' Ἀττικοῖς. * Τὰ διὰ τοῦ αρος ὀξύτονα συστέλλει τὸ α , μαδαρό ς , χαλαρό ς , ῥυπαρός, καὶ ὅσα ἄλλα ἐστὶ τοιαῦτα. χρὴ οὖν καὶ τὸ ἀνιαρός συστέλλειν τὸ α . δηλονότι τὸ νομιζόμενον Ἴωσιν ἀνιηρός πρότερόν ἐστι καὶ λοιπὸν τὸ ἀνιαρός ὡς ἐδέξατο τροπὴν Ἰωνικὴν (?) ἔμεινεν ἐκτεινόμενον. * Τὰ εἰς ρος λήγοντα ὀξύτονα, ὅτε ἔχει τὴν τρίτην ἀπὸ τέλους ἤτοι θέσει μακρὰν ἢ φύσει, πάντως ἔχει τὴν πρὸ τέλους μηκυνομένην. εἰ δὲ ἡ πρὸ τέλους εἴη βραχεῖα, καὶ ἡ τρίτη ἀπὸ τέλους, βλαβερό ς , φανερό ς , ῥυπαρό ς , ὀχυρό ς , καπυρό ς , ἱερό ς. τὸ γὰρ ἐκτεῖνον τὸ ι ποιητικόν ἐστι· κρατερός, τὸ γὰρ καρτερός ὑπέρθεσιν ἔχει. τὰ μέντοι ἔχοντα τὴν πρὸ τέλους τρίτην μακράν, ὡς ἔφην, ἔχει καὶ τὴν πρὸ τέλους μακράν, ποιηρό ς , ἀτηρό ς , ἀλγηρό ς , πνιγηρό ς , ἀνθηρό ς , τολμηρό ς , ἰσχυρό ς. ὅθεν ἐπεὶ τὸ ἁλμυρός ἔχει τὴν τρίτην ἀπὸ τέλους μακρὰν ὑγιῶς ἕξει καὶ τὴν πρὸ τέλους μακράν. ἀναλογώτεροι οὖν οἱ Ἀττικοὶ ἐκτείνοντες αὐτό. παρὰ μέντοι τῷ ποιητῇ ἀνέγνωμεν «ἁλμυρὸν ὕδωρ» (δ 511). ἀντιπίπτει τὸ πενθερός μακρὰν ἔχον τὴν τρίτην ἀπὸ τέλους, βραχεῖαν τὴν πρὸ τέλους. ἀλλ' οὖν γε εἴρηται πενθηρός τὸ ἐπίθετον διὰ τοῦ η ὥσπερ ἐπὶ ἱματίου μέλανος «Α. φέρ' αὔτ' ἀνύσας. Β. ἀλλ' ἐστὶ πενθηρὸν πάνυ». οὕτως γὰρ ἔφη Ἀναξίλας. οὐκ ἀναστρέφει ὁ κανών. οὐ γὰρ πάντως τὰ ἔχοντα πρὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέλους μακρὰν ἔχουσι καὶ τὴν τρίτην μακράν. ἰδοὺ γὰρ πονηρό ς , τυχηρό ς. * Τὰ εἰς σος λήγοντα ὑπὲρ δύο συλλαβὰς προπαροξυνόμενα καὶ ἔχοντα πρὸ τέλους α συνεσταλμένον αὐτὸ ἔχουσι· ταύτῃ μοι δοκεῖ καὶ τὸ Ἴασος τὸ α συστέλλειν τῷ χαρακτῆρι πεισθέν. ἐπὶ δὲ τῶν ὀξυτόνων τῶν ἐχόντων τὸ α ὁρᾶται καὶ ἡ συστολὴ καὶ ἡ ἔκτασις, (?) ὡς ἐν τῷ Τάμασος καὶ Ἐγγύασος, ἀλλὰ καὶ κέρασος καὶ Ἔρασος (?). Πᾶν θηλυκὸν εἰς α λῆγον ὀξυνόμενον ἢ περισπώμενον ἐκτείνει αὐτό, φοβερ ά , Ἀθην ᾶ , πυρκαϊ ά , μν ᾶ. διὸ καὶ τὸ ἀγυιά καὶ ὀργυιά ὁτὲ μὲν ἐκτείνεται ὀξυνόμενον παρ' Ἴωσι, ὁτὲ δὲ βαρύνεται καὶ συστέλλεται. Τὰ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικῷ ὁμόχρονον ἔχει τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ τὸ α , ὀξέος ὀξεῖ α, τάλανος τάλαινα, χαρίεντος χαρίεσσ α.

3,1 531 Ῥόδιος δὲ Ῥοδίου Ῥοδία καὶ Σάμιος Σαμίου Σαμί α. διὸ Ἀττικοὶ ἱερέως λέγοντες ἱερεία ἐκτεταμένως λέγουσιν, ἀλλ' οὐκέτι πανδόκει α , βασίλει α. σεσημείωται τὸ ἴα ἀπὸ τοῦ ἴος ἴου «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς» (Δ 437), ὅπερ λέγεται καὶ μί α, καὶ « δῖα γυναικῶν» (Β 714) καὶ τὸ πέπειρ α. * Πᾶν εἰς α λῆγον θηλυκὸν προπαροξυνόμενον ἢ προπερισπώμενον συνεσταλμένον ἔχει τὸ α Ἀντιόχει α , ταχεῖ α , ὀξεῖ α. Τὰ διὰ τοῦ αια παρώνυμα παραγόμενα ἐκ θηλυκῶν εἰς α ἢ εἰς η ἐκτεταμένον ἔχει τὸ α , σελήνη σεληναία, ἅμαξα ἁμαξαία, οὐρά οὐραί α , ἀρχαί α , ἀναγκαί α. ὅθεν ἐχρῆν καὶ τὸ γαῖα ἐκτείνεσθαι, χωρὶς εἰ μὴ ἡ ποσότης τῶν συλλαβῶν ποιεῖ συνεσταλμένον τὸ α . τοιαῦτα γὰρ τὰ δισύλλαβα, γραῖ α , μαῖ α. * Τὰ εἰς α λήγοντα καθαρὸν συνεσταλμένον, ὁπότε ἐστὶ ὑπὲρ δύο συλλαβάς, τὴν πρὸ τέλους ἔχει φύσει μακράν, Μήδει α , Θάλει α , Πηνελόπει α , εὔνοι α , εὔχροια, ὑπεσταλμένων τῶν πρὸ τέλους ἐχόντων τὴν τρι συλλαβήν, οἷον ποιήτρι α , μεσήτρι α , ὁδηγήτρι α , ὀρχήστρι α , αὐλήτρι α , μαθήτρι α. παράλογος οὖν ὁ πρὸ τέλους χρόνος τοῦ πότνι α , ὄμπνι α , Πολύμνι α , Ἰάμνι α , Λάμι α. ὅσα γὰρ ἔχει πρὸ τοῦ τέλους τὸ ι ὑπὲρ δύο συλλαβὰς ὄντα μὴ διὰ τοῦ τρια οὐκ ἐν συστολῇ ἔχει τὸ α , ἀλλ' ἐκτάσει, κακί α , φιλί α , κοπί α , ἐσχατι ά. τοῦ οὖν πότνια καὶ ὄμπνια καὶ τῶν τοιούτων ἢ ἡ πρὸ τέλους ἠλάττωται ἢ ἡ ἐπὶ τέλους. Τὰ ἀπὸ τῶν εἰς ης ὀξυτόνων διὰ τοῦ εια προπαροξύτονα συστέλλει τὸ α , παροξύτονα δὲ ἐκτείνει, εὐσέβεια καὶ εὐσεβί α , ἀμέλεια καὶ ἀμελί α , συνήθεια καὶ συνηθί α. τὸ μέντοι ἀμαθία μόνον παροξύνεται καὶ διὰ βραχέος ι γράφεται. * Τὰ διὰ τοῦ νια θηλυκὰ τῷ ι παραληγόμενα συστέλλουσιν αὐτὸ ἔχοντα μακρὸν τὸ α οἷον γωνί α , πενί α , ξενί α. σεσημείωται τὸ ἀνί α, ἐπειδὴ ἀπὸ τοῦ ἰῶ γίνεται, ὅπερ ἔχει μακρὸν τὸ ι .

3,1 532 τὸ δὲ κονία διφορεῖται. * Πᾶν εἰς α λῆγον θηλυκὸν ὄνομα ἔχον πρὸ τοῦ α ἕν τι τῶν διπλῶν ἢ τὸ ς ἢ τὸ ν , μὴ κατὰ πάθος ἢ διάλεκτον, ἔχει τὸ α συνεσταλμένον, χάλαζ α , ἅμαξ α , ἀμφίσβαιν α , Λάκαιν α , χαρίεσσ α , μοῦσ α. τὸ δὲ Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ καὶ ὅσα τοιαῦτα, ἐστὶ κατὰ πάθος, τὸ δὲ Ἑλένα καὶ ὅσα τοιαῦτα, ἐστὶ κατὰ διάλεκτον. * Τὰ εἰς α λήγοντα, ὁπότε ἔχει πρὸ τοῦ α διπλοῦν, δίχρονον δὲ πρὸ τοῦ διπλοῦ, πάντως συνεσταλμένον αὐτὸ ἔχει, ὡς τὸ ῥίζ α , σχίζ α , σπίζ α , δίψ α , Δούριζα λίμνη, Βόρυζα πόλις Περσική, Ἀράβυζα τῆς Καυκωνίδος πόλις, ὄρυζ α , φύζ α , ἄζ α , γάζ α , χάλαζ α. σημειῶδες ἄρα ἡ μᾶζα ἐκτείνουσα τὸ πρὸ τέλους α . * Τὰ εἰς σα λήγοντα θηλυκὰ εἴτε ἐπ' ὀνομάτων εἴτε καὶ ἐπὶ μετοχῶν, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον καταλήγουσαν, πάντως ἐκτεταμένον αὐτὸ ἔχει, πᾶσ α , πτᾶσ α , φῦσ α , δῦσ α , Τῖσ α , Κρῖσ α , κνῖσ α· οὐκ ἀγνοῶ δὲ ὅτι Πίσαν εἶπεν κατὰ συστολὴν Πίνδαρος (Ol. I 28). εἰ μέντοι εἰς σύμφωνον λήγει ἡ πρὸ τέλους συλλαβή, τὸ δίχρονον συστέλλεται, θάλασσ α , ἄνασσ α , πίσσ α , νύσσ α , λύσσ α. Τὰ διὰ τοῦ υρα θηλυκὰ ἀμοιβὴν ποιοῦνται τοῦ χρόνου· ἢ γὰρ ἐκτείνουσι τὸ υ καὶ συστέλλουσι τὸ α καὶ προπαροξύνονται, ἄγκυρ α , Κέρκυρ α , ὄλυρ α , γόργυρ α. ἢ ἐκτείνοντα τὸ α συστέλλει τὸ υ καὶ παροξύνεται, Ἐφύρ α , πορφύρ α , Ζεφύρ α. σεσημείωται τὸ κολλύρα τὰς δύο ἐκτεῖνον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν δισυλλάβων. πυρά ἐκτείνει τὸ α , συστέλλει δὲ τὸ υ , τό τε λύρα καὶ θύρα βαρυνόμενα, τὸ δὲ σφῦρα ἐκτεῖνον τὸ υ καὶ συστέλλον τὸ α . * Τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς ρα λήγοντα δισύλλαβα μὴ ἐπὶ τέλους ἔχοντα τὸν τόνον, εἰ μὲν διφθόγγῳ παραλήγεται, συστέλλει τὸ α , πεῖρ α , στεῖρ α , σπεῖρ α , σφαῖρ α , πρῷρ α, εἰ δὲ ἑνὶ φωνήεντι μακρῷ, ἐκτείνει αὐτὸ χώρ α , ψώρ α , χήρ α , πήρ α , ὤρ α , ὥρ α. Τὰ εἰς ρα μετ' ἐπιπλοκῆς συμφώνου ἐκτείνει τὸ α , Ἠλέκτρ α , ποτίστρ α , καλύπτρ α , ἐνέδρ α , κολυμβήθρ α. σεσημείωται τὸ Τάναγρα καὶ σκολόπενδρ α. * Τὰ εἰς κη λήγοντα θηλυκὰ δισύλλαβα μονογενῆ βαρύτονα, ὅτε ἔχει πρὸ τέλους τὸ ι , ἤτοι συνεσταλμένον ἔχει αὐτὸ ἢ ἐκτεταμένον. καὶ τότε μὲν συνεσταλμένον ὁπότε σύμφωνον ὁρᾶται πρὸ τοῦ κ καταλῆγον, τότε δὲ ἐκτεταμένον ὁπότε οὐχ οὕτως ἔχει. οἷον Κίρκ η , Δίρκ η , Τρίκκ η. συνέσταλται δὲ τούτων τὸ ι , ἐπεὶ σύμφωνον ἦν πρὸ τοῦ κ .

3,1 533 τοῦ δὲ ἑτέρου νίκ η , φρίκ η. ἡ τοίνυν δίκη σημειῶδες· λείπει γὰρ ἢ χρόνῳ ἢ συμφώνῳ. Τὰ διὰ τοῦ ινη ὑπὲρ τρεῖς συλλαβὰς ἐκτείνει τὸ ι , Αἰητίν η , θριδακίν η , ἡρωΐν η , ἰατρίν η , Ὠκεανίν η. τὸ εἰλαπίν η , Μολυβδίνη ὄνομα πόλεως συνέσταλται. ὑπὲρ τρεῖς συλλαβὰς ἔφην διὰ τὸ σατίνη, ἔστι δὲ εἶδος ἅρματος, καὶ τὸ Ἀσίν η, ἔστι δὲ ὄνομα πόλεως, καὶ μυρσίνη, οὐκ ἐκείνου ἀποφαινομένου ὡς τὸ τρισύλλαβον συστέλλει τὸ ι . πολλάκις γάρ ἐστι τὰ ἐκτείνοντα τὸ ι , ὡς ἔχει τὸ δωτίν η , ὑσμίν η , πυτίν η. Τὰ εἰς υνη θηλυκὰ δισύλλαβα ἐκτείνει τὸ υ , μύν η , Φρύν η , Βύνη πλὴν τοῦ τυν ή. τὰ δὲ ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ υ διὰ τοῦ συνη ὄντα, κερδοσύν η , βριθοσύν η , ὑποθημοσύν η , καλλοσύν η. εἰ δὲ μὴ ἔχοι τὸ ς πρὸ τοῦ υ , ἀδιάφορον ἔχει τὸν χρόνον. Δελφύνη γὰρ καὶ χελύνη ἐκτεταμένως, κορύνη δὲ καὶ Ταμύνη συνεσταλμένως ὡς τορύν η. ἐκτείνουσι δὲ Ἀττικοὶ τὸ τορύνη. * Τὰ εἰς τη λήγοντα δισύλλαβα μονογενῆ καθαρά, εἰ ἔχοι πρὸ τέλους τὸ α , συνεσταλμένον αὐτὸ ἔχει, πλάτ η , μάτ η, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ «οὔτι τοι μέτρον μάτας», Βατή δῆμος Ἀττικοῖς. ἀδιάφορα γὰρ τὰ τοῦ τόνου. σημειῶδες ἄρα τὸ ἄτη ἐκτεῖνον τὸ α . λέγεται δὲ καὶ τρισυλλάβως ἐν συστολῇ τοῦ α , ὡς παρὰ τῷ Κυρηναίῳ «εἴτε μιν Ἀργείων χρὴ καλέειν Ἀάτην». * Πᾶν εἰς α λῆγον οὐδέτερον ἑνικὸν συνεσταλμένον ἔχει τὸ α , βῆμ α , αἷμ α , ποίημ α , νόημ α. τὸ τοίνυν κάρα ἐκτεινόμενον ἐξ ἀποκοπῆς ἐστι τοῦ κάρανον. * Τὰ εἰς μα δισύλλαβα τῷ υ παραληγόμενα συστέλλειν αὐτὸ θέλει, πλύμ α , χύμ α , ῥύμ α , φύμ α , θύμ α , λύμ α. διὸ σημειούμεθα τὸ κῦμα μόνως ἐκτεινόμενον. ἱστοροῦσι μέντοι Ἀττικοὺς τὸ λῦμα ἐκτείνειν καὶ τὸ φῦμ α. * Πᾶν εἰς αν λῆγον οὐδέτερον τὸν χρόνον ἔχει τοῦ α τοῦ κατὰ τὴν γενικὴν τοῦ ἀρσενικοῦ, τάλανος τάλαν, μέλανος μέλαν, στάντος στά ν, βάντος βά ν. ποιητικῶς γὰρ ἐκτέτατο «ἵνα μὴ τὸ γῆρας ἐπαναβὰν αὐτὸν λάθῃ». ἐπεὶ οὖν παντός φαμεν κατὰ συστολὴν καὶ πάν ὀφείλομεν λέγειν κατὰ συστολήν, ὥσπερ Αἰολεῖς καὶ Δωριεῖς ἀποφαίνονται. ἡ μέντοι παρ' ἡμῖν ἔκτασις τοῦ α καὶ παρὰ τοῖς Ἀττικοῖς καὶ παρὰ τοῖς Ἴωσιν ἀφορμὴν ἔχει τὸν τόνον. διὰ γὰρ τὸ δέξασθαι τὴν περισπωμένην τοῦ πᾶς ἀρσενικοῦ ἐκτείνει τὸ α .

3,1 534 ὅταν μέντοι τὸ πᾶν δισυλλάβως λέγηται, τότε ἕξει τὸ α συνεσταλμένον, σύμπα ν , ἅπα ν. εὕρηται παρ' Ἀθηναίοις ἐκτεῖνον τὸ α . Τὰ διὰ τοῦ αριον ὑποκοριστικὰ παρὰ τοῖς παλαιοῖς Ἕλλησι συστέλλει τὸ α , ἱππάριο ν , πλοιάριο ν , φυτάριο ν. ἡ μέντοι νῦν συνήθεια ἀπὸ τῆς τῶν Ῥωμαίων διαλέκτου πολλὰ ἐπίσταται διὰ τοῦ αριον ἐκτεταμένα, σουδάριον λέγουσα καὶ κελλάριο ν. * Τὰ διὰ τοῦ υλον οὐδέτερα δισύλλαβα καθαρὰ μονογενῆ ἐκτείνει τὸ υ οἷον σκῦλο ν , φῦλο ν , κῦλο ν. σεσημείωται τὸ ξύλο ν. * Τὰ εἰς ας λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλονται, κρέα ς , τέρα ς , δέπα ς , κέρα ς. Τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἔχοντα πρὸ τοῦ τέλους τὸ α , συνεσταλμένον αὐτὸ ἔχει, δάο ς , φάο ς , χάο ς , ἄχο ς , σάκο ς , βάρο ς , πάθο ς , κράτο ς , θράσο ς. πλὴν τοῦ φᾶρος «φᾶρος μέν οἱ πρῶτον ἐΰπλυνὲς ἠδὲ χιτῶνα» (π 173)· οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ α καὶ συστέλλουσι. καὶ τοῦ πρᾶγο ς· τοῦτο δὲ παρὰ τὸ πρήσσω καὶ πράσσω γενόμενον συνεκτεινόμενον ἔσχε τῷ ῥήματι τὸ α . τὸ δὲ μᾶκος ἐστὶ κατὰ διάλεκτον ἐκ τοῦ μῆκος. * Πᾶσα αἰτιατικὴ ἀπαθὴς εἰς α λήγουσα συστέλλεσθαι θέλει, Ἀλκμᾶν α , ποιμέν α , Ἕκτορ α , θώρακ α , Αἴαντ α , Ἀχιλλέ α , βασιλέ α.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀττικοὶ μέντοι ἐκτείνουσι τὰς ἀπὸ τῶν εἰς ευς , Ἀτρέα λέγοντες καὶ ἱερέ α. πρόσκειται ἀπαθὴς διὰ τὸ χοᾶ καὶ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειρι ᾶ. * Τὰ εἰς ιν λήγοντα ἐν τῇ αἰτιατικῇ πάντα βραχέα ἐστίν, οἷον Εὔπολι ν , Ἄλεξι ν , ἔχι ν , Θέτι ν. οὕτω γοῦν καὶ μῆνιν, διὸ τὴν κνημῖδα καὶ σφραγῖδα οἱ Αἰολεῖς κνᾶμιν καὶ σφρᾶγιν λέγοντες μετὰ ὀλιγότητος συλλαβῶν συστέλλουσιν. Αἱ εἰς αι λήγουσαι εὐθεῖαι πληθυντικαὶ ἐκτείνουσαι τυγχάνουσι τὸ α τῶν αἰτιατικῶν, Σκύθαι Σκύθας, καλαί καλάς, οἱ δὲ Δωριεῖς συστέλλουσι Σκύθα ς , ναῦτα ς. * Τὰ εἰς ω λήγοντα καθαρὰ βαρύτονα ῥήματα, ὑπὲρ δύο συλλαβὰς ὑπάρχοντα, εἰ παραλήγοιτο τῷ ι , μόνῳ ἐκτεταμένῳ αὐτῷ παραλήγεται, χωρὶς εἰ μὴ σύνθετα εἴη ἢ κατ' ἔλλειψιν τοῦ ζ , κυλί ω , ἀλί ω , μηνί ω , δηρί ω , κονί ω , ἰδί ω. τὸ δὲ ἐσθίω συστέλλει τὸ ι . ἐφυλαξάμην δὲ σύνθετα διὰ τὸ ἀτίω τήν τε ἔλλειψιν τοῦ ζ διὰ τὸ μαστί ω. τὸ δὲ δειδίω οὐ ῥητόν. τὸ δὲ κηκίω ἐκ διπλασιασμοῦ «πολλὴ δ' ἀνεκήκιεν ἅλμη». * Τὰ εἰς πτω λήγοντα ῥήματα, εἰ ἔχοι τὸ ι πρὸ τοῦ τέλους, συνεσταλμένον αὐτὸ ἔχει, λίπτ ω , ἴπτ ω , χρίπτ ω· διὸ σημειούμεθα τὸ πίπτω καὶ ῥίπτ ω.

3,1 535 * Τὰ διὰ δύο σς παραγωγὰ ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα ὅτε ἔχει δίχρονον πρὸ τέλους συστελλόμενον αὐτὸ ἔχει, ἀράσσ ω , πατάσσ ω , χαράσσ ω , ἀλλάσσ ω , ἀφύσσ ω. δῆλον οὖν ὅτι καὶ τὸ θαάσσω ὀφείλει τὸ α συστελλόμενον ἔχειν. τὸ δὲ ἐλασσῶ περισπᾶται παρὰ τὸ ἔλασσον γενόμενον. διὸ βαρύτονα πρόσκειται. * Τὰ διὰ τοῦ αζω δισύλλαβα συστέλλει τὸ α , ὑπεσταλμένων τῶν Αἰολικῶν, διὰ τὸ πτάζω καὶ πλάζ ω, ὅθεν ἐπιπλάζω ἀντὶ τοῦ ἐπιπλήσσω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· στάζ ω , φράζ ω , βάζ ω , σφάζ ω. παραλόγως ἄρα τὸ κράζω ἐκτέταται. καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχει συνεσταλμένον τὸ α , χωρὶς εἰ μὴ ἔχοι πρὸς τῷ α τὸ ι , διὰ τὸ ματᾴζ ω , σφαδᾴζ ω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· σκιάζ ω , ἐνθουσιάζ ω , ἀγοράζ ω. τινὲς δὲ ἐκτείνουσι τὸ «ὅδ' ἀγοράζει κλεῖδ' ἔχων». τουτέστιν ἐν ἀγορᾷ διατρίβει, πρὸς διαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι. * Πᾶν ῥῆμα εἰς ζω λῆγον ἔχον πρὸ τέλους τὸ ι συνεσταλμένον αὐτὸ ἔχει, οἰκίζ ω , κιθαρίζ ω , πολεμίζ ω , ἐλπίζ ω , σκελίζ ω. τὸ μέντοι δανείζω διὰ τῆς ει διφθόγγου γράφεται, οὐ μέντοι διὰ ἐκτεταμένου τοῦ ι . Τὰ διὰ τοῦ ανω ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ α , λιμπάν ω , ἁνδάν ω , λαμβάν ω , μανθάν ω , λανθάνω, τὸ μέντοι ἱκάνω καὶ κιχάνω ἄλογον ἔχοντα τὸν πρῶτον χρόνον τοῦ ἀορίστου ἐκτείνει τὸν δεύτερον. Τὰ διὰ τοῦ υνω ῥήματα ὑπερδισύλλαβα βαρύτονα ἐκτείνει τὸ υ , ὀτρύν ω , μολύν ω. Τὰ εἰς σι λήγοντα ῥήματα μακρᾷ παραλήγει, ἱστᾶσ ι , κιχρᾶσ ι , ἑστήκασ ι , βεβασιλεύκασ ι , τετύφασ ι , γεγράφασ ι , νενοήκασ ι. ποιηταὶ δὲ ἐνίοτε συστέλλουσι, ὡς παρὰ Ξενοφάνει «ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες» καὶ πάλιν «ὁππόσα δὴ θνητοῖσι πεφήνασιν εἰσοράασθαι», καὶ παρ' Ἀντιμάχῳ «οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ» καὶ παρὰ Ὁμήρῳ (λ 304) «τιμὴν δὲ λελόγχασ ι». τοιοῦτον δὲ καὶ τὸ «ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασ ι» (η 114) καὶ ἕτερα πλεῖστα. * Τὰ διὰ τοῦ σκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουσαν «ὧδε δέ τις εἴπεσκ ε» (Β 271) καὶ «τὴν αὐτὸς φορέεσκ ε» (Il. Ο 646). οὕτως καὶ ἔασκ ε. * Πᾶς δεύτερος ἀόριστος ἐπὶ τῶν εἰς μι μακροκατάληκτός ἐστιν, ἔγνω ν , ἑάλω ν , ἐξέτρω ν , ἔτλη ν , ἔστη ν , ἔδη ν , ἔφη ν .

3,1 536 ἔφυν ἄρα καὶ ἔδυ ν. * Τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα μὴ κατὰ Αἰολίδα διάλεκτον τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν φιλεῖ πρὸ τέλους βραχύνεσθαι, λέγεσθα ι , τίθεσθα ι , ἵστασθα ι , πίμπρασθα ι. τὰ γὰρ τοιαῦτα δίζησθα ι , φίλησθαι ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. οὕτως οὖν καὶ ταῦτα ἀναγνωστέον τῆς παραληγούσης βραχυνομένης, δεδάασθα ι , μηχανάασθα ι , αἰτιάασθα ι , ἑδριάασθα ι , μνάασθα ι. τὸ δὲ δηριαάσθων (Φ 467) τὸ δεύτερον α ἐκτατέον. τοῦτο γὰρ ὁ χαρακτὴρ βούλεται. * Αἱ εἰς ς λήγουσαι μετοχαὶ ἀρσενικαὶ ἤτοι βραχυκατάληκτοί εἰσιν, ὡς αἱ εἰς ος λήγουσαι, τυπτόμενο ς , λεγόμενος ἢ μακροκατάληκτοι ὡς αἱ μὴ οὕτως ἔχουσαι, πεποιθώ ς , διδού ς , βιού ς· εἰ δὲ εἰς δίχρονον λήγουσιν, ἐκτεταμένον αὐτὸ ἔχουσιν, ἱστά ς , βιβά ς , ζευγνύ ς , δύ ς , φύ ς. * Τὰ εἰς ζε λήγοντα ἐπιρρήματα, ὁπότε ἔχει πρὸ τέλους τὸ α ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνεσταλμένον αὐτὸ ἔχει, Ἀθήναζ ε , θύραζ ε , Θήβαζ ε , ἔραζ ε. τὸ μέντοι χαμᾶζε ἐκτείνει τὸ α καὶ προπερισπᾶται. * Τὰ εἰς τι λήγοντα ἐπιρρήματα, εἰ γένοιτο ἀπὸ τῶν εἰς ζω ληγόντων ῥημάτων ἢ ἀπὸ τῶν εἰς ως ἐπιρρημάτων, συστέλλειν θέλει τὸ ι , Ἰαστ ί , Λυδιστ ί , Φρυγιστ ί , Δωριστ ί , μεγαλωστ ί , δημιωστ ί , ἱερωστ ί , νεωστ ί. τὸ μέντοι ἀπνευστί καὶ ἀνωιστί παρὰ τὸ ἄπνευστος καὶ ἀνώϊστος. τὰ δὲ ἀπὸ τῶν πτωτικῶν οὕτω μηκύνεται, ὡς ἔχει τὸ ἀκονιτ ί , ἀναιμωτ ί , ἀκλαυτ ί , πανθοιν ί , ἀκριτ ί , ἀμογητ ί. τὸ ι δὲ ἔσθ’ ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ «Νέστωρ δ’ ὁ γέρων ἀμογητί» καὶ τὰ ἑξῆς (Λ 636). οὕτω δὲ καὶ ἀμισθί «ἀμισθὶ γάρ σε πάμπαν». * Τὰ εἰς αν λήγοντα ἐπιρρήματα ἐκτείνουσι τὸ α , ἄγα ν , λία ν , πέρα ν , εὔά ν, ὑπεσταλμένου τοῦ πάμπα ν. τὸ γὰρ ὅταν δύο μέρη λόγου ἐστί, ὅτε καὶ ἄν. τὸ δὲ τάλαν ὀνοματικόν ἐστι. * Τὰ εἰς υς ἐπιρρήματα εἰ λέγοιτο ἄνευ τοῦ ς ἰσόχρονα λέγεται, μεσσηγύς μεσσηγύ. τὸ μέντοι ἄντικρυς μεταβαλὸν τὸν τόνον μετέβαλε καὶ τὸν χρόνον. Περὶ πνευμάτων. Πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, ὅ, ο ὗ, ᾧ. τὸ δὲ ὦ ψιλοῦται, οὐ γὰρ ἄρθρον, ἀλλ’ ἐπίρρημα κλητικόν. Πᾶσα ἀντωνυμία ἀποβαλλομένη τὸ ς δασύνεται, σός ὅς, σοῦ οὗ, σέθεν ἕθε ν.

3,1 537 Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπό καὶ ὑπέρ οἷον ἀντ ί , ἐπ ί , ἀμφ ί , ἀπ ό , ἐ ν , ἐ ξ. * Τὰ πλεονάζοντα φωνήεντα ἐν λέξεσι ταῖς ἀπὸ φωνήεντος δασυνομένου ἀρχομέναις μεταληπτικὰ γίνονται τοῦ δασέος πνεύματος οἷον ἥνδανεν ἑήνδανε ν , ἕερσ α , ἕεδν α , ἑώρω ν. Τὸ υ πλεονάζον ψιλοῖ τὰ πρὸ αὐτοῦ φωνήεντα, ὅρος οὗρος, ἕκηλος εὔκηλος, ὁδός οὐδός, ἕαδε εὔαδ ε, ὅλος οὖλο ς. * Τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται, αἶσχο ς , ἦθο ς , εὖρο ς , εἶδο ς. οὕτως οὖν καὶ ἦδος ἀπὸ τοῦ ἡδονή μετασχηματιζόμενον. Πᾶν φωνῆεν πρὸ τοῦ χ ψιλοῦται, ἔχ ω , ἄχο ς , ἠχ ώ. τὸ γὰρ ἧχι δασύνεται, ὅτι κατ’ ἐπέκτασίν ἐστι τῆς χι . τὸ δὲ υ καθαρὸν ἐν ἀρχῇ λέξεως παρὰ πᾶσιν Ἕλλησι πρὸ τοῦ χ εἶναι ἀπείρηται. καὶ τὸ αἴτιον ἐχυρόν. πᾶν γὰρ φωνῆεν πρὸ τοῦ χ ψιλοῦται καὶ τὸ υ ἐν ἀρχῇ λέξεως δασύνεται, δύο οὖν κανόνων ἀλλήλοις ἀνθισταμένων ἐξέφυγεν τὸ υ πρὸ τοῦ χ καθαρὸν εὑρίσκεσθαι. Τὸ ε καὶ ο πρὸ δασέος ψιλοῦται, ὄφι ς , ἔθνο ς , Ἔφεσο ς. Πᾶν φωνῆεν, πλὴν τοῦ υ , ἐπαγομένων δύο δασέων, ἢ δασέος σὺν ἀμεταβόλῳ ψιλοῦται, ἴφθιμο ς , ἄφν ω , ἰχθῦ ς. σεσημείωται τὸ ἑφθό ς. Πᾶν φωνῆεν πρὸ δασέος καὶ τοῦ ρ ψιλοῦται, ὀφρῦ ς , ἀφρό ς , ὄφρ α , ἀθρῶ «ἡ δ’ οὔτ’ ἀθρῆσαι δύνατο» (Od.

3,1 538 τ 478). τὸ ἁθρόος, ὅτε ἐπιτατικὸν ἔχει τὸ α , δασύνεται παρ’ Ἀττικοῖς. Πᾶν φωνῆεν εἰς ρ λῆγον ἐπιφερομένου δασέος ψιλοῦται, ἄρχ ω , ἔρχομα ι , ὄρχο ς , ὀρφανό ς , ὕρχα τὸ ταριχηρὸν ἀγγεῖον. Ἀττικοὶ δὲ δασύνουσι τὸ εἱρκτή εἱρχθῆνα ι. * Τὰ φωνήεντα καταλήγοντα εἰς τὸ ρ ἐπιφερομένου τοῦ ς ψιλοῦσθαι φιλεῖ, ἄρσαντε ς , Ἀρσινόη «ἐς δὲ σταθμοὺς ἄρσ ε» (Od. φ 45), ὄρσας « ὄρσεο κυλλοπόδιον» (Il. Φ 331). ταύτῃ ἀναλογώτερον τὸ ἕερσα τρισυλλάβως. * Τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ ἐπιφερομένου τοῦ μ δασύνεται, ὅρμο ς , ἅρμ α , Ἑρμῆ ς , ὁρμαθό ς. ἔνθεν ἡ πλείων χρῆσις τὸ ἁρμοῖ δασύνει. τὸ μέντοι ἄρμενον καὶ ὅρμενον ψιλὸν πνεῦμα ἀνεδέξατο. καὶ τὸ ἔρματα (Α 486) εἰ καὶ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλοῦται, ὥς τινες. * Τὰ α καὶ τὸ ε καταλήγοντα εἰς τὸ ρ ἑπομένου τοῦ π δασύνεσθαι ἤθελεν, ὡς ἔχει τὸ ἅρπ η , ἁρπάζ ω , ἁρπαλέο ς , ἑρπετό ν , ἑρπύζ ω , Ἅρπυια καὶ τὸ ὄρπηξ τούτοις ἐξομοιοῦντές τινες ἠθέλησαν δασύνειν, οἷς οὐκ ἐπείσθη ἡ παράδοσις, ἀλλὰ τῇ ἐτυμολογίᾳ· παρὰ γὰρ τὸ ὄρω πλεονασμῷ τοῦ π γεγένηται τὸ ὄνομα. * Τὸ ε καὶ α πρὸ τοῦ ρ φωνήεντος ἐπιφερομένου ψιλοῦται, ἔρο ς , ἄρ ω. Πᾶν φωνῆεν πρὸ τοῦ γ ψιλοῦται, πλὴν τοῦ η καὶ υ , ἀγορ ά , ἄγα ν , ὠγύγιο ς , ἐγγύ ς. τὸ μέντοι ἁγνός καὶ ἅγιος τοῦ ἅζω ῥήματος τὴν δασεῖαν ἐφύλαξαν. * Πᾶν φωνῆεν καταλῆγον ἢ εἰς ν ἢ εἰς γ , τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ συμφώνου, ψιλοῦται, ἀντίο ς , ἐννέ α , ἔγχος, τοῦ ἁνδάνω ὑπεξαιρουμένου.

3,1 539

Eulogikon public reading copy · View original HTML at eulogikon.org

* Τὰ φωνήεντα ψιλοῦσθαι θέλει ἐπιφερομένου τοῦ ς ἔχοντος ἓν τῶν δασέων, ὀσφῦ ς , ὀσφραίνεσθα ι , ἀσφόδελο ς , ἀσφάραγο ς , ἀσχάλλ ω , ὀσχεό ς , ἴσχ ω , ἰσχύ ς , ἀσθενή ς , ἐσθλό ς , ἆσθμ α , ἔσθ ω , ἔσθο ς , ἐσθή ς. Τὸ α ι ο ἐπαγομένου τοῦ ψ ψιλοῦται, ἄψορρο ν , ἴψα ς , ὀψ έ. τὰ δὲ παρὰ τὸ ἅψω δασύνεται, ἅψε α , ἁψί ς. Τὸ α ι η ο πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν ψιλοῦται, ἀάπτου ς , ἀήσυλ α , ἀΐσσ ω , ἰάπτ ω , ἰατρό ς , ἠΐθεο ς , Ἠετίω ν , ἠέλιο ς , ὀΐ ω , ὀϊστό ς. σεσημείωται τὸ ἵημι καὶ ὅσα γέγονε παρ’ αὐτό, ἱερεύ ς , ἱέρα ξ , ἱόμωρο ς. καὶ τὸ ἰάλλω Ἀττικοὶ δασύνουσι. Τὸ στερητικὸν α ψιλοῦται, ἄφιλο ς , ἄοικο ς , ἀλίαστος πλὴν τοῦ ἅλυσις καὶ Ἅιδη ς. * Τὸ α πρὸ τοῦ γ ψιλοῦται, οἷον ἀγανό ς. * Τὸ α πρὸ τοῦ δ ὂν καὶ μὴ ἔχον στερητικὴν ἔννοιαν ἢ κρᾶσίν τινα δασύνεσθαι θέλει, στερητικὴν μὲν οὕτως, ἀδαή ς , ἀδρανή ς , ἀδευκή ς , ἀδολέσχης, κατὰ κρᾶσιν Ἅιδη ς. μὴ οὕτως δὲ ἔχον « ἅδε Ἕκτορι μῦθος ἀπήμων» (Il. Μ 80), ἅδος δέ μιν ἵκετο θυμὸν (Il. Λ 88), ἅδη ν , ἁδινό ς , ἁδρό ς , ἁδήν ἡ νόσος. διὸ καὶ τὸ Ἅδωνις κρεῖττόν ἐστι δασύνειν, ἵνα καὶ παρὰ τὸ ἁδεῖν τῇ δαίμονι ἐτυμολογηθῇ. μάχεται τὸ ἀδράφαξυς δεκτικὸν ἔχον τὸ α καὶ δασυνόμενον καὶ τὸ Ἁδρίας ψιλούμενον. Τὸ α πρὸ τοῦ ζ ψιλοῦται, τὸ ἄζω ἐπὶ τοῦ ξηραίνω ψιλοῦται, ἐπὶ δὲ τοῦ σέβομαι δασύνεται, ἅζ ω.

3,1 540 Τὸ α πρὸ τοῦ κ ψιλοῦται, ἀκο ή , ἄκμω ν , ἀκόν η. Τὸ α πρὸ τοῦ λ ἑνὸς ἢ δισσοῦ ψιλοῦται οἷον ἄλλο ς , ἀλλότριο ς , ἀλύω «δινεύεσκ’ ἀλύων» (Ω 12), « ἄλετα ι» (Λ 192), ἀλήμενα ι. ἠλόγητο τὸ ἅλλομαι δασυνόμενον καὶ τάχα μὲν τὸ ἆλτο ἀπέλαβε τὸ προοφειλόμενον πνεῦμα· τάχα δ’ ὅπερ καὶ μᾶλλον, ἐπεὶ τὸ α καταλῆγον εἰς λ ἐπιφερομένου στοιχείου ἑνὸς τῶν τῆς τρίτης συζυγίας ψιλοῦται « Ἄλτεω ὃς Λελέγεσσι» (Il. Φ 86), «ληΐου ἀλδήσκοντο ς» (Il. Ψ 599), » ἄλθετο χείρ» (Il. Ε 417)· ἔνθεν τινὲς καὶ τὸ «ὃς τοῦτον τὸν ἄναλτο ν» (Od. ς 114) ψιλῶς προφέρονται. δασύνεται τὸ ἅλς καὶ τὰ παρ’ αὐτό, ἅλιος παρὰ τὴν ἁλός γενικὴν ποιητικῶς μετενεχθέν. σημαντικὸν δέ ἐστι τοῦ ματαίου, ἐπεὶ οὐκ εὔχρηστον εἰς πόσιν τὸ θαλάσσιον ὕδωρ, τὸ γοῦν ἐναντίον πότιμον καὶ ποταμός λέγεται. Ἁλίζωνε ς . Ἁλα ί, ὡς καὶ ἐν δράματι Μενάνδρου ἀπὸ τοῦ Ἀραφηνίσιν Ἁλαῖς διακεῖσθαι τὰ πράγματα, ὅ ἐστι τόπος Ἀττικῆς. τὸ Ἀλήϊον (Ζ 201) οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ ἅλας ἐκεῖ πήγνυσθαι· βέλτιον δὲ τὸ πρότερον. τὸ ἀλω ή, εἰ μὲν σημαίνει τὴν ἅλωνα, δασύνεται, εἰ δὲ τὴν ἀμπελόφυτον γῆν, ψιλοῦται. Ὁμοίως καὶ τὸ ι πρὸ τοῦ λ ἑνὸς ἢ δισσοῦ ψιλοῦται, ἴλλειν καὶ τὸ ω , ὦλλος καὶ τὸ ε . σεσημείωται τὸ Ἕλλη ν , Ἑλλά ς. * Τὸ α πρὸ τοῦ μ ἢ ἑνὸς ἢ δισσοῦ ψιλοῦται, ἀμνό ς , ἄμαχος πλὴν τοῦ ἅμα καὶ τῶν ἐξ αὐτοῦ, ἁμαρτ ῇ , ἁματροχι ά. τὸ δὲ ἄμαξα εἰς ἰδιότητα ἐψίλωσαν οἱ πρὸ ἡμῶν, ἐπεὶ ἡ συναλοιφὴ οὕτως εὑρέθη «τιλλέσθην ἐπ’ ἄμαξαν» (Ω 711) καὶ «οἱ δ’ ὑπ’ ἀμάξῃσιν» (Ω 782) ὥσπερ καὶ τὸ ἅλυσις ἐκ τοῦ ἐναντίου ἐδασύνθη εἰς ἰδιότητα. Ἀττικοὶ μέντοι οἱ νεώτεροι τὴν ἅμαξαν δασύνουσιν, ἴσως διὰ τὸν σχηματισμὸν καὶ διὰ τὸ φιληδεῖν τῇ δασείᾳ· ἔνθεν παρ’ αὐτοῖς καὶ ἡ συναλοιφὴ διὰ δασέος «καθημαξευμένα».

3,1 541 τὸ ἄμυδις ψιλωτέον καίτοι παρὰ τὸ ἅμα γενόμενον, ἐπεὶ Αἰολικὸν χαρακτῆρα ἀνεδέξατο. Νικίας μὲν καὶ Πάμφιλος δασύνουσιν, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο. ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦσιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων πολλάκις μετασχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα ἦμαρ, ἡδονή ἦδος. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς «πάντ’ ἄμυδις κεφαλῆς» (Il. Μ 385). ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο, ὡς ὅτι τὸ ἄλλυδις καὶ ἄμυδις καὶ ἐξαιρέτως τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ᾗ διὰ τοῦ υ ἐξηνέχθησαν. ἐχρῆν οὖν ἁμάδις τι εἶναι ὡς χαμάδις. τροπὴ δὲ ἐγένετο τοῦ α εἰς τὸ υ , ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. —τὸ ἁμαρτάνω δείκνυται καὶ ἐκ τῆς συναλοιφῆς δασυνόμενον, ἐφαμαρτάνω γάρ. τὸ δὲ ἀμόν (Ζ 414) Δημήτριός φησι ἀντὶ τοῦ ἐμόν. διὸ καὶ ἄντικρυς ψιλοῖ. πιθανώτερον δέ ἐστι Δωρικώτερον εἶναι ἀντὶ τοῦ ἡμέτερον ἁμόν. οὕτως Ἀπολλώνιος. Τὸ α ἐπιφερομένου τοῦ ν ψιλοῦται, ἄνεμο ς , ἀντίο ς , ἄνυσις πλὴν τοῦ ἁνδάν ω. τὸ ἁνύω Ἀττικοὶ δασύνουσι. Τὸ α

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπαγομένου τοῦ ρ μετὰ φωνήεντος ψιλοῦται, ἄραβο ς , ἀρετ ή , ἀριθμό ς. τὸ δὲ «χεῖρα ἀραιή ν» (Ε 425) δασύνεται. ἀπὸ γὰρ τοῦ ῥαίω ῥήματος, ὃ δηλοῖ φθείρω, γέγονε ῥαιός καὶ ἐν πλεονασμῷ τοῦ α ἁραιός μετελθούσης τῆς δασείας τοῦ ρ εἰς τὸ α , καθὼς καὶ ἐπὶ τοῦ ῥέζω ἔρδω. Τὸ α ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσιν, ἐπαγομένου τοῦ ς ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται, Ἀσί α , ἄστ υ , ἀστράγαλο ς , ἀσάμινθο ς. τὸ ἅσσ α, ὃ δηλοῖ τὸ ἅτινα, παραλόγως δασύνεται «ἅσς' ἐθέλησθα» (Α 554) Ἀρίσταρχος μέν φησι τρία σημαίνειν τὴν λέξιν, τινά, ἅτινα, ὅσσα καὶ ἀεὶ ψιλοῦσθαι. δασύνεται δὲ ὅτε δηλοῖ τὸ ἅτινα καὶ ἔστι δύο μέρη λόγου, τὸ α ἄρθρον καὶ τὸ σα , ὅ ἐστι Μεγαρικόν, δηλοῦν τὸ τινά. Τὸ α πρὸ τοῦ τ ἑνὸς ἢ διττοῦ ψιλοῦται πλὴν τοῦ ἅτε καὶ ἅτερο ς.

3,1 542 Τὸ α πρὸ δασέος ψιλοῦται. σεσημείωται τὸ ἁφή καὶ τὰ παρ' αὐτοῦ. Τὸ ε κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀποπῖπτον ψιλοῦται, ἔλεγον λέγον, ἔστην στῆν « ἔσταν ἅπαντες» (Α 535), ἐπεὶ γίνεται «στὰν δὲ μεταστοιχεί» (Il. Ψ 328), ἔστησα, ἐπεὶ «στῆσε δ' ἐν Ἀμνισῷ ποταμῷ» (Od. τ 188), τὸ δὲ «ἕστασαν» (Β 777), δασύνεται, ἐπειδήπερ τὸ αὐτὸ ἐστὶ τῷ ἑστήκεσαν, τὸ δὲ ε τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου ἐπὶ τούτου τοῦ ῥήματος δασύνεται. τὸ δὲ ἑήνδανε καὶ ἑώρω ν , ἑέσσατο (Il. Κ 177) οὐκ ἐκ κλίσεως, ἀλλ' ἐκ πλεονασμοῦ. Τὸ ἐν ἀντωνυμίαις ε πρὸ συμφώνου ψιλοῦται, ἐμο ί , ἐκεῖνος, πλὴν τοῦ ἕθε ν. Τὸ ε τῶν ἀριθμῶν δασύνεται, ἕ ν , ἕ ξ , ἑπτά καὶ τὰ λοιπὰ πλὴν τοῦ ἐννέα καὶ ἐννενήκοντ α. καὶ καθόλου εἰπεῖν, πᾶς ἀριθμὸς ἀπὸ φωνήεντος ἀρχόμενος δασύνεται. * Τὸ ε πρὸ τοῦ θ οὐ δασύνεται, ἔθων (Ι 540), καθότι ἐδιδασκόμεθα καὶ ἐκ τῆς συναλοιφῆς «ἥ ἑ μάλιστ' εἴωθ ε» (Ε 766), εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆς τοῦ ς , σέθεν ἕθε ν. * Τὸ ε πρὸ τοῦ κ δασύνεται μὴ ὂν ἐκ κλίσεως ὡς ἐκάλου ν , ἔκρινον, ἢ προθέσεως ὡς ἔκπωμ α , ἐκτός ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι, ὡς ἐκεῖνο ς , οἷο ν , ἑκά ς , Ἑκάβ η , ἕκηλο ς , ἑκυρό ς , ἕκαστο ς. μάχεται τὸ ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήσιον τὸ κ , ἀπὸ τοῦ ἔχειν γενόμενον. Τὸ ε ἐπιφερομένου τοῦ μ ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν ψιλοῦσθαι θέλει, ἔμπλη ν , Ἔμπουσσ α. * Τὸ ε πρὸ τοῦ ἑνὸς ν ψιλοῦσθαι θέλει οἷον Ἐνυ ώ , ἔνδιο ι , ἔνατος ὁμοίως δὲ καὶ τὸ η , χωρὶς τῶν συνδέσμων καὶ εἰ μὴ ἐκ κλίσεως εἴη οἷον «ἤνις ἠκέστας» (Il.

3,1 543 Ζ 94). τὸ ἡνί α, ἐπειδὴ παρὰ τὸν ἥσω μέλλοντα γίνεται, ὁμοίως τῷ ποιήσαντι ἐδασύνθη. πρόσκειται χωρὶς τῶν συνδέσμων διὰ τὸ ἕνεκα καὶ εἵνεκα, ταῦτα γὰρ δασύνονται, καὶ χωρὶς εἰ μὴ ἐκ κλίσεως εἴη διὰ τὴν ἕντος μετοχήν. αὕτη γὰρ δασύνεται. * Τὸ ε πρὸ τοῦ ξ , ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξι ς , ἑξῆ ς , ἕξ ω. οὕτως καὶ τὸ Ἐξάδιος (Α 264) πρὸς τὸν χαρακτῆρα ἐχρῆν δασύνεσθαι, χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι. Τὸ η ἐν τροχαϊκῇ λέξει, ἀμεταβόλου ἐπαγομένου, ψιλοῦται, πλὴν τῶν παρὰ τοῦ ἥσω μέλλοντος, ἦμαρ Σοφοκλῆς (Ai. 475) Τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει, προσθεῖσα κἀναθεῖσα τοὖγε κατθανεῖν; ἦμο ς , ἦνι ς , ἦρ α. τὸ ἧλος παρὰ τὸ ἵημι καὶ ἥσω. * Ἀεὶ τὸ η πρὸ φωνήεντος ψιλοῦται, ἠώ ς , ἤϊ α. ταύτῃ καὶ τὸ «ἥ τε ξείνων Θέμις ἐστί» (Od. ι 268) δασύνεται, τὸ δὲ ἠΰτε ψιλοῦται, καὶ τὸ ἕως δασύνεται, τὸ δὲ ἠώς ψιλοῦται, καὶ τὸ ἥλιος δασύνεται, τὸ δὲ ἠέλιος ἐψιλώθη· ὥστε τὸ « ἤϊε Φοῖβε» (Ο 365) εἴτε ἐκ τοῦ ἥϊος δασυνομένου ἐστίν—ἀπὸ τῆς ἕσεως τῶν βελῶν, ὡς Ἀρίσταρχος— εἴτε ἐκ τοῦ ψιλουμένου—ἀπὸ τῆς ἰάσεως, ὡς οἱ περὶ τὸν Κράτητα —πρὸς τὸν χαρακτῆρα μόνως ψιλωτέον. * Τὸ η πρὸ δασέος ψιλοῦται, ἦθο ς. τὸ δὲ ἡθμός δασύνεται τῇ ἐννοίᾳ τοῦ ἥσω μέλλοντος δασυνομένου. καὶ τὸ Ἥφαιστος δασύνεται διὰ τὴν ἐτυμολογίαν. παρὰ γὰρ τὸ ἅπτω ἐγένετο. * Τὸ η πρὸ τοῦ κ δασύνεται.

3,1 544 τὸ δὲ ἥκιστα (Ψ 531) ψιλοῦται παραλόγως, δασύνεται δὲ Ἀττικῶς, ἐπειδὴ ἐκ τοῦ ἡσσῶ τοῦ δασυνομένου γίνεται. δείκνυται δὲ ἐκ τῆς συναλοιφῆς δασυνόμενον. «οὐχ ἥκιστα» γάρ. Τὸ η πρὸ τοῦ λ ψιλοῦται, ἠλίβατος ἀπὸ τοῦ ἀλιτεῖν ἐσχηματισμένον· οἱ μέντοι δασύνοντες ἐτυμολογοῦσι παρὰ τὸν ἥλιον, τὴν ἡλίῳ βατὴν οὖσαν μόνῳ· οὐκ ἐπείσθη δὲ ἡ παράδοσις, ὡς πρόδηλον ἐκ τῆς συναλοιφῆς «τὸν μέν τ' ἠλίβατος πέτρη» (Ο 273), ἠλιτόμηνος, πλὴν τοῦ ἥλιο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ς· τὸ δὲ Ἦλι ς, ἀφ’ ἧς οἱ Ἠλεῖοι, διφορεῖται κατὰ τὸ πνεῦμα. καὶ δασύνεται γάρ. ἀπὸ τοῦ ἁλίζω τὸ ἀθροίζω διὰ τὸ πολλοὺς ἐκεῖ ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων ἀθροίζεσθαι. καὶ ψιλοῦται μάλιστα διὰ τὸν χαρακτῆρα. ὡσαύτως καὶ Ἡλιαία δικαστήριον Ἀθηναίων παρὰ τὸ «ἁλέες δεῦτε» παραγωγὸν ἁλία καὶ ἡλιαία. * Τὸ η πρὸ τοῦ μ δασύνεται καὶ ψιλοῦται, ἡμέρα δασύνεται, τὸ δὲ μετασχηματιζόμενον ἦμαρ ψιλοῦται, ἥμην ἐπὶ τοῦ καθῆσθαι δασύνεται, τὸ δὲ σημαντικὸν τοῦ ὑπάρχειν, ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν τῶν Ἑλλήνων, ὁ μέντοι ποιητὴς οὐκ ἐχρήσατο, ψιλοῦται. τὸ ἥμονες ἀκοντισταὶ καὶ ῥήτορες καὶ ὀρχησταὶ δασυντέον. τὸ θέμα ἵημι. παρὰ τὸν ἥσω μέλλοντα «ἥσω γὰρ καὶ ἐγώ» (Il. P 515), παρὰ δὲ τοῦτο καὶ τὸ ἧμα ἐγεγόνει πάλιν δασυνόμενον «καὶ ἥμασιν ἔπλευ ἄριστος» (Ψ 891) καὶ ἡμοσύνη καὶ μεθημοσύνη. Τὸ ι πρὸ δασέος ψιλοῦται, ἶφι ς , ἰχθῦ ς , ἰχανόω ν. * Τὸ ι πρὸ τοῦ στ μόνου δασύνεται, ἱστ ῶ , ἱστίο ν , ἵστημ ι , ἵστω ρ. πρόσκειται τὸ μόνου, ἐπεὶ τὸ Ἴστρος ψιλοῦται. Τὸ ο πρὸ τῶν διπλῶν ψιλοῦται, ὄξο ς , ὀψ έ , ὄζαιν α. Τὸ ο πρὸ τοῦ ν ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, ὄνυ ξ , ὄνα ρ , ὄνομ α.

3,1 545 Τὸ ο πρὸ τοῦ π ψιλοῦται, εἰ μὴ τὸ λ ἐπάγοιτο, ὀπίσ ω , ὀπιπεύ ω , ὀπ ή , ὀπώρ α· παρὰ τὸ ἕπω δασυνόμενον ψιλούμενον ἐγένετο ὀπάω ν. οὕτως ἔχει καὶ τὸ ὄπατρο ς· οὐκ ἔστι δὲ ψιλωτέον ὡς οἴονται διὰ τὴν συγκοπήν. πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι. ἀλλὰ καὶ δασύνεται, ἑστήκαμεν ἕσταμεν, Ἡράκλεες Ἥρακλες. πρόσκειται «εἰ μὴ τὸ λ ἐπάγοιτο» διὰ τὸ ὁπλή καὶ ὅπλον καὶ τὰ ἀπὸ τούτων παρηγμένα. τὸ δὲ ὁπόσο ς , ὁποῖο ς , ὅπως καὶ τὰ ὅμοια ὡς ἀναφορικὰ δασύνεται. Τὸ ο ἐπιφερομένου τοῦ ρ ψιλοῦται, ὄρος τὸ οὐδέτερον, ὄρυζ α , ὀρεύ ς , ὀρέγ ω , Ὀρέστης, πλὴν τοῦ ὁρῶ ὁρᾷς καὶ ὅρος ἀρσενικὸν ὅπερ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω γέγονεν. καὶ γὰρ ὁ ὅρος εὐόρατα καὶ εὔοπτα ποιεῖ ἡμῖν τὰ ὁριζόμενα. καὶ ὁρίζω καὶ ὅρκος ἐκ τοῦ ὅρος. καὶ γὰρ οἱ ὀμνύοντες ὁρίζονται καὶ ὀμνύουσιν. Τὸ ο πρὸ τοῦ τ ψιλοῦται, ὀτρηρό ς , ὀτοτύζει ν , ὄτλο ς. οὐ μάχεται τὸ ὅτε καὶ ὅτι δασυνόμενα. Τὸ υ πάσης λέξεως ἄρχον δασύνεται πλὴν τῶν Αἰολικῶν. τὸ ὐββάλλειν ψιλωτέον. ἔστι γὰρ Αἰολικόν. καὶ ὔμμες ψιλωτέον· ἡ γὰρ λέξις Αἰολική. τὸ υ καθαρὸν ἐν ἀρχῇ λέξεως παρὰ τοῖς Ἕλλησιν πρὸ τοῦ χ ἀπείρηται. καθαρὸν δὲ εἶπον, ἐπεὶ τὸ ὕρχα οὐ καθαρὸν ἔχον τὸ υ εὕρηται. πρὸ τοῦ ζ ἢ ξ ἢ ψ τὸ υ οὐχ εὕρηται, εἰ μὴ ἐν τῷ ὕψο ς. γεγονέναι δὲ καὶ αὐτό φασι παρὰ τὸ ὄπτω τὸ βλέπω, ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος. Ἡ αυ δίφθογγος ψιλοῦται, αὔξ ω , αὐδ ῶ , αὐτό ς , αὔριον, πλὴν τοῦ αὕτη βαρύτονον ἀπὸ τοῦ οὗτος καὶ αὑτόν ἀντὶ τοῦ ἑαυτόν. τὸ αὔω ἐπὶ τοῦ φωνεῖν ψιλοῦται, ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν τάσσηται, τότε δασυντέον ἐστί.

3,1 546 Ἡ ει δίφθογγος ψιλοῦται οἷον εἶδο ς , εἰκάζ ω , εἴρων καὶ τὰ λοιπὰ πλὴν τοῦ εἱρκτ ή , Εἵλως ὁ δοῦλος καὶ εἱκώς ὁ πέμψας, καὶ εἱλίζω τὸ συστρέφω, καὶ εἱλόμην καὶ εἷμα τὸ ἱμάτιον, καὶ εἱμένος ὁ ἐνδεδυμένος καὶ εἷνα τὸ ἕνα καὶ εἵποντο ἀντὶ τοῦ ἠκολούθουν καὶ εἷσεν ἀντὶ τοῦ ἐκάθισεν, εἱστήκει καὶ εἵως ἀντὶ τοῦ ἕως καὶ εἵατο καὶ εἵλη ἡ θερμασία καὶ εἱαμενή ἀπὸ τῆς ἕσεως τῶν ὑδάτων. σεσημείωται καὶ τὸ εἷς ἀριθμητικόν. Ἡ ευ δίφθογγος ψιλοῦται, οἷον εὐλή εὐλαί οἱ σκώληκες, εὐδί α , εὐθεῖ α , εὐν ή , εὐχ ή , εὖρο ς , εὔκηλος καὶ τὰ λοιπὰ πλὴν τοῦ εὕδω τὸ καθεύδω καὶ εὕω τὸ φλογίζω καὶ εὕρ ω, ἀφ’ οὗ καὶ εὑρίσκω. καὶ εὗ ἀντὶ τοῦ ἑαυτοῦ κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον Δωρικῶς. Ἡ οι ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, εἰ μὴ τὸ μ ἐπάγοιτο, οἷον οἶστρο ς , οἶκο ς· τὸ οἷος ἀναφορικὸν δασύνεται. τὸ οἶμος οἱμῶ δασύνεται. τὸ δὲ οἴμοι ἐπηύξηται ἀπὸ τοῦ οἴ ψιλουμένου. Ἡ ου ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, οὐρανό ς , οὐλ ή , οὐρ ῶ , οὖλο ς , οὐρό ς . οὕτω δὲ ἢ οὕτως δασύνεται. Τὸ ρ ἀρχόμενον λέξεως δασύνεσθαι θέλει, ῥ ά , ῥανί ς , ῥάξ χωρὶς τοῦ Ῥ ᾶρος (ἔστι δὲ ὄνομα κύριον) καὶ χωρὶς τῶν ἐξ αὐτοῦ οἷον »Ῥ αρίδος Δηοῦς» καὶ Ῥ αρία γῆ καὶ Ῥ αριάς, σημαίνει δὲ τὴν Δήμητρα, καὶ Ῥ άριον πεδίον ἐν Ἐλευσῖνι, ἐπὶ τούτων γάρ φασι τὸ μὲν πρῶτον ρ ψιλοῦσθαι, τὸ δὲ δεύτερον δασύνεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3,1 547 ἀλλὰ τὰ δύο ρρ ψιλωτέον ἐπὶ τούτων καὶ κατὰ τὴν πρώτην συλλαβὴν καὶ κατὰ τὴν δευτέραν. Τὸ ρ , ἐὰν δισσὸν γένηται ἐν μέσῃ λέξει, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται οἷον συῤῥάπτ ω. * Τὸ πνεῦμα κατὰ τὴν ἀρχὴν ἀεὶ φαίνεται, καὶ μέσον ὀλιγάκις. * Ἐπὶ τῶν σχετλιαστικῶν ἔσθ’ ὅτε τὸ δασὺ πνεῦμα ἀλόγως ἐν τῇ ληγούσῃ συλλαβῇ ὁρᾶται, ὡς ἔχει τὸ εὐο ἵ , εὐᾶ́ ν , εὐα ἵ. * Δασυνομένου φωνήεντος ἐπιφερομένου τὸ προηγούμενον ψιλὸν τρέπεται εἰς τὸ ἀντίστοιχον δασύ, κατὰ ἡμῶν κα θ ’ ἡμῶ ν. τὸ δὲ ἀνάπαλιν οὔ, εἰ μὴ κατὰ διάλεκτον τραπῇ. τὸ γὰρ ἀμπέχεσθαι Αἰολικόν ἐστιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org